Ἀνθολόγιον τῶν ἱερῶν ἀκολουθιῶν
τοῦ ὅλου ἐνιαυτοῦ, τόμος Α΄.
Ἐπιμελείᾳ Κων. Παπαγιάννη
πρωτοπρεσβυτέρου

© Ἐκδόσεις «ΟΡΘΟΔΟΞΟΣ ΚΥΨΕΛΗ»
Στυλ. Κεμεντζετζίδης, Ἑρμοῦ 34
54623 Θεσσαλονίκη, τηλ. 266-755
Α΄ ἔκδοσις 1992

Αἱ περιεχόμεναι εἰκόνες, ἔργα τῆς ἐν Καρυαῖς Ἁγίου Ὄρους Ἀδελφότητος Παχωμαίων, ἀνήκουσαι εἰς τὸν Ἱ. Ναὸν Ἁγίου Θεράποντος Θεσσαλονίκης, παρεχωρήθησαν λίαν προφρόνως ὑπὸ τοῦ ἱερατικῶς προϊσταμένου τοῦ Ναοῦ καὶ καθηγουμένου τῆς Ἱ. Μονῆς Ἁγίας Θεοδώρας Θεσσαλονίκης πανοσιολογ. ἀρχιμ. Βασιλείου Κολόκα, τὸν ὁποῖον θερμότατα εὐχαριστοῦμεν.

Ἐκτύπωσις: «*Νέα Στοιχειοθετική*», Ἀχελώου 6, Θεσσαλονίκη.
Βιβλιοδεσία: *Ἀφοὶ Βαρουσιάδη*, Λαχανᾶ 17, Θεσσαλονίκη.

ΑΝΘΟΛΟΓΙΟΝ

ΤΩΝ ΙΕΡΩΝ ΑΚΟΛΟΥΘΙΩΝ ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ

ΕΠΙΜΕΛΕΙΑ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΑΠΑΓΙΑΝΝΗ
ΠΡΩΤΟΠΡΕΣΒΥΤΕΡΟΥ

ΤΟΜΟΣ Α΄.

ΙΑΝΟΥΑΡΙΟΣ - ΜΑΡΤΙΟΣ
ΤΡΙΩΔΙΟΝ

Ἐκδόσεις «ΟΡΘΟΔΟΞΟΣ ΚΥΨΕΛΗ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1992

«Εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς» (Α΄ Τιμ. β΄ 5), *«ὃς καί ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν»* (Ρωμ. η΄ 34).

ΑΦΙΕΡΟΥΤΑΙ
ΕΙΣ ΠΑΝΤΑΣ
ΤΟΥΣ ΕΥΣΕΒΕΙΣ ΚΑΙ ΦΙΛΑΚΟΛΟΥΘΟΥΣ
ΟΡΘΟΔΟΞΟΥΣ ΧΡΙΣΤΙΑΝΟΥΣ

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Πρόλογος. 13

ΕΙΣΑΓΩΓΗ

Οἱ καιροὶ τῆς λατρείας (αἱ ἑορταί). 17
Αἱ ἱεραὶ ἀκολουθίαι. 19
Αἱ ἀκολουθίαι τοῦ νυχθημέρου. 20
Τὸ Ψαλτήριον εἰς τὰς ἱ. ἀκολουθίας. 23
Ὀνόματα καὶ εἴδη τῶν ὕμνων. 25
Τὰ ἁγιογραφικὰ ἀναγνώσματα. 30
Τὰ λειτουργικὰ βιβλία. 32
Ἡ χρῆσις τῶν λειτουργικῶν βιβλίων. 35
Ὀνομασία καὶ περιεχόμενον τοῦ Ἀνθολογίου. 37
Τὸ κείμενον τῶν ὕμνων καὶ τῶν ἀναγνωσμάτων. 40
Ὁδηγίαι διὰ τὴν χρῆσιν τοῦ Ἀνθολογίου. 42

ΜΕΡΟΣ ΠΡΩΤΟΝ: ΩΡΟΛΟΓΙΟΝ

Προσευχὴ προοιμιακή. 47
Ἀκολουθία τοῦ Μεσονυκτικοῦ. 50
– Τὸ καθ' ἡμέραν Μεσονυκτικόν. 50
– Μεσονυκτικὸν τοῦ Σαββάτου. 71
– Μεσονυκτικὸν τῆς Κυριακῆς. 81
Ἀκολουθία τοῦ Ὄρθρου. 83
– Τῶν Κυριακῶν καὶ ἑορτῶν. 83
– Τῶν καθημερινῶν καὶ τῶν Σαββάτων. 138
– Τῶν καθημερινῶν τῆς Μ. Τεσσαρακοστῆς. 151
Ἀκολουθία τῶν Ὡρῶν. 178

– Ὥρα πρώτη. 178
– Ὥρα τρίτη. 185
– Ὥρα ἕκτη. 191
– Σύντομος ἀκολουθία τῆς Τραπέζης. 198
– Ὥρα ἐνάτη. 199
– Οἱ Μακαρισμοί. 205
Ἀκολουθία τοῦ Ἑσπερινοῦ. 210
– Τῶν Κυριακῶν καὶ ἑορτῶν. 210
– Τῶν καθημερινῶν. 239
– Τῶν καθημερινῶν τῆς Μ. Τεσσαρακοστῆς. 241
Εὐχαὶ τοῦ δείπνου. 244
Ἀκολουθία τοῦ Ἀποδείπνου. 246
– Τὸ Μέγα Ἀπόδειπνον. 246
– Τὸ Μικρὸν Ἀπόδειπνον. 274

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ: ΑΙ ΘΕΙΑΙ ΛΕΙΤΟΥΡΓΙΑΙ

Ἡ Θ. Λειτουργία Ἰωάννου τοῦ Χρυσοστόμου. 287
– Βασιλείου τοῦ Μεγάλου. 320
– Τῶν προηγιασμένων. 343

ΜΕΡΟΣ ΤΡΙΤΟΝ: ΟΚΤΩΗΧΟΣ

Α΄. ΑΙ ΑΝΑΣΤΑΣΙΜΟΙ ΑΚΟΛΟΥΘΙΑΙ 379
Τυπικὴ διάταξις. 379
Ἦχος α΄. 382
Ἦχος β΄. 397
Ἦχος γ΄. 411
Ἦχος δ΄. 425
Ἦχος πλ. α΄. 441
Ἦχος πλ. β΄. 455
Ἦχος βαρύς. 469
Ἦχος πλ. δ΄. 483
Β΄. ΣΤΙΧΗΡΑ ΚΑΤΑΝΥΚΤΙΚΑ ΚΑΤ' ΗΧΟΝ ψαλλόμενα εἰς τοὺς Ἑσπερινοὺς τῶν Κυριακῶν τῆς Μ. Τεσσαρακοστῆς. 499
Γ΄. ΣΤΙΧΗΡΑ ΚΑΙ ΚΑΘΙΣΜΑΤΑ ΜΑΡΤΥΡΙΚΑ ΚΑΙ ΝΕΚΡΩΣΙΜΑ ψαλλόμενα κατὰ τὴν Μ. Τεσσαρακοστήν. 505

Ἦχος α′. 50
Ἦχος β′. 51
Ἦχος γ′. 514
Ἦχος δ′. 518
Ἦχος πλ. α′. 523
Ἦχος πλ. β′. 527
Ἦχος βαρύς. 531
Ἦχος πλ. δ′. 535

ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ: ΜΗΝΟΛΟΓΙΟΝ

Μὴν Ἰανουάριος. 543
– Φεβρουάριος. 713
– Μάρτιος. 761

ΜΕΡΟΣ ΠΕΜΠΤΟΝ: ΤΡΙΩΔΙΟΝ

Κυριακὴ τοῦ τελώνου καὶ τοῦ φαρισαίου. 793
Κυριακὴ τοῦ ἀσώτου. 802
Σάββατον τῆς Ἀπόκρεω (Ψυχοσάββατον). 811
Κυριακὴ τῆς Ἀπόκρεω. 831
Σάββατον τῆς Τυρινῆς. 842
Κυριακὴ τῆς Τυρινῆς. 859
Α′ ἑβδομὰς τῆς Μ. Τεσσαρακοστῆς. 870
Σάββατον τῆς Α′ ἑβδομάδος τῶν νηστειῶν (ἁγ. Θεοδώρου). 891
Κυριακὴ Α′ τῶν νηστειῶν (τῆς Ὀρθοδοξίας). 901
Β′ ἑβδομὰς τῆς Μ. Τεσσαρακοστῆς. 914
Κυριακὴ Β′ τῶν νηστειῶν. 923
Γ′ ἑβδομὰς τῆς Μ. Τεσσαρακοστῆς. 932
Κυριακὴ Γ′ τῶν νηστειῶν (τῆς Σταυροπροσκυνήσεως). 940
Δ′ ἑβδομὰς τῆς Μ. Τεσσαρακοστῆς. 955
Κυριακὴ Δ′ τῶν νηστειῶν. 963
Ε′ ἑβδομὰς τῆς Μ. Τεσσαρακοστῆς. 973
Ἀκολουθία τοῦ Μεγάλου Κανόνος. 982
Σάββατον τοῦ Ἀκαθίστου Ὕμνου. 1027
Κυριακὴ Ε′ τῶν νηστειῶν. 1033
ς′ ἑβδομὰς τῆς Μ. Τεσσαρακοστῆς. 1042

Σάββατον τοῦ ἁγίου καὶ δικαίου Λαζάρου. 1062
Κυριακὴ τῶν Βαΐων. 1075

Η ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ

Μεγάλη Δευτέρα. 1099
Μεγάλη Τρίτη. 1121
Μεγάλη Τετάρτη. 1142
Μεγάλη Πέμπτη. 1163
Μεγάλη Παρασκευή. 1189
– Ἀκολουθία τῶν ἁγίων Παθῶν. 1189
– Ἀκολουθία τῶν Μεγάλων Ὡρῶν. 1229
Μέγα Σάββατον. 1267

ΠΑΡΑΡΤΗΜΑ

Ἀκολουθία τοῦ Ἀκαθίστου Ὕμνου. 1313
Ἀπόστολοι καὶ Εὐαγγέλια Κυριακῶν μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου. 1334
Ὁδηγίαι διὰ τὴν χρῆσιν τῶν πινάκων. 1342
Ὁδηγίαι διὰ τὴν εὕρεσιν ἤχων καὶ ἑωθινῶν. 1342
Πίναξ ἡμερομηνιῶν τοῦ Πάσχα (1981-2100). 1346
Συνοπτικὰ πασχάλια. 1348

ΠΡΟΛΟΓΟΣ

Ὁ σκοπὸς τῆς παρούσης ἐκδόσεως εἶναι διπλοῦς· ἀφ' ἑνὸς μὲν νὰ διευκολύνῃ τοὺς ὀρθοδόξους Χριστιανοὺς εἰς τὴν ἐν τῷ ναῷ παρακολούθησιν τῶν ἱερῶν ἀκολουθιῶν τῶν Κυριακῶν καὶ ἑορτῶν, ἀφ' ἑτέρου δὲ νὰ προσφέρῃ εἰς αὐτοὺς ὑλικὸν διὰ τὴν κατ' οἶκον προσευχὴν καὶ μελέτην.

Εἶναι ἀναμφισβήτητον ὅτι εἰς τὴν παρακολούθησιν τῶν ἱερῶν ἀκολουθιῶν καὶ εἰς τὴν καλυτέραν συμμετοχὴν εἰς αὐτὰς συντελεῖ πάρα πολὺ ἡ ὕπαρξις καταλλήλων λειτουργικῶν βοηθημάτων, εἰς τὰ ὁποῖα περιέχονται τὰ ὑπὸ τῶν ἱερέων καὶ τῶν ψαλτῶν λεγόμενα. Τοιαῦτα βοηθήματα ἔχομεν ἀνέκαθεν διὰ τὴν Θ. Λειτουργίαν, τὴν Μ. Ἑβδομάδα, τὸν Ἀκάθιστον Ὕμνον καὶ τὰς Παρακλήσεις. Μερικῶς ἐπίσης περιέχουν τὰς ἀκολουθίας τῶν Κυριακῶν καὶ τῶν μεγάλων ἑορτῶν οἱ κυκλοφοροῦντες Συνέκδημοι. Ἐλλείπει ὅμως ἓν γενικώτερον καὶ συστηματικώτερον λειτουργικὸν βοήθημα, μὲ τὴν χρῆσιν τοῦ ὁποίου θὰ δύνανται οἱ Χριστιανοὶ νὰ παρακολουθοῦν κατὰ τὸ δυνατὸν πλήρως τὰς ἱ. ἀκολουθίας τῶν Κυριακῶν, τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν, τῶν μνημῶν τῶν ἐπισήμων ἁγίων καὶ τῶν ἄλλων ἡμερῶν, κατὰ τὰς ὁποίας οὗτοι ὀφείλουν νὰ συμμετέχουν εἰς τὴν θείαν λατρείαν.

Τὴν ἔλλειψιν αὐτὴν ἔχων ὑπ' ὄψιν ἐσκεπτόμην νὰ ἐπιχειρήσω τὴν σύνταξιν τοιούτου βοηθήματος. Ἡ σκέψις ὅμως αὐτὴ δὲν θὰ ἦτο δυνατὸν νὰ πραγματοποιηθῇ, ἐὰν δὲν εὕρισκε πλήρη ἀνταπόκρισιν ἐκ μέρους τοῦ εὐσεβοῦς θεολόγου ἐκδότου κ. Στυλιανοῦ Κεμεντζετζίδη, τὸν ὁποῖον συγχαίρω ἀπὸ καρδίας διὰ τὴν θαρραλέαν ἀπόφασίν του νὰ ἀναλάβῃ τὴν λίαν δαπανηρὰν ταύτην ἔκδοσιν. Περὶ τοῦ περιεχομένου τοῦ καταρτισθέντος βιβλίου καὶ τῆς χρήσεως αὐτοῦ θὰ γίνῃ λεπτομερὴς λόγος εἰς τὴν ἀκολουθοῦσαν Εἰσαγωγήν.

Ὡς πρὸς τὸν δεύτερον σκοπόν, δηλ. τὴν κατ' οἶκον χρῆσιν τοῦ βιβλίου, ἔχω νὰ σημειώσω τὰ ἑξῆς:

Καθῆκον καὶ ἐπιθυμία τοῦ εὐσεβοῦς Χριστιανοῦ εἶναι νὰ μὴν ἀπουσιάζῃ ἀπὸ τὰς λατρευτικὰς συνάξεις τῶν Κυριακῶν καὶ ἑορτῶν. Παρὰ ταῦτα ὅμως ὑπάρχουν περιπτώσεις, κατὰ τὰς ὁποίας λόγῳ ἀσθενείας ἢ ἄλλου ἀνυπερβλήτου κωλύματος θὰ εὑρεθῇ εἰς τὴν ἀνάγκην νὰ ἀπουσιάσῃ. Εἰς τὰς περιπτώσεις αὐτὰς τὸ Ἀνθολόγιον θὰ τὸν βοηθήσῃ νὰ ἀναπληρώσῃ διὰ τῆς κατ' οἶκον προσευχῆς τὸ κενόν, τὸ ὁποῖον προκαλεῖ ἡ ἐξ ἀνάγκης ἀπουσία ἀπὸ τὸν ναόν. Ἀλλὰ καὶ ἂν ἀκόμη δύναται νὰ ἐκκλησιασθῇ ἢ ἤδη ἔχει ἐκκλησιασθῇ, ἡ κατ' οἶκον μελέτη τῶν ἱερῶν ὕμνων καὶ ἀναγνωσμάτων θὰ τὸν βοηθήσῃ εἰς τὴν κατανόησίν των καὶ θὰ συμπληρώσῃ τὴν ἑορταστικὴν ἀτμόσφαιραν τῆς ἡμέρας.

Γνωρίζω προσέτι, ὅτι πολλοὶ Χριστιανοί, πέραν τοῦ ἐκκλησιασμοῦ κατὰ τὰς Κυριακὰς καὶ ἑορτάς, ἔχουν τὴν εὐλαβῆ συνήθειαν νὰ τελοῦν κατ' οἶκον καθημερινῶς τὰς ἱ. ἀκολουθίας. Διὰ τὴν περίπτωσιν αὐτὴν περιελήφθη εἰς τὸν Β' τόμον τοῦ βιβλίου ἐπιλογὴ ὕμνων ἐκ τῆς Παρακλητικῆς καλύπτουσα πλήρως μίαν ἑβδομάδα. Θὰ ἦτο βεβαίως πληρέστερον τὸ βοήθημα, ἐὰν περιελάμβανε καθημερινὴν ἀκολουθίαν δι' ὅλους τοὺς ἤχους, ἀλλὰ τοῦτο θὰ ηὔξανε σημαντικῶς τὸν ὄγκον τοῦ βιβλίου καὶ θὰ τὸ ἔκαμνε δύσχρηστον.

Ἐλπίζω, ὅτι τὸ παρὸν βοήθημα θὰ φέρῃ τοὺς εὐλαβεῖς Χριστιανοὺς εἰς στενοτέραν ἐπαφὴν καὶ γνωριμίαν μὲ τὰ ἱερὰ λειτουργικὰ κείμενα τῆς Ὀρθοδόξου Ἐκκλησίας καὶ θὰ συντελέσῃ εἰς τὴν καλλιέργειαν καὶ ἀνάπτυξιν λειτουργικοῦ φρονήματος. Εἰς τοῦτο ἀποβλέπει καὶ ἡ ἀκολουθοῦσα ἐκτενὴς εἰσαγωγή, εἰς τὴν ὁποίαν γίνεται λόγος περὶ ἑορτῶν, ἱ. ἀκολουθιῶν, ὕμνων κ.λ.π.. Κατὰ πόσον ἐπετεύχθησαν οἱ σκοποὶ αὐτοί, θὰ κριθῇ ἐκ τῆς ἀποδοχῆς καὶ χρήσεως τοῦ βιβλίου ὑπὸ τῶν Χριστιανῶν.

Καθῆκον ἐπιβεβλημένον θεωρῶ νὰ εὐχαριστήσω θερμῶς τὸν ἐλλογιμώτατον κ. Ἰωάννην Φουντούλην, καθηγητὴν τῆς Λειτουργικῆς ἐν τῇ Θεολογικῇ Σχολῇ τοῦ Ἀριστοτελείου Πανεπιστημίου Θεσσαλονίκης καὶ διευθυντὴν τοῦ Πατριαρχικοῦ Ἱδρύματος Πατερικῶν Μελετῶν, καὶ τοὺς ἐπιστημονικοὺς συνεργάτας τοῦ Ἱδρύματος κ.κ. Εὐθύμιον Λίτσαν καὶ Αἰκατ. Κατσαροῦ διὰ τὴν

πρόθυμον ἐξυπηρέτησιν εἰς τὴν ἔρευναν τῶν χειρογράφων ἐκ τῆς εἰς microfilms συλλογῆς τοῦ Ἱδρύματος, καθὼς καὶ τὸν λίαν ἀγαπητὸν κ. Δημήτριον Χρισταφακόπουλον διὰ τὴν πολύτιμον συμβολήν του εἰς τὸ τεχνικὸν μέρος τῆς ἐκδόσεως.

Ἐν Θεσσαλονίκῃ τῇ 7ῃ Ὀκτωβρίου 1991

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΑΠΑΓΙΑΝΝΗΣ
ΠΡΩΤΟΠΡΕΣΒΥΤΕΡΟΣ
Ἐφημέριος Ἱ. Ναοῦ Ἁγ. Ἀποστόλων
Θεσσαλονίκης

ΕΙΣΑΓΩΓΗ

Διὰ τὴν καλυτέραν συμμετοχὴν εἰς τὴν θείαν λατρείαν εἶναι χρήσιμον νὰ ἔχῃ ὁ Χριστιανὸς στοιχειώδεις γνώσεις περὶ τῶν ἑορτῶν, τῶν ἱερῶν ἀκολουθιῶν, τῶν ὕμνων καὶ ἀναγνωσμάτων, τῶν λειτουργικῶν βιβλίων καὶ τῆς χρήσεως αὐτῶν. Τὰς βασικὰς αὐτὰς γνώσεις, καθὼς καὶ τὰς ἀναγκαίας ὁδηγίας διὰ τὴν χρῆσιν τοῦ παρόντος Ἀνθολογίου θὰ προσπαθήσωμεν νὰ δώσωμεν διὰ τῆς παρούσης Εἰσαγωγῆς.

Οἱ καιροὶ τῆς λατρείας (αἱ ἑορταί).

Ἑορταὶ λέγονται αἱ ἡμέραι, αἱ ὁποῖαι καθωρίσθησαν ὑπὸ τῆς Ἐκκλησίας πρὸς ἀνάμνησιν γεγονότων τῆς ζωῆς τοῦ Κυρίου ἢ τοῦ βίου τῆς Ἐκκλησίας ἢ πρὸς τιμὴν τῶν ἁγίων.

Αἱ ἑορταὶ ἀρχικῶς ἦσαν ὀλίγαι: ἡ Κυριακὴ ὡς ἡμέρα τῆς ἀναστάσεως τοῦ Κυρίου, τὸ Πάσχα ὡς ἑορτὴ τῆς διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως τοῦ Κυρίου σωτηρίας καὶ ἡ Πεντηκοστὴ ὡς ἡμέρα τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος καὶ τῆς ἱδρύσεως τῆς Ἐκκλησίας. Ἀπὸ ἀρχαιοτάτων ἐπίσης χρόνων διεκρίθησαν ἐκ τῶν ἡμερῶν τῆς ἑβδομάδος ἡ Τετάρτη καὶ ἡ Παρασκευή, διότι κατὰ μὲν τὴν Τετάρτην συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων καὶ ἀπεφάσισαν τὴν σύλληψιν καὶ θανάτωσιν τοῦ Κυρίου, συνεφώνησε δὲ μετ' αὐτῶν καὶ ὁ Ἰούδας καὶ ὑπεσχέθη τὴν προδοσίαν, κατὰ δὲ τὴν Παρασκευὴν ὑπέμεινεν ὁ Κύριος τὰ πάθη καὶ τὸν σταυρικὸν θάνατον διὰ τὴν σωτηρίαν μας. Τοιουτοτρόπως ἐτέθησαν αἱ βάσεις δύο ἑορταστικῶν κύκλων, τοῦ ἑβδομαδιαίου καὶ τοῦ ἐτησίου, οἱ ὁποῖοι σὺν τῷ χρόνῳ ἐπλουτίσθησαν διὰ νέων ἑορτῶν πρὸς τιμὴν τοῦ Κυρίου, τῆς Θεοτόκου καὶ

τῶν ἁγίων. Σήμερον ὅλαι αἱ ἡμέραι τῆς ἑβδομάδος καὶ ὅλαι αἱ ἡμέραι τοῦ ἔτους εἶναι ἀφιερωμέναι εἰς ἀνάμνησιν γεγονότων τῆς ζωῆς τοῦ Κυρίου ἢ τῆς Θεοτόκου ἢ εἰς τιμὴν ἑνὸς ἢ περισσοτέρων ἁγίων, καὶ διὰ κάθε ἡμέραν ὑπάρχει εἰδικὴ ὑμνολογία· διακρίνονται ὅμως ἡ Κυριακὴ καὶ αἱ πρὸς τιμὴν τοῦ Κυρίου, τῆς Θεοτόκου καὶ τῶν μεγάλων ἁγίων ἑορταί, αἱ ὁποῖαι τιμῶνται μὲ πλουσιωτέραν ὑμνολογίαν, μὲ ἀργίαν ἀπὸ τὰς καθημερινὰς ἐργασίας καὶ ἀπαραιτήτως μὲ τὴν τέλεσιν τῆς Θ. Εὐχαριστίας.

Ὁ ἑβδομαδιαῖος ἑορταστικὸς κύκλος ἀρχίζει μὲ τὴν Κυριακήν, ἡ ὁποία, ὅπως εἴπομεν, εἶναι ἀφιερωμένη εἰς τὴν ἀνάστασιν τοῦ Κυρίου. Αἱ ἄλλαι ἡμέραι τῆς ἑβδομάδος εἶναι ἀφιερωμέναι: ἡ Δευτέρα εἰς τιμὴν τῶν ἀσωμάτων ἀγγελικῶν δυνάμεων· ἡ Τρίτη εἰς τιμὴν τοῦ Προδρόμου· ἡ Τετάρτη καὶ ἡ Παρασκευὴ εἰς τὸ πάθος τοῦ Κυρίου καὶ εἰς τὴν Θεοτόκον· ἡ Πέμπτη εἰς τιμὴν τῶν ἀποστόλων καὶ τοῦ ἁγίου Νικολάου· καὶ τὸ Σάββατον εἰς τιμὴν τῶν μαρτύρων καὶ εἰς μνημόσυνον τῶν κεκοιμημένων. Ἡ ὑμνολογία τοῦ ἑβδομαδιαίου κύκλου περιέχεται εἰς τὴν Παρακλητικὴν (βλ. σ. 34).

Αἱ ἐτήσιοι ἑορταὶ διακρίνονται εἰς **ἀκινήτους** καὶ **κινητάς**. Ἀκίνητοι εἶναι ὅσαι ἔχουν σταθερὰν ἡμερομηνίαν, μεταβλητὴν ὅμως τὴν ἡμέραν τῆς ἑβδομάδος. Τὰ Χριστούγεννα π.χ. εἶναι ἀκίνητος ἑορτή, διότι ἑορτάζονται πάντοτε τὴν 25ην Δεκεμβρίου, ἡ ὁποία ὅμως δὲν συμπίπτει πάντοτε κατὰ τὴν αὐτὴν ἡμέραν τῆς ἑβδομάδος. Κινηταὶ ἀντιθέτως εἶναι ὅσαι ἔχουν μεταβλητὴν ἡμερομηνίαν καὶ σταθερὰν τὴν ἡμέραν τῆς ἑβδομάδος. Αἱ κινηταὶ ἑορταὶ ἐξαρτῶνται ἀπὸ τὴν ἡμερομηνίαν τοῦ Πάσχα, ἡ ὁποία, ὡς γνωστόν, δὲν εἶναι σταθερὰ ἀλλ' ἐξαρτᾶται ἀπὸ τὴν πανσέληνον τῆς ἐαρινῆς ἰσημερίας. Ἡ περίοδος τῶν κινητῶν ἑορτῶν ἄρχεται ἀπὸ τῆς Κυριακῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου καὶ φθάνει μέχρι τῆς Κυριακῆς τῶν ἁγίων πάντων· καὶ ἡ μὲν πρὸ τοῦ Πάσχα περίοδος ὀνομάζεται περίοδος τοῦ Τριῳδίου, ἡ δὲ μετὰ τὸ Πάσχα περίοδος τοῦ Πεντηκοσταρίου, διότι ἡ ὑμνολογία τῶν περιόδων αὐτῶν περιέχεται εἰς τὰ λειτουργικὰ βιβλία Τριῴδιον καὶ Πεντηκοστάριον, τὰ ὁποῖα χρησιμοποιοῦνται ἀντιστοίχως κατ' αὐτάς. Ἡ ὑμνολογία τῶν ἀκινήτων ἑορτῶν περιέχεται εἰς τὰ Μηναῖα (βλ. σ. 34).

Ἀναλόγως τοῦ προσώπου, εἰς τὸ ὁποῖον ἀναφέρονται, αἱ ἑορταὶ διακρίνονται εἰς **δεσποτικάς**, ἐκείνας δηλ. αἱ ὁποῖαι ἀναφέρονται εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, **θεομητορικάς**, ἐκείνας δηλ. αἱ ὁποῖαι ἀναφέρονται εἰς τὴν Θεοτόκον, ἑορτὰς τοῦ τιμίου Σταυροῦ, καὶ ἑορτὰς τῶν ἁγίων. Τὰς τελευταίας πάλιν δυνάμεθα νὰ διακρίνωμεν εἰς ἑορτὰς τοῦ Προδρόμου, τῶν ἀποστόλων, τῶν μαρτύρων, τῶν ὁσίων, τῶν ἱεραρχῶν, τῶν προφητῶν κ.λ.π..

Αἱ δεσποτικαὶ καὶ θεομητορικαὶ ἑορταὶ δὲν ἑορτάζονται μίαν μόνον ἡμέραν ἀλλὰ περισσοτέρας. Τῆς κυρίας ἡμέρας τῆς ἑορτῆς προηγοῦνται τὰ **προεόρτια**, ἡμέραι δηλ., κατὰ τὰς ὁποίας ἡ Ἐκκλησία διὰ καταλλήλων ὕμνων προετοιμάζει τοὺς πιστοὺς διὰ τὴν ἑορτήν, καὶ ἕπονται τὰ **μεθέορτα**, ἡμέραι δηλ., κατὰ τὰς ὁποίας συνεχίζεται ἡ ἑορτή. Τὰ προεόρτια περιορίζονται συνήθως εἰς μίαν ἡμέραν, τὴν παραμονὴν τῆς ἑορτῆς, καὶ μόνον τὰ Χριστούγεννα ἔχουν πέντε προεορτίους ἡμέρας καὶ τὰ Θεοφάνεια τέσσαρας. Τῶν μεθεόρτων ἡ διάρκεια διαφέρει ἀπὸ ἑορτῆς εἰς ἑορτήν. Κατὰ τὴν τελευταίαν μεθέορτον ἡμέραν γίνεται ἡ **ἀπόδοσις** τῆς ἑορτῆς καὶ ἐπαναλαμβάνεται ἡ ἀκολουθία αὐτῆς, ὅπως καὶ κατὰ τὴν κυρίαν ἡμέραν.

Αἱ ἱεραὶ ἀκολουθίαι.

Ἱεραὶ ἀκολουθίαι ἢ ἁπλῶς **ἀκολουθίαι** ὀνομάζονται οἱ διάφοροι τύποι τῆς δημοσίας προσευχῆς, δηλ. αἱ προσευχαί, αἱ ὁποῖαι τελοῦνται εἰς τὸν ναὸν δι' ὅλους τοὺς Χριστιανούς. Ἑκάστη ἀκολουθία εἶναι σύμπλεγμα ψαλμῶν, δεήσεων, ἀναγνωσμάτων, ὕμνων καὶ εὐχῶν· περιλαμβάνει ἐπίσης προτροπὰς πρὸς προσευχήν, εὐλογίας καὶ ἀσπασμούς. Εἰς τὰς κυριωτέρας ἀκολουθίας γίνεται καὶ προσφορὰ θυμιάματος. Τὰ στοιχεῖα αὐτὰ εἶναι διατεταγμένα καὶ διαδέχονται τὸ ἓν τὸ ἄλλο καθ' ὡρισμένην τάξιν – αὐτὸ ἀκριβῶς σημαίνει ὁ ὅρος **ἀκολουθία** – καὶ περικλείονται ἀπὸ τὴν ἔναρξιν καὶ τὴν ἀπόλυσιν.

Αἱ ἀκολουθίαι διαιροῦνται εἰς τρεῖς ὁμάδας:

α) Τὰς ἀκολουθίας τοῦ νυχθημέρου, ἐκείνας δηλ., αἱ ὁποῖαι τελοῦνται καθ' ἑκάστην ἡμέραν.

β) Τὰς ἀκολουθίας τῶν μυστηρίων (Θ. Λειτουργίας, Βαπτίσματος, Γάμου κ.λ.π.). Καὶ

γ) Τὰς λοιπὰς ἀκολουθίας (ἁγιασμούς, παρακλήσεις, νεκρωσίμους ἀκολουθίας κ.λ.π.).

Διαιροῦνται ἐπίσης αἱ ἀκολουθίαι εἰς **τακτικὰς** καὶ **ἐκτάκτους**. Τακτικαὶ εἶναι αἱ ἀκολουθίαι τοῦ νυχθημέρου, αἱ ὁποῖαι τελοῦνται καθημερινῶς, καὶ ἡ Θ. Λειτουργία, ἡ ὁποία ἐπίσης τελεῖται εἰς ὡρισμένας ἡμέρας. Ἔκτακτοι εἶναι ὅλαι αἱ ἄλλαι ἀκολουθίαι, διότι τελοῦνται μόνον ὅταν παραστῇ ἀνάγκη[1].

Ὅλαι αἱ ἀκολουθίαι, ὅπως εἴπομεν, τελοῦνται καθ' ὡρισμένην τάξιν. Αἱ ἔκτακτοι ἀκολουθίαι ὅμως ἔχουν ἕνα σταθερὸν τύπον, κατὰ τὸν ὁποῖον τελοῦνται πάντοτε, ἐνῷ αἱ τακτικαὶ – καὶ κυρίως ὁ Ἑσπερινὸς καὶ ὁ Ὄρθρος – παρουσιάζουν πολλὰς παραλλαγὰς ἀναλόγως τῆς ἡμέρας τῆς ἑβδομάδος, τῆς ἀγομένης ἑορτῆς καὶ τῆς συμπτώσεως κινητῆς ἑορτῆς μετ' ἀκινήτου. Τὴν ἀκριβῆ τάξιν τῆς τελέσεως τῶν τακτικῶν ἀκολουθιῶν εἰς ἑκάστην περίπτωσιν καθορίζει τὸ Τυπικὸν (βλ. σ. 35).

Αἱ ἀκολουθίαι τοῦ νυχθημέρου.

Ἀκολουθίαι τοῦ νυχθημέρου ὀνομάζονται αἱ ἀκολουθίαι, αἱ ὁποῖαι τελοῦνται κατὰ τὴν διάρκειαν ἑκάστης ἐκκλησιαστικῆς ἡμέρας. Ἀρχίζει δὲ ἡ ἐκκλησιαστικὴ ἡμέρα ἀπὸ τὴν δύσιν τοῦ ἡλίου, διότι εἰς τὴν Ἐκκλησίαν ἔχει ἐπικρατήσει ὁ ἰουδαϊκὸς τρόπος ὑπολογισμοῦ τῶν ὡρῶν τῆς ἡμέρας, κατὰ τὸν ὁποῖον προηγεῖται ἡ νὺξ καὶ ἕπεται ἡ ἡμέρα.

Εἰς τὴν Ὀρθόδοξον Ἐκκλησίαν διεμορφώθη ἀπὸ ἀρχαιοτάτων χρόνων σύστημα ἀκολουθιῶν διὰ τὰς κυριωτέρας ὥρας τοῦ νυχθημέρου. Αἱ ἀκολουθίαι αὐταὶ εἶναι κατὰ σειρὰν αἱ ἑξῆς:

1. – **Ὁ Ἑσπερινὸς** (ἢ **Λυχνικόν**). Τελεῖται περίπου κατὰ τὴν δύσιν τοῦ ἡλίου καὶ ἀποτελεῖ εὐχαριστίαν διὰ τὴν ἡμέραν, ἡ ὁποία λήγει, καὶ αἴτησιν τῆς προστασίας τοῦ Θεοῦ κατὰ τὴν ἐπερχομένην νύκτα. Ἐπὶ πλέον ἡ δύσις τοῦ ἡλίου καὶ ἡ ἀφὴ τῶν φώτων τῆς νυκτὸς μᾶς ὑπενθυμίζουν τὸ ἀληθινὸν φῶς, τὸν Χριστόν, ὁ ὁποῖος διαλύει τὰ σκότη τῆς πλάνης καὶ φωτίζει τὸν κόσμον. Τοῦτο ἀκριβῶς ἐκφράζει ὁ ἀρχαῖος ὕμνος τοῦ Ἑσπερινοῦ «*Φῶς ἱλαρόν...*».

1. Εἶναι φανερόν, ὅτι τὸ περιεχόμενον τοῦ παρόντος Ἀνθολογίου ἀναφέρεται σχεδὸν ἐξ ὁλοκλήρου εἰς τὰς τακτικὰς ἀκολουθίας.

Εἰς τὸν Ἑσπερινὸν ψάλλονται πάντοτε ὕμνοι ἀναφερόμενοι εἰς τὴν ἑορτὴν ἢ τὸν ἅγιον τῆς ἑπομένης ἡμέρας. Εἶναι λοιπὸν ὁ Ἑσπερινὸς ἡ ἐναρκτήριος ἀκολουθία ἑκάστης ἐκκλ. ἡμέρας. Ἡ ἀκολουθία τοῦ Ἑσπερινοῦ εἶναι μὲν πάντοτε ἡ αὐτὴ εἰς τὰ κύρια σημεῖα της, παρουσιάζει ὅμως παραλλαγὰς εἰς τὰς λεπτομερείας. Οἱ βασικοὶ τύποι Ἑσπερινοῦ εἶναι δύο: α) Ὁ **Ἑσπερινὸς μετ' εἰσόδου**· τοιοῦτος εἶναι ὁ Ἑσπερινὸς τῶν Κυριακῶν, τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν ἑορταζομένων ἁγίων· καὶ β) Ὁ **Ἑσπερινὸς ἄνευ εἰσόδου**· τοιοῦτος εἶναι ὁ Ἑσπερινὸς τῶν καθημερινῶν.

2. – Τὸ **Ἀπόδειπνον.** Τελεῖται μετὰ τὸ δεῖπνον. Διὰ τῶν εὐχῶν του ζητοῦμεν ἀπὸ τὸν Θεὸν νὰ μᾶς χαρίσῃ εἰρηνικὴν καὶ ἀναμάρτητον τὴν νύκτα καὶ νὰ μᾶς ἀναστήσῃ πάλιν εἰς τὸν καιρὸν τῆς προσευχῆς. Ὑπάρχουν δύο τύποι Ἀποδείπνου: α) Τὸ **Μέγα Ἀπόδειπνον,** τὸ ὁποῖον τελεῖται καθ' ὡρισμένας ἡμέρας τῆς Μ. Τεσσαρακοστῆς καὶ εἶναι μία ἰδιαιτέρως κατανυκτικὴ ἀκολουθία· καὶ β) Τὸ **Μικρὸν Ἀπόδειπνον,** τὸ ὁποῖον περιέχει ὀλιγώτερα στοιχεῖα καὶ τελεῖται καθ' ὅλας τὰς λοιπὰς ἡμέρας τοῦ ἔτους.

3. – Τὸ **Μεσονυκτικόν.** Τελεῖται κατὰ τὸ μέσον τῆς νυκτὸς ἢ τὸ πρωῒ πρὸ τοῦ Ὄρθρου. Εἰς τὸ Μεσονυκτικὸν κυριαρχεῖ ἡ δοξολογία τῆς ἁγίας Τριάδος καὶ ἡ ἀνάμνησις τῆς δευτέρας παρουσίας τοῦ Κυρίου, ἡ ὁποία ὑπενθυμίζει τὴν ἀνάγκην τῆς συνεχοῦς ἐγρηγόρσεως καὶ ἑτοιμασίας, διὰ νὰ εἰσέλθωμεν εἰς τὸν οὐράνιον νυμφῶνα. Ὑπάρχουν τρία εἴδη Μεσονυκτικοῦ: α) Τὸ **καθημερινὸν Μεσονυκτικόν,** τελούμενον ἀπὸ τῆς Δευτέρας μέχρι τῆς Παρασκευῆς· β) Τὸ **Μεσονυκτικὸν τοῦ Σαββάτου**· καὶ γ) Τὸ **Μεσονυκτικὸν τῆς Κυριακῆς.**

4. – Ὁ **Ὄρθρος.** Ὅπως εἰς τὸ τέλος τῆς ἡμέρας, οὕτω καὶ εἰς τὴν ἀρχὴν αὐτῆς αἰσθανόμεθα τὴν ἀνάγκην νὰ εὐχαριστήσωμεν τὸν Θεὸν διὰ τὴν ἔγερσιν ἐκ τοῦ ὕπνου, νὰ χαιρετήσωμεν τὴν ἔλευσιν τοῦ αἰσθητοῦ φωτός, τὸ ὁποῖον μᾶς ὑπενθυμίζει πάλιν τὸ νοητὸν φῶς, τὸν Χριστόν, καὶ νὰ ζητήσωμεν τὴν εὐλογίαν τοῦ Θεοῦ διὰ τὰ ἔργα τῆς ἡμέρας. Ὁ Ὄρθρος ἀποτελεῖ τὴν κυριωτέραν, ἐκτενεστέραν καὶ πλουσιωτέραν ἀκολουθίαν τῆς ἡμέρας. Εἰς αὐτὸν κυρίως ψάλλονται οἱ εἰδικοὶ ὕμνοι, οἱ ὁποῖοι δίδουν τὸ ἰδιαίτερον χρῶμα τῆς ἑορτῆς ἢ τῆς ἡμέρας. Ὅπως ὁ Ἑσπερινός, οὕτω

καὶ ὁ Ὄρθρος παρουσιάζει πλείστας παραλλαγάς. Κυρίως ὅμως δυνάμεθα νὰ διακρίνωμεν δύο τύπους: α) Τὸν **Ὄρθρον τῶν Κυριακῶν καὶ τῶν ἑορτῶν,** κατὰ τὸν ὁποῖον ἡ δοξολογία ψάλλεται (μεγάλη δοξολογία)· καὶ β) Τὸν **Ὄρθρον τῶν καθημερινῶν,** κατὰ τὸν ὁποῖον ἡ δοξολογία ἀναγινώσκεται (μικρὰ δοξολογία).

5. – Αἱ **Ὧραι.** Εἶναι τέσσαρες σύντομοι ἀκολουθίαι, αἱ ὁποῖαι ὀνομάζονται **Πρώτη, Τρίτη,** Ἕκτη καὶ Ἐνάτη καὶ ἀντιστοιχοῦν εἰς τὰς ὥρας 1ην, 3ην, 6ην καὶ 9ην τῆς ἡμέρας κατὰ τὸν ἰουδαϊκὸν ὑπολογισμόν, δηλ. εἰς τὴν 7ην π.μ., 9ην π.μ., 12ην μεσημβρινὴν καὶ 3ην μ.μ. κατὰ τὸν σημερινὸν ὑπολογισμόν. Ἡ Α΄ Ὥρα εἶναι, ὅπως καὶ ὁ Ὄρθρος, πρωϊνὴ προσευχὴ καὶ αἴτησις τοῦ θείου φωτισμοῦ· ἡ Γ΄ ἀναφέρεται εἰς τὴν κάθοδον τοῦ ἁγίου Πνεύματος, ἡ ΣΤ΄ εἰς τὴν σταύρωσιν καὶ ἡ Θ΄ εἰς τὸν θάνατον τοῦ Κυρίου, γεγονότα, τὰ ὁποῖα συνέβησαν κατὰ τὰς ὥρας αὐτάς. Μὲ τὴν Θ΄ Ὥραν κλείει ὁ κύκλος τῶν ἀκολουθιῶν ἑκάστης ἡμέρας, διὰ ν' ἀρχίσῃ εὐθὺς ἀμέσως μὲ τὸν Ἑσπερινὸν ἡ νέα ἐκκλησιαστικὴ ἡμέρα. Αἱ Ὧραι εἶναι σύντομοι ἀκολουθίαι καὶ ἐλαχίστας παραλλαγὰς παρουσιάζουν κατὰ τὰς διαφόρους ἡμέρας. Κατὰ τὰς παραμονὰς ὅμως τῶν Χριστουγέννων καὶ τῶν Θεοφανείων καὶ κατὰ τὴν Μ. Παρασκευὴν προστίθενται εἰς ἑκάστην Ὥραν εἰδικοὶ διὰ τὴν ἡμέραν ὕμνοι, Προφητεία, Ἀπόστολος καὶ Εὐαγγέλιον. Αἱ Ὧραι αὐταὶ ὀνομάζονται **Μεγάλαι** ἢ **Βασιλικαί.**

Ὅλαι αἱ ἀνωτέρω ἀκολουθίαι τελοῦνται καθημερινῶς καθ' ὅλην τὴν διάρκειαν τοῦ ἔτους εἰς τὰς μονάς. Εἰς τοὺς ἐνοριακοὺς ναοὺς ὅμως ἡ πλήρης τέλεσίς των δὲν εἶναι δυνατή. Διὰ τοῦτο τελοῦνται καθημερινῶς καθ' ὅλον τὸ ἔτος μόνον ὁ Ἑσπερινὸς καὶ ὁ Ὄρθρος· καὶ εἰς αὐτοὺς γίνονται συντμήσεις καὶ μεταθέσεις, ὥστε νὰ προσαρμόζωνται εἰς τὰς συνθήκας τῶν ἐνοριῶν καὶ τῶν Χριστιανῶν οἱ ὁποῖοι ζοῦν εἰς τὸν κόσμον. Κατὰ τὴν Μ. Τεσσαρακοστὴν ὅμως τελοῦνται καὶ αἱ Ὧραι καὶ τὸ Ἀπόδειπνον. Τὸ Μεσονυκτικὸν συνήθως δὲν τελεῖται παρὰ μόνον τὰς Κυριακὰς πρὸ τοῦ Ὄρθρου.

Αἱ ἱ. ἀκολουθίαι κανονικῶς τελοῦνται μὲ τὴν συμμετοχὴν ἱερέως, ὁ ὁποῖος κάμνει τὴν ἔναρξιν καὶ τὴν ἀπόλυσιν αὐτῶν, ἀναγινώσκει τὰς εὐχὰς καὶ ἀπευθύνει τὰς εὐλογίας. Αἱ ἀκολουθίαι τοῦ νυχθημέρου ὅμως εἶναι δυνατὸν νὰ τελεσθοῦν καὶ ἄνευ ἱερέ-

ως, ὑπὸ διακόνου ἢ μοναχοῦ ἢ καὶ λαϊκοῦ. Εἰς τὴν περίπτωσιν αὐτὴν ἡ ἔναρξις γίνεται διὰ τοῦ «*Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν...*» ἢ διὰ τοῦ «*Εἰς τὸ ὄνομα τοῦ Πατρός...*», αἱ προτροπαὶ τοῦ διακόνου καὶ τοῦ ἱερέως καὶ αἱ εὐλογίαι παραλείπονται, καὶ ἡ ἐπισφράγισις γίνεται πάλιν διὰ τοῦ «*Δι' εὐχῶν...*» ἢ διὰ τοῦ «*Διὰ πρεσβειῶν τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς*».

Τὸ Ψαλτήριον εἰς τὰς ἱ. ἀκολουθίας.

Τὸ Ψαλτήριον εἶναι τὸ βιβλίον τῆς Παλαιᾶς Διαθήκης, τὸ ὁποῖον περιέχει τοὺς Ψαλμοὺς τοῦ Δαβὶδ καὶ ἄλλων ποιητῶν. Τὸ ἱερὸν τοῦτο βιβλίον ἐχρησιμοποιεῖτο ἀνέκαθεν εὐρύτατα εἰς τὰς ἱ. ἀκολουθίας, ἐξακολουθεῖ δὲ νὰ χρησιμοποιῆται καὶ σήμερον κατὰ τρεῖς τρόπους.

1. – Εἰς ἑκάστην ἀκολουθίαν τοῦ νυχθημέρου ὑπάρχουν ὡρισμένοι Ψαλμοί, οἱ ὁποῖοι ἀναγινώσκονται ἢ ψάλλονται πάντοτε, ὁσάκις τελεῖται ἡ ἀκολουθία αὐτή. Οἱ Ψαλμοὶ αὐτοὶ ἔχουν ἐπιλεγῆ οὕτως, ὥστε νὰ ἔχουν σχέσιν μὲ τὸ θέμα τῆς ἀκολουθίας ἢ τὴν ὥραν, κατὰ τὴν ὁποίαν τελεῖται αὐτη. Λ.χ. εἰς τὸν Ἑσπερινὸν ἀναγινώσκεται ὁ 103ος Ψαλμός, εἰς τὸν ὁποῖον περιέχεται ὁ στίχος «*Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ, ἔθου σκότος καὶ ἐγένετο νύξ*». Εἰς τὸ Ἀπόδειπνον ὁ 4ος Ψαλμός, ὁ ὁποῖος τελειώνει μὲ τὴν φράσιν «*Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατώκισάς με*». Εἰς τὸν Ὄρθρον ὁ 62ος, ὁ ὁποῖος ἀρχίζει μὲ τὰς λέξεις «*Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω*» κ.λ.π.. Οἱ σταθεροὶ αὐτοὶ Ψαλμοὶ εὑρίσκονται εἰς τὸ Ὡρολόγιον κατὰ τὴν σειρὰν τῆς ἀναγνώσεώς των.

2. – Παραλλήλως εἰς τὸν Ἑσπερινὸν καὶ τὸν Ὄρθρον προβλέπεται ἀνάγνωσις ὁλοκλήρου τοῦ Ψαλτηρίου κατὰ σειράν, ὥστε νὰ ὁλοκληρώνεται αὐτη ἐντὸς ἑκάστης ἑβδομάδος, κατὰ δὲ τὴν Μ. Τεσσαρακοστὴν δὶς τῆς ἑβδομάδος. Ἡ κατὰ σειρὰν ἀνάγνωσις τοῦ Ψαλτηρίου καλεῖται **στιχολογία τοῦ Ψαλτηρίου.** Διὰ τὸν σκοπὸν αὐτὸν τὸ Ψαλτήριον εἶναι διῃρημένον εἰς εἴκοσι τμήματα, τὰ ὁποῖα ὀνομάζονται **καθίσματα.** (Βλ. καὶ σ. 33). Εἰς τοὺς ἐνοριακοὺς ναοὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου παραλείπεται. Μόνον εἰς τὴν Λειτουργίαν τῶν Προηγιασμένων ἀναγινώσκεται

τὸ ιη′ (18ον) κάθισμα· ἐνίοτε δὲ ἀναγινώσκεται τὸ α′ (1ον) κάθισμα τὴν ἑσπέραν τοῦ Σαββάτου.

3. – Εἰς τὰς ἱερὰς ἀκολουθίας τέλος ψάλλονται ψαλμικοὶ στίχοι κατ' ἐκλογὴν ὡς προκείμενα, ἀντίφωνα, εἰσοδικά, ἀλληλουϊάρια καὶ κοινωνικά. Οἱ στίχοι αὐτοὶ εἶναι ὑπολείμματα Ψαλμῶν, οἱ ὁποῖοι ἄλλοτε ἐψάλλοντο ὁλόκληροι.

Τὸ **προκείμενον** εἶναι στίχος ψαλμικός, ὁ ὁποῖος συνήθως ψάλλεται τρίς, ἐνῷ πρὸ τῆς τελευταίας ἐπαναλήψεως ἀπαγγέλλεται ἄλλος ψαλμικὸς στίχος προερχόμενος κατὰ κανόνα ἐκ τοῦ αὐτοῦ Ψαλμοῦ. Προκείμενα ψάλλονται πάντοτε εἰς τὸν Ἑσπερινὸν μετὰ τὸ *«Φῶς ἱλαρόν»*, εἰς τὴν Λειτουργίαν πρὸ τοῦ Ἀποστόλου καὶ εἰς τὸν Ὄρθρον, ὅταν πρόκηται νὰ ἀναγνωσθῇ Εὐαγγέλιον.

Τὰ **ἀντίφωνα** εἶναι ὁμάδες ἐκ τριῶν ἢ τεσσάρων ψαλμικῶν στίχων, ψάλλονται δὲ εἰς τὴν ἀρχὴν τῆς Θ. Λειτουργίας. Ὑπάρχουν ἀνὰ τρία ἀντίφωνα διὰ τὰς Κυριακὰς καὶ διὰ τὰς δεσποτικὰς καὶ θεομητορικὰς ἑορτάς. Οἱ στίχοι εἶναι καταλλήλως ἐκλελεγμένοι δι' ἑκάστην ἑορτήν, μεθ' ἕκαστον δὲ στίχον ψάλλεται ὡς ἐφύμνιον εἰς μὲν τὸ α′ ἀντίφωνον τὸ *«Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς»*, εἰς δὲ τὸ β′ τὸ *«Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν (ἢ ὁ ἐν ἁγίοις θαυμαστὸς) ψάλλοντάς σοι· Ἀλληλούϊα»*, εἰς δὲ τὸ γ′ τὸ ἀπολυτίκιον τῆς Κυριακῆς ἢ τῆς ἑορτῆς.

Τὸ **εἰσοδικὸν** εἶναι ψαλμικὸς στίχος ψαλλόμενος εὐθὺς μετὰ τὴν εἴσοδον τοῦ Εὐαγγελίου κατὰ τὴν Θ. Λειτουργίαν μετὰ τοῦ ἐφυμνίου *«Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...»* καὶ τοῦ χαρακτηριστικοῦ τῆς ἑορτῆς.

Τὸ **Ἀλληλουϊάριον** εἶναι ψαλμικοὶ στίχοι ἀπαγγελλόμενοι μεταξὺ τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου, μεθ' ἕκαστον τῶν ὁποίων ψάλλεται ὡς ἐφύμνιον τριπλοῦν *Ἀλληλούϊα*. Σήμερον παραλείπονται συνήθως οἱ στίχοι καὶ ψάλλεται μόνον ἓν τριπλοῦν *Ἀλληλούϊα*.

Τὸ **κοινωνικὸν** τέλος εἶναι ψαλμικὸς στίχος μὲ ἐφύμνιον τὸ Ἀλληλούϊα, ὁ ὁποῖος ψάλλεται κατὰ τὴν ὥραν τῆς θείας κοινωνίας.

Ὀνόματα καὶ εἴδη τῶν ὕμνων.

Εἰς τὴν Ὀρθόδοξον Ἐκκλησίαν ἔχει ἀναπτυχθῆ πλουσιωτάτη ὑμνογραφία, ὅση εἰς κανένα ἄλλον κλάδον τῆς Χριστιανωσύνης.

Οἱ ὕμνοι, οἱ ὁποῖοι ψάλλονται εἰς τὰς ἱ. ἀκολουθίας, ὀνομάζονται συνήθως ἀπὸ τὸν λαὸν μὲ τὸ γενικὸν ὄνομα **τροπάρια.** Εἰς τὰ λειτουργικὰ βιβλία ὅμως οἱ ὕμνοι φέρουν διάφορα ὀνόματα, τὰ ὁποῖα φανερώνουν ἄλλοτε τὴν προέλευσίν των, ἄλλοτε τὴν χρῆσιν των, ἄλλοτε τὸν τρόπον τῆς ψαλμῳδίας των καὶ ἄλλοτε τὸ περιεχόμενόν των. Θὰ ἀναφέρωμεν ἐν συνεχείᾳ τὰ ὀνόματα αὐτὰ καὶ θὰ ἐξηγήσωμεν δι' ὀλίγων τὴν σημασίαν των, διότι ἡ γνῶσις των εἶναι ἀπαραίτητος διὰ τὴν κατανόησιν καὶ παρακολούθησιν τῶν ἱ. ἀκολουθιῶν καὶ διὰ τὴν χρῆσιν τοῦ παρόντος Ἀνθολογίου.

Εἰς τὴν ἀρχὴν περίπου τοῦ Ἑσπερινοῦ (εἰς τὸ «*Κύριε ἐκέκραξα*») καὶ πρὸς τὸ τέλος τοῦ Ὄρθρου (εἰς τοὺς αἴνους) ψάλλονται ὕμνοι, οἱ ὁποῖοι ὀνομάζονται **στιχηρά,** διότι ἐπισυνάπτονται εἰς τοὺς στίχους τῶν Ψαλμῶν. Τὰ στιχηρὰ εἶναι ἄλλοτε μὲν **ἰδιόμελα,** δηλ. ὕμνοι οἱ ὁποῖοι ἔχουν ἰδικόν των ρυθμὸν καὶ μέλος, ἄλλοτε δὲ **προσόμοια,** δηλ. ὕμνοι οἱ ὁποῖοι ἔχουν τονισθῆ ἐπὶ τῇ βάσει ἄλλου ὕμνου, ὁ ὁποῖος ὀνομάζεται **αὐτόμελον,** καὶ ἔχουν τὸν ἴδιον ρυθμὸν καὶ τὸ ἴδιον μέλος μὲ ἐκεῖνον. Εἰς τὴν ἀρχὴν ἑκάστης ὁμάδος προσομοίων σημειώνεται ἀπαραιτήτως ὁ ἦχος καὶ ἡ ἀρχὴ τοῦ αὐτομέλου, κατὰ τὸ ὁποῖον ψάλλονται τὰ ἀκολουθοῦντα προσόμοια. Π.χ. *Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.* Ἢ *Ἦχος δ'. Ἔδωκας σημείωσιν.*

Μετὰ τὰ στιχηρὰ ψάλλεται ὕμνος, τοῦ ὁποίου προτάσσεται ἡ μικρὰ δοξολογία «*Δόξα Πατρὶ καὶ Υἱῷ...*» καὶ διὰ τοῦτο λέγεται **δοξαστικόν.** Τὸ δοξαστικὸν εἶναι ἄλλοτε ἰδιόμελον, ἄλλοτε προσόμοιον. Ὅταν ὅμως λέγωμεν ὅτι ὁ δεῖνα ἅγιος ἔχει ἢ δὲν ἔχει δοξαστικόν, ἐννοοῦμεν ἰδιόμελον δοξαστικόν. Πολλάκις ὑπάρχουν δύο δοξαστικά, καὶ τότε ἡ μικρὰ δοξολογία μοιράζεται, καὶ τὸ μὲν πρῶτον μέρος αὐτῆς, τὸ «*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι*», ψάλλεται πρὸ τοῦ πρώτου δοξαστικοῦ, τὸ δὲ δεύτερον, τὸ «*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν*» πρὸ τοῦ δευτέρου δοξαστικοῦ.

Παρόμοια πρὸς τὰ στιχηρὰ εἶναι καὶ τὰ **ἀπόστιχα**, τὰ ὁποῖα ψάλλονται πρὸς τὸ τέλος τοῦ Ἑσπερινοῦ καὶ τοῦ Ὄρθρου. Εἶναι καὶ αὐτὰ ἰδιόμελα ἢ προσόμοια, τὰ ὁποῖα ἐπισυνάπτονται εἰς μεμονωμένους στίχους καταλλήλους διὰ τὴν ἡμέραν ἢ τὴν ἑορτήν. Καὶ τὰ ἀπόστιχα ἐπισφραγίζονται μὲ δοξαστικὸν ἰδιόμελον ἢ προσόμοιον.

Τὸ πλέον γνωστὸν καὶ χαρακτηριστικὸν τροπάριον ἑκάστης ἑορτῆς (ὅπως π.χ. τῶν Χριστουγέννων «*Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν*», τῶν Θεοφανείων «*Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε*», τῆς Πεντηκοστῆς «*Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν*» κ.τ.λ.) ὀνομάζεται **ἀπολυτίκιον**, διότι ψάλλεται ὀλίγον πρὸ τῆς ἀπολύσεως τοῦ Ἑσπερινοῦ. Ἐπαναλαμβάνεται ὅμως πολλάκις καὶ εἰς τὸν Ὄρθρον καὶ εἰς τὴν Θ. Λειτουργίαν.

Καθίσματα ὀνομάζονται τροπάρια, τὰ ὁποῖα ψάλλονται μετὰ τὴν ἀνάγνωσιν ἑνὸς καθίσματος τοῦ Ψαλτηρίου (βλ. σ. 33)· ὀνομάζονται δὲ οὕτω, διότι κατὰ τὴν ψαλμῳδίαν των δύνανται οἱ Χριστιανοὶ νὰ κάθηνται πρὸς ἀνάπαυσιν. Καθίσματα ψάλλονται καὶ μετὰ τὴν γ' ᾠδὴν τῶν κανόνων, ὀνομάζονται δὲ αὐτὰ **μεσῴδια καθίσματα.**

Καὶ εἰς τὰ ἀπολυτίκια καὶ τὰ καθίσματα, καθὼς καὶ εἰς τὰ ἐξαποστειλάρια καὶ τὰ κοντάκια (βλ. κατωτέρω) ὑπάρχουν ἰδιόμελα, αὐτόμελα καὶ προσόμοια.

Εὐλογητάρια λέγονται τὰ τροπάρια, τῶν ὁποίων προτάσσεται ὁ ψαλμικὸς στίχος «*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου*» (Ψαλμ. ριη' 12). Ὑπάρχουν **ἀναστάσιμα** εὐλογητάρια ψαλλόμενα κατὰ τὰς Κυριακὰς καὶ **νεκρώσιμα** ψαλλόμενα κατὰ τὰ Σάββατα. Τὰ ἀναστάσιμα εὐλογητάρια ψάλλονται ἐπίσης τὸ Σάββατον τοῦ Λαζάρου καὶ τὸ Μ. Σάββατον, παραλείπονται ὅμως τὴν Κυριακὴν τῆς Σταυροπροσκυνήσεως καὶ ὅταν ἐν Κυριακῇ συμπέσῃ θεομητορικὴ ἑορτή.

Ἡ **ὑπακοὴ** εἶναι σύντομον τροπάριον τοῦ Ὄρθρου τῶν Κυριακῶν καὶ τῶν μεγάλων ἑορτῶν, τὸ ὁποῖον σήμερον συνήθως ἀναγινώσκεται, ἄλλοτε ὅμως ἐψάλλετο. Τὸ ὄνομά του σημαίνει πιθανῶς τὸν τρόπον, κατὰ τὸν ὁποῖον ἐψάλλετο: ὁ ψάλτης προεξῆρχε τοῦ μέλους, ὁ δὲ λαὸς «ὑπήκουε», δηλ. συνῴδευε τὴν ψαλμῳδίαν ἀκολουθῶν τὸν προεξάρχοντα.

Οἱ **ἀναβαθμοὶ** εἶναι σύντομα τροπάρια ψαλλόμενα εἰς τοὺς Ὄρθρους τῶν Κυριακῶν. Τὸ ὄνομα καὶ τὸ περιεχόμενόν των ἔχουν ληφθῆ ἀπὸ τοὺς Ψαλμοὺς 119-133, οἱ ὁποῖοι ἐπιγράφονται «*Ὠδαὶ τῶν ἀναβαθμῶν*». Ἕκαστος ἦχος ἔχει τρία ἀντίφωνα ἀναβαθμῶν, ὁ δὲ πλ. δ' τέσσαρα. Ἕκαστον ἀντίφωνον ἀποτελεῖται ἀπὸ τρία τροπάρια, ἐκ τῶν ὁποίων τὰ δύο πρῶτα ἀναφέρονται εἰς ἕνα ἐκ τῶν ἀνωτέρω Ψαλμῶν, τὸ δὲ τρίτον ἀναφέρεται εἰς τὴν ἁγίαν Τριάδα ἢ μόνον εἰς τὸ ἅγιον Πνεῦμα. Εἰς τοὺς Ὄρθρους τῶν ἑορτῶν ψάλλεται πάντοτε τὸ α' ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ' ἤχου.

Τὰ **ἐξαποστειλάρια** εἶναι τροπάρια ψαλλόμενα εἰς τὸν Ὄρθρον μετὰ τὴν θ' ᾠδὴν τῶν κανόνων καὶ πρὸ τῶν αἴνων. Ὑπάρχουν ἐξαποστειλάρια διὰ τὰς Κυριακάς, τὰς ἑορτάς, τὰς ἡμέρας τῆς ἑβδομάδος καὶ διὰ πλείστους ἁγίους. Κατὰ τὴν Μ. Τεσσαρακοστὴν ὅμως ἀντ' αὐτῶν ψάλλονται τὰ **φωταγωγικά**, τὰ ὁποῖα εἶναι ἓν δι' ἕκαστον ἦχον. Καὶ αἱ δύο ὀνομασίαι ὀφείλονται εἰς τὴν φράσιν «*ἐξαπόστειλον τὸ φῶς σου*», μὲ τὴν ὁποίαν ἄρχεται τὸ φωταγωγικὸν τοῦ γ' ἤχου. Εἰς πολλὰ ἐξαποστειλάρια ἐπίσης γίνεται λόγος περὶ τοῦ θείου φωτός.

Τὸ **κοντάκιον** εἶναι ὕμνος ἀποτελούμενος ἀπὸ πολλὰς στροφάς, αἱ ὁποῖαι ὀνομάζονται **οἶκοι**. Οἱ οἶκοι ἑνὸς κοντακίου εἶναι ὅμοιοι μεταξύ των κατὰ τὸν ρυθμὸν καὶ τελειώνουν ὅλοι μὲ τὴν αὐτὴν φράσιν, ἡ ὁποία καλεῖται **ἐπῳδός**. Π.χ. τοῦ κοντακίου τῶν Χριστουγέννων ἡ ἐπῳδὸς εἶναι «*παιδίον νέον ὁ πρὸ αἰώνων Θεός*». Πρὸ τῶν οἴκων ὑπάρχει ἄλλη στροφή, τὸ **προοίμιον**, τὸ ὁποῖον ἔχει τὴν αὐτὴν ἐπῳδὸν μὲ τοὺς οἴκους, διαφέρει ὅμως ὡς πρὸς τὸν ρυθμόν. Τὸ ὄνομα κοντάκιον ὀφείλεται πιθανώτατα εἰς τὸν κοντόν, δηλ. τὸ ξύλον, εἰς τὸ ὁποῖον ἦτο τυλιγμένον τὸ εἰλητάριον, τὸ ὁποῖον περιεῖχε τὸν ὕμνον. Τὰ κοντάκια κατεῖχον σημαντικὴν θέσιν εἰς τὴν λατρείαν ἀπὸ τοῦ στ' μέχρι τοῦ η' αἰῶνος· ἔκτοτε ὅμως τὴν θέσιν αὐτὴν κατέλαβον οἱ κανόνες. Σήμερον διατηροῦνται ἐν χρήσει μόνον τὸ προοίμιον καὶ ὁ πρῶτος οἶκος ἑκάστου κοντακίου, αὐτὰ δὲ μόνον ὑπάρχουν εἰς τὰ λειτουργικὰ βιβλία· ὅταν δὲ λέγωμεν σήμερον κοντάκιον, ἐννοοῦμεν τὸ προοίμιον. Τὸ μόνον κοντάκιον, τὸ ὁποῖον ἔμεινεν ὁλόκληρον ἐν χρήσει μέχρι σήμερον, εἶναι ὁ Ἀκάθιστος ὕμνος (οἱ Χαιρετισμοί).

Ὁ **κανὼν** εἶναι ὕμνος ἀποτελούμενος ἐπίσης ἀπὸ πολλὰ τροπάρια (συνήθως 24-30), τὰ ὁποῖα ὅμως εἶναι διηρημένα εἰς ὁμάδας, αἱ ὁποῖαι καλοῦνται **ᾠδαί.** Τὰ τροπάρια ἑκάστης ᾠδῆς εἶναι ὅμοια μεταξύ των κατὰ τὸν ρυθμὸν καὶ τὸ μέλος, εἶναι δηλ. προσόμοια· καὶ τὸ μὲν πρῶτον λέγεται **εἱρμός,** τὰ δὲ ἄλλα **τροπάρια.** Εἰς τὸ τέλος ἑκάστης ᾠδῆς ἐπαναλαμβάνεται ὁ εἱρμός, ὁ ὁποῖος τότε λέγεται **καταβασία**[2]. Αἱ ᾠδαὶ τῶν κανόνων εἶναι ἐννέα, διότι τόσαι εἶναι καὶ αἱ βιβλικαὶ ᾠδαί, αἱ ὁποῖαι ἀπὸ ἀρχαιοτάτων χρόνων εἰσῆχθησαν εἰς τὴν χριστιανικὴν λατρείαν[3] καὶ ἀπὸ τὰς ὁποίας προέκυψαν οἱ κανόνες. Ὀλίγοι ὅμως κανόνες ἔχουν ἐννέα ᾠδάς, ἐνῷ οἱ περισσότεροι ἔχουν ὀκτώ, διότι τῆς β' ᾠδῆς ἡ ψαλμῳδία περιωρίσθη πολὺ ἐνωρὶς εἰς τὴν Μ. Τεσσαρακοστήν. Ὑπάρχουν ὅμως καὶ κανόνες μὲ τρεῖς ᾠδὰς (μίαν ἐκ τῶν πέντε πρώτων καὶ ἀπαραιτήτως η' καὶ θ'), οἱ ὁποῖοι λέγονται **τριῴδια,** καθὼς καὶ μὲ τέσσαρας (στ', ζ', η' καὶ θ'), οἱ ὁποῖοι καλοῦνται **τετραῴδια,** καὶ ὀλίγοι μὲ δύο ᾠδὰς (η' καὶ θ') καλούμενοι **διῴδια.** Ὡς πρὸς τὸ περιεχόμενον οἱ μὲν εἱρμοὶ ἀναφέρονται συνήθως εἰς τὰ θέματα τῶν ἀντιστοίχων βιβλικῶν ᾠδῶν, τὰ δὲ τροπάρια πάντοτε εἰς τὴν ἑορτὴν τῆς ἡμέρας. Ὅπως εἰς τὰ προσόμοια, οὕτω καὶ εἰς τοὺς κανόνας, εἰς τὴν ἀρχὴν ἑκάστης ᾠδῆς ἀναγράφεται ἡ ἀρχὴ τοῦ εἱρμοῦ, κατὰ τὸν ὁποῖον ψάλλεται ἡ ᾠδή, ὅταν αὐτὸς δὲν παρατίθεται ὁλόκληρος. Π.χ. *Ὠδὴ α'. Ἦχος α'. Ἀνοίξω τὸ στόμα μου.*

Εἰς τὰ κοντάκια καὶ τοὺς κανόνας τὰ ἀρχικὰ γράμματα τῶν τροπαρίων σχηματίζουν πολλάκις στίχον τινὰ ἢ φράσιν, ἡ ὁποία καλεῖται **ἀκροστιχίς.** Π.χ. ὁ κανὼν τῆς Ὑπαπαντῆς ἔχει ἀκροστιχίδα: *«Χριστὸν γεγηθὼς πρέσβυς ἀγκαλίζεται».* Πολλάκις ἀκροστιχὶς εἶναι τὸ ἀλφάβητον, ὅπως π.χ. εἰς τὸν Ἀκάθιστον Ὕμνον. Ἀκροστιχίδα ἔχουν καὶ μερικαὶ σειραὶ προσομοίων.

Ἀναλόγως τοῦ περιεχομένου των τὰ διάφορα τροπάρια ὀνομάζονται:

---

2. Σήμερον αἱ καταβασίαι ψάλλονται ὅλαι μαζὶ μετὰ τὴν ψαλμῳδίαν τῶν κανόνων καὶ μόνον κατὰ τὴν Μ. Ἑβδομάδα καὶ τὸ Πάσχα ψάλλονται κανονικῶς εἰς τὸ τέλος ἑκάστης ᾠδῆς.

3. Βλ. τὰς ᾠδὰς αὐτὰς εἰς τὸ Α' μέρος τοῦ παρόντος τόμου, εἰς τὴν ἀκολουθίαν τοῦ Ὄρθρου τῶν καθημερινῶν τῆς Μ. Τεσσαρακοστῆς (σ. 158).

Ἀναστάσιμα, ὅταν ἀναφέρωνται εἰς τὴν ἀνάστασιν τοῦ Κυρίου.

Τριαδικά, ὅταν ἀναφέρωνται εἰς τὴν ἁγίαν Τριάδα.

Δεσποτικά, ὅταν ἀναφέρωνται εἰς τὸν Χριστόν.

Κατανυκτικά, ὅταν περιέχουν ἐξομολόγησιν καὶ ἱκεσίαν.

Σταυρώσιμα, ὅταν ἀναφέρωνται εἰς τὸ πάθος τοῦ Κυρίου.

Θεοτοκία, ὅταν ἀναφέρωνται εἰς τὴν Θεοτόκον.

Σταυροθεοτοκία, ὅταν ἀναφέρωνται εἰς τὴν Θεοτόκον καὶ εἰς τὸ πάθος τοῦ Κυρίου συγχρόνως.

Μαρτυρικά, ὅταν ἀναφέρωνται εἰς τοὺς μάρτυρας.

Ἀποστολικά, ὅταν ἀναφέρωνται εἰς τοὺς ἀποστόλους.

Νεκρώσιμα, ὅταν ἀναφέρωνται εἰς τοὺς κεκοιμημένους.

Εἰς τοὺς Ἑσπερινοὺς τῶν Σαββάτων καὶ τοὺς Ὄρθρους τῶν Κυριακῶν ὑπάρχουν στιχηρὰ ἰδιόμελα, τὰ ὁποῖα ἐπιγράφονται **ἀνατολικά.** Διὰ τὴν σημασίαν τοῦ ὀνόματος αὐτοῦ διετυπώθησαν διάφοροι γνῶμαι. Τὸ πιθανώτερον εἶναι ὅτι ὀνομάζονται οὕτω, διότι ἀναφέρονται εἰς τὸν Χριστὸν ὡς μυστικὴν ἀνατολὴν ἢ διότι ψάλλονται κατὰ τὴν ὥραν τῆς ἀνατολῆς τοῦ ἡλίου (κυρίως τὰ τοῦ Ὄρθρου, κατ' ἐπέκτασιν δὲ καὶ τὰ τοῦ Ἑσπερινοῦ).

Ὑπάρχουν ἀκόμη καὶ μερικοὶ ἀρχαιότατοι ὕμνοι, οἱ ὁποῖοι δὲν ἀνήκουν εἰς μίαν τῶν ἀνωτέρω κατηγοριῶν. Οὗτοι εἶναι:

1. – **Ἡ ἐπιλύχνιος εὐχαριστία** (τὸ *«Φῶς ἱλαρόν»*), ἡ ὁποία ψάλλεται ἢ ἀναγινώσκεται καθημερινῶς εἰς τὸν Ἑσπερινόν.

2. – **Ἡ μικρὰ δοξολογία** *(«Δόξα Πατρὶ καὶ Υἱῷ...»)*, ἡ ὁποία συχνότατα ψάλλεται ἢ ἀπαγγέλλεται εἰς ὅλας τὰς ἀκολουθίας.

3. – Ὁ ὕμνος *«Ὁ μονογενὴς Υἱός...»*, ὁ ὁποῖος ἐπισφραγίζει πάντοτε τὸ β' ἀντίφωνον τῆς Θ. Λειτουργίας.

4. – Ἡ **δοξολογία** *(«Δόξα σοι τῷ δείξαντι τὸ φῶς...»)*, ἡ ὁποία ψάλλεται μὲν κατὰ τὰς Κυριακὰς καὶ ἑορτὰς εἰς τὸ τέλος τοῦ Ὄρθρου (μεγάλη δοξολογία), ἀναγινώσκεται δὲ κατὰ τὰς καθημερινὰς (μικρὰ δοξολογία). Ἡ διάταξις τῶν στίχων εἰς τὴν μικρὰν δοξολογίαν διαφέρει ἀπὸ τῆς μεγάλης. Ἡ μικρὰ δοξολογία ἀναγινώσκεται καὶ εἰς τὸ Ἀπόδειπνον.

5. – Ὁ **τρισάγιος ὕμνος,** *(«Ἅγιος ὁ Θεός...»)*, ὁ ὁποῖος ψάλλεται εἰς τὴν Θ. Λειτουργίαν καὶ εἰς τὸ τέλος τοῦ Ὄρθρου εὐθὺς μετὰ τὴν δοξολογίαν, ἀπαγγέλλεται δὲ συχνότατα εἰς ὅλας τὰς ἀ-

κολουθίας τοῦ νυχθημέρου ἀκολουθούμενος ἀπὸ τὴν δέησιν «*Παναγία Τριάς...*» καὶ τὴν Κυριακὴν προσευχήν.

6. – Ὁ **Χερουβικὸς ὕμνος,** ὁ ὁποῖος ψάλλεται εἰς τὴν Θ. Λειτουργίαν κατὰ τὴν εἴσοδον τῶν τιμίων δώρων. Ὁ συνήθης Χερουβικὸς ὕμνος εἶναι ὁ «*Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες...*». Ἀντ' αὐτοῦ κατὰ τὴν Μ. Πέμπτην ψάλλεται ὁ ὕμνος «*Τοῦ δείπνου σου τοῦ μυστικοῦ...*», κατὰ τὸ Μ. Σάββατον τὸ «*Σιγησάτω πᾶσα σὰρξ βροτεία...*» καὶ κατὰ τὴν Λειτουργίαν τῶν Προηγιασμένων τὸ «*Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν...*».

7. – Ὁ **ἐπινίκιος ὕμνος** («*Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαὼθ...*»), ὁ ὁποῖος παρεμβάλλεται εἰς τὴν εὐχὴν τῆς ἁγίας ἀναφορᾶς. Ἀποτελεῖται ἀπὸ τὸν ὕμνον, τὸν ὁποῖον ὁ προφήτης Ἡσαΐας ἤκουσε νὰ ψάλλουν οἱ ἄγγελοι, καὶ ἀπὸ τὰς ἐπευφημίας, μὲ τὰς ὁποίας ὑπεδέχθησαν τὸν Κύριον οἱ Ἰουδαῖοι κατὰ τὴν εἴσοδόν του εἰς τὰ Ἱεροσόλυμα καὶ αἱ ὁποῖαι εἶναι λόγοι ψαλμικοὶ (Ψαλμ. ριζ' 26).

Τὰ ἁγιογραφικὰ ἀναγνώσματα.

Ἡ ἀνάγνωσις τῆς ἁγίας Γραφῆς ἦτο ἀπὸ τῶν ἀποστολικῶν χρόνων ἀπαραίτητον στοιχεῖον τῶν λατρευτικῶν συνάξεων τῶν Χριστιανῶν. Ἡ ἐκλογὴ τῶν περικοπῶν καὶ ἡ ἔκτασις αὐτῶν ἦτο ἀρχικῶς ἐλευθέρα· σὺν τῷ χρόνῳ ὅμως διεμορφώθη σύστημα περικοπῶν, τὸ ὁποῖον ἐπαναλαμβάνεται κατ' ἔτος. Τὰ κύρια σημεῖα τοῦ συστήματος αὐτοῦ θεωροῦμεν ἀναγκαῖον νὰ ἀναφέρωμεν ἐνταῦθα.

1. – **Εἰς τὸν Ἑσπερινόν.** Κατὰ τὰς καθημερινὰς τῆς Μ. Τεσσαρακοστῆς ἀναγινώσκονται δύο περικοπαὶ ἀπὸ τὴν Παλαιὰν Διαθήκην, μία ἀπὸ τὴν Γένεσιν καὶ μία ἀπὸ τὰς Παροιμίας. Κατὰ τὴν Μ. Ἑβδομάδα αἱ περικοπαὶ εἶναι ἀπὸ τὴν Ἔξοδον καὶ τὸν Ἰώβ. Κατὰ τὸ ὑπόλοιπον διάστημα τοῦ ἔτους δὲν ὑπάρχουν ἁγιογραφικὰ ἀναγνώσματα εἰς τὸν Ἑσπερινόν, παρὰ μόνον εἰς τοὺς Ἑσπερινοὺς τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν ἐπισήμως ἑορταζομένων ἁγίων, εἰς τοὺς ὁποίους ὑπάρχουν ἀνὰ τρία ἀναγνώσματα ἀπὸ τὴν Παλαιὰν Διαθήκην, κατάλληλα δι' ἑκάστην ἑορτήν. Κατ' ἐξαίρεσιν εἰς τοὺς Ἑσπερινοὺς τριῶν μεγά-

λων ἑορτῶν ὑπάρχουν περισσότερα ἀναγνώσματα: εἰς τὸν Ἑσπερινὸν τῶν Χριστουγέννων 8, εἰς τὸν Ἑσπερινὸν τῶν Θεοφανείων 13 καὶ εἰς τὸν Ἑσπερινὸν τοῦ Πάσχα 15. Ἐξ αὐτῶν ὅμως σήμερον εἰς τοὺς ἐνοριακοὺς ναοὺς ἀναγινώσκονται μόνον τρία. Εἰς τοὺς Ἑσπερινοὺς τῶν Χριστουγέννων καὶ τῶν Θεοφανείων ὑπάρχει ἐπίσης Ἀπόστολος καὶ Εὐαγγέλιον, ἐνῷ εἰς τὸν μεθέορτον Ἑσπερινὸν τοῦ Πάσχα (τὴν Ἀγάπην) μόνον Εὐαγγέλιον, τὸ ὁποῖον, ὡς γνωστόν, ἀναγινώσκεται εἰς πολλὰς γλώσσας. Εἰς μερικοὺς Ἑσπερινοὺς ἀποστόλων ἀναγινώσκονται ἀντὶ περικοπῶν ἐκ τῆς Π. Διαθήκης περικοπαὶ ἐκ τῶν καθολικῶν ἐπιστολῶν τῆς Καινῆς Διαθήκης.

2. – **Εἰς τὸ Ἀπόδειπνον.** Ἀναγινώσκεται Εὐαγγέλιον μόνον κατὰ τὴν Α΄ Ἑβδομάδα τῆς Μ. Τεσσαρακοστῆς.

3. – **Εἰς τὸν Ὄρθρον.** Κατὰ τὰς Κυριακὰς ἀναγινώσκονται κατὰ σειρὰν τὰ ἕνδεκα ἑωθινὰ ἀναστάσιμα Εὐαγγέλια, ἐνῷ κατὰ τὰς ἑορτὰς (δεσποτικάς, θεομητορικὰς καὶ πολλῶν ἁγίων) ἀναγινώσκεται περικοπὴ σχετικὴ μὲ τὴν ὑπόθεσιν ἑκάστης ἑορτῆς. Εὐαγγέλιον ἐπίσης ἀναγινώσκεται εἰς τοὺς Ὄρθρους τῶν τεσσάρων πρώτων ἡμερῶν τῆς Μ. Ἑβδομάδος, ἐνῷ εἰς τὸν Ὄρθρον τῆς Μ. Παρασκευῆς (δηλ. τὴν ἀκολουθίαν τῶν ἁγίων παθῶν) ἀναγινώσκονται τὰ γνωστὰ δώδεκα Εὐαγγέλια. Εἰς τὸν Ὄρθρον τοῦ Μ. Σαββάτου (δηλ. τὴν ἀκολουθίαν τοῦ Ἐπιταφίου) ἀναγινώσκεται Προφητεία, Ἀπόστολος καὶ Εὐαγγέλιον.

4. – **Εἰς τὰς Ὥρας.** Κατὰ τὰς καθημερινὰς τῆς Μ. Τεσσαρακοστῆς ἀναγινώσκεται εἰς τὴν ΣΤ΄ Ὥραν περικοπὴ ἐκ τοῦ Ἡσαΐου, κατὰ δὲ τὴν Μ. Ἑβδομάδα ἐκ τοῦ Ἰεζεκιήλ. Εἰς δὲ τὰς Μεγάλας Ὥρας Χριστουγέννων, Θεοφανείων καὶ Μ. Παρασκευῆς ὑπάρχουν δι' ἑκάστην ἐξ αὐτῶν Προφητεία, Ἀπόστολος καὶ Εὐαγγέλιον.

5. – **Εἰς τὴν Θ. Λειτουργίαν** δὲν ὑπάρχουν ἀναγνώσματα ἐκ τῆς Π. Διαθήκης παρὰ μόνον ὅταν αὐτὴ τελῆται μετὰ τοῦ Ἑσπερινοῦ. Ὑπάρχει ὅμως πάντοτε Ἀπόστολος καὶ Εὐαγγέλιον. Ἡ σειρὰ τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν ἀναγνωσμάτων εἶναι διατεταγμένη οὕτως, ὥστε νὰ ἀναγινώσκεται κατ' ἔτος ὅλη σχεδὸν ἡ Καινὴ Διαθήκη. Ἀναλυτικώτερον:

α) Ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα μέχρι τῆς Κυριακῆς τῆς

Πεντηκοστῆς ἀναγινώσκονται περικοπαὶ ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων καὶ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

β) Ἀπὸ τῆς Δευτέρας τοῦ ἁγίου Πνεύματος καὶ ἑξῆς ἀναγινώσκονται ἀποστολικαὶ περικοπαὶ ἐκ τῶν ἐπιστολῶν τοῦ Παύλου, εὐαγγελικαὶ δὲ ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου μέχρι τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ.

γ) Μετὰ τὴν ἑορτὴν τῆς Ὑψώσεως συνεχίζεται ἡ ἀνάγνωσις τῶν ἐπιστολῶν τοῦ Παύλου καὶ τῶν καθολικῶν, Εὐαγγέλια δὲ ἀναγινώσκονται ἐκ τοῦ κατὰ Λουκᾶν μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου.

δ) Κατὰ τὰ Σάββατα καὶ τὰς Κυριακὰς τῆς Μ. Τεσσαρακοστῆς ἀναγινώσκονται περικοπαὶ ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς καὶ τοῦ κατὰ Μᾶρκον Εὐαγγελίου. Περικοπαὶ ἐκ τοῦ κατὰ Μᾶρκον παρεμβάλλονται ἐπίσης καὶ εἰς τὰς καθημερινὰς τῶν περιόδων τοῦ Ματθαίου καὶ τοῦ Λουκᾶ.

ε) Δι' ὡρισμένας Κυριακὰς καὶ Σάββατα ὑπάρχουν εἰδικαὶ περικοπαί. Αἱ ἡμέραι αὐταὶ εἶναι: Αἱ Κυριακαὶ τῶν ἁγίων πατέρων τῆς Δ' καὶ τῆς Ζ' οἰκουμενικῆς συνόδου (13-19 Ἰουλίου καὶ 11-17 Ὀκτωβρίου), τὰ Σάββατα καὶ αἱ Κυριακαὶ πρὸ τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ, μετὰ τὴν Ὕψωσιν, πρὸ τῶν Χριστουγέννων καὶ μετὰ τὰ Χριστούγεννα, πρὸ τῶν Φώτων καὶ μετὰ τὰ Φῶτα.

στ) Εἰδικαὶ ἀποστολικαὶ καὶ εὐαγγελικαὶ περικοπαὶ ὑπάρχουν δι' ὅλας τὰς δεσποτικὰς καὶ θεομητορικὰς ἑορτὰς καὶ διὰ τὰς μνήμας πολλῶν ἁγίων.

Τὰ λειτουργικὰ βιβλία.

Διὰ τὴν τέλεσιν τῶν ἱ. ἀκολουθιῶν χρησιμοποιοῦνται εἰδικὰ βιβλία, τὰ ὁποῖα περιέχουν τοὺς ψαλμούς, τοὺς ὕμνους, τὰς εὐχὰς καὶ τὰ ἄλλα στοιχεῖα τῶν ἀκολουθιῶν. Τὰ βιβλία αὐτὰ ὀνομάζονται **λειτουργικὰ βιβλία** καὶ εἶναι τὰ ἑξῆς.

1. – Τὸ **Ὡρολόγιον**. Τοῦτο ἔλαβε τὸ ὄνομα ἀπὸ τὰς ἀκολουθίας τῶν Ὡρῶν, τὰς ὁποίας περιεῖχεν ἀρχικῶς. Βραδύτερον προσετέθησαν εἰς αὐτὸ καὶ ἄλλαι ἀκολουθίαι, ὕμνοι, εὐχαὶ κ.λ.π., καὶ τότε λόγῳ τῆς ἐκτάσεώς του ἔλαβε τὸ ὄνομα **Ὡρολόγιον τὸ μέγα**. Τὸ Ὡρολόγιον διαιρεῖται εἰς τρία μέρη καὶ παράρτημα. Εἰς τὸ πρῶτον μέρος, τὸ ὁποῖον εἶναι καὶ τὸ καθημερινῶς χρησιμο-

ποιούμενον, περιέχονται αἱ ἀκολουθίαι τοῦ νυχθημέρου, ἤτοι τὰ Μεσονυκτικά, ὁ Ὄρθρος, αἱ Ὧραι, ὁ Ἑσπερινὸς καὶ τὰ Ἀπόδειπνα. Ἀκριβέστερον περιλαμβάνονται ἐκ τῶν ἀκολουθιῶν αὐτῶν τὰ σταθερὰ μέρη αὐτῶν τὰ ἀνήκοντα εἰς τὸν ἀναγνώστην καὶ τὸν ψάλτην, τὰ ὁποῖα ἀποτελοῦν τρόπον τινὰ τὸν κορμὸν τῶν ἀκολουθιῶν καὶ εἰς τὰ ὁποῖα παρεμβάλλονται τὰ ἰδιαίτερα στοιχεῖα ἑκάστης ἡμέρας. Τὸ δεύτερον μέρος ἀποτελεῖ μηνολόγιον, τὸ ὁποῖον περιλαμβάνει δι' ἑκάστην ἡμέραν τοῦ ἔτους σύντομον ὑπόμνημα, τὸ ἀπολυτίκιον καὶ τὸ κοντάκιον αὐτῆς. Τὰ αὐτὰ περιλαμβάνει καὶ διὰ τὴν περίοδον τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου. Περιλαμβάνει ἐπίσης τὰ ἀναστάσιμα ἀπολυτίκια, τὰ θεοτοκία καὶ τὰς ὑπακοὰς τῶν ὀκτὼ ἤχων, καθὼς καὶ τὰ ἀπολυτίκια καὶ θεοτοκία τῶν λοιπῶν ἡμερῶν τῆς ἑβδομάδος. Τὸ τρίτον μέρος περιέχει ἀκολουθίας ἐκτάκτους, αἱ ὁποῖαι ὅμως χρησιμοποιοῦνται συχνότατα, ἤτοι τὴν ἀκολουθίαν τοῦ Ἀκαθίστου Ὕμνου, τὴν ἀκολουθίαν τῆς Θείας Μεταλήψεως, τοὺς Παρακλητικοὺς κανόνας καὶ τοὺς Χαιρετισμοὺς τοῦ τιμίου Σταυροῦ. Τὸ παράρτημα τέλος περιέχει συλλογὴν ἱερῶν κανόνων, ἀλφαβητικὸν εὑρετήριον τῶν ἁγίων, σειρὰν πασχαλίων καὶ ἄλλα.

2. – Τὸ **Ψαλτήριον.** Πρόκειται περὶ τοῦ βιβλίου τῶν Ψαλμῶν τῆς Π. Διαθήκης, διὰ τὴν λειτουργικὴν χρῆσιν τοῦ ὁποίου ὡμιλήσαμεν ἤδη (σ.23κ.ἑ.). Τὸ Ψαλτήριον περιλαμβάνει 150 Ψαλμούς, εἶναι δὲ διῃρημένον διὰ τὴν κατὰ σειρὰν ἀνάγνωσίν του εἰς 20 τμήματα, τὰ ὁποῖα καλοῦνται **καθίσματα,** ἕκαστον δὲ κάθισμα εἰς τρία μικρότερα τμήματα, τὰ ὁποῖα καλοῦνται **στάσεις.** Ἑκάστη στάσις περιλαμβάνει ἕνα ἕως πέντε Ψαλμοὺς ἀναλόγως τοῦ μεγέθους των. Ὁ 118ος Ψαλμὸς ὅμως (ὁ λεγόμενος **Ἄμωμος**) λόγῳ τῆς μεγάλης ἐκτάσεώς του ἀποτελεῖ μόνος τὸ ιζ' (17ον) κάθισμα, ὑποδιαιρούμενος εἰς τρεῖς στάσεις.

3. – Ἡ **Θεία Λειτουργία** ἢ τὸ **Ἱερατικόν.** Τοῦτο περιέχει τὰς ἀκολουθίας τοῦ Ἑσπερινοῦ καὶ τοῦ Ὄρθρου (τὸ μέρος τοῦ ἱερέως καὶ τοῦ διακόνου), τὰς Θ. Λειτουργίας Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ Μεγάλου καὶ τῶν Προηγιασμένων καὶ ἄλλας τινὰς ἀκολουθίας χρησίμους εἰς τοὺς ἱερεῖς.

4. – Τὸ **Εὐχολόγιον τὸ Μέγα.** Περιέχει τὰς Θείας Λειτουργίας, τὰς ἀκολουθίας τῶν λοιπῶν μυστηρίων καὶ ὅλας ἐν γένει τὰς

ἐκτάκτους ἀκολουθίας (ἐγκαινίων ναοῦ, νεκρωσίμους ἀκολουθίας, ἁγιασμοῦ μεγάλου καὶ μικροῦ κ.λ.π.) καὶ εὐχὰς διὰ διαφόρους περιστάσεις. Ἐπειδὴ τὸ Μέγα Εὐχολόγιον εἶναι δύσχρηστον, ὑπάρχει καὶ τὸ **Μικρὸν Εὐχολόγιον**, εἰς τὸ ὁποῖον περιέχονται αἱ συνηθέστεραι ἀκολουθίαι, ὀνομάζεται δὲ καὶ **Ἁγιασματάριον**, διότι ἀρχίζει μὲ τὴν ἀκολουθίαν τοῦ Μικροῦ Ἁγιασμοῦ.

5. – Τὸ **Εὐαγγέλιον**. Περιέχει ὅλας τὰς εὐαγγελικὰς περικοπὰς ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα μέχρι τοῦ Μ. Σαββάτου, καθὼς καὶ τὰς περικοπὰς τῶν ἑορτῶν τοῦ Μηνολογίου καὶ τῶν ἐκτάκτων ἀκολουθιῶν.

6. – Ὁ **Ἀπόστολος**. Περιέχει κατὰ τὴν αὐτὴν τάξιν τὰς ἀποστολικὰς περικοπὰς τοῦ ἔτους.

7. – Τὰ **Μηναῖα**. Εἶναι δώδεκα, ἓν δι' ἕκαστον μῆνα, καὶ περιέχουν τοὺς ὕμνους τῶν ἀκινήτων ἑορτῶν ὅλων τῶν ἡμερῶν τοῦ ἔτους.

8. – Ἡ **Παρακλητικὴ** ἢ **Ὀκτώηχος** (ὀρθότερον Ὀκτάηχος). Οὕτω καλεῖται τὸ βιβλίον, τὸ ὁποῖον περιέχει ὕμνους διὰ τοὺς Ἑσπερινοὺς καὶ τοὺς Ὄρθρους ἑκάστης ἡμέρας τῆς ἑβδομάδος κατὰ τοὺς ὀκτὼ ἤχους τῆς ἐκκλησιαστικῆς μουσικῆς. Ἕκαστος ἦχος καλύπτει μίαν ἑβδομάδα (ἀπὸ τοῦ Ἑσπερινοῦ τοῦ Σαββάτου μέχρι τοῦ Ὄρθρου τοῦ ἑπομένου Σαββάτου). Ὁλόκληρος λοιπὸν ἡ Παρακλητικὴ καλύπτει περίοδον ὀκτὼ ἑβδομάδων, μετὰ τὴν λῆξιν τῆς ὁποίας ἡ χρῆσις αὐτῆς ἐπαναλαμβάνεται ἐξ ἀρχῆς. Ἄρχεται δὲ ἡ χρῆσις τῆς Παρακλητικῆς ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων πάντων διὰ τοῦ πλ. δ' ἤχου. Ὕμνοι ἐκ τῆς Παρακλητικῆς ψάλλονται καὶ κατὰ τὴν περίοδον τοῦ Πεντηκοσταρίου, εἶναι ὅμως ἐντεταγμένοι εἰς τὸ βιβλίον τοῦ Πεντηκοσταρίου. Ἐκτὸς τῆς Παρακλητικῆς, ἡ ὁποία καλεῖται **Ὀκτώηχος ἡ Μεγάλη**, ὑπάρχει καὶ ἡ ἁπλῆ ἢ μικρὰ **Ὀκτώηχος**, ἡ ὁποία περιέχει μόνον τὰς ἀκολουθίας τῶν Κυριακῶν.

9. – Τὸ **Τριῴδιον**. Περιέχει τοὺς ὕμνους τῶν κινητῶν ἑορτῶν τῆς πρὸ τοῦ Πάσχα περιόδου (ἀπὸ τῆς Κυριακῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου μέχρι τοῦ Μ. Σαββάτου), ἡ ὁποία ἀπὸ τὸ βιβλίον αὐτὸ καλεῖται καὶ αὐτὴ Τριῴδιον. Τὸ ὄνομα τοῦ βιβλίου ὀφείλεται εἰς τὸ ὅτι οἱ περισσότεροι κανόνες τῆς περιόδου αὐτῆς εἶναι τριῴδια (βλ. σ. 28).

10. – Τὸ **Πεντηκοστάριον.** Περιέχει τοὺς ὕμνους τῶν κινητῶν ἑορτῶν ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα μέχρι τῆς Κυριακῆς τῶν ἁγίων πάντων. Ἔλαβε δὲ τὸ ὄνομα ἀπὸ τὸ διάστημα τῶν πεντήκοντα ἡμερῶν ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς, τὸ ὁποῖον ἐκάλυπτεν ἀρχικῶς. Βραδύτερον προσετέθησαν εἰς αὐτὸ οἱ ὕμνοι τῆς μετὰ τὴν Πεντηκοστὴν ἑβδομάδος, ἡ ὁποία εἶναι τὰ μεθέορτα αὐτῆς, καὶ τῆς Κυριακῆς τῶν ἁγίων πάντων. Οὕτω τὸ βιβλίον καλύπτει περίοδον 57 ἡμερῶν.

11. Τὸ **Θεοτοκάριον.** Τοῦτο περιέχει κανόνας καὶ προσόμοια εἰς τὴν Θεοτόκον διὰ τὴν ἀκολουθίαν τοῦ Ἀποδείπνου κατὰ τοὺς ὀκτὼ ἤχους καὶ δι' ἑκάστην ἡμέραν τῆς ἑβδομάδος. Χρησιμοποιεῖται τακτικῶς εἰς τὰς μονάς, εἰς δὲ τοὺς ἐνοριακοὺς ναοὺς μόνον κατὰ τὴν Μ. Τεσσαρακοστήν.

12. Τὸ **Τυπικόν.** Ἡ τέλεσις τῶν ἱ. ἀκολουθιῶν διὰ τῆς χρήσεως τόσων βιβλίων δὲν εἶναι ἔργον εὔκολον, καὶ μάλιστα ὅταν ἐν Κυριακῇ συμπίπτῃ θεομητορικὴ ἑορτὴ ἢ μνήμη ἁγίου ἢ ὅταν μία ἀκίνητος ἑορτὴ συμπίπτῃ μετὰ κινητῆς. Διὰ τοῦτο εἶναι ἀπαραίτητος ἡ ὕπαρξις βιβλίου, τὸ ὁποῖον θὰ καθορίζῃ τὴν τάξιν τῶν ἀκολουθιῶν κατὰ περίπτωσιν. Τοιοῦτο βιβλίον εἶναι τὸ Τυπικόν, τὸ ὁποῖον ἀποτελεῖ τὸν ὁδηγὸν διὰ τὴν τέλεσιν τῶν ἱ. ἀκολουθιῶν κατὰ τὰς διαφόρους περιπτώσεις.

Ἡ χρῆσις τῶν λειτουργικῶν βιβλίων.

Μετὰ τὰ ὅσα ἐγράψαμεν περὶ ἑορτῶν, ἀκολουθιῶν καὶ λειτουργικῶν βιβλίων, εἶναι χρήσιμον νὰ σημειώσωμεν ὀλίγα περὶ τῶν βιβλίων, τὰ ὁποῖα χρησιμοποιοῦνται εἰς ἑκάστην περίπτωσιν ἀναλόγως τῆς ἡμέρας.

Ἀπαραιτήτως βεβαίως χρησιμοποιεῖται τὸ Ὡρολόγιον, τὸ ὁποῖον, ὅπως εἴπομεν, περιέχει τὰ σταθερὰ μέρη τῶν ἀκολουθιῶν. Ὑπὸ τοῦ ἱερέως ἐπίσης χρησιμοποιεῖται ἀπαραιτήτως τὸ Ἱερατικόν, τὸ ὁποῖον περιέχει τὰ ἀνήκοντα εἰς αὐτόν. Ἐφ' ὅσον δὲ τελεῖται Θ. Λειτουργία, χρησιμοποιοῦνται ὁπωσδήποτε ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Ἐκεῖ ὅπου ὑπάρχουν πολλαὶ παραλλαγαί, εἶναι ἡ χρῆσις τῶν ὑμνολογικῶν βιβλίων (Παρακλητικῆς, Μηναίων, Τριῳδίου καὶ Πεντηκοσταρίου).

Κατὰ τὰς Κυριακὰς ψάλλεται ὁπωσδήποτε ἐκ τῆς Παρακλη-

τικῆς ἡ ἀναστάσιμος ἀκολουθία τοῦ τυχόντος ἤχου, ἡ ὁποία καὶ προηγεῖται. Μετ' αὐτὴν ψάλλεται ἡ ἀκολουθία τοῦ Μηναίου ἢ τῆς ἀντιστοίχου Κυριακῆς τοῦ Τριῳδίου. Τὰ ἀναστάσιμα παραλείπονται μόνον ὅταν τύχῃ ἐν Κυριακῇ μία τῶν ἑξῆς δεσποτικῶν ἑορτῶν: τὰ Χριστούγεννα, τὰ Θεοφάνεια, ἡ Μεταμόρφωσις τοῦ Κυρίου καὶ ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ· παραλείπονται ἐπίσης κατὰ τὰς Κυριακὰς τῶν Βαΐων, τοῦ Θωμᾶ καὶ τῆς Πεντηκοστῆς. Κατὰ τὰς Κυριακὰς τοῦ Πεντηκοσταρίου χρησιμοποιεῖται μόνον τὸ Πεντηκοστάριον, διότι εἰς αὐτὸ περιέχονται καὶ οἱ ἐκ τῆς Παρακλητικῆς ψαλλόμενοι ὕμνοι.

Κατὰ τὰς Κυριακάς, αἱ ὁποῖαι συμπίπτουν μετὰ προεορτίου ἢ μεθεόρτου ἡμέρας δεσποτικῆς ἢ θεομητορικῆς ἑορτῆς, ψάλλεται ἡ ἀναστάσιμος ἀκολουθία τοῦ τυχόντος ἤχου ἐκ τῆς Παρακλητικῆς, ἐκ δὲ τοῦ Μηναίου μόνον ἡ προεόρτιος ἢ ἡ μεθέορτος, ὄχι δὲ καὶ ἡ τοῦ ἁγίου τῆς ἡμέρας, ἐκτὸς ἂν εἶναι ἐκ τῶν ἐπισήμως ἑορταζομένων.

Κατὰ τὰς Κυριακὰς τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου δὲν χρησιμοποιοῦνται τὰ Μηναῖα, ἐκτὸς ἐὰν τύχῃ μνήμη ἐπισήμου ἁγίου (π.χ. τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, τοῦ ἁγίου Γεωργίου, τοῦ ἁγίου Κωνσταντίνου κ.λ.π.).

Κατὰ τὰς δεσποτικὰς καὶ θεομητορικὰς ἑορτὰς καὶ ἐκείνας τῶν ἁγίων, αἱ ὁποῖαι ἔχουν πλήρη ἀκολουθίαν (ἔχουν δηλ. ὅλους τοὺς ἀναγκαίους ὕμνους διὰ τὴν τέλεσιν Ἑσπερινοῦ καὶ Ὄρθρου), ὅταν τύχουν ἐν καθημερινῇ, ψάλλεται μόνον αὐτῶν ἡ ἀκολουθία ἐκ τοῦ Μηναίου. Ὅταν ὅμως τύχουν ἐν Κυριακῇ, προηγεῖται ἡ ἀναστάσιμος ἀκολουθία, ἐκτὸς τῶν μεγάλων δεσποτικῶν ἑορτῶν, αἱ ὁποῖαι ἐσημειώθησαν ἀνωτέρω. Κατὰ τὰς ἀποδόσεις ἐπίσης τῶν δεσποτικῶν καὶ τῶν θεομητορικῶν ἑορτῶν, ὅταν τύχουν ἐν Κυριακῇ, ψάλλεται ἡ ἀναστάσιμος ἀκολουθία καὶ ἡ τῆς ἑορτῆς, ἐνῷ ἐν καθημερινῇ μόνον ἡ τῆς ἑορτῆς.

Κατὰ τὰς καθημερινάς, ἐφ' ὅσον δὲν τυγχάνει δεσποτικὴ ἢ θεομητορικὴ ἑορτὴ ἢ μνήμη ἐπισήμου ἁγίου, ψάλλεται ἐκ τῆς Παρακλητικῆς ἡ ἀκολουθία τῆς ἡμέρας τῆς ἑβδομάδος τοῦ τυχόντος ἤχου καὶ ἐκ τοῦ Μηναίου ἡ ἀκολουθία τοῦ ἁγίου τῆς ἡμέρας. Κατὰ τὰς προεορτίους ὅμως καὶ μεθέορτους ἡμέρας ἀντὶ τῆς ἀκολουθίας τῆς Παρακλητικῆς ψάλλεται ἡ προεόρτιος ἢ ἡ μεθέορ-

τος, ἡ ὁποία περιέχεται εἰς τό Μηναῖον. Κατὰ τὰς ἡμέρας αὐτὰς λοιπὸν χρησιμοποιεῖται μόνον τὸ Μηναῖον.

Σχολάζει ἐπίσης ἡ Παρακλητικὴ καθ' ὅλας τὰς καθημερινὰς τῆς περιόδου τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου. Κατ' αὐτὰς χρησιμοποιεῖται τὸ Τριῴδιον καὶ τὸ Μηναῖον ἢ τὸ Πεντηκοστάριον καὶ τὸ Μηναῖον.

Ὀνομασία καὶ περιεχόμενον τοῦ Ἀνθολογίου.

Καιρὸς τώρα νὰ ὁμιλήσωμεν περὶ τοῦ ὀνόματος καὶ τοῦ περιεχομένου τοῦ παρόντος βιβλίου καὶ νὰ δώσωμεν τὰς ἀναγκαίας διὰ τὴν χρῆσιν του ὁδηγίας.

Τὸ ὄνομα **Ἀνθολόγιον** δὲν εἶναι νέον. Ὑπὸ τὸ ὄνομα αὐτὸ ἐξεδίδετο μέχρι καὶ τοῦ παρελθόντος αἰῶνος λειτουργικὸν βιβλίον, τὸ ὁποῖον περιεῖχε τὰ πλέον ἀναγκαῖα ἐξ ὅλων τῶν λειτουργικῶν βιβλίων στοιχεῖα διὰ τὴν τέλεσιν τῶν ἱ. ἀκολουθιῶν (τὰς ἀναστασίμους ἀκολουθίας ἐκ τῆς Παρακλητικῆς, τὰς ἀκολουθίας τῶν κυριωτέρων ἑορτῶν ἐκ τῶν Μηναίων, τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου, ἀνωνύμους ἀκολουθίας εἰς ἀποστόλους, μάρτυρας, ὁσίους κ.λ.π. καὶ ἄλλα τινά). Τὸ βιβλίον τοῦτο ἀπέβλεπεν εἰς τὴν ἐξυπηρέτησιν πτωχῶν ναῶν καὶ κελλίων, τὰ ὁποῖα δὲν ἠδύναντο νὰ ἔχουν εἰς τὴν διάθεσίν των ὅλην τὴν σειρὰν τῶν λειτουργικῶν βιβλίων. Σήμερον τὸ Ἀνθολόγιον δὲν ἐκδίδεται πλέον, διότι μὲ τὴν μεγάλην διάδοσιν καὶ τὴν εὐκολον ἀπόκτησιν τῶν λειτουργικῶν βιβλίων κατέστη περιττόν.

Ἐὰν ὅμως τὸ Ἀνθολόγιον δὲν εἶναι πλέον χρήσιμον διὰ τοὺς ναοὺς καὶ τοὺς τελετουργούς, εἶναι χρησιμώτατον διὰ τὴν ὑπὸ τῶν Χριστιανῶν παρακολούθησιν τῶν ἱερῶν ἀκολουθιῶν καὶ διὰ τὴν κατ' οἶκον προσευχήν. Διότι οὔτε ὅλα τὰ λειτουργικὰ βιβλία δύναται νὰ ἔχῃ ὁ Χριστιανός, οὔτε νὰ τὰ φέρῃ μαζί του εἰς τὸν ναόν, ἀλλὰ καὶ διότι πολλὰ στοιχεῖα τῶν ἱ. ἀκολουθιῶν παραλείπονται εἰς τοὺς ἐνοριακοὺς ναοὺς καὶ ἄλλα λέγονται εἰς θέσιν διάφορον ἀπὸ ἐκείνην, εἰς τὴν ὁποίαν εὑρίσκονται εἰς τὰ λειτουργικὰ βιβλία. Χρειάζεται λοιπὸν ὁ ἐκκλησιαζόμενος βιβλίον εὔχρηστον, τὸ ὁποῖον νὰ περιέχῃ ὅσα λέγονται σήμερον καὶ καθ' ἣν σειρὰν λέγονται, ὅσον βεβαίως τοῦτο εἶναι δυνατόν. Εἶδος ἀνθολογίων εἶναι βεβαίως οἱ Συνέκδημοι καὶ αἱ ἱεραὶ Συνόψεις, αἱ ὁποῖαι εὐρύ-

τατα χρησιμοποιοῦνται ὑπὸ τοῦ λαοῦ, δὲν καλύπτουν ὅμως πλήρως τὰς ἀνωτέρω ἀνάγκας.

Ἀνθολόγιον πλουσιώτατον ὑπὸ τὸν τίτλον «Ἀνθολόγιον τοῦ ὅλου ἐνιαυτοῦ» εἰς 4 τεύχη ἐκ 5500 σελίδων περίπου συνολικῶς ἔχει ἐκδώσει ἡ Ρωμαιοκαθολικὴ Ἐκκλησία διὰ τοὺς ἑλληνορρύθμους καθολικοὺς (δηλ. τοὺς οὐνίτας). Ἀλλὰ τὸ Ἀνθολόγιον τοῦτο δὲν ἀνταποκρίνεται πλήρως πρὸς τὴν τάξιν, κατὰ τὴν ὁποίαν τελοῦνται σήμερον εἰς τοὺς ὀρθοδόξους ἐνοριακοὺς ναοὺς αἱ ἱ. ἀκολουθίαι. Περιέχει δηλ. ἐν πολλοῖς στοιχεῖα τῶν ἀκολουθιῶν, τὰ ὁποῖα παραλείπονται, καὶ παραλείπει ἄλλα, τὰ ὁποῖα λέγονται. Ἐπὶ πλέον τὰ κείμενά του δὲν συμφωνοῦν ἀπολύτως πρὸς τὰ χρησιμοποιούμενα ὑπὸ τῆς ἑλληνικῆς ὀρθοδόξου Ἐκκλησίας.

Δι' ὅλους τοὺς ἀνωτέρω λόγους ἐπεχειρήσαμεν τὸν καταρτισμὸν Ἀνθολογίου, τὸ ὁποῖον νὰ ἀνταποκρίνεται εἰς τὰς σημερινὰς ἀνάγκας τοῦ ὀρθοδόξου Χριστιανοῦ ἔχων δηλ. ὁ Χριστιανὸς τὸ βιβλίον τοῦτο νὰ δύναται νὰ παρακολουθῇ πλήρως τὰς ἱ. ἀκολουθίας τῶν Κυριακῶν, τῶν ἑορτῶν καὶ τῶν ἄλλων ἡμερῶν, κατὰ τὰς ὁποίας συνήθως ἐκκλησιάζεται, ὅπως τελοῦνται σήμερον εἰς τοὺς ἐνοριακοὺς ναούς, νὰ δύναται δὲ νὰ τελῇ αὐτὰς καὶ κατ' οἶκον, ὅταν ἐμποδίζεται νὰ συμμετάσχῃ εἰς τὴν κοινὴν λατρείαν. Περιελήφθησαν λοιπὸν εἰς αὐτὸ ἐκεῖνα τὰ στοιχεῖα, τὰ ὁποῖα ἐξυπηρετοῦν τὸν σκοπὸν αὐτόν, ὅσα δηλ. λέγονται εἰς τοὺς ἐνοριακοὺς ναούς, καὶ ἀπεκλείσθησαν ὅσα συνήθως παραλείπονται. Τὸ βιβλίον ἐχωρίσθη εἰς δύο τόμους, ἕκαστος τῶν ὁποίων εἶναι αὐτοτελής, ὥστε ὁ Χριστιανὸς νὰ ἔχῃ μαζί του ἑκάστοτε ἕνα μόνον τόμον. Διὰ τὸν λόγον αὐτὸν πολλὰ στοιχεῖα ὑπάρχουν καὶ εἰς τοὺς δύο τόμους. Αἱ ἀκολουθίαι τῶν καθημερινῶν δὲν ἦτο δυνατὸν νὰ περιληφθοῦν, διότι θὰ ἔκαμνον τὸ βιβλίον ὀγκώδες καὶ δύσχρηστον. Περιελήφθη ὅμως ἐπιλογὴ ὕμνων ἐκ τῆς Παρακλητικῆς καλύπτουσα τὰς ἀκολουθίας τῶν καθημερινῶν μιᾶς ἑβδομάδος. Ἡ ἐπιλογὴ αὐτὴ χρησιμεύει μόνον διὰ τὴν ἰδιωτικὴν τέλεσιν τῶν καθημερινῶν ἀκολουθιῶν καὶ ὄχι διὰ τὴν παρακολούθησίν των ἐν τῷ ναῷ.

Ἀναλυτικώτερον τὸ περιεχόμενον τοῦ παρόντος Ἀνθολογίου εἶναι τὸ ἑξῆς:

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

Μέρος Α΄. Ἐκ τοῦ Ὡρολογίου καὶ τοῦ Ἱερατικοῦ αἱ ἀκολουθίαι Μεσονυκτικοῦ, Ὄρθρου, Ὡρῶν, Ἑσπερινοῦ καὶ Ἀποδείπνου.

Μέρος Β΄. Αἱ Θεῖαι Λειτουργίαι Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ Μεγάλου καὶ τῶν Προηγιασμένων.

Μέρος Γ΄. Ἐκ τῆς Παρακλητικῆς αἱ ἀκολουθίαι τῶν Κυριακῶν τῶν ὀκτὼ ἤχων. Ἐπίσης τὰ κατανυκτικά, τὰ ὁποῖα ψάλλονται εἰς τοὺς Ἑσπερινοὺς τῶν Κυριακῶν τῆς Μ. Τεσσαρακοστῆς, καὶ τὰ μαρτυρικὰ καὶ νεκρώσιμα τῶν Παρασκευῶν καὶ Σαββάτων.

Μέρος Δ΄. Ἐκ τῶν Μηναίων αἱ ἀκολουθίαι τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν ἑορταζομένων ἁγίων τῶν μηνῶν Ἰανουαρίου - Μαρτίου.

Μέρος Ε΄. Ἐκ τοῦ Τριῳδίου αἱ ἀκολουθίαι τῶν Κυριακῶν, τῶν Σαββάτων, τῶν ἡμερῶν κατὰ τὰς ὁποίας τελεῖται Προηγιασμένη, ὁ Μέγας Κανὼν καὶ ὅλαι αἱ ἀκολουθίαι τῆς Μ. Ἑβδομάδος.

Παράρτημα. Ἡ ἀκολουθία τοῦ Ἀκαθίστου ὕμνου. Ἀπόστολοι καὶ Εὐαγγέλια τῶν Κυριακῶν μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου. Συνοπτικὰ πασχάλια καὶ πίνακες ἡμερομηνιῶν τοῦ Πάσχα.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

Μέρος Α΄. Ἐκ τοῦ Ὡρολογίου καὶ τοῦ Ἱερατικοῦ αἱ ἀκολουθίαι Ὄρθρου καὶ Ἑσπερινοῦ.

Μέρος Β΄. Αἱ Θεῖαι Λειτουργίαι Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ Μεγάλου.

Μέρος Γ΄. Ἐκ τῆς Παρακλητικῆς αἱ ἀκολουθίαι τῶν Κυριακῶν τῶν ὀκτὼ ἤχων. Ἐπιλογὴ ἐκ τῶν ἀκολουθιῶν τῶν καθημερινῶν διὰ τὴν κατ' ἰδίαν τέλεσιν αὐτῶν.

Μέρος Δ΄. Ἐκ τῶν Μηναίων αἱ ἀκολουθίαι τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν ἑορταζομένων ἁγίων τῶν μηνῶν Ἀπριλίου - Δεκεμβρίου.

Μέρος Ε΄. Ἐκ τοῦ Πεντηκοσταρίου αἱ ἀκολουθίαι τῶν Κυριακῶν καὶ τῶν ἑορτῶν.

Παράρτημα. Αἱ ἀκολουθίαι τῶν Παρακλήσεων καὶ τῆς Θείας Μεταλήψεως. Ἀπόστολοι καὶ Εὐαγγέλια τῶν Κυριακῶν ἀπὸ τῆς λήξεως τοῦ Πεντηκοσταρίου μέχρι τέλους τοῦ ἔτους. Κυριακοδρόμια πλήρη.

Οὕτω κατηρτισμένον τὸ παρὸν Ἀνθολόγιον πιστεύομεν, ὅτι ἐξυπηρετεῖ τὸν σκοπόν, εἰς τὸν ὁποῖον ἀποβλέπει, ἐνῷ εἶναι δυνατὸν νὰ ἀναπληρώσῃ εἰς ἐκτάκτους περιπτώσεις καὶ τὴν ἔλλειψιν τῶν κανονικῶν λειτουργικῶν βιβλίων.

Τὸ κείμενον τῶν ὕμνων καὶ τῶν ἀναγνωσμάτων.

Τὰ κείμενα τοῦ παρόντος Ἀνθολογίου ἐλήφθησαν ἐκ τῶν ἐν χρήσει λειτουργικῶν βιβλίων τῆς Ὀρθοδόξου Ἐκκλησίας καὶ μάλιστα ἐκ τῶν ἐκδόσεων τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος. Ἔγιναν ὅμως διορθώσεις, ὅπου τοῦτο ἦτο ἀπαραίτητον.

Διὰ τὴν διόρθωσιν τῶν ἁγιογραφικῶν κειμένων ἐλήφθησαν ὑπ' ὄψιν τὸ κείμενον τῆς Καινῆς Διαθήκης κατὰ τὴν ἔκδοσιν τοῦ Οἰκουμενικοῦ Πατριαρχείου καὶ τὸ κείμενον τῆς Παλαιᾶς Διαθήκης κατὰ τὴν ἔκδοσιν «Ζωῆς» (Ἀθῆναι 1951, ἐπιμελείᾳ τοῦ ἀοιδίμου καθηγητοῦ Π. Μπρατσιώτου). Ἀπεφεύχθησαν ὅμως ριζικαὶ διορθώσεις, αἱ ὁποῖαι θὰ ἀπεμάκρυνον ἀπὸ τὴν ἐπικρατοῦσαν καὶ λίαν γνωστὴν μορφὴν τῶν κειμένων. Πολλαὶ ἁγιογραφικαὶ περικοπαί, καὶ μάλιστα αἱ ἐκτενεῖς, ἐχωρίσθησαν εἰς παραγράφους, διὰ νὰ διευκολύνεται ἡ παρακολούθησίς των.

Οἱ ἐκκλησιαστικοί μας ὕμνοι δὲν εἶναι γραμμένοι εἰς πεζὸν λόγον, ὅπως φαίνεται ἐκ πρώτης ὄψεως, ἀλλ' εἰς ἔμμετρον· εἶναι ποιήματα. Εἰς τὰ λειτουργικὰ βιβλία οἱ ὕμνοι γράφονται μὲν ἐν συνεχείᾳ, ὡς νὰ ἦσαν πεζὰ κείμενα, χωρίζονται ὅμως οἱ στίχοι των μὲ κόμματα. Ὥστε εἰς τοὺς ὕμνους τὰ κόμματα δὲν χωρίζουν προτάσεις ἀλλὰ στίχους. Τοῦτο ὅμως διευκολύνει μὲν τὴν ψαλμῳδίαν, δυσχεραίνει ὅμως πολλάκις τὴν κατανόησιν τοῦ κειμένου. Διὰ τοῦτο σήμερον εἰς πολλὰς ἐπιστημονικὰς ἐκδόσεις ἐφαρμόζεται σύστημα διπλῆς στίξεως, μετρικῆς καὶ νοηματικῆς· χωρίζονται δηλ. οἱ στίχοι δι' ἀστερίσκων, ἐνῷ τὰ κόμματα καὶ τὰ ἄλλα σημεῖα στίξεως τοποθετοῦνται εἰς τὰς κανονικάς των θέ-

σεις, ὥστε νὰ χωρίζουν τοὺς ὕμνους κατὰ τὸ νόημά των. Τὸ σύστημα τοῦτο ἐφηρμόσθη καὶ εἰς τὴν παροῦσαν ἔκδοσιν. Ὁ Χριστιανὸς δύναται νὰ ἀγνοήσῃ τοὺς ἀστερίσκους καὶ νὰ παρακολουθῇ μόνον τὰ σημεῖα στίξεως, ὁπότε διευκολύνεται εἰς τὴν κατανόησιν τῶν ὕμνων· παρακολουθῶν ὅμως τοὺς ἀστερίσκους διευκολύνεται εἰς τὴν ψαλμῳδίαν, ἡ ὁποία ἀκολουθεῖ περισσότερον τὴν διαίρεσιν τῶν στίχων παρὰ τῶν προτάσεων.

Οἱ ὕμνοι εἰς τὰ ἔντυπα λειτουργικὰ βιβλία παρουσιάζουν δυστυχῶς πολλὰ σφάλματα, ὄχι μόνον τυπογραφικά, ἀλλὰ καὶ παραλείψεις λέξεων καὶ στίχων ἢ καὶ ὁλοκλήρων τροπαρίων. Πολλὰ ἐξ αὐτῶν διώρθωσα εἰς τὴν ἔκδοσιν τῆς Μεγάλης Ἑβδομάδος ὑπὸ τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος (Ἀθῆναι 1982 εἰς μικρὸν σχῆμα, 1985 εἰς μέγα σχῆμα), τῆς ὁποίας εἶχον τὴν ἐπιμέλειαν. Τὰς διορθώσεις αὐτὰς μετέφερα καὶ εἰς τὴν παροῦσαν ἔκδοσιν, παρομοίας δὲ διορθώσεις ἐπέφερα καὶ εἰς τοὺς λοιποὺς ὕμνους, ὅσον βεβαίως τοῦτο ἦτο δυνατόν, διότι ἡ πλήρης διόρθωσις τῶν λειτουργικῶν κειμένων δὲν εἶναι ἔργον ἑνὸς ἀνθρώπου ἀλλ' ἀπαιτεῖ μακροχρόνιον ἐργασίαν πολλῶν εἰδικῶν, ἀλλὰ καὶ διότι φρονῶ, ὅτι ἡ συστηματικὴ διόρθωσις τῶν κειμένων τούτων πρέπει νὰ γίνῃ πρῶτον εἰς τὰ κύρια λειτουργικὰ βιβλία, τὰ ὁποῖα χρησιμοποιοῦνται διὰ τὴν τέλεσιν τῆς θείας λατρείας, καὶ ἔπειτα εἰς τὰ βοηθητικά, ὅπως εἶναι τὸ παρόν, διὰ νὰ μὴ ὑπάρχῃ δυσαρμονία καὶ ἀνομοιομορφία τῶν μὲν πρὸς τὰ δέ. Αἱ διορθώσεις πάντως δὲν ἔγιναν αὐθαιρέτως ἀλλ' ἐπὶ τῇ βάσει εἰδικῶν ἐκδόσεων καὶ ἐργασιῶν ἢ καὶ χειρογράφων κωδίκων.

Ὅπως ἤδη ἐσημειώθη, περιελήφθησαν εἰς τὸ παρὸν Ἀνθολόγιον τὰ στοιχεῖα τῶν ἱ. ἀκολουθιῶν, τὰ ὁποῖα ψάλλονται εἰς τοὺς ἐνοριακοὺς ναούς, ἀπεκλείσθησαν δὲ ὅσα συνήθως παραλείπονται. Διὰ τοῦτο ἐκ τῶν κανόνων περιελήφθησαν μόνον αἱ ψαλλόμεναι ᾠδαί, δηλ. ἡ α' καὶ ἡ γ', τῶν δὲ δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ ἡ θ'. Οἱ κανόνες ὅμως τῆς Μ. Ἑβδομάδος καὶ τοῦ Πάσχα, ὁ Μέγας Κανὼν καὶ ὁ τοῦ Ἀκαθίστου περιλαμβάνονται ὁλόκληροι, διότι ψάλλονται ὁλόκληροι.

Ὁδηγίαι διὰ τὴν χρῆσιν τοῦ Ἀνθολογίου.

1. – **Διὰ τὰς Κυριακὰς** ὁ Χριστιανὸς πρέπει νὰ γνωρίζῃ τὸν ἦχον καὶ τὸ ἑωθινὸν τῆς Κυριακῆς, τὰ ὁποῖα ἐξαρτῶνται ἀπὸ τὴν ἡμερομηνίαν τοῦ Πάσχα[4].

Ἔχων ὑπ' ὄψιν τὸν ἦχον τῆς Κυριακῆς ὁ Χριστιανὸς θὰ εὕρῃ τὴν ἀντίστοιχον ἀναστάσιμον ἀκολουθίαν εἰς τὸ Γ' μέρος ἑκάστου τόμου (Ὀκτώηχον), τὴν ὁποίαν θὰ χρησιμοποιῇ παραλλήλως πρὸς τὴν διάταξιν τοῦ Ἑσπερινοῦ καὶ τοῦ Ὄρθρου τῶν Κυριακῶν ἐκ τοῦ Α' μέρους (Ὡρολογίου). Σύντομοι ὁδηγίαι, αἱ ὁποῖαι ὑπάρχουν εἰς τὴν ἀκολουθίαν ἑκάστου ἤχου, θὰ τὸν βοηθοῦν εἰς τοῦτο.

Ἐὰν ἐν Κυριακῇ συμπίπτῃ ἑορτὴ θεομητορικὴ ἢ ἐπισήμου ἁγίου ἢ ἀπόδοσις δεσποτικῆς ἢ θεομητορικῆς ἑορτῆς, θὰ χρησιμοποιῇ παραλλήλως καὶ τὴν ἀκολουθίαν αὐτῆς ἐκ τοῦ Δ' μέρους ἑκάστου τόμου (Μηνολογίου). Τὸ αὐτὸ θὰ πράττῃ καὶ διὰ τὰς Κυριακὰς τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου· θὰ χρησιμοποιῇ δηλ. παραλλήλως τὸ Α' καὶ τὸ Γ' μέρος (Ὡρολόγιον καὶ Ὀκτώηχον) καὶ τὸ Ε' ἑκάστου τόμου (Τριῴδιον ἢ Πεντηκοστάριον), εἰς ὡρισμένας δὲ περιπτώσεις καὶ τὸ Δ' (Μηνολόγιον).

Οἱ Ἀπόστολοι καὶ τὰ Εὐαγγέλια τῶν Κυριακῶν τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου παρατίθενται εἰς τὴν ἀκολουθίαν ἑκάστης Κυριακῆς τοῦ Ε' μέρους ἑκάστου τόμου. Οἱ Ἀπόστολοι ὅμως καὶ τὰ Εὐαγγέλια τῶν μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου Κυριακῶν παρατίθενται εἰς τὸ Παράρτημα τοῦ Α' τόμου, ὅλων δὲ τῶν μετὰ τὴν λῆξιν τοῦ Πεντηκοσταρίου Κυριακῶν εἰς τὸ Παράρτημα τοῦ Β' τόμου.

2. – **Διὰ τὰς ἐκτὸς Κυριακῆς ἑορτὰς** (δεσποτικάς, θεομητορικὰς καὶ ἐπισήμων ἁγίων) καὶ τὰς ἐν Κυριακῇ δεσποτικάς, κατὰ τὰς ὁποίας δὲν ψάλλεται ἡ ἀναστάσιμος ἀκολουθία (βλ. σ. 36), ὁ Χριστιανὸς θὰ χρησιμοποιῇ ἐκ μὲν τοῦ Α' μέρους τὴν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ ἢ τοῦ Ὄρθρου τῶν ἑορτῶν, ἐκ δὲ τοῦ Δ' μέρους ἑκάστου τόμου τὴν ἀκολουθίαν τῆς οἰκείας ἑορτῆς, εἰς τὴν ὁποίαν παρατίθεται καὶ ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον αὐτῆς. Τὸ αὐτὸ

4. Βλ. σχετικὰς ὁδηγίας εἰς τὸ Παράρτημα, σ. 1342.

ἰσχύει καὶ διὰ τὰς δεσποτικὰς ἑορτὰς τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου (Βαΐων, Θωμᾶ, Μεσοπεντηκοστῆς, Ἀναλήψεως, Πεντηκοστῆς)· κατ' αὐτὰς θὰ χρησιμοποιῆται ἐκ τοῦ Α' μέρους ὁ Ἑσπερινὸς ἢ ὁ Ὄρθρος τῶν ἑορτῶν καὶ ἐκ τοῦ Ε' (Τριῳδίου ἢ Πεντηκοσταρίου) ἡ ἀκολουθία τῆς οἰκείας ἑορτῆς. Τὸ αὐτὸ ἐπίσης ἰσχύει καὶ διὰ τὰς ἀποδόσεις τῶν ἑορτῶν.

3. – **Διὰ τὴν Μ. Ἑβδομάδα καὶ τὸ Πάσχα** ὁ Χριστιανὸς θὰ χρησιμοποιῇ τὸ Ε' ἢ τὸ ΣΤ' μέρος τοῦ Α' τόμου, ἀπὸ τὰς ἐκεῖ δὲ ὑπαρχούσας ὁδηγίας θὰ ὁδηγῆται εἰς τὴν εὕρεσιν τῶν σταθερῶν στοιχείων εἰς τὴν ἀκολουθίαν τῆς Μ. Τεσσαρακοστῆς ἐκ τοῦ Α' μέρους.

4. – **Διὰ τὰς καθημερινὰς τῆς Μ. Τεσσαρακοστῆς** ὁ Χριστιανὸς θὰ εὕρῃ εἰς τὸ Ε' μέρος τὰς ἀκολουθίας τῶν Ἑσπερινῶν τῶν Κυριακῶν (τῶν λεγομένων κατανυκτικῶν), καὶ τῶν Τεταρτῶν καὶ Παρασκευῶν, κατὰ τὰς ὁποίας τελεῖται Προηγιασμένη, καθὼς καὶ τὴν ἀκολουθίαν τοῦ Μ. Κανόνος. Θὰ χρησιμοποιῇ λοιπὸν ἐκ τοῦ Β' μέρους τὴν ἀκολουθίαν τῆς Λειτουργίας τῶν Προηγιασμένων καὶ ἐκ τοῦ Ε' μέρους τὴν ἀκολουθίαν ἑκάστης ἡμέρας. Διὰ τὰς ἀκολουθίας τοῦ Ὄρθρου καὶ τῶν Ὡρῶν θὰ εὕρῃ μόνον τὰ σταθερὰ στοιχεῖα εἰς τὸ Α' μέρος. Θὰ εὕρῃ ἐπίσης τὰς ἀκολουθίας τοῦ Σαββάτου τῆς Ἀπόκρεω (Ψυχοσαββάτου), τοῦ Σαββάτου τῆς Τυρινῆς, τοῦ Α' Σαββάτου τῶν Νηστειῶν (ἁγ. Θεοδώρου), τοῦ Σαββάτου τοῦ Ἀκαθίστου καὶ τοῦ Σαββάτου τοῦ Λαζάρου καὶ σχεδὸν πλήρεις τὰς ἀκολουθίας τῶν ἄλλων Σαββάτων. Ἀπὸ τὰς ἐκεῖ ὁδηγίας θὰ κατευθύνεται εἰς τὴν ἀνεύρεσιν τῶν σταθερῶν στοιχείων τῶν ἀκολουθιῶν εἰς τὸ Α' μέρος καὶ τῶν ἐκ τῆς Ὀκτωήχου ὕμνων εἰς τὸ Γ' μέρος. Ὁ Μέγας Κανών, ὁ ὁποῖος ψάλλεται τμηματικῶς μὲν κατὰ τὴν Α' ἑβδομάδα τῆς Μ. Τεσσαρακοστῆς, ὁλόκληρος δὲ κατὰ τὴν Ε' ἑβδομάδα, παρατίθεται μόνον εἰς τὴν Ε' ἑβδομάδα, σημειώνεται ὅμως ἐκεῖ ἡ εἰς τμήματα διαίρεσις αὐτοῦ. Ὁ Ἀκάθιστος ὕμνος, ὁ ὁποῖος ἐπίσης ψάλλεται τμηματικῶς μὲν κατὰ τὰς τέσσαρας Παρασκευὰς τῆς Μ. Τεσσαρακοστῆς, ὁλόκληρος δὲ κατὰ τὴν Παρασκευὴν τῆς Ε' ἑβδομάδος, περιελήφθη εἰς τὸ Παράρτημα τοῦ Α' τόμου πρὸς ἀποφυγὴν διπλῆς παραθέσεως αὐτοῦ.

5. – **Αἱ ἀκολουθίαι τῶν μὴ ἑορτασίμων ἡμερῶν τοῦ ἔτους** δὲν

περιέχονται εἰς τὸ 'Ανθολόγιον· περιέχεται ὅμως εἰς τὸ Α' μέρος ἑκάστου τόμου ἡ διάταξις τοῦ 'Εσπερινοῦ καὶ τοῦ "Ορθρου τῶν καθημερινῶν, εἰς δὲ τὸ Γ' μέρος τοῦ Β' τόμου ἐπιλογὴ ὕμνων ἐκ τῆς Παρακλητικῆς δι' ὅλας τὰς ἡμέρας τῆς ἑβδομάδος. Χρησιμοποιῶν τὰ δύο ταῦτα μέρη ὁ Χριστιανὸς δύναται νὰ τελῇ κατ' ἰδίαν τὰς ἀκολουθίας αὐτάς, ὄχι ὅμως καὶ νὰ παρακολουθῇ τὴν τέλεσίν των ἐν τῷ ναῷ, διότι οἱ ὕμνοι τῆς Παρακλητικῆς διαφέρουν ἀπὸ ἑβδομάδος εἰς ἑβδομάδα. Δύναται ὅμως νὰ παρακολουθῇ μόνον τὰ σταθερὰ μέρη τῶν ἀκολουθιῶν ἐκ τοῦ Α' μέρους ('Ωρολογίου).

Κατακλείοντες τὰς ὁδηγίας ταύτας θεωροῦμεν χρήσιμον νὰ συστῆσωμεν εἰς ὅσους θὰ χρησιμοποιήσουν τὸ 'Ανθολόγιον διὰ τὴν παρακολούθησιν τῶν ἱ. ἀκολουθιῶν, νὰ εὑρίσκουν ἐκ τῶν προτέρων καὶ νὰ σημειώνουν τὰ μέρη, τὰ ὁποῖα θὰ χρησιμοποιήσουν. Τοῦτο θὰ τοὺς διευκολύνῃ πολὺ εἰς τὴν ἀνεύρεσίν των κατὰ τὴν ὥραν τῆς τελέσεως τῶν ἀκολουθιῶν. Διὰ τὸν σκοπὸν αὐτὸν ἐλήφθη πρόνοια νὰ ὑπάρχουν πολλοὶ σελιδοδεῖκται εἰς ἕκαστον τόμον.

Γνωρίζομεν βεβαίως, ὅτι ἡ ἀνεύρεσις ὅλων αὐτῶν τῶν στοιχείων καὶ ἡ παρακολούθησις τῶν ἱ. ἀκολουθιῶν ὑπὸ τῶν Χριστιανῶν, οἱ ὁποῖοι δὲν ἔχουν εἰδικὰς γνώσεις λειτουργικῆς καὶ τυπικοῦ, δὲν εἶναι εὔκολον ἔργον. Πιστεύομεν ὅμως, ὅτι διὰ τῆς τακτικῆς παρακολουθήσεως καὶ τῆς χρήσεως τοῦ 'Ανθολογίου θὰ ἀποκτήσουν σὺν τῷ χρόνῳ τὴν ἀναγκαίαν πεῖραν καὶ εὐχέρειαν.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

ΩΡΟΛΟΓΙΟΝ

ΠΕΡΙΕΧΟΝ
ΤΑΣ ΙΕΡΑΣ ΑΚΟΛΟΥΘΙΑΣ
ΤΟΥ ΗΜΕΡΟΝΥΚΤΙΟΥ

«Ἑπτάκις τῆς ἡμέρας ἤνεσά σε
ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου».
(Ψαλμ. ριη΄ 164).

«Ἐφάνη τῷ Ἀβραὰμ Θεὸς τρισυπόστατος ἐν τῇ δρυῒ πάλαι τῇ Μαμβρῇ...».

(Τριαδικὸς κανὼν γ΄ ἤχου, γ΄ τροπ. ζ΄ ᾠδῆς).

ΠΡΟΣΕΥΧΗ
ΤΗΣ ΟΛΗΣ ΗΜΕΡΟΝΥΚΤΙΟΥ ΑΚΟΛΟΥΘΙΑΣ
ΠΡΟΟΙΜΙΑΚΗ(*)

Ἀπὸ τοῦ ὕπνου ἐξεγερθείς, ἐξαναστὰς τῆς κλίνης, στῆθι μετ' εὐλαβείας καὶ φόβου Θεοῦ καὶ εἰπέ·

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. (Ἐκ γ').

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Καὶ πάλιν· Δόξα, καὶ νῦν. Εἶτα·

(*) Εἰς τὰς Ἱ. Μονὰς ἡ Προοιμιακὴ Προσευχὴ συγχωνεύεται μετὰ τοῦ Μεσονυκτικοῦ ὡς ἀκολούθως·

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης· Τρισάγιον κ.τ.λ.. Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... Ὁ ἀναγνώστης τὰ τροπάρια Ἐξεγερθέντες τοῦ ὕπνου κ.λ.π. καὶ τὰς εὐχὰς Ἐκ τοῦ ὕπνου ἐξανιστάμενος καὶ Δόξα σοι, βασιλεῦ. Εἶτα· Δεῦτε προσκυνήσωμεν, τὸν Ν' Ψαλμὸν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τὰ παρόντα τριαδικὰ τροπάρια. Ἦχος α΄.

Ἐξεγερθέντες τοῦ ὕπνου* προσπίπτομέν σοι, ἀγαθέ,* καὶ τῶν ἀγγέλων τὸν ὕμνον* βοῶμέν σοι, δυνατέ·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα. Ἦχος β΄.

Τῆς κλίνης καὶ τοῦ ὕπνου* ἐξεγείρας με, Κύριε,* τὸν νοῦν μου φώτισον* καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον* εἰς τὸ ὑμνεῖν σε, ἁγία Τριάς·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Ἦχος γ΄.

Ἀθρόον ὁ κριτὴς ἐπελεύσεται,* καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται·* ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτός·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Τὸ Κύριε, ἐλέησον, ιβ΄. Καὶ τὴν εὐχὴν ταύτην·

ΕΥΧΗ ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΜΕΘ' ΙΚΕΣΙΑΣ

Ἐκ τοῦ ὕπνου ἐξανιστάμενος εὐχαριστῶ σοι, ἁγία Τριάς, ὅτι διὰ τὴν πολλήν σου ἀγαθότητα καὶ μακροθυμίαν οὐκ ὠργίσθης ἐμοὶ τῷ ῥαθύμῳ καὶ ἁμαρτωλῷ, οὐδὲ συναπώλεσάς με ταῖς ἀνομίαις μου, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως, καὶ πρὸς ἀπόγνωσιν κείμενον ἤγειράς με εἰς τὸ ὀρθρίσαι καὶ δοξολογῆσαι τὸ κράτος σου. Καὶ νῦν φώτισόν μου τὰ ὄμματα τῆς διανοίας· ἄνοιξόν μου τὸ στόμα, τοῦ μελετᾶν

τὰ λόγιά σου καὶ συνιέναι τὰς ἐντολάς σου καὶ ποιεῖν τὸ θέλημά σου καὶ ψάλλειν σοι ἐν ἐξομολογήσει καρδίας καὶ ἀνυμνεῖν τὸ πανάγιον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΕΤΕΡΑ

Δόξα σοι, βασιλεῦ, Θεὲ παντοκράτορ, ὅτι τῇ θείᾳ σου καὶ φιλανθρώπῳ προνοίᾳ ἠξίωσάς με τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον δοῦλόν σου ἐξ ὕπνου ἀναστῆναι καὶ τυχεῖν τῆς εἰσόδου τοῦ ἁγίου σου οἴκου. Δέξαι, Κύριε, καὶ τὴν φωνὴν τῆς δεήσεώς μου, ὡς τῶν ἁγίων καὶ νοερῶν σου δυνάμεων, καὶ εὐδόκησον ἐν καρδίᾳ καθαρᾷ καὶ πνεύματι ταπεινώσεως, προσενεχθῆναί σοι τὴν ἐκ τῶν ῥυπαρῶν χειλέων μου αἴνεσιν, ὅπως κἀγὼ κοινωνὸς γένωμαι τῶν φρονίμων παρθένων ἐν φαιδρᾷ λαμπηδόνι τῆς ψυχῆς μου καὶ δοξάζω σὲ τὸν ἐν Πατρὶ καὶ Πνεύματι δοξαζόμενον Θεὸν Λόγον. Ἀμήν.

ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΜΕΣΟΝΥΚΤΙΚΟΥ

Α΄.
ΤΟ ΚΑΘ' ΗΜΕΡΑΝ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

(Τελεῖται ἀπὸ τῆς Δευτέρας μέχρι τῆς Παρασκευῆς ἑκάστης ἑβδομάδος).

Ὁ ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.(*)

Ὁ ἀναγνώστης· Ἀμήν.

Ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε,* Παράκλητε,* τὸ Πνεῦμα τῆς ἀληθείας,* ὁ πανταχοῦ παρὼν* καὶ τὰ πάντα πληρῶν,* ὁ θησαυρὸς τῶν ἀγαθῶν* καὶ ζωῆς χορηγός,* ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν* καὶ καθάρισον ἡμᾶς* ἀπὸ πάσης κηλῖδος* καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ὁ ἀναγνώστης· Τρισάγιον. Μετανοίας τρεῖς. Δόξα, καὶ νῦν. Παναγία Τριάς. Δόξα, καὶ νῦν. Πάτερ ἡμῶν.

(*) Ἐὰν δὲν ὑπάρχῃ ἱερεύς, ἡ ἔναρξις τῶν ἱερῶν ἀκολουθιῶν γίνεται διὰ τοῦ Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν... ἢ διὰ τοῦ Εἰς τὸ ὄνομα τοῦ Πατρός...

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ὁ ἀναγνώστης· Ἀμήν. Κύριε, ἐλέησον, ιβ'. Δόξα, καὶ νῦν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Μετανοίας τρεῖς· καὶ εὐθὺς τὸν Ν' Ψαλμόν.

ΨΑΛΜΟΣ Ν' (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα λέγει τὸν Ἄμωμον.

ΨΑΛΜΟΣ ΡΙΗ' (118).

ΣΤΑΣΙΣ ΠΡΩΤΗ

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ· ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου.

Τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου.

Τά δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπῃς ἕως σφόδρα.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ.

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατανοήσω τὰς ὁδούς σου.

Ἐν τοῖς δικαιώμασί σου μελετήσω· οὐκ ἐπιλήσομαι τῶν λόγων σου.

Ἀνταπόδος τῷ δούλῳ σου· ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου.

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου.

Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα.

Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ' ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου.

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου.

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ καὶ τῷ νόμῳ σου ἐλέησόν με.

Ὁδὸν ἀληθείας ᾑρετισάμην καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην.

Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε· μή με καταισχύνῃς.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.

Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός.

Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου, τοῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁδῷ σου ζῆσόν με.

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου.

Περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά.

Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου· ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.

Καὶ ἐλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου.

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί με λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου.

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα.

Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ ἠσχυνόμην.

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα.

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με.

Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με.

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου.

Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.

Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Μερίς μου εἶ, Κύριε· εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου.

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου· ἐλέησόν με κατὰ τὸ λόγιόν σου.

Διελογισάμην τὰς ὁδούς σου καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου.

Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου.

Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Μέτοχος ἐγὼ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με.

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου.

Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.

Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα· διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.

Χρηστὸς εἶ σύ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.

Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.

Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός.

Ἐκ γ'. Μετανοίας τρεῖς. Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν.

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με.

Γενηθήτω δή τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου.

Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν.

Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου.

Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου.

Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.

Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου λέγοντες· πότε παρακαλέσεις με;

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε.

Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι.

Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ· ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.

Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.

Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου· ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει.

Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

ΜΕΣΗ

Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα.

Πάσης συντελείας εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα.

Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε! ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν.

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν.

Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγια σου! ὑπὲρ μέλι τῷ στόματί μου.

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου.

Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐταπεινώθην ἕως σφόδρα· Κύριε, ζῆσόν με κατὰ τὸν λόγον σου.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με.

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.

Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσιν.

Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα.

Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ· εἰς τοὺς λόγους σου ἐπήλπισα.

Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.

Βοήθησόν μοι, καὶ σωθήσομαι καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός.

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν.

Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου.

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.

Ἐποίησα κρῖμα καὶ δικαιοσύνην· μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν· μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου.

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου καὶ τὰ δικαιώματά σου δίδαξόν με.

Δοῦλός σού εἰμι ἐγώ· συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διεσκέδασαν τὸν νόμον σου.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου.

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.

Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Δόξα, καὶ νῦν.

Ἀλληλούια, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός.

Ἐκ γ'. Μετανοίας τρεῖς. Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν.

ΣΤΑΣΙΣ ΤΡΙΤΗ

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου.

Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου καὶ ἀλήθειαν σφόδρα.

Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου.

Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό.

Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην.

Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

Θλίψεις καὶ ἀνάγκαι εὗρόσάν με· αἱ ἐντολαί σου μελέτη μου.

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με, καὶ ζήσομαι.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, Κύριε· τὰ δικαιώματά σου ἐκζητήσω.

Ἐκέκραξά σοι· σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα.

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν.

Ἐγγὺς εἶ σύ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.

Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με· διὰ τὸν λόγον σου ζῆσόν με.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε· κατὰ τὸ κρῖμά σου ζῆσόν με.

Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα.

Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο.

Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα· Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου ὡς ὁ εὑρίσκων σκῦλα πολλά.

Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα.

Ἑπτάκις τῆς ἡμέρας ἤνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.

Προσεδόκων τὸ σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου καὶ ἠγάπησεν αὐτὰ σφόδρα.

Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐνώπιόν σου, Κύριε.

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Ἐξερεύξονται τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

Φθέγξεται ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην.

Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστι.

Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

Δόξα, καὶ νῦν.

Καὶ εὐθὺς

ΤΟ ΣΥΜΒΟΛΟΝ ΤΗΣ ΠΙΣΤΕΩΣ

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ

τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Τρισάγιον. Μετανοίας, γ'. Δόξα, καὶ νῦν. Παναγία Τριάς. Κύριε, ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Πάτερ ἡμῶν.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ὁ ἀναγνώστης τὰ τροπάρια ταῦτα.

Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται* ἐν τῷ μέσῳ τῆς νυκτός·* καὶ μακάριος ὁ δοῦλος,* ὃν εὑρήσει γρηγοροῦντα·* ἀνάξιος δὲ πάλιν* ὃν εὑρήσει ῥαθυμοῦντα.* Βλέπε οὖν, ψυχή μου,* μὴ τῷ ὕπνῳ κατενεχθῇς,* ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς* καὶ τῆς βασιλείας ἔξω κλεισθῇς·* ἀλλὰ ἀνάνηψον κρά-

ζουσα˙* Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός˙* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα. (Τὴν Σοφίαν καὶ Λόγον).

Τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν* ἐννοοῦσα, ψυχή μου, γρηγόρησον,* ἀνάπτουσα λαμπάδα σου,* ἐν ἐλαίῳ φαιδρύνουσα˙* οὐ γὰρ οἶδας πότε* πρὸς σὲ ἐπελεύσεται* ἡ φωνὴ ἡ λέγουσα˙* Ἰδοὺ ὁ Νυμφίος σου.* Βλέπε οὖν, ψυχή μου,* μὴ νυστάξῃς καὶ μείνῃς* ἔξωθεν κρούουσα* ὡς αἱ πέντε παρθένοι,* ἀλλ' ἀγρύπνως καρτέρησον,* ἵνα ὑπαντήσῃς Χριστῷ* ἐν ἐλαίῳ πίονι, καὶ δώῃ σοι* τὸν νυμφῶνα τὸν θεῖον* τῆς δόξης αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὸ ἀπόρθητον τεῖχος,* τὸ τῆς σωτηρίας ὀχύρωμα,* Θεοτόκε Παρθένε, ἱκετεύομεν˙* τὰς τῶν ἐναντίων βουλὰς διασκέδασον˙* τοῦ λαοῦ σου τὴν λύπην εἰς χαρὰν μετάβαλε˙* τὸν κόσμον σου ἀνακάλεσον˙* τοὺς εὐσεβεῖς κραταίωσον˙* ὑπὲρ εἰρήνης τοῦ κόσμου πρέσβευε,* ὅτι σὺ εἶ, Θεοτόκε, ἡ ἐλπὶς ἡμῶν.

Τό, Κύριε, ἐλέησον, μ', καὶ τὴν εὐχὴν ταύτην˙

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν˙ αὐτός, Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου˙ τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις, ἵνα, τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης˙ ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τό, Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον,* σὲ μεγαλύνομεν.

Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς·

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

* * *

Κατὰ τὴν Μ. Τεσσαρακοστὴν ποιοῦμεν τρεῖς μεγάλας μετανοίας λέγοντες ἐν ἑκάστῃ ἀνὰ ἕνα στίχον τῆς ἑπομένης εὐχῆς.

ΕΥΧΗ ΤΟΥ ΟΣΙΟΥ ΕΦΡΑΙΜ.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας καὶ ἀργολογίας μή μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἑτέρας ιβ' μικρὰς μετανοίας καὶ πάλιν μίαν μεγάλην μετάνοιαν ἐπαναλαμβάνοντες τὸν τελευταῖον στίχον τῆς εὐχῆς.

* * *

Καὶ τὰς εὐχὰς ταύτας.

ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΔΑΡΙΟΥ.

Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καί, οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΤΕΡΑ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ(*)

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν δυνάμεων καὶ πάσης σαρκός, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, καρδίας τε καὶ νεφροὺς ὁ ἐτάζων καὶ τὰ κρυπτὰ τῶν ἀνθρώπων σαφῶς ἐπιστάμενος, τὸ ἄναρχον καὶ ἀΐδιον φῶς, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· αὐτός, ἀθάνατε βασιλεῦ, πρόσδεξαι τὰς ἱκεσίας ἡμῶν, ἃς κατὰ τὸν παρόντα καιρὸν τῆς νυκτός, τῷ πλήθει τῶν σῶν οἰκτιρμῶν θαῤῥοῦντες, ἐκ ῥυπαρῶν πρός σε χειλέων ποιούμεθα, καὶ ἄφες ἡμῖν τὰ πλημμελήματα ἡμῶν τὰ ἐν ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ, ἐκ γνώσεως ἢ ἀγνωσίας πλημμεληθέντα ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ναοὺς ἡμᾶς ποιῶν τοῦ ἁγίου σου Πνεύματος. Καὶ δώρησαι ἡμῖν ἐν ἀγρύπνῳ καρδίᾳ καὶ νηφούσῃ διανοίᾳ πᾶσαν τοῦ παρόντος βίου τὴν νύκτα ἡμᾶς διελθεῖν, ἀπεκδεχομένους τὴν παρουσίαν τῆς λαμπρᾶς καὶ ἐπιφανοῦς ἡμέρας τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ μετὰ δόξης ἐπὶ γῆς κριτὴς τῶν ἁπάντων ἐλεύσεται, ἑκάστῳ ἀποδοῦναι κατὰ τὰ ἔργα αὐτοῦ· ἵνα μὴ ἀναπεπτωκότες καὶ ὑπνοῦντες, ἀλλ' ἐγρηγοροῦντες καὶ διεγηγερμένοι ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν αὐτοῦ εὑρεθῶμεν καὶ ἕτοιμοι εἰς τὴν χαρὰν καὶ εἰς τὸν θεῖον νυμφῶνα τῆς δόξης αὐτοῦ συνεισέλθωμεν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος καὶ ἡ ἀνέκφραστος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ἀληθινὸν φῶς, τὸ φωτίζον καὶ ἁγιάζον τὰ σύμπαντα, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὑψοῖ ὁ ἱερεὺς τὰς χεῖρας λέγων

ΕΥΧΗ ΤΟΥ ΑΥΤΟΥ

Σὲ εὐλογοῦμεν, ὕψιστε Θεὲ καὶ Κύριε τοῦ ἐλέους, τὸν ποιοῦντα ἀεὶ μεθ' ἡμῶν μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἐν-

(*) Ἡ Εὐχὴ αὕτη λέγεται μόνον ἀπὸ τῆς κβ' Σεπτεμβρίου μέχρι τῆς Παρασκευῆς πρὸ τῶν Βαΐων.

δοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· τὸν παρασχόντα ἡμῖν τὸν ὕπνον εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν καὶ ἄνεσιν τῶν κόπων τῆς πολυμόχθου σαρκός. Εὐχαριστοῦμέν σοι, ὅτι οὐ συναπώλεσας ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως καὶ πρὸς ἀπόγνωσιν κειμένους ἡμᾶς ἤγειρας εἰς τὸ δοξολογῆσαι τὸ κράτος σου. Διὸ δυσωποῦμεν τὴν ἀνείκαστόν σου ἀγαθότητα· φώτισον ἡμῶν τοὺς τῆς διανοίας ὀφθαλμοὺς καὶ τὸν νοῦν ἡμῶν ἐκ τοῦ βαρέος ὕπνου τῆς ῥαθυμίας ἀνάστησον· ἄνοιξον ἡμῶν τὸ στόμα καὶ πλήρωσον αὐτὸ τῆς σῆς αἰνέσεως, ὅπως ἂν δυνηθῶμεν ἀπερισπάστως ᾄδειν τε καὶ ψάλλειν καὶ ἐξομολογεῖσθαι σοὶ τῷ ἐν πᾶσι καὶ ὑπὸ πάντων δοξαζομένῳ Θεῷ, τῷ ἀνάρχῳ Πατρὶ σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἀναγνώστης· Δεῦτε προσκυνήσωμεν, γ'. Μετανοίας γ', καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ ΡΚ' (120).

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξει ὁ φυλάσσων σε.

Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου.

Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ ΡΛΓ΄ (133).

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.

Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν ὁ ποιῆσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν. Τρισάγιον κ.τ.λ.

Καὶ τὰ τροπάρια ταῦτα·

Ἦχος πλ. δ΄.

Μνήσθητι, Κύριε,* ὡς ἀγαθὸς τῶν δούλων σου* καί, ὅσα ἐν βίῳ ἥμαρτον,* συγχώρησον·* οὐδεὶς γὰρ ἀναμάρτητος,* εἰμὴ σὺ ὁ δυνάμενος* καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Οβάθει σοφίας* φιλανθρώπως πάντα οἰκονομῶν* καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων,* μόνε δημιουργέ,* ἀνάπαυσον, Κύριε,* τὰς ψυχὰς τῶν δούλων σου·* ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο,* τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.

Δόξα.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου,* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαί,* Θεοτόκε Παρθένε·* ἐν σοὶ γὰρ ὁ ἀχώρητος* Χριστὸς ὁ Θεὸς ἡμῶν* χωρηθῆναι ηὐδόκησε.* Μακάριοι ἐσμὲν καὶ ἡμεῖς* προστασίαν σε ἔχοντες·* ἡμέρας γὰρ καὶ νυκτὸς* πρεσβεύεις ὑπὲρ ἡμῶν,* καὶ τὰ σκῆπτρα τῆς βασιλείας* ταῖς σαῖς ἱκεσίαις κρατύνονται.* Διὸ ἀνυμνοῦντες βοῶμέν σοι·* Χαῖρε, κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ.

Τὸ Κύριε, ἐλέησον ιβ΄ καὶ τὰς ἑπομένας εὐχάς.

ΕΥΧΗ

Μνήσθητι, Κύριε, τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν καὶ πάντων τῶν ἐν εὐσεβείᾳ καὶ πίστει τελειωθέντων, καὶ συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν πλημμεληθὲν ὑπ' αὐτῶν. Καὶ κατασκήνωσον αὐτοὺς ἐν τόποις φωτεινοῖς, ἐν τόποις χλοεροῖς, ἐν τόποις ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός, ὅπου ἡ ἐπισκοπὴ τοῦ προσώπου σου εὐφραίνει πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους σου. Χάρισαι αὐτοῖς καὶ ἡμῖν τὴν βασιλείαν σου καὶ τὴν μέθεξιν τῶν ἀφράστων καὶ αἰωνίων σου ἀγαθῶν καὶ τῆς σῆς ἀπεράντου καὶ μακαρίας ζωῆς τὴν ἀπόλαυσιν. Σὺ γὰρ εἶ ἡ ζωή, ἡ ἀνάστασις καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν καὶ αἴτησαι, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΙΚΙΟΥ

Ἡ ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ'. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ ἱερεύς, στραφεὶς πρὸς τὸν λαόν, ποιεῖ τὴν μικρὰν ἀπόλυσιν.

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. (Ὁ...) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευ-

φήμων ἀποστόλων (τοῦ ἁγίου τοῦ ναοῦ καὶ τοῦ ἁγίου τῆς ἡμέρας, ἐφ' ὅσον ἑορτάζεται), καὶ πάντων τῶν ἁγίων ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μεθ' ἣν ἐκ τῆς αὐτῆς θέσεως ἐπιλέγει·

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Καὶ ἡμεῖς μεθ' ἑκάστην δέησιν χῦμα τό· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου (ἢ ἐπισκόπου) ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

(Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν).

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐλεούντων καὶ διακονούντων ἡμῖν.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων.

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν ὀρθοδόξων.

Μακαρίσωμεν τοὺς εὐσεβεῖς βασιλεῖς.

Τοὺς ὀρθοδόξους ἀρχιερεῖς.

Τοὺς κτίτορας τῆς ἁγίας Ἐκκλησίας (ἢ Μονῆς) ταύτης, τοὺς γονεῖς ἡμῶν καὶ διδασκάλους καὶ πάντας τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν, τοὺς ἐνθάδε εὐσεβῶς κειμένους καὶ ἀπανταχοῦ ὀρθοδόξους.

Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν, τό· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Ὁ ἀναγνώστης· Ἀμήν.

Β'.
ΜΕΣΟΝΥΚΤΙΚΟΝ ΤΟΥ ΣΑΒΒΑΤΟΥ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε...

Ὁ ἀναγνώστης· Τρισάγιον κ.λ.π. Κύριε ἐλέησον ιβ'. Δόξα καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ' καὶ τὸν Ν' Ψαλμὸν Ἐλέησόν με, ὁ Θεός... (σ. 51).

Εἶτα τοὺς ἑξῆς Ψαλμούς·

ΨΑΛΜΟΣ ΞΔ' (64).

Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.

Εἰσάκουσον προσευχῆς μου· πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.

Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.

Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν,

Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ, ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἦχους κυμάτων αὐτῆς.

Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθῆσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου· ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις.

Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.

Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.

Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς· ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

Πιανθήσονται τὰ ὄρη τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

ΨΑΛΜΟΣ ΞΕ' (65).

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν αἰνέσει αὐτοῦ.

Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου· ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι· ψαλάτωσαν δὴ τῷ ὀνόματί σου, ὕψιστε.

Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ· φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων,

Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται ποδί.

Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος.

Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν· οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.

Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ,

Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωὴν καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.

Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός· ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.

Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα· ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν· ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν, ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.

Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ἀνοίσω σοι βόας μετὰ χιμάρων.

Δεῦτε ἀκοὐσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου.

Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.

Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος.

Διὰ τοῦτο εἰσήκουσέ μου ὁ Θεός, προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου.

Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

ΨΑΛΜΟΣ ΞΣ΄ (66).

Ο Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός· ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός· ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς· εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν.

Εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός.

Ἐκ γ΄. Κύριε, ἐλέησον γ΄. Δόξα, καὶ νῦν.

ΨΑΛΜΟΣ ΞΖ' (67).

Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ.

Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.

Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ.

Ταραχθήσονται ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν· ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ.

Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις.

Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ,

Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ.

Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου· καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.

Τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ· ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός.

Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.

Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα.

Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.

Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χιονωθήσονται ἐν Σελμών.

Ὄρος τοῦ Θεοῦ, ὄρος πῖον, ὄρος τετυρωμένον, ὄρος πῖον.

Ἱνατὶ ὑπολαμβάνετε, ὄρη τετυρωμένα, τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ; καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.

Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων· Κύριος ἐν αὐτοῖς ἐν Σινᾷ ἦν, ἐν τῷ ἁγίῳ.

Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις, καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι.

Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν, καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.

Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.

Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.

Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι, ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.

Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ.

Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλών, ἄρχοντες Νεφθαλείμ.

Ἔντειλαι, ὁ Θεός, τῇ δυνάμει σου· δυνάμωσον, ὁ Θεός, τοῦτο, ὃ κατειργάσω ἐν ἡμῖν.

Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἰερουσαλὴμ σοὶ οἴσουσι βασιλεῖς δῶρα.

Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου· ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τοῦ ἐγκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ.

Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα. Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου, Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.

Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ.

Ψάλατε τῷ Θεῷ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς· ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.

Δότε δόξαν τῷ Θεῷ· ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ, καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ· ὁ Θεὸς Ἰσραήλ, αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. Εὐλογητὸς ὁ Θεός.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. Ἐκ γ'. Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν.

ΨΑΛΜΟΣ ΞΗ' (68).

Σῶσόν με ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.

Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.

Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν.

Ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως· ἃ οὐχ ἥρπαζον, τότε ἀπετίννυον.

Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.

Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων,

Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ.

Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.

Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.

Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.

Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί.

Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.

Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον.

Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε· καιρὸς εὐδοκίας, ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου· ἐπάκουσόν μου ἐν ἀληθείᾳ τῆς σωτηρίας σου.

Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ· ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων.

Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.

Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι· ταχὺ ἐπάκουσόν μου.

Πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν· ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.

Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου· ἐναντίον σου πάντες οἱ θλίβοντές με.

Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν· καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐκ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.

Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.

Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.

Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.

Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.

Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.

Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου.

Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.

Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ· ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτό μου.

Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει.

Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς.

Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν· ἐκζητήσατε τὸν Θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.

Ὅτι εἰσῆκουσε τῶν πενήτων ὁ Κύριος καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.

Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ.

Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας.

Καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν.

Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ.

ΨΑΛΜΟΣ ΞΘ' (69).

Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός, καὶ λεγέτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεός, βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε· μὴ χρονίσῃς.

Δόξα, καὶ νῦν.

Καὶ εὐθὺς τὸ Πιστεύω εἰς ἕνα Θεόν, ... (σ. 62).

Ὁ ἀναγνώστης· Τρισάγιον κ.τ.λ. καὶ τὰ τροπάρια ταῦτα.

Ἦχος β'.

Ἀκτιστε φύσις,* ἡ τῶν ὅλων δημιουργός,* τὰ χείλη ἡμῶν ἄνοιξον,* ὅπως ἀναγγέλλωμεν τὴν αἴνεσίν σου βοῶντες·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Δόξα Πατρί.

Τὰς ἄνω δυνάμεις* μιμούμενοι οἱ ἐπὶ γῆς* ἐπινίκιον ὕμνον* προσφέρομέν σοι, ἀγαθέ·* Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν.

Τῆς κλίνης καὶ τοῦ ὕπνου* ἐξεγείρας με, Κύριε,* τὸν νοῦν μου φώτισον* καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον* εἰς τὸ ὑμνεῖν σε, ἁγία Τριάς·* Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Εἶτα τὸ Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σελ. 64).

Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς·

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΔΑΡΙΟΥ

Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ οἷς ἐπίστασαι κρίμασι σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὴν ἑπομένην εὐχήν.

ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΕΥΣΤΡΑΤΙΟΥ

Μεγαλύνων μεγαλύνω σε, Κύριε, ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἀλλ' ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. Καὶ νῦν, Δέσποτα, σκεπασάτω με ἡ χείρ σου καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, ὅτι τετάρακται ἡ ψυχή μου καὶ κατώδυνός ἐστιν ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν ἐκ τοῦ ἀθλίου μου καὶ ῥυπαροῦ σώματος τούτου· μή ποτε ἡ πονηρὰ τοῦ ἀντικειμένου βουλὴ συναντήσῃ καὶ παρεμποδίσῃ αὐτὴν διὰ τὰς ἐν ἀγνοίᾳ καὶ γνώσει ἐν τῷ βίῳ τούτῳ γενομένας μοι ἁμαρτίας. Ἵλεως γενοῦ μοι, Δέσποτα, καὶ μὴ ἰδέτω ἡ ψυχή μου τὴν ζοφερὰν καὶ σκοτεινὴν ὄψιν τῶν πονηρῶν δαιμόνων· ἀλλὰ παραλαβέτωσαν αὐτὴν ἄγγελοί σου φαιδροὶ καὶ φωτεινοί. Δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ, καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα. Ἐν τῷ κρίνεσθαί με μὴ καταλάβοι με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ κόσμου τούτου εἰς τὸ κατασπάσαι με τὸν ἁμαρτωλὸν εἰς βυθὸν ᾅδου· ἀλλὰ παράστηθί μοι καὶ γενοῦ μοι σωτὴρ καὶ ἀντιλήπτωρ. Ἐλέησον, Κύριε, τὴν ῥυπωθεῖσαν τοῖς πάθεσι τοῦ βίου ψυχήν μου καὶ καθαρὰν αὐτὴν διὰ μετανοίας καὶ ἐξομολογήσεως πρόσδεξαι· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἀναγνώστης· Δεῦτε προσκυνήσωμεν γ' καὶ τοὺς Ψαλμοὺς ΡΚ' καὶ ΡΛΓ' καὶ τὰ λοιπά, ὡς ἐν τῷ καθ' ἡμέραν Μεσονυκτικῷ (σελ. 67-70).

Γ΄.
ΜΕΣΟΝΥΚΤΙΚΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε...

Ὁ ἀναγνώστης· Τρισάγιον κ.λ.π. Κύριε, ἐλέησον ιβ΄. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ΄ καὶ τὸν Ν΄ Ψαλμὸν Ἐλέησόν με, ὁ Θεός... (σελ. 51).

Καὶ εὐθὺς λέγομεν τὸν τριαδικὸν κανόνα τοῦ τυχόντος ἤχου (Ζήτει εἰς τὸ Γ΄ μέρος τοῦ παρόντος τόμου). Καὶ μετὰ τὸν κανόνα ψάλλομεν τὰ παρόντα

ΤΡΙΑΔΙΚΑ ΜΕΓΑΛΥΝΑΡΙΑ

Ἀξιόν ἐστιν ὡς ἀληθῶς* τὴν ὑπέρθεον ὑμνεῖν Τριάδα,* ἄναρχον Πατέρα καὶ παντουργόν,* συνάναρχον Λόγον,* πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς* ἀῤῥεύστως τεχθέντα,* καὶ τὸ ἅγιον Πνεῦμα* τὸ ἐκ Πατρὸς ἀχρόνως* ἐκπορευόμενον.

Ἀξιόν ἐστιν ὡς ἀληθῶς* τοῦ δοξάζειν σε τὸν Θεὸν Λόγον,* ὃν φρίττει καὶ τρέμει τὰ Χερουβὶμ* καὶ δοξολογοῦσιν* αἱ δυνάμεις τῶν οὐρανῶν·* τὸν ἐξαναστάντα* τριήμερον ἐκ τάφου* Χριστὸν τὸν ζωοδότην* φόβῳ δοξάσωμεν.

Ὑμνήσωμεν πάντες θεοπρεπῶς,* ᾄσμασιν ἐνθέοις* τὸν Πατέρα καὶ τὸν Υἱὸν* καὶ Πνεῦμα τὸ θεῖον,* τρισυπόστατον κράτος,* τὴν μίαν βασιλείαν* καὶ κυριότητα.

Ἐκ νεκρῶν ἰδοῦσα τὸν σὸν Υἱόν,* ἄχραντε Παρθένε,* ἀναστάντα θεοπρεπῶς,* χαρᾶς ἀνεκφράστου* ἡ κτίσις ἐπληροῦτο,* αὐτὸν δοξολογοῦσα* καὶ σὲ γεραίρουσα.

Ὁ ἀναγνώστης τὸ Τρισάγιον κ.τ.λ. καὶ τὴν ὑπακοὴν τοῦ ἤχου. Τὸ Κύριε, ἐλέησον μ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς...

Καὶ εὐθύς· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Εὐλόγησον.

Καὶ ὁ ἱερεὺς τὴν ἀπόλυσιν·

Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν... καὶ τὸ Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου κ.τ.λ. (σελ. 70).

ΣΗΜΕΙΩΣΙΣ. Κατὰ τὴν ἀνωτέρω τάξιν τελεῖται τὸ Μεσονυκτικὸν εἰς τοὺς ἐνοριακοὺς ναοὺς καὶ κατὰ τὰς Δεσποτικὰς καὶ Θεομητορικὰς ἑορτὰς καὶ τὰς μνήμας τῶν ἐπισήμων ἁγίων, ἀλλ' ἀντὶ τοῦ τριαδικοῦ κανόνος καὶ τῶν μεγαλυναρίων ψάλλονται τὰ ἰδιόμελα τῆς λιτῆς τῆς ἑορτῆς ἢ τοῦ ἁγίου, ἀντὶ δὲ τῆς ὑπακοῆς λέγεται τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τοῦ ἁγίου. Ἐὰν δὲ ἐν Κυριακῇ τύχῃ Θεομητορικὴ ἑορτὴ ἢ μνήμη ἐπισήμου ἁγίου, μετὰ τὸν Ν΄ Ψαλμὸν ψάλλεται πρῶτον ὁ τριαδικὸς καγών, εἶτα τὰ ἰδιόμελα τῆς λιτῆς καὶ μετ' αὐτὰ τὰ τριαδικὰ μεγαλυνάρια, ἀντὶ δὲ τῆς ὑπακοῆς λέγεται τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἢ τοῦ ἁγίου.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ

Α΄.

ΟΡΘΡΟΣ ΤΩΝ ΚΥΡΙΑΚΩΝ ΚΑΙ ΕΟΡΤΩΝ

Ὁ ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.(*)

Βασιλεῦ οὐράνιε,* Παράκλητε,* τὸ Πνεῦμα τῆς ἀληθείας,* ὁ πανταχοῦ παρὼν* καὶ τὰ πάντα πληρῶν,* ὁ θησαυρὸς τῶν ἀγαθῶν* καὶ ζωῆς χορηγός,* ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν* καὶ καθάρισον ἡμᾶς* ἀπὸ πάσης κηλῖδος* καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ὁ ἀναγνώστης·

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. (Ἐκ γ΄).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας

(*) Τὸ Βασιλεῦ οὐράνιε, εἰς τὴν ἀρχὴν τοῦ Ὄρθρου παραλείπεται συνήθως, οὐχὶ ὀρθῶς.

ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Καὶ πάλιν· Δόξα, καὶ νῦν. Εἶτα·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν. Καὶ τὰ τροπάρια ταῦτα·

Σῶσον, Κύριε, τὸν λαόν σου* καὶ εὐλόγησον τὴν κληρονομίαν σου,* νίκας τοῖς βασιλεῦσι* κατὰ βαρβάρων δωρούμενος* καὶ τὸ σὸν φυλάττων* διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα Πατρί.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως,* τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ* τοὺς οἰκτιρμούς σου δώρησαι,* Χριστὲ ὁ Θεός·* εὔφρανον ἐν τῇ δυνάμει σου* τοὺς πιστοὺς βασιλεῖς ἡμῶν,* νίκας χορηγῶν αὐτοῖς* κατὰ τῶν πολεμίων.* Τὴν συμμαχίαν ἔχοιεν τὴν σήν,* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Καὶ νῦν. Θεοτοκίον.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε,* μὴ παρίδῃς, ἀγαθή,* τὰς ἱκεσίας ἡμῶν,* πανύμνητε Θεοτόκε·* στήριξον ὀρθοδόξων πολιτείαν,* σῷζε οὓς ἐκέλευσας βασιλεύειν* καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην,* διότι ἔτεκες τὸν Θεόν,* μόνη εὐλογημένη.

Ὁ ἱερεὺς τὴν δέησιν·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ'.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ'.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...).

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον γ'.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Καὶ εὐθὺς ἐκφωνεῖ ὁ ἱερεύς·

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Καὶ ἀναγινώσκει τὸν ἑξάψαλμον μετ' εὐλαβείας καὶ φόβου Θεοῦ, πάντων ἀκροωμένων ἐν σιωπῇ καὶ κατανύξει.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (Ἐκ γ').

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (Ἐκ β').

ΨΑΛΜΟΣ Γ' (3).

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Καὶ πάλιν·

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

ΨΑΛΜΟΣ ΛΖ' (37).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.

Καθ' ὃν χρόνον ἀναγινώσκεται ὁ Ἑξάψαλμος, ὁ ἱερεὺς ἱστάμενος ἐνώπιον τῆς ἁγίας Τραπέζης ἀναγινώσκει μυστικῶς τὰς εὐχὰς τοῦ Ὄρθρου· μετὰ δὲ τοὺς τρεῖς πρώτους Ψαλμοὺς συνεχίζει τὴν ἀνάγνωσιν τῶν εὐχῶν ἐνώπιον τῆς εἰκόνος τοῦ Δεσπότου Χριστοῦ.

ΕΥΧΗ Α'.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐμβάλλοντι εἰς τὸ στόμα ἡμῶν λόγον αἰνέσεως τοῦ προσκυνεῖν καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· καὶ δεόμεθα τοῖς σοῖς οἰκτιρμοῖς, οἷς πάντοτε ἐχρήσω περὶ τὴν ἡμετέραν ζωήν. Καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σου ἐπὶ τοὺς ἑστῶτας πρὸ προσώπου τῆς ἁγίας δόξης σου καὶ ἀπεκδεχο-

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ.

Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν καὶ οἱ ἐγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.

Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.

μένους τὸ παρὰ σοῦ πλούσιον ἔλεος· καὶ δὸς αὐτοῖς μετὰ φόβου καὶ ἀγάπης πάντοτε σοὶ λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν τὴν ἀνεκδιήγητόν σου ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Β'.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεὸς ἡμῶν, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς· δικαιοσύνην καὶ ἁγιασμὸν ἐπιτελεῖν ἐν τῷ φόβῳ σου συνέτισον ἡμᾶς. Σὲ γὰρ

Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου.

Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.

Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Καὶ πάλιν·

Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

δοξάζομεν τὸν ὄντως ὄντα Θεὸν ἡμῶν· κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν. Καὶ μνήσθητι, Κύριε, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν πάντων κατ' ὄνομα καὶ σῶσον αὐτοὺς τῇ δυνάμει σου· εὐλόγησον τὸν λαόν σου καὶ ἁγίασον τὴν κληρονομίαν σου· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν καὶ παντὶ τῷ λαῷ σου.

Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Γ'.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου. Δίδαξον ἡμᾶς, ὁ Θεός, τὴν δικαιοσύνην σου, τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά σου. Φώτι-

ΨΑΛΜΟΣ ΞΒ' (62).

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.

Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.

Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.

Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

σον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον· ἀπέλασον πάντα ζόφον ἀπὸ τῶν καρδιῶν ἡμῶν· χάρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης ἥλιον καὶ ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν διαφύλαξον ἐν τῇ σφραγῖδι τοῦ ἁγίου σου Πνεύματος· κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης δὸς ἡμῖν τὸν ὄρθρον καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει, ἵνα σοι τὰς ἑωθινὰς ἀναπέμπωμεν εὐχάς.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ πάλιν·

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. Ἐκ γ'. Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν.

ΨΑΛΜΟΣ ΠΖ' (87).

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε.

Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

ΕΥΧΗ Δ'.

Δέσποτα ὁ Θεός, ὁ ἅγιος καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ καὶ διαναστήσας πρὸς δοξολογίαν καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος, δυσωπούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας, πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε καὶ κατὰ δύναμιν εὐχαριστοῦντάς σοι καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. Ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ ἡμέρας καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. Μνήσθητι, Κύριε, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, καὶ παντὸς τοῦ λαοῦ σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θα-

Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.

Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ· ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν· διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.

Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;

Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.

Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.

λάσσῃ, τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου δεομένων τῆς σῆς φιλανθρωπίας καὶ βοηθείας, καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος.

Ἵνα, σεσωσμένοι ψυχῇ τε καὶ σώματι πάντοτε διαμένοντες, μετὰ παῤῥησίας δοξάζωμεν τὸ θαυμαστὸν καὶ εὐλογημένον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Ε'.

Ἀγαθῶν θησαυρὲ, πηγὴ ἀέναος, Πάτερ ἅγιε, θαυμαστοποιέ, παντοδύναμε καὶ παντοκράτορ, πάντες σε προσκυνοῦμεν καὶ σοῦ δεόμεθα, τὰ σὰ ἐλέη καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐπικαλούμενοι εἰς βοήθειαν καὶ ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως.

Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν, περιέσχον με ἅμα.

Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

Καὶ πάλιν·

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου· κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

ΨΑΛΜΟΣ ΡΒ' (102).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Μνήσθητι, Κύριε, τῶν σῶν ἱκετῶν· πρόσδεξαι πάντων ἡμῶν τὰς ἐωθινὰς δεήσεις ὡς θυμίαμα ἐνώπιόν σου καὶ μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς, ἀλλὰ πάντας ἡμᾶς περιποίησαι διὰ τῶν οἰκτιρμῶν σου. Μνήσθητι, Κύριε, τῶν ἀγρυπνούντων καὶ ψαλλόντων εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν καὶ τοῦ ἁγίου σου Πνεύματος. Γενοῦ αὐτῶν βοηθὸς καὶ ἀντιλήπτωρ· πρόσδεξαι αὐτῶν τὰς ἱκεσίας εἰς τὸ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

ΕΥΧΗ ΣΤ'.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διαπαντὸς πρὸς σὲ ἀποβλέπωμεν, τὸν σωτῆρα καὶ εὐεργέτην τῶν ἡμετέρων ψυχῶν· ὅτι διανέπαυσας ἡμὰς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ καὶ ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἔστησας εἰς προσκύνησιν τοῦ τιμίου ὀνόματός σου. Διὸ δεόμεθά σου, Κύριε· Δὸς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς καὶ προσεύχεσθαι ἀδιαλείπτως, ἐν φόβῳ καὶ τρόμῳ τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι διὰ τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καὶ τῶν ἐν νυκτὶ πρὸς σὲ βοώντων· ἐπάκουσον αὐτῶν καὶ ἐλέησον καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐχθρούς.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Ζ'.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν καὶ πρόσδεξαι ἡμῶν τὰς κατὰ δύναμιν εὐχαριστίας· καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου, ὅτι προσεύξασθαι καθ' ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σύ, Κύριε, τῷ Πνεύματί σου τῷ ἁγίῳ ὁδηγήσῃς ἡ-

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

μᾶς. Διὸ δεόμεθά σου, εἴ τι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἐν λόγῳ ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ἑκουσίως ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον. Ἐὰν γὰρ ἀνομίας παρατηρῇσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις. Σὺ εἶ μόνος ἅγιος, βοηθός, κραταιὸς ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Η'.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥαθυμίαν ἀποσκεδάσας ἀφ' ἡμῶν καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ τοῦ καὶ ἐν νυκτὶ ἐπᾶραι τὰς χεῖρας ἡμῶν καὶ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τὰς δεήσεις ἡμῶν, τὰς ἐντεύξεις, τὰς ἐξομολογήσεις, τὰς νυκτερινὰς λατρείας· καὶ χάρισαι ἡμῖν, ὁ Θεός, πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον. Εὐλόγησον ἡμῶν εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις· καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τὰς ἀρχὰς τῆς ἡμέρας, αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα.

Ὅτι ηὐλόγηται τὸ πανάγιόν σου ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

ΕΥΧΗ Θ'.

Λάμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν φρονοῦντες καὶ πράττοντες.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Ι'.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος καὶ τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καὶ ἐξομολογήσεως τὴν τοῦ προφήτου Δαβὶδ μετάνοιαν πρὸς συγχώρησιν ὑποδείξας, αὐτός, Δέσποτα, πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν· ὅτι σοὶ ἡμάρτομεν, Κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι, καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν

ΨΑΛΜΟΣ ΡΜΒ' (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς καὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ' εὐδόκησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς προσφέρειν σοι θυσίαν δικαιοσύνης καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις.

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΙΑ'.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν· πρόσδεξαι ἡμῶν μετὰ τῶν κτισμάτων σου πάντων τὴν κατὰ δύναμιν δοξολογίαν καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν· μόνος γὰρ εἶ Θεὸς ἀληθινὸς καὶ πολυέλεος.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΙΒ'.

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν καὶ εὐχαριστοῦμέν σοι, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτὸς καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα· ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεόν. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς δικαιοσύνης σου· φώτισον τὸν νοῦν ἡμῶν καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον· ὅτι παρὰ σοὶ ἐστιν ἡ πηγὴ τῆς ζωῆς· καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ πάλιν·

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (Ἐκ β΄).

Εἶτα·

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός.

Ἐκ γ΄. Μετὰ δὲ τὸ τρίτον·

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Πληρωθέντος τοῦ ἑξαψάλμου λέγει ὁ ἱερεὺς τὰ εἰρηνικά, ὁ δὲ χορὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.

(Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν.)

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς ἢ τῆς χώρας ἢ τῆς νήσου) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ Θεὸς Κύριος μετὰ τῶν στίχων αὐτοῦ εἰς τὸν ἦχον τοῦ ἀπολυτικίου τῆς ἡμέρας.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα ψάλλομεν τὸ ἀναστάσιμον ἀπολυτίκιον τοῦ τυχόντος ἤχου καὶ τὸ θεοτοκίον αὐτοῦ ἢ τὸ ἀπολυτίκιον τῆς τυχούσης ἑορτῆς.

[Ἀκολούθως στιχολογοῦνται τὰ ὡρισμένα καθίσματα τοῦ Ψαλτηρίου].(*)

Ὁ ἱερεὺς τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας, ἀχράντου...

Καὶ τὴν ἐκφώνησιν·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα τοῦ τυχόντος ἤχου ἢ τὰ τῆς ἑορτῆς.

Κατὰ δὲ τὰς Κυριακὰς μετὰ τὰ καθίσματα ψάλλονται τὰ

ΑΝΑΣΤΑΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος* κατεπλάγη ὁρῶν σε* ἐν νεκροῖς λογισθέντα,* τοῦ θανάτου δέ, Σῶτερ,* τὴν ἰσχὺν καθελόντα* καὶ σὺν ἑαυτῷ* τὸν Ἀδὰμ ἐγείραντα* καὶ ἐξ ᾅδου* πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα* συμπαθῶς τοῖς δάκρυσιν,* ὦ μαθήτριαι, κιρνᾶτε;* ὁ ἀστράπτων* ἐν τῷ τάφῳ ἄγγελος* προσεφθέγγετο ταῖς μυροφόροις·* Ἴδετε ὑμεῖς* τὸν τάφον καὶ ἤσθητε·* ὁ Σωτὴρ γὰρ* ἐξανέστη τοῦ μνήματος.

(*) Τὸ Ψαλτήριον εἰς τοὺς ἐνοριακοὺς ναοὺς παραλείπεται. Διὰ τοῦτο αἱ σχετικαὶ διατάξεις σημειώνονται ἐντὸς ἀγκυλῶν, καθὼς καὶ αἱ ἀφορῶσαι εἰς τὰς παραλειπομένας ᾠδὰς τῶν κανόνων.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωΐ* μυροφόροι ἔδραμον* πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι·* ἀλλ' ἐπέστη* πρὸς αὐτὰς ὁ ἄγγελος* καὶ εἶπε·* Θρήνου ὁ καιρὸς* πέπαυται, μὴ κλαίετε·* τὴν ἀνάστασιν δὲ* ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες* μετὰ μύρων ἐλθοῦσαι* πρὸς τὸ μνῆμά σου, Σῶτερ,* ἐνηχοῦντο, ἀγγέλου* πρὸς αὐτὰς φθεγγομένου·* Τί μετὰ νεκρῶν* τὸν ζῶντα λογίζεσθε;* ὡς Θεὸς γὰρ* ἐξανέστη τοῦ μνήματος.

Δόξα. Τριαδικόν.

Προσκυνοῦμεν Πατέρα* καὶ τὸν τούτου Υἱόν τε* καὶ τὸ ἅγιον Πνεῦμα·* τὴν ἁγίαν Τριάδα* ἐν μιᾷ τῇ οὐσίᾳ,* σὺν τοῖς Σεραφὶμ* κράζοντες τό· Ἅγιος* ἅγιος, ἅγιος εἶ, Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην τεκοῦσα,* ἐλυτρώσω, Παρθένε,* τὸν Ἀδὰμ ἁμαρτίας·* χαρμονὴν δὲ τῇ Εὔᾳ* ἀντὶ λύπης παρέσχες·* ῥεύσαντα ζωῆς,* ἴθυνε πρὸς ταύτην δὲ* ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (Ἐκ γ').

Ὁ ἱερεὺς τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας...

Καὶ τὴν ἐκφώνησιν.

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἀναγνώστης τὴν ὑπακοὴν τοῦ ἤχου.

Καὶ ψάλλονται οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου καὶ ἀκολούθως οἱ κανόνες, ὁ ἀναστάσιμος τοῦ τυχόντος ἤχου καὶ ὁ τοῦ Μηναίου.

• • •

Κατὰ δὲ τὰς δεσποτικὰς ἑορτὰς καὶ τὰς ἐκτὸς Κυριακῆς θεομητορικὰς ἑορτὰς καὶ μνήμας τῶν ἐπισήμων ἁγίων μετὰ τὰ καθίσματα ψάλλεται

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου.(*)

Ἐκ νεότητός μου* πολλὰ πολεμεῖ με πάθη·* ἀλλ' αὐτὸς ἀντιλαβοῦ* καὶ σῶσον, Σωτήρ μου. (Δὶς)

Οἱ μισοῦντες Σιῶν* αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου·* ὡς χόρτος γὰρ πυρὶ* ἔσεσθε ἀπεξηραμμένοι. (Δὶς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἁγίῳ Πνεύματι* πᾶσα ψυχὴ ζωοῦται* καὶ καθάρσει ὑψοῦται,* λαμπρύνεται,* τῇ τριαδικῇ Μονάδι* ἱεροκρυφίως.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι* ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα,* ἀρδεύοντα ἅπασαν τὴν κτίσιν* πρὸς ζωογονίαν.

Καὶ τὸ προκείμενον τῆς ἑορτῆς.

Εἶτα ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ Πᾶσα πνοή, εἰς ἦχον β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (Δὶς)

Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

(*) Κατὰ τὰς ἐν Κυριακῇ Θεομητορικὰς ἑορτὰς ψάλλονται μὲν οἱ ἀναβαθμοὶ τοῦ ἤχου, λέγεται ὅμως τὸ προκείμενον καὶ τὸ Εὐαγγέλιον τῆς ἑορτῆς καὶ μετ' αὐτὸ τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι... καὶ ὁ Ν΄ Ψαλμὸς χῦμα.

Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Ὁ διάκονος·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ χορός· Κύριε, ἐλέησον. (Τρὶς)

Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ (Ματθαῖον, ἢ Μᾶρκον, ἢ Λουκᾶν, ἢ Ἰωάννην) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ὁ ἱερεὺς ἀναγινώσκει ἀπὸ τῆς Ὡραίας Πύλης τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου τῆς ἑορτῆς.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης τὸν Ν' Ψαλμόν.

ΨΑΛΜΟΣ Ν' (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ ψάλλονται τὰ ὡρισμένα δι' ἑκάστην ἑορτὴν τροπάρια.

Εἶτα ὁ διάκονος·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστα-

σίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, πατριαρχῶν Ἀλεξανδρείας· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἁγίου (τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων· ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ χορός· Κύριε, ἐλέησον, ιβ΄.

Ὁ ἱερεὺς τὴν ἐκφώνησιν.

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται οἱ κανόνες τῆς ἑορτῆς.

* * *

Μετὰ τὴν γ΄ ᾠδὴν τῶν κανόνων·

Ὁ διάκονος· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ μεσῴδια καθίσματα.

[Ἀκολούθως ψάλλονται αἱ ᾠδαὶ δ΄, ε΄ καὶ στ΄].

Ὁ διάκονος· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς πανα-γίας...

Ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἀναγνώστης τὸ κοντάκιον, τὸν οἶκον καὶ τὸ συναξάριον τῆς ἡμέρας.

[Ἀκολούθως ψάλλονται αἱ λοιπαὶ ᾠδαὶ τῶν κανόνων].

Εἶτα ψάλλονται αἱ καταβασίαι τῆς περιόδου.

ΚΑΤΑΒΑΣΙΑΙ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

ψαλλόμεναι ἀπὸ τῆς ἀποδόσεως τῆς ἑορτῆς τῆς Ὑπαπαντῆς μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου, τῇ Β΄, Δ΄ καὶ Ε΄ Κυριακῇ τῶν νηστειῶν, ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων πάντων μέχρι ΚΣΤ΄ Ἰουλίου καὶ ἀπὸ τῆς ἀποδόσεως τῆς ἑορτῆς τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ μέχρι τῆς Ζ΄ Νοεμβρίου(*).

Ἦχος δ΄. ὨΙδὴ α΄.

Ἀνοίξω τὸ στόμα μου* καὶ πληρωθήσεται πνεύματος* καὶ λόγον ἐρεύξομαι* τῇ βασιλίδι Μητρί* καὶ ὀφθήσομαι* φαιδρῶς πανηγυρίζων* καὶ ᾄσω γηθόμενος* ταύτης τὰ θαύματα.

ὨΙδὴ γ΄.

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,* ὡς ζῶσα καὶ ἄφθονος πηγή,* θίασον συγκροτήσαντας* πνευματικόν, στερέωσον* καὶ ἐν τῇ θείᾳ δόξῃ σου* στεφάνων δόξης ἀξίωσον.

(*) Αἱ καταβασίαι τῶν ἄλλων περιόδων παρατίθενται εἰς τὰς οἰκείας ἑορτάς.

Ὠδὴ δ'.

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν* τῆς ἐκ τῆς Παρθένου σαρκώσεως* σοῦ τοῦ Ὑψίστου* ὁ προφήτης Ἀββακοὺμ* κατανοῶν ἐκραύγαζε·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'.

Ἐξέστη τὰ σύμπαντα* ἐπὶ τῇ θείᾳ δόξῃ σου·* σὺ γάρ, ἀπειρόγαμε Παρθένε,* ἔσχες ἐν μήτρᾳ* τὸν ἐπὶ πάντων Θεὸν* καὶ τέτοκας ἄχρονον Υἱόν,* πᾶσι τοῖς ὑμνοῦσί σε* σωτηρίαν βραβεύοντα.

Ὠδὴ στ'.

Τὴν θείαν ταύτην καὶ πάντιμον* τελοῦντες ἑορτὴν οἱ θεόφρονες* τῆς Θεομήτορος,* δεῦτε τὰς χεῖρας κροτήσωμεν,* τὸν ἐξ αὐτῆς τεχθέντα* Θεὸν δοξάζοντες.

Ὠδὴ ζ'.

Οὐκ ἐλάτρευσαν* τῇ κτίσει οἱ θεόφρονες* παρὰ τὸν κτίσαντα·* ἀλλὰ πυρὸς ἀπειλὴν* ἀνδρείως πατήσαντες* χαίροντες ἔψαλλον·* Ὑπερύμνητε,* ὁ τῶν πατέρων Κύριος* καὶ Θεὸς εὐλογητὸς εἶ.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η'.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ* ὁ τόκος τῆς Θεοτόκου διεσώσατο,* τότε μὲν τυπούμενος·* νῦν δὲ ἐνεργούμενος* τὴν οἰκουμένην ἅπασαν* ἀγείρει ψάλλουσαν·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

* * *

Κατὰ τὰς Κυριακὰς μετὰ τὴν καταβασίαν τῆς η' ᾠδῆς λέγει

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν...

Καὶ ψάλλεται τὸ Πᾶσα πνοὴ (σ. 102).

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ. (σ. 103).

Καὶ ὁ ἱερεὺς ἱστάμενος εἰς τὸ δεξιὸν μέρος τῆς ἁγίας Τραπέζης ἀναγινώσκει τὸ ὡρισμένον ἀναστάσιμον Ἑωθινὸν Εὐαγγέλιον.(*)

ΤΑ ΕΝΔΕΚΑ ΕΩΘΙΝΑ ΑΝΑΣΤΑΣΙΜΑ ΕΥΑΓΓΕΛΙΑ

ΕΩΘΙΝΟΝ ΠΡΩΤΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα (κη΄ 16-20).

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

ΕΩΘΙΝΟΝ ΔΕΥΤΕΡΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ιστ΄ 1-8).

Διαγενομένου τοῦ Σαββάτου Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν. Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. Καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.

Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.

Καὶ ἐξελθοῦσαι ταχύ, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

ΕΩΘΙΝΟΝ ΤΡΙΤΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ιστ΄ 9-20).

Ἀναστὰς ὁ Ἰησοῦς πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. Κἀκεῖνοι, ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν.

Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. Κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν.

Ὕστερον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν.

Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.

(*) Ἡ κατὰ σειρὰν ἀνάγνωσις τῶν ἑωθινῶν Εὐαγγελίων ἄρχεται ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων πάντων καὶ συνεχίζεται μέχρι τῆς Ε΄ Κυριακῆς τῶν νηστειῶν τοῦ ἑπομένου ἔτους.

ΕΩΘΙΝΟΝ ΤΕΤΑΡΤΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κδ' 1-12).

Τῇ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ.

Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου καὶ ἰδοὺ δύο ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν εἶπον πρὸς αὐτάς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.

Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ, καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἵ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

ΕΩΘΙΝΟΝ ΠΕΜΠΤΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κδ' 12-35).

Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

Καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἰερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς. Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο

ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς· οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν.

Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλὴμ καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ, ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον.

Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ προφῆται! οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ.

Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτὸν λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν.

Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς Ἰερουσαλήμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας ὅτι ἠγέρθη ὁ Κύριος ὄντως καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

ΕΩΘΙΝΟΝ ΕΚΤΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κδ' 36-53).

Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν ἔστη ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν. Καὶ εἶπεν αὐτοῖς· Τί τεταραγμένοι ἐστέ, καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπών, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος καὶ ἀπὸ μελισσίου κηρίου, καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν.

Εἶπε δὲ αὐτοῖς· Οὗτοι οἱ λόγοι, οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως καὶ προφήταις καὶ ψαλμοῖς περὶ ἐμοῦ.

Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γραφάς, καὶ εἶπεν αὐτοῖς ὅτι οὕτω γέγραπται καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἰερουσαλήμ. Ὑμεῖς δέ ἐστε μάρτυρες τούτων. Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἰερουσαλὴμ ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.

Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν, καὶ ἐπάρας

τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς διέστη ἀπ' αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτόν, ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ μετὰ χαρᾶς μεγάλης, καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

ΕΩΘΙΝΟΝ ΕΒΔΟΜΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (κ' 1-10).

Τῇ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ· καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον, καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπίστευσεν. Οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.

ΕΩΘΙΝΟΝ ΟΓΔΟΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (κ' 11-18).

Τῷ καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τῷ μνημείῳ κλαίουσα ἔξω. Ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις; Λέ-

γει αὐτοῖς· Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.

Καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς ἐστι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐτὸν ἀρῶ. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη λέγει αὐτῷ· Ῥαββουνί, ὃ λέγεται Διδάσκαλε. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

ΕΩΘΙΝΟΝ ΕΝΑΤΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (κ΄ 19-31).

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν. Καθὼς ἀπέσταλκέ με ὁ Πατήρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.

Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ καὶ Θωμᾶς μετ' αὐτῶν. Ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· Εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Καὶ ἀπεκρίθη ὁ Θωμᾶς καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες.

Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

ΕΩΘΙΝΟΝ ΔΕΚΑΤΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (κα' 1-14).

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως. Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον καὶ ἐνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.

Πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ· Οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, (ἦν γὰρ γυμνός), καὶ

ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων), σύροντες τὸ δίκτυον τῶν ἰχθύων.

Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν· Σὺ τίς εἶ; εἰδότες ὅτι ὁ Κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν.

ΕΩΘΙΝΟΝ ΕΝΔΕΚΑΤΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (κα' 14-25).

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν· καὶ λέγει τῷ Σίμωνι Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, Φιλεῖς με, καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν.

Καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος

αὐτοῦ καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; Τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σὺ ἀκολούθει μοι. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνῄσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνῄσκει, ἀλλ', Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;

Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

Μετὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου·

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι,* προσκυνήσωμεν ἅγιον Κύριον* Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον.* Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν,* καὶ τὴν ἁγίαν σου ἀνάστασιν* ὑμνοῦμεν καὶ δοξάζομεν·* σὺ γὰρ εἶ Θεὸς ἡμῶν,* ἐκτός σου ἄλλον οὐκ οἴδαμεν,* τὸ ὄνομά σου ὀνομάζομεν.* Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν* τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν·* ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ* χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ.* Διαπαντὸς εὐλογοῦντες τὸν Κύριον* ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ.* Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς* θανάτῳ θάνατον ὤλεσεν.

Καὶ ψάλλεται ὑπὸ τῶν χορῶν κατὰ στίχον ὁ Ν' Ψαλμὸς (σελ. 103). Καὶ μετ' αὐτὸν τὰ ἑξῆς.

Δόξα Πατρί. Ἦχος β'.

Ταῖς τῶν ἀποστόλων* πρεσβείαις, ἐλεῆμον,* ἐξάλειψον τὰ πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου* πρεσβείαις, ἐλεῆμον,* ἐξάλειψον τὰ πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου,* καθὼς προεῖπεν,* ἔδωκεν ἡμῖν* τὴν αἰώνιον ζωὴν* καὶ μέγα ἔλεος.

Κατὰ δὲ τὰς Κυριακὰς τοῦ Τριῳδίου ἀντὶ τῶν ἀνωτέρω ψάλλονται τὰ ἑξῆς·

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας, Ζωοδότα·* ὀρθρίζει γὰρ τὸ πνεῦμά μου* πρὸς ναὸν ἁγιόν σου,* ναὸν φέρον τοῦ σώματος* ὅλον ἐσπιλωμένον·* ἀλλ᾽ ὡς οἰκτίρμων κάθαρον* εὐσπλάγχνῳ σου ἐλέει.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους, Θεοτόκε·* αἰσχραῖς γὰρ κατερρύπωσα* τὴν ψυχὴν ἁμαρτίαις* ὡς ῥαθύμως τὸν βίον μου* ὅλον ἐκδαπανήσας·* ταῖς σαῖς πρεσβείαις ῥῦσαί με* πάσης ἀκαθαρσίας.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν* ἐννοῶν ὁ τάλας,* τρέμω τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως·* ἀλλὰ θαρρῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου* ὡς ὁ Δαβὶδ βοῶ σοι·* Ἐλέησόν με, ὁ Θεός,* κατὰ τὸ μέγα σου ἔλεος.

Εἶτα ὁ διάκονος· Σῶσον, ὁ Θεός, τὸν λαόν σου (σ. 104).
Οἱ χοροὶ τὸ Κύριε, ἐλέησον ιβ΄.
Ὁ ἱερεύς· Ἐλέει καὶ οἰκτιρμοῖς...

* * *

Καὶ ἐκφωνεῖ ὁ διάκονος·

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Καὶ οἱ χοροὶ ψάλλουσι κατὰ μὲν τὰς Κυριακὰς καὶ τὰς μνήμας τῶν ἁγίων τὴν ᾠδὴν τῆς Θεοτόκου, κατὰ δὲ τὰς δεσποτικὰς καὶ θεομητορικὰς ἑορτὰς τὴν θ' ᾠδὴν τῶν κανόνων.

Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

(Λουκ. α' 47-55)

Τὸν Υἱὸν ὑμνεῖ καὶ Θεὸν Μήτηρ Κόρη.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον,* σὲ μεγαλύνομεν.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Ἡ καταβασία.

Ἅπας γηγενής* σκιρτάτω τῷ πνεύματι* λαμπαδουχούμενος·* πανηγυριζέτω δὲ* ἄϋλων νόων* φύσις γεραίρουσα* τὴν ἱερὰν πανήγυριν* τῆς Θεομήτορος* καὶ βοάτω·* Χαίροις, παμμακάριστε* Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Ὁ διάκονος· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ ἐξαποστειλάρια τῆς τυχούσης ἑορτῆς.

Κατὰ δὲ τὰς Κυριακὰς ψάλλεται πρῶτον τό·

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (Ἐκ γ').

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Εἶτα ψάλλεται τὸ ἀναστάσιμον ἐξαποστειλάριον τῆς σειρᾶς μετὰ τοῦ Θεοτοκίου αὐτοῦ.(*) Ἐὰν ὅμως ἔχῃ καὶ τὸ Μηναῖον ἐξαποστειλάριον, μετὰ τὸ ἀναστάσιμον, παραλειπομένου τοῦ ἀντιστοίχου Θεοτοκίου, ψάλλεται τὸ τοῦ Μηναίου μετὰ τοῦ Θεοτοκίου αὐτοῦ. Τὸ αὐτὸ γίνεται καὶ κατὰ τὰς Κυριακὰς τοῦ Τριῳδίου.

(*) Τὰ ἀναστάσιμα ἐξαποστειλάρια εἶναι ἕνδεκα καὶ ἀντιστοιχοῦν εἰς τὰ ἕνδεκα ἑωθινὰ Εὐαγγέλια, ψάλλονται δὲ κατὰ τὴν αὐτὴν σειρὰν μὲ ἐκεῖνα.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ ΑΝΑΣΤΑΣΙΜΑ

Ποίημα Κωνσταντίνου τοῦ βασιλέως, υἱοῦ Λέοντος τοῦ Σοφοῦ.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Α'.

Τοῖς μαθηταῖς συνέλθωμεν* ἐν ὄρει Γαλιλαίας* πίστει Χριστὸν θεάσασθαι* λέγοντα ἐξουσίαν* λαβεῖν τῶν ἄνω καὶ κάτω·* μάθωμεν πῶς διδάσκει* βαπτίζειν εἰς τὸ ὄνομα* τοῦ Πατρὸς ἔθνη πάντα* καὶ τοῦ Υἱοῦ* καὶ ἁγίου Πνεύματος* καὶ συνεῖναι* τοῖς μύσταις, ὡς ὑπέσχετο,* ἕως τῆς συντελείας.

Θεοτοκίον.

Τοῖς μαθηταῖς συνέχαιρες,* Θεοτόκε Παρθένε,* ὅτι Χριστὸν ἑώρακας* ἀναστάντα ἐκ τάφου* τριήμερον, καθὼς εἶπεν·* οἷς καὶ ὤφθη διδάσκων* καὶ φανερῶν τὰ κρείττονα* καὶ βαπτίζειν κελεύων* ἐν τῷ Πατρὶ* καὶ Υἱῷ καὶ Πνεύματι* τοῦ πιστεύειν* αὐτοῦ ἡμᾶς τὴν ἔγερσιν* καὶ δοξάζειν σε, Κόρη.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Β'.

Τὸν λίθον θεωρήσασαι* ἀποκεκυλισμένον* αἱ μυροφόροι ἔχαιρον·* εἶδον γὰρ νεανίσκον* καθήμενον ἐν τῷ τάφῳ·* καὶ αὐτὸς ταύταις ἔφη·* Ἰδοὺ Χριστὸς ἐγήγερται·* εἴπατε σὺν τῷ Πέτρῳ* τοῖς μαθηταῖς·* Ἐν τῷ ὄρει φθάσατε* Γαλιλαίας·* ἐκεῖ ὑμῖν ὀφθήσεται,* ὡς προεῖπε τοῖς φίλοις.

Θεοτοκίον.

Ἄγγελος μὲν ἐκόμισε* τῇ Παρθένῳ τὸ Χαῖρε* πρὸ σῆς, Χριστέ, συλλήψεως,* ἄγγελος δὲ τὸν λίθον* ἐκύλισέ σου τοῦ τάφου·* ἀντὶ λύπης ὁ μὲν γὰρ* χαρᾶς ἀφράστου σύμβολα,* ὁ δὲ ἀντὶ θανάτου* σὲ χορηγὸν* τῆς ζωῆς κηρύττων* καὶ μεγαλύνων* καὶ λέγων τὴν ἀνάστασιν* γυναιξὶ καὶ τοῖς μύσταις.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Γ'.

Οτι Χριστὸς ἐγήγερται* μή τις διαπιστείτω·* ἐφάνη τῇ Μαρίᾳ γάρ,* ἔπειτα καθωράθη* τοῖς εἰς ἀγρὸν ἀπιοῦσι·* μύσταις δὲ πάλιν ὤφθη* ἀνακειμένοις ἔνδεκα·* οὓς βαπτίζειν ἐκπέμψας,* εἰς οὐρανούς,* ὅθεν καταβέβηκεν,* ἀνελήφθη,* ἐπικυρῶν τὸ κήρυγμα* πλήθεσι τῶν σημείων.

Θεοτοκίον

Ο ἀνατείλας ἥλιος* ἐκ παστοῦ ὡς νυμφίος* ἀπὸ τοῦ τάφου σήμερον* καὶ τὸν ᾅδην σκυλεύσας* καὶ θάνατον καταργήσας,* σὲ τεκούσης πρεσβείαις* φῶς ἡμῖν ἐξαπόστειλον,* φῶς φωτίζον καρδίας* καὶ τὰς ψυχάς,* φῶς βαδίζειν ἅπαντας* ἐμβιβάζον* ἐν τρίβοις προσταγμάτων σου* καὶ ὁδοῖς τῆς εἰρήνης.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Δ'.

Ταῖς ἀρεταῖς ἀστράψαντες,* ἴδωμεν ἐπιστάντας* ἐν ζωηφόρῳ μνήματι* ἄνδρας ἐν ἀστραπτούσαις* ἐσθήσεσι μυροφόροις* κλινούσαις εἰς γῆν ὄψιν·* τοῦ οὐρανοῦ δεσπόζοντος* ἔγερσιν διδαχθῶμεν* καὶ πρὸς ζωὴν* ἐν μνημείῳ δράμωμεν* σὺν τῷ Πέτρῳ* καὶ τὸ πραχθὲν θαυμάσαντες* μείνωμεν Χριστὸν βλέψαι.

Θεοτοκίον.

Τὸ Χαίρετε φθεγξάμενος* διημείψω τὴν λύπην* τῶν προπατόρων, Κύριε,* τὴν χαρὰν ἀντεισάγων* ἐγέρσεώς σου ἐν κόσμῳ·* ταύτης οὖν, ζωοδότα,* διὰ τῆς κυησάσης σε* φῶς φωτίζον καρδίας,* φῶς οἰκτιρμῶν* τῶν σῶν ἐξαπόστειλον* τοῦ βοᾶν σοι·* Φιλάνθρωπε, Θεάνθρωπε,* δόξα τῇ σῇ ἐγέρσει.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ε'.

Η ζωὴ καὶ ὁδὸς Χριστὸς* ἐκ νεκρῶν τῷ Κλεόπᾳ* καὶ τῷ Λουκᾷ συνώδευσεν,* οἵσπερ καὶ ἐπεγνώσθη* εἰς Ἐμμαοὺς κλῶν τὸν ἄρτον·* ὧν ψυχαὶ καὶ καρδίαι* καιόμεναι ἐτύγχανον,* ὅτε τούτοις ἐλάλει* ἐν τῇ ὁδῷ* καὶ γραφαῖς

ἠρμήνευεν,* ἃ ὑπέστη·* μεθ' ὧν, Ἠγέρθη, κράξωμεν,* ὥφθη τε καὶ τῷ Πέτρῳ.

Θεοτοκίον.

Υμνῶ σου τὸ ἀμέτρητον* ἔλεος, ποιητά μου,* ὅτι σαυτὸν ἐκένωσας* τοῦ φορέσαι καὶ σῶσαι* φύσιν βροτῶν κακωθεῖσαν·* καὶ Θεὸς ὢν ἠνέσχου* ἐκ τῆς ἁγνῆς Θεόπαιδος* κατ' ἐμὲ τοῦ γενέσθαι* καὶ κατελθεῖν* μέχρις ᾅδου θέλων με,* Λόγε, σῶσαι* πρεσβείαις τῆς τεκούσης σε,* Δέσποτα πανοικτίρμον.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΣΤ'.

Δεικνύων ὅτι ἄνθρωπος,* Σῶτερ, εἰ κατ' οὐσίαν,* ἀναστὰς ἐκ τοῦ μνήματος* βρώσεως συμμετέσχες* καὶ μέσον στὰς ἐδίδασκες* μετάνοιαν κηρύσσειν·* εὐθὺς δὲ πρὸς οὐράνιον* ἀνελήφθης Πατέρα* καὶ μαθηταῖς* πέμπειν τὸν Παράκλητον* ἐπηγγείλω.* Ὑπέρθεε, Θεάνθρωπε,* δόξα τῇ σῇ ἐγέρσει.

Θεοτοκίον

Ο ποιητὴς τῆς κτίσεως* καὶ Θεὸς τῶν ἁπάντων* σάρκα βροτείαν ἔλαβεν* ἐξ ἀχράντων αἱμάτων* σοῦ, παναγία Παρθένε·* καὶ γὰρ φθαρεῖσαν πᾶσαν* τῆν φύσιν ἐκαινούργησε* πάλιν ὡς πρὸ τοῦ τόκου* καταλιπὼν* μετὰ τόκον ὅθεν* πιστῶς σε πάντες* ἀνευφημοῦμεν κράζοντες·* Χαῖρε, Δέσποινα κόσμου.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ζ'.

Οτι ἦραν τὸν Κύριον* τῆς Μαρίας εἰπούσης,* ἐπὶ τὸν τάφον ἔδραμον* Σίμων Πέτρος καὶ ἄλλος* μύστης Χριστοῦ, ὃν ἠγάπα·* ἔτρεχον δὲ οἱ δύο,* καὶ εὗρον τὰ ὀθόνια* ἔνδον κείμενα μόνα,* καὶ κεφαλῆς* ἦν δὲ τὸ σουδάριον* χωρὶς τούτων·* διὸ πάλιν ἡσύχασαν,* τὸν Χριστὸν ἕως εἶδον.

Θεοτοκίον.

Μεγάλα καὶ παράδοξα* δι' ἐμὲ κατειργάσω,* Χριστέ μου πολυέλεε·* ἐκ παρθένου γὰρ κόρης* ἐτέχθης ἀνερμηνεύτως* καὶ Σταυρὸν κατεδέξω*, καὶ θάνατον ὑπομείνας* ἐξανέστης ἐν δόξῃ* καὶ τὴν ἡμῶν* φύσιν ἠλευθέρωσας* τοῦ θανάτου.* Δόξα, Χριστέ, τῇ δόξῃ σου·* δόξα τῇ σῇ δυνάμει.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Η'.

Δύο ἀγγέλους βλέψασα* ἔνδοθεν τοῦ μνημείου* Μαρία ἐξεπλήττετο,* καὶ Χριστὸν ἀγνοοῦσα* ὡς κηπουρὸν ἐπηρώτα·* Κύριε, ποῦ τὸ σῶμα* τοῦ Ἰησοῦ μου τέθεικας;* Κλήσει δὲ τοῦτον γνοῦσα* εἶναι αὐτὸν* τὸν Σωτῆρα, ἤκουσε·* Μή μου ἅπτου·* πρὸς τὸν Πατέρα ἄπειμι,* εἰπὲ τοῖς ἀδελφοῖς μου.

Θεοτοκίον.

Τριάδος, Κόρη, τέτοκας* ἀπορρήτως τὸν ἕνα* διπλοῦν τῇ φύσει πέλοντα* καὶ διπλοῦν ἐνεργείᾳ* καὶ ἕνα τῇ ὑποστάσει·* τοῦτον οὖν ἐκδυσώπει* ἀεὶ ὑπὲρ τῶν πίστει σε* προσκυνούντων ἐκ πάσης* ἐπιβουλῆς* τοῦ ἐχθροῦ λυτρώσασθαι,* ὅτι πάντες* πρὸς σὲ νῦν καταφεύγομεν,* Δέσποινα Θεοτόκε.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Θ'.

Συγκεκλεισμένων, Δέσποτα,* τῶν θυρῶν ὡς εἰσῆλθες,* τοὺς ἀποστόλους ἔπλησας* Πνεύματος παναγίου* εἰρηνικῶς ἐμφυσήσας·* οἷς δεσμεῖν τε καὶ λύειν* τὰς ἁμαρτίας εἴρηκας·* καὶ ὀκτὼ μεθ' ἡμέρας* τὴν σὴν πλευρὰν* τῷ Θωμᾷ ὑπέδειξας* καὶ τὰς χεῖρας.* Μεθ' οὗ βοῶμεν· Κύριος* καὶ Θεὸς σὺ ὑπάρχεις.

Θεοτοκίον.

Τὸν σὸν Υἱὸν ὡς ἔβλεψας* ἀναστάντα ἐκ τάφου* τριήμερον, Θεόνυμφε,* παναγία Παρθένε,* ἅπασαν θλῖψιν ἀπέθου,* ἣν ὑπέστης ὡς μήτηρ,* ὅτε κατεῖδες πάσχοντα·*

καὶ χαρᾶς ἐμπλησθεῖσα* σὺν τοῖς αὐτοῦ* μαθηταῖς γεραίρουσα* τοῦτον ὕμνεις.* Διὸ τοὺς Θεοτόκον σε* νῦν κηρύττοντας σῷζε.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ Ι'.

Τιβεριάδος θάλασσα* σὺν παισὶ Ζεβεδαίου,* Ναθαναὴλ τῷ Πέτρῳ τε,* σὺν δυσὶν ἄλλοις πάλαι* καὶ Θωμᾶν εἶχε πρὸς ἄγραν·* οἳ Χριστοῦ τῇ προστάξει* ἐν δεξιοῖς χαλάσαντες* πλῆθος εἶλκον ἰχθύων·* ὃν Πέτρος γνούς,* πρὸς αὐτὸν ἐνήχετο·* οἷς τὸ τρίτον* φανεὶς καὶ ἄρτον ἔδειξε* καὶ ἰχθὺν ἐπ' ἀνθράκων.

Θεοτοκίον.

Τὸν ἀναστάντα Κύριον* τριήμερον ἐκ τάφου,* Παρθένε, καθικέτευε* ὑπὲρ τῶν σὲ ὑμνούντων* καὶ πόθῳ μακαριζόντων·* σὲ γὰρ ἔχομεν πάντες* καταφυγὴν σωτήριον* καὶ μεσῖτιν πρὸς τοῦτον·* κλῆρος γὰρ σὸς* καὶ οἰκέται πέλομεν,* Θεοτόκε,* καὶ πρὸς τὴν σὴν ἀντίληψιν* ἅπαντες ἀφορῶμεν.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΙΑ'.

Μετὰ τὴν θείαν ἔγερσιν* τρὶς τῷ Πέτρῳ· Φιλεῖς με;* πυθόμενος ὁ Κύριος,* τῶν ἰδίων προβάτων* προβάλλεται ποιμενάρχην·* ὃς ἰδὼν ὃν ἠγάπα* ὁ Ἰησοῦς ἑπόμενον,* ἤρετο τὸν Δεσπότην·* Οὗτος δὲ τί;* Ἐὰν θέλω, ἔφησε,* μένειν τοῦτον* ἕως καὶ πάλιν ἔρχομαι,* τί πρὸς σέ, φίλε Πέτρε;

Θεοτοκίον.

Ὢ φοβερὸν μυστήριον!* ὦ παράδοξον θαῦμα!* διὰ θανάτου θάνατος* παντελῶς ἠφανίσθη* καὶ κόσμος ἀνεκαινίσθη.* Τίς οὖν μὴ ἀνυμνήσει* καὶ τίς μὴ προσκυνήσει σου* τὴν ἀνάστασιν, Λόγε,* καὶ τὴν ἀγνῶς* ἐν σαρκὶ τεκοῦσάν σε* Θεοτόκον;* Ἧς ταῖς πρεσβείαις ἅπαντας* λύτρωσαι τῆς γεέννης.

Μετὰ τὰ ἐξαποστειλάρια ψάλλονται εἰς τὸν τυχόντα ἦχον οἱ αἶνοι καὶ τὰ στιχηρὰ αὐτῶν.

ΟΙ ΑΙΝΟΙ(*)

ΨΑΛΜΟΣ ΡΜΗ' (148).

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου· ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων,

(*) Γενικῶς εἰς τὰς ἑνορίας ψάλλονται μόνον οἱ δύο πρῶτοι στίχοι τοῦ ρμη' Ψαλμοῦ καὶ ἐκ τῶν τελευταίων ὅσοι ἀπαιτοῦνται διὰ τὰ στιχηρὰ τῆς ἡμέρας.

αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ΨΑΛΜΟΣ ΡΜΘ' (149).

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν,

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς,

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς,

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ στιχηρά, ὅταν εἶναι η' ἢ στ').

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ΨΑΛΜΟΣ ΡΝ' (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ στιχηρά, ὅταν εἶναι δ').

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Κατὰ τὰς Κυριακὰς προστίθενται καὶ οἱ ἑξῆς στίχοι·

Στίχ. α'. Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Στίχ. β'. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Ὅταν ὅμως ἐν Κυριακῇ συμπίπτῃ Θεομητορικὴ ἑορτὴ ἢ μνήμη ἁγίου ἔχοντος στιχηρά, τότε ψάλλονται δ' ἀναστάσιμα στιχηρὰ καὶ δ' τῆς ἑορτῆς ἢ τοῦ ἁγίου, εἰς δὲ τὰ δύο τελευταῖα ἀντὶ τῶν ἀνωτέρω στίχων λέγονται οἱ τῆς ἑορτῆς ἢ τοῦ ἁγίου.

Εἶτα ψάλλεται τὸ δοξαστικὸν τῆς τυχούσης ἑορτῆς. Κατὰ τὰς Κυριακὰς τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου ψάλλεται τὸ ἰδιόμελον ἑκάστης Κυριακῆς. Κατὰ δὲ τὰς λοιπὰς Κυριακὰς ψάλλεται τὸ ἑωθινὸν δοξαστικὸν τῆς σειρᾶς.(*)

ΕΩΘΙΝΑ ΔΟΞΑΣΤΙΚΑ

Ποίημα τοῦ βασιλέως Λέοντος τοῦ Σοφοῦ.

ΕΩΘΙΝΟΝ Α'.

Ἦχος α'.

Εἰς τὸ ὄρος τοῖς μαθηταῖς ἐπειγομένοις* διὰ τὴν χαμόθεν ἔπαρσιν* ἐπέστη ὁ Κύριος* καὶ προσκυνήσαντες αὐτὸν* καὶ τὴν δοθεῖσαν ἐξουσίαν* πανταχοῦ διδαχθέντες,*

(*) Καὶ τὰ ἑωθινὰ δοξαστικὰ εἶναι ἔνδεκα, ὅσα καὶ τὰ ἑωθινὰ Εὐαγγέλια, καὶ ψάλλονται κατὰ τὴν αὐτὴν μὲ ἐκεῖνα σειράν.

εἰς τὴν ὑπ᾽ οὐρανὸν ἐξαπεστέλλοντο* κηρῦξαι τὴν ἐκ νεκρῶν ἀνάστασιν* καὶ τὴν εἰς οὐρανοὺς ἀποκατάστασιν·* οἷς καὶ συνδιαιωνίζειν* ὁ ἀψευδὴς ἐπηγγείλατο,* Χριστὸς ὁ Θεὸς* καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

ΕΩΘΙΝΟΝ Β΄.

Ἦχος β΄.

Μετὰ μύρων προσελθούσαις* ταῖς περὶ τὴν Μαριὰμ γυναιξὶ* καὶ διαπορουμέναις* πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ,* ὡράθη ὁ λίθος μετηρμένος,* καὶ θεῖος νεανίας* καταστέλλων* τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς·* Ἠγέρθη γάρ, φησίν,* Ἰησοῦς ὁ Κύριος·* διὸ κηρύξατε* τοῖς κήρυξιν αὐτοῦ μαθηταῖς* εἰς τὴν Γαλιλαίαν δραμεῖν* καὶ ὄψεσθαι αὐτὸν* ἀναστάντα ἐκ νεκρῶν* ὡς ζωοδότην καὶ Κύριον.

ΕΩΘΙΝΟΝ Γ΄.

Ἦχος γ΄.

Τῆς Μαγδαληνῆς Μαρίας* τὴν τοῦ Σωτῆρος εὐαγγελιζομένης* ἐκ νεκρῶν ἀνάστασιν καὶ ἐμφάνειαν,* διαπιστοῦντες οἱ μαθηταὶ* ὠνειδίζοντο τὸ τῆς καρδίας σκληρόν·* ἀλλὰ τοῖς σημείοις καθοπλισθέντες* καὶ θαύμασι* πρὸς τὸ κήρυγμα ἀπεστέλλοντο.* Καὶ σὺ μέν, Κύριε,* πρὸς τὸν ἀρχίφωτον* ἀνελήφθης Πατέρα·* οἱ δὲ ἐκήρυττον πανταχοῦ τὸν λόγον,* τοῖς θαύμασι πιστούμενοι.* Διὸ οἱ φωτισθέντες δι᾽ αὐτῶν* δοξάζομέν σου* τὴν ἐκ νεκρῶν ἀνάστασιν,* φιλάνθρωπε Κύριε.

ΕΩΘΙΝΟΝ Δ΄.

Ἦχος δ΄.

Ὄρθρος ἦν βαθύς,* καὶ αἱ γυναῖκες ἦλθον* ἐπὶ τὸ μνῆμά σου, Χριστέ·* ἀλλὰ τὸ σῶμα οὐχ εὑρέθη* τὸ ποθούμενον αὐταῖς·* διὸ ἀπορουμέναις* οἱ ταῖς ἀστραπτούσαις* ἐσθήσεσιν ἐπιστάντες,* Τί τὸν ζῶντα μετὰ τῶν νεκρῶν* ζητεῖτε; ἔλεγον·* ἠγέρθη, ὡς προεῖπε·* τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ;* Οἷς πεισθεῖσαι* τὰ ὁραθέντα ἐκήρυττον·*

ἀλλ᾽ ἐδόκει λῆρος τὰ εὐαγγέλια᾽* οὕτως ἦσαν ἔτι νωθεῖς οἱ μαθηταί᾽* ἀλλ᾽ ὁ Πέτρος ἔδραμε,* καὶ ἰδὼν ἐδόξασέ σου* πρὸς ἑαυτὸν τὰ θαυμάσια.

ΕΩΘΙΝΟΝ Ε΄.

Ἦχος πλ. α΄.

Ὢ τῶν σοφῶν σου κριμάτων, Χριστέ!* πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις μόνοις* ἔδωκας ἐννοῆσαί σου τὴν ἀνάστασιν᾽* Λουκᾷ δὲ καὶ Κλεόπᾳ* συμπορευόμενος ὡμίλεις᾽* καὶ ὁμιλῶν* οὐκ εὐθέως ἑαυτὸν φανεροῖς.* Διὸ καὶ ὀνειδίζῃ* ὡς μόνος παροικῶν ἐν Ἰερουσαλὴμ* καὶ μὴ μετέχων* τῶν ἐν τέλει βουλευμάτων αὐτῆς.* Ἀλλ᾽ ὁ πάντα* πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν* καὶ τὰς περὶ σοῦ προφητείας ἀνέπτυξας,* καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον* ἐγνώσθης αὐτοῖς᾽* ὧν καὶ πρὸ τούτου αἱ καρδίαι* πρὸς γνῶσίν σου ἀνεφλέγοντο.* Οἳ καὶ τοῖς μαθηταῖς συνηθροισμένοις* ἤδη τρανῶς ἐκήρυττόν σου τὴν ἀνάστασιν᾽* δι᾽ ἧς ἐλέησον ἡμᾶς.

ΕΩΘΙΝΟΝ ΣΤ΄.

Ἦχος πλ. β΄.

Ἤ ὄντως εἰρήνη σύ, Χριστέ,* πρὸς ἀνθρώπους Θεοῦ,* εἰρήνην τὴν σὴν διδοὺς* μετὰ τὴν ἔγερσιν μαθηταῖς,* ἐμφόβους ἔδειξας αὐτοὺς* δόξαντας πνεῦμα ὁρᾶν᾽* ἀλλὰ κατέστειλας* τὸν τάραχον αὐτῶν τῆς ψυχῆς* δείξας τὰς χεῖρας καὶ τοὺς πόδας σου᾽* πλὴν ἀπιστούντων ἔτι,* τῇ τῆς τροφῆς μεταλήψει* καὶ διδαχῶν ἀναμνήσει* διῆνοιξας αὐτῶν τὸν νοῦν* τοῦ συνιέναι τὰς γραφάς᾽* οἷς καὶ τὴν πατρικὴν ἐπαγγελίαν* καθυποσχόμενος* καὶ εὐλογήσας αὐτοὺς* διέστης πρὸς οὐρανόν.* Διὸ σὺν αὐτοῖς προσκυνοῦμέν σε.* Κύριε, δόξα σοι.

ΕΩΘΙΝΟΝ Ζ'.

Ἦχος βαρύς.

Ἰδοὺ σκοτία καὶ πρωΐ* καὶ τί πρὸς τὸ μνημεῖον,* Μαρία, ἔστηκας,* πολὺ σκότος ἔχουσα ταῖς φρεσίν;* ὑφ' οὗ* ποῦ τέθειται ζητεῖς ὁ Ἰησοῦς* ἀλλ' ὅρα τοὺς συντρέχοντας μαθητάς,* πῶς τοῖς ὀθονίοις* καὶ τῷ σουδαρίῳ* τὴν ἀνάστασιν ἐτεκμήραντο* καὶ ἀνεμνήσθησαν τῆς περὶ τούτου γραφῆς.* Μεθ' ὧν* καὶ δι' ὧν* καὶ ἡμεῖς πιστεύσαντες* ἀνυμνοῦμέν σε τὸν ζωοδότην Χριστόν.

ΕΩΘΙΝΟΝ Η'.

Ἦχος πλ. δ'.

Τὰ τῆς Μαρίας δάκρυα* οὐ μάτην χεῖνται θερμῶς* ἰδοὺ γὰρ κατηξίωται* καὶ διδασκόντων ἀγγέλων* καὶ τῆς ὄψεως τῆς σῆς, ὦ Ἰησοῦ* ἀλλ' ἔτι πρόσγεια φρονεῖ,* οἷα γυνὴ ἀσθενής* διὸ καὶ ἀποπέμπεται* μὴ προσψαῦσαί σοι, Χριστέ* ἀλλ' ὅμως κῆρυξ πέμπεται τοῖς σοῖς μαθηταῖς,* οἷς εὐαγγέλια ἔφησε,* τὴν πρὸς τὸν πατρῷον κλῆρον* ἄνοδον ἀπαγγέλλουσα.* Μεθ' ἧς ἀξίωσον καὶ ἡμᾶς* τῆς ἐμφανείας σου,* Δέσποτα Κύριε.

ΕΩΘΙΝΟΝ Θ'.

Ἦχος πλ. α'.

Ὡς ἐπ' ἐσχάτων τῶν χρόνων,* οὔσης ὀψίας Σαββάτων,* ἐφίστασαι τοῖς φίλοις, Χριστέ,* καὶ θαύματι θαῦμα βεβαιοῖς,* τῇ κεκλεισμένῃ εἰσόδῳ τῶν θυρῶν,* τὴν ἐκ νεκρῶν σου ἀνάστασιν* ἀλλ' ἔπλησας χαρᾶς τοὺς μαθητάς* καὶ Πνεύματος ἁγίου* μετέδωκας αὐτοῖς* καὶ ἐξουσίαν ἔνειμας* ἀφέσεως ἁμαρτιῶν* καὶ τὸν Θωμᾶν οὐ κατέλιπες* τῷ τῆς ἀπιστίας* καταβαπτίζεσθαι κλύδωνι.* Διὸ παράσχου καὶ ἡμῖν* γνῶσιν ἀληθῆ* καὶ ἄφεσιν πταισμάτων,* εὔσπλαγχνε Κύριε.

ΕΩΘΙΝΟΝ Ι'.

Ἦχος πλ. β'.

Μετὰ τὴν εἰς ᾅδου κάθοδον* καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν* ἀθυμοῦντες, ὡς εἰκός,* ἐπὶ τῷ χωρισμῷ σου,* Χριστέ, οἱ μαθηταὶ* πρὸς ἐργασίαν ἐτράπησαν·* καὶ πάλιν πλοῖα καὶ δίκτυα,* καὶ ἄγρα οὐδαμοῦ.* Ἀλλὰ σύ, Σῶτερ, ἐμφανισθείς,* ὡς Δεσπότης πάντων* δεξιοῖς τὰ δίκτυα κελεύεις βαλεῖν·* καὶ ἦν ὁ λόγος ἔργον εὐθύς,* καὶ πλῆθος τῶν ἰχθύων πολύ,* καὶ δεῖπνον ξένον ἕτοιμον ἐν γῇ·* οὗ μετασχόντων τότε σου τῶν μαθητῶν,* καὶ ἡμᾶς νῦν νοητῶς* καταξίωσον ἐντρυφῆσαι,* φιλάνθρωπε Κύριε.

ΕΩΘΙΝΟΝ ΙΑ'.

Ἦχος πλ. δ'.

Φανερῶν ἑαυτὸν* τοῖς μαθηταῖς σου, Σωτήρ,* μετὰ τὴν ἀνάστασιν,* Σίμωνι δέδωκας* τὴν τῶν προβάτων νομήν,* εἰς ἀγάπης ἀντέκτισιν* τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν·* διὸ καὶ ἔλεγες·* Εἰ φιλεῖς με, Πέτρε,* ποίμαινε τἀ ἀρνία μου,* ποίμαινε τὰ πρόβατά μου.* Ὁ δὲ εὐθέως* ἐνδεικνύμενος τὸ φιλόστοργον* περὶ τοῦ ἄλλου μαθητοῦ ἐπυνθάνετο.* Ὢν ταῖς πρεσβείαις, Χριστέ,* τὴν ποίμνην σου διαφύλαττε* ἐκ λύκων λυμαινομένων αὐτήν.

Κατὰ τὰς Κυριακὰς μετὰ τὸ δοξαστικὸν ψάλλεται τὸ παρὸν Θεοτοκίον.

Καὶ νῦν. Ἦχος β'.

Υπερευλογημένη ὑπάρχεις,* Θεοτόκε Παρθένε·* διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος* ὁ ᾅδης ἠχμαλώτισται,* ὁ Ἀδὰμ ἀνακέκληται,* ἡ κατάρα νενέκρωται,* ἡ Εὔα ἠλευθέρωται,* ὁ θάνατος τεθανάτωται,* καὶ ἡμεῖς ἐζωοποιήθημεν·* διὸ ἀνυμνοῦντες βοῶμεν·* Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν,* ὁ οὕτως εὐδοκήσας,* δόξα σοι.

Καὶ ἀκολούθως

Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς.* Δόξα ἐν ὑψίστοις Θεῷ* καὶ ἐπὶ γῆς εἰρήνη,* ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε,* εὐλογοῦμέν σε,* προσκυνοῦμέν σε,* δοξολογοῦμέν σε,* εὐχαριστοῦμέν σοι* διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ,* ἐπουράνιε Θεέ,* Πάτερ παντοκράτορ·* Κύριε Υἱὲ μονογενές,* Ἰησοῦ Χριστέ,* καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός,* ὁ ἀμνὸς τοῦ Θεοῦ,* ὁ Υἱὸς τοῦ Πατρός,* ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου,* ἐλέησον ἡμᾶς,* ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν,* ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός,* καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος,* σὺ εἶ μόνος Κύριος,* Ἰησοῦς Χριστός,* εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε* καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα* καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε,* ἐν τῇ ἡμέρᾳ ταύτῃ* ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν,* καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου* εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε,* τὸ ἔλεός σου ἐφ' ἡμᾶς,* καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε·* δίδαξόν με τὰ δικαιώματά σου. (Ἐκ γ'.).

Κύριε, καταφυγὴ* ἐγενήθης ἡμῖν* ἐν γενεᾷ καὶ γενεᾷ.* Ἐγὼ εἶπα·* Κύριε, ἐλέησόν με·* ἴασαι τὴν ψυχήν μου,* ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον·* δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου,* ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·* ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου* τοῖς γινώσκουσί σε.

῞Αγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς. (Ἐκ γ′).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

῞Αγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ πάλιν γεγωνοτέρᾳ φωνῇ.

῞Αγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς.

Μετὰ τὴν δοξολογίαν κατὰ μὲν τὰς Κυριακὰς ψάλλομεν ἀναστάσιμον τροπάριον· εἰς μὲν τὸν α′, β′, γ′ καὶ δ′ ἦχον τὸ παρόν·

῎Ηχος δ′.

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν·* ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου* καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν·* καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον* τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος.

Εἰς δὲ τὸν πλ. α′, πλ. β′, βαρὺν καὶ πλ. δ′ τὸ παρόν.(*)

῎Ηχος β′.

Ἀναστὰς ἐκ τοῦ μνήματος* καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ ᾅδου* ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου, Κύριε,* πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος·* ἐμφανίσας σεαυτὸν τοῖς ἀποστόλοις σου* ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα* καὶ δι' αὐτῶν τὴν εἰρήνην* παρέσχες τῇ οἰκουμένῃ,* μόνε πολυέλεε.

Κατὰ δὲ τὰς ἑορτὰς τὸ οἰκεῖον ἀπολυτίκιον.

Εἶτα λέγει ὁ διάκονος τὴν Ἐκτενῆ,(**) τῶν χορῶν ψαλλόντων ἐναλλὰξ τὸ Κύριε, ἐλέησον γ′.

(*) Ἡ τάξις αὕτη δὲν τηρεῖται συνήθως εἰς τὰς ἐνορίας, ἀλλὰ ψάλλεται πάντοτε τὸ Σήμερον σωτηρία.

(**) Εἰς τὰς ἐνορίας αἱ ἀκολουθοῦσαι δεήσεις καὶ ἡ ἀπόλυσις λέγονται χαμηλοφώνως κατὰ τὴν διάρκειαν τῆς δοξολογίας, εὐ-

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ ἐνορίᾳ καὶ πόλει ταύτῃ.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνως ὁ ἱερεύς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος·
Πληρώσωμεν τὴν ἐωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ χορός· Κύριε, ἐλέησον.

θὺς δὲ μετ' αὐτὴν καὶ τὸ ἀπολυτίκιον ἄρχεται ἡ Θεία Λειτουργία. Ἐὰν ὅμως ἡ Θ. Λειτουργία δὲν πρόκειται νὰ τελεσθῇ εὐθὺς μετὰ τὸν Ὄρθρον, αἱ δεήσεις καὶ ἡ ἀπόλυσις λέγονται ἐκφώνως μετὰ τὸ ἀπολυτίκιον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Καὶ ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς χαμηλοφώνως.

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶ-

σαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ δεόμεθά σου, ἅγιε ἁγίων· ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴ τι ἡμάρτομεν ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

Ἐκφώνως·

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Εὐλόγησον.

Καὶ ὁ ἱερεύς·

Ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμῶμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἀναγνώστης·

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον,* σὲ μεγαλύνομεν.

Ὁ ἱερεύς· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ'. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ ἱερεὺς τὴν ἀπόλυσιν·

Ο ἀναστὰς ἐκ νεκρῶν (ἢ τὸ χαρακτηριστικὸν τῆς ἑορτῆς) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Οἱ χοροὶ καὶ σύμπας ὁ λαός· Ἀμήν.

Β'.
ΟΡΘΡΟΣ ΤΩΝ ΚΑΘΗΜΕΡΙΝΩΝ ΚΑΙ ΤΩΝ ΣΑΒΒΑΤΩΝ

Εὐλογήσαντος τοῦ ἱερέως λέγεται τὸ Βασιλεῦ οὐράνιε, τὸ Τρισάγιον, τὰ τροπάρια Σῶσον, Κύριε, τὸν λαόν σου, ἡ δέησις, ὁ Ἑξάψαλμος καὶ τὰ Εἰρηνικὰ (βλ. ἅπαντα σελ. 83-99).

Καὶ ψάλλεται τὸ Θεὸς Κύριος μετὰ τῶν στίχων αὐτοῦ (σ. 99) καὶ τὸ ἀπολυτίκιον τῆς ἡμέρας μετὰ τοῦ Θεοτοκίου· ἐὰν δὲ ὁ τυχὼν ἅγιος δὲν ἔχῃ ἀπολυτίκιον, λέγονται τὰ ἑξῆς·

ΑΠΟΛΥΤΙΚΙΑ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

Τῇ Δευτέρᾳ. Ἦχος δ'.

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι,* δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι,* ἵνα ταῖς ὑμῶν δεήσεσι* τειχί-

σητε ἡμᾶς* σκέπῃ τῶν πτερύγων* τῆς ἀΰλου ὑμῶν δόξης,* φρουροῦντες ἡμᾶς προσπίπτοντας* ἐκτενῶς καὶ βοῶντας* Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς* ὡς ταξιάρχαι* τῶν ἄνω δυνάμεων.

Θεοτοκίον.

Τῇ ἀνατραφείσῃ ἐν τῷ ναῷ,* εἰς τὰ ἅγια τῶν ἁγίων,* τῇ περιβεβλημένῃ* τὴν πίστιν καὶ τὴν σοφίαν* καὶ τὴν ἄμεμπτον παρθενίαν* ὁ ἀρχιστράτηγος Γαβριὴλ* προσέφερεν οὐρανόθεν* τὸν ἀσπασμὸν καὶ τὸ Χαῖρε* Χαῖρε εὐλογημένη,* χαῖρε δεδοξασμένη· ὁ Κύριος μετὰ σοῦ.

Τῇ Τρίτῃ. Ἦχος β'.

Μνήμη δικαίου μετ' ἐγκωμίων* σοὶ δὲ ἀρκέσει* ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε* ἀνεδείχθης γὰρ ὄντως* καὶ προφητῶν σεβασμιώτερος,* ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι* κατηξιώθης τὸν κηρυττόμενον* Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας,* χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ* Θεὸν φανερωθέντα ἐν σαρκί,* τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου* καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Θείας γεγόναμεν κοινωνοὶ φύσεως* διὰ σοῦ, Θεοτόκε, ἀειπάρθενε* Θεὸν γὰρ ἡμῖν σεσαρκωμένον τέτοκας* διὸ κατὰ χρέος σε πάντες* εὐσεβῶς μεγαλύνομεν.

Τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ. Ἦχος α'.

Σῶσον, Κύριε, τὸν λαόν σου,* καὶ εὐλόγησον τὴν κληρονομίαν σου,* νίκας τοῖς βασιλεῦσι* κατὰ βαρβάρων δωρούμενος* καὶ τὸ σὸν φυλάττων* διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Σταυροθεοτοκίον.

Οἱ τὴν σὴν προστασίαν,* κεκτημένοι, ἄχραντε,* καὶ ταῖς σαῖς ἱκεσίαις* τῶν δεινῶν ἐκλυτρούμενοι,* τῷ Σταυρῷ τοῦ Υἱοῦ σου* ἐν παντὶ φρουρούμενοι,* κατὰ χρέος σε πάντες* εὐσεβῶς μεγαλύνομεν.

Τῇ Πέμπτῃ. Ἦχος γ΄.

Ἀπόστολοι ἅγιοι,* πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ,* ἵνα πταισμάτων ἄφεσιν* παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Ἕτερον. Ἦχος δ΄.

Κανόνα πίστεως* καὶ εἰκόνα πραότητος,* ἐγκρατείας διδάσκαλον* ἀνέδειξέ σε τῇ ποίμνῃ σου* ἡ τῶν πραγμάτων ἀλήθεια·* διὰ τοῦτο ἐκτήσω* τῇ ταπεινώσει τὰ ὑψηλά,* τῇ πτωχείᾳ τὰ πλούσια,* πάτερ ἱεράρχα Νικόλαε·* Πρέσβευε Χριστῷ τῷ Θεῷ* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Τὸν Λόγον τοῦ Πατρός,* Χριστὸν τὸν Θεὸν ἡμῶν,* ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν,* Θεοτόκε Παρθένε,* μόνη ἁγνή,* μόνη εὐλογημένη·* διὸ ἀπαύστως* σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

Τῷ Σαββάτῳ. Ἦχος β΄.

Ἀπόστολοι, μάρτυρες καὶ προφῆται,* ἱεράρχαι, ὅσιοι καὶ δίκαιοι,* οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες* καὶ τὴν πίστιν τηρήσαντες,* παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα,* ὑπὲρ ἡμῶν αὐτὸν* ὡς ἀγαθὸν ἱκετεύσατε* σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον.

Μνήσθητι, Κύριε,* ὡς ἀγαθὸς τῶν δούλων σου,* καὶ ὅσα ἐν βίῳ ἥμαρτον,* συγχώρησον·* οὐδεὶς γὰρ ἀναμάρτητος,* εἰ μὴ σὺ ὁ δυνάμενος* καὶ τοῖς μεταστᾶσι* δοῦναι τὴν ἀνάπαυσιν.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ ἁγία* ἡ τοῦ ἀφράστου φωτός,* ἀγγελικοῖς σε ὕμνοις τιμῶντες* εὐσεβῶς μεγαλύνομεν.

Κατὰ τὰ Σάββατα, ἐὰν ὁ τυχὼν ἅγιος δὲν ἔχῃ δοξαστικόν, ἀντὶ τοῦ Θεὸς Κύριος ψάλλεται τὸ Ἀλληλούϊα ὡς ἀκολούθως·

Ἦχος β΄.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. α΄. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.
Ἀλληλούϊα γ΄.

Στίχ. β΄. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.
Ἀλληλούϊα γ΄.

Στίχ. γ΄. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.
Ἀλληλούϊα γ΄.

Καὶ τὰ ἀνωτέρω τροπάρια τοῦ Σαββάτου.

[Εἶτα στιχολογεῖται τὸ Ψαλτήριον τῆς ἡμέρας].

Ὁ ἱερεύς· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...
Καὶ τὴν ἐκφώνησιν· Ὅτι σὸν τὸ κράτος...

Καὶ ψάλλονται τὰ καθίσματα τῆς ἡμέρας.

* * *

Κατὰ δὲ τὰ Σάββατα, καθ' ἃ ψάλλεται Ἀλληλούϊα, μετὰ τὰ καθίσματα τῆς ἡμέρας ψάλλονται τὰ

ΝΕΚΡΩΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἁγίων ὁ χορὸς* εὗρε πηγὴν τῆς ζωῆς* καὶ θύραν παραδείσου* εὕρω κἀγὼ* τὴν ὁδὸν διὰ τῆς μετανοίας·* τὸ ἀπολωλὸς* πρόβατον ἐγώ εἰμι·* ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Οἱ τὸν ἀμνὸν* τοῦ Θεοῦ κηρύξαντες* καὶ σφαγιασθέντες ὥσπερ ἄρνες* καὶ πρὸς ζωὴν* τὴν ἀγήρω, ἅγιοι,* καὶ ἀΐδιον μετατεθέντες,* τοῦτον ἐκτενῶς,* μάρτυρες, αἰτήσασθε* ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Οἱ τὴν ὁδὸν* τὴν στενὴν βαδίσαντες* τεθλιμμένην πάντες οἱ ἐν βίῳ·* οἱ τὸν σταυρὸν* ὡς ζυγὸν ἀράμενοι* καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει,* δεῦτε ἀπολαύετε* ἃ ἡτοίμασα ὑμῖν* βραβεῖα καὶ στέφη τὰ οὐράνια.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Εἰκών εἰμι* τῆς ἀῤῥήτου δόξης σου,* εἰ καὶ στίγματα φέρω πταισμάτων·* οἰκτείρησον* τὸ σὸν πλάσμα, Δέσποτα,* καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ* καὶ τὴν ποθεινὴν* πατρίδα παράσχου μοι,* παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πάλαι μὲν* ἐκ μὴ ὄντων πλάσας με* καὶ εἰκόνι σου θείᾳ τιμήσας,* παραβάσει* ἐντολῆς δὲ πάλιν με* ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην,* εἰς τὸ καθ' ὁμοίωσιν ἐπανάγαγε* τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον,* ὁ Θεός, τοὺς δούλους σου* καὶ κατάταξον αὐτοὺς ἐν παραδείσῳ,* ὅπου χοροὶ* τῶν ἁγίων, Κύριε,* καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες·* τοὺς κεκοιμημένους* δούλους σου ἀνάπαυσον,* παρορῶν αὐτῶν πάντα τὰ ἐγκλήματα.

Δόξα. Τριαδικόν.

Τὸ τριλαμπὲς* τῆς μιᾶς Θεότητος* εὐσεβῶς ὑμνήσωμεν βοῶντες·* Ἅγιος εἶ,* ὁ Πατὴρ ὁ ἄναρχος,* ὁ συνάναρχος Υἱὸς καὶ θεῖον Πνεῦμα·* φώτισον ἡμᾶς* πίστει σοι λατρεύοντας* καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, σεμνή,* ἡ Θεὸν σαρκὶ τεκοῦσα* εἰς πάντων σωτηρίαν,* δι' ἧς γένος τῶν ἀνθρώπων* εὕρατο τὴν σωτηρίαν·* διὰ σοῦ εὕροιμεν παράδεισον,* Θεοτόκε ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (Ἐκ γ').

Καὶ λέγει ὁ ἱερεὺς τὴν δέησιν ὑπὲρ τῶν κεκοιμημένων, ψαλλόντων ἡμῶν μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον, τρίς.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως πάντων τῶν προκοιμηθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἀπανταχοῦ ὀρθοδόξων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἐκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται.

Τά ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ τὴν Εὐχήν·

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· αὐτός, Κύριε, ἀνάπαυσον τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ νόμος σου ἀλήθεια.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ ἑξῆς καθίσματα·

Ἦχος πλ. α΄.

Ἀνάπαυσον, Σωτὴρ ἡμῶν,* μετὰ δικαίων τοὺς δούλους σου,* καὶ τούτους κατασκήνωσον* ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται,* παρορῶν ὡς ἀγαθὸς* τὰ πλημμελήματα αὐτῶν* τὰ ἑκούσια καὶ τὰ ἀκούσια* καὶ πάντα τὰ ἐν ἀγνοίᾳ* καὶ γνώσει, φιλάνθρωπε.

Δόξα. Πάλιν τὸ τέλος·

Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ* καὶ γνώσει, φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ Παρθένου* ἀνατείλας τῷ κόσμῳ,* Χριστὲ ὁ Θεός,* υἱοὺς φωτὸς* δι' αὐτῆς ἀναδείξας,* ἐλέησον ἡμᾶς.

* * *

Μετὰ τὰ καθίσματα ἀναγινώσκεται ὁ Ν΄ Ψαλμὸς (σ. 103) καὶ οἱ κανόνες τῆς Παρακλητικῆς καὶ τοῦ Μηναίου.

Μετὰ δὲ τὴν γ΄ ᾠδὴν ψάλλεται ὁ εἱρμὸς αὐτῆς ἐκ τοῦ Μηναίου. Εἶτα ὁ ἱερεύς·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

Καὶ ψάλλονται τὰ μεσῴδια καθίσματα τοῦ Μηναίου.

[Εἶτα ἀναγινώσκονται αἱ ᾠδαὶ δ΄, ε΄ καὶ στ΄].

Καὶ ψάλλεται ὁ εἱρμὸς τῆς στ΄ ᾠδῆς. Ὁ δὲ ἱερεὺς πάλιν·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

Καὶ ἀναγινώσκεται τὸ κοντάκιον τοῦ Μηναίου καὶ τὸ Συναξάριον τῆς ἡμέρας.

Ἐὰν δὲ τὸ Μηναῖον δὲν ἔχῃ κοντάκιον, λέγονται τὰ κάτωθι·

ΚΟΝΤΑΚΙΑ ΤΗΣ ΟΛΗΣ ΕΒΔΟΜΑΔΟΣ

Τῇ Δευτέρᾳ. Κοντάκιον τῶν ἀσωμάτων. Ἦχος β΄.

Ἀρχιστράτηγοι Θεοῦ,* λειτουργοὶ θείας δόξης,* τῶν ἀνθρώπων ὁδηγοὶ* καὶ ἀρχηγοὶ ἀσωμάτων,* τὸ συμ-

φέρον ἡμῖν πρεσβεύσατε* καὶ τὸ μέγα ἔλεος* ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγοι.

Τῇ Τρίτῃ. Κοντάκιον τοῦ Προδρόμου.

Ἦχος β'. (Τὰ ἄνω ζητῶν).

Προφῆτα Θεοῦ* καὶ Πρόδρομε τῆς χάριτος,* τὴν κάραν τὴν σὴν* ὡς ῥόδον ἱερώτατον* ἐκ τῆς γῆς εὑράμενοι,* τὰς ἰάσεις πάντοτε λαμβάνομεν* καὶ γὰρ πάλιν, ὡς πρότερον,* ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ.

Κοντάκιον τοῦ Σταυροῦ. Ἦχος δ'.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως,* τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ* τοὺς οἰκτιρμούς σου δώρησαι,* Χριστὲ ὁ Θεός* εὔφρανον ἐν τῇ δυνάμει σου* τοὺς πιστοὺς βασιλεῖς ἡμῶν,* νίκας χορηγῶν αὐτοῖς* κατὰ τῶν πολεμίων.* Τὴν συμμαχίαν ἔχοιεν τὴν σήν,* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Τῇ Πέμπτῃ. Κοντάκιον τῶν ἁγίων ἀποστόλων. Ἦχος β'.

Τοὺς ἀσφαλεῖς* καὶ θεοφθόγγους κήρυκας,* τὴν κορυφὴν* τῶν μαθητῶν σου, Κύριε,* προσελάβου εἰς ἀπόλαυσιν* τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν* τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον* ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν,* ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἕτερον τοῦ ἁγίου Νικολάου, τῇ αὐτῇ ἡμέρᾳ.

Ἦχος γ'. (Ἡ Παρθένος σήμερον).

Ἐν τοῖς Μύροις, ἅγιε,* ἱερουργὸς ἀνεδείχθης* τοῦ Χριστοῦ γάρ, ὅσιε,* τὸ Εὐαγγέλιον πληρώσας* ἔθηκας τὴν ψυχήν σου* ὑπὲρ λαοῦ σου,* ἔσωσας τοὺς ἀθῴους* ἐκ τοῦ θανάτου* διὰ τοῦτο ἡγιάσθης* ὡς μέγας μύστης* Θεοῦ τῆς χάριτος.

Τῷ Σαββάτῳ. Κοντάκιον νεκρώσιμον. Ἦχος πλ. δ'.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου,* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ τὸ μαρτυρικὸν κοντάκιον. Ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως* τῷ φυτουργῷ τῆς κτίσεως* ἡ οἰκουμένη προσφέρει σοι, Κύριε,* τοὺς θεοφόρους μάρτυρας.* Ταῖς αὐτῶν ἱκεσίαις* ἐν εἰρήνῃ βαθείᾳ* τὴν Ἐκκλησίαν σου,* τὴν πολιτείαν σου,* διὰ τῆς Θεοτόκου συντήρησον,* πολυέλεε.

[Καὶ ἀναγινώσκονται αἱ λοιπαὶ ᾠδαὶ τῶν κανόνων].

Εἶτα λέγομεν· Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καὶ ψάλλομεν τὸν εἱρμὸν τῆς η' ᾠδῆς.

Ὁ ἱερεύς· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Καὶ στιχολογεῖται ἡ Ὠδὴ τῆς Θεοτόκου (σελ. 119).

Εἶτα ὁ εἱρμὸς τῆς θ' ᾠδῆς τοῦ Μηναίου καὶ τό·

Ἀξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον,* σὲ μεγαλύνομεν.

Ὁ ἱερεύς· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν...

Καὶ ψάλλεται τὸ ἐξαποστειλάριον τοῦ Μηναίου καὶ τὸ Θεοτοκίον. Ἐὰν δὲ τὸ Μηναῖον δὲν ἔχῃ ἐξαποστειλάριον, λέγεται τὸ τῆς ἡμέρας τῆς ἑβδομάδος.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ ΤΗΣ ΟΛΗΣ ΕΒΔΟΜΑΔΟΣ

Τῇ Δευτέρᾳ. Αὐτόμελον. Ἦχος γ΄.

Ὁ οὐρανὸν τοῖς ἄστροις* κατακοσμήσας ὡς Θεὸς* καὶ διὰ τῶν σῶν ἀγγέλων* πᾶσαν τὴν γῆν φωταγωγῶν, δημιουργὲ τῶν ἁπάντων,* τοὺς ἀνυμνοῦντάς σε σῷζε.

Θεοτοκίον. Ὅμοιον.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων,* τῶν θλιβομένων ἡ χαρά,* Χριστιανῶν ἡ προστάτις,* Παρθένε, Μήτηρ Κυρίου,* ἀντιλαβοῦ μου καὶ ῥῦσαι* τῶν αἰωνίων βασάνων.

Τῇ Τρίτῃ. Ἦχος γ΄. (Ὁ οὐρανὸν τοῖς ἄστροις).

Τὸν πρόδρομον Ἰωάννην* καὶ βαπτιστὴν τοῦ Σωτῆρος,* τὸν ἐν προφήταις προφήτην* καὶ τῆς ἐρήμου τὸ θρέμμα,* τῆς Ἐλισάβετ τὸν γόνον,* ἀνευφημήσωμεν πάντες.

Θεοτοκίον. Ὁ γλυκασμὸς τῶν ἀγγέλων (ὡς ἄνω).

Τῇ Τετάρτῃ καὶ Παρασκευῇ.
Ἦχος β΄. (Τῶν μαθητῶν ὁρώντων σε).

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης·* Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας·* Σταυρὸς βασιλέων τὸ κραταίωμα·* Σταυρὸς πιστῶν τὸ στήριγμα·* Σταυρὸς ἀγγέλων ἡ δόξα* καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Σταυροθεοτοκίον. (Ὁ οὐρανὸν τοῖς ἄστροις).

Ἐν τῷ Σταυρῷ παρεστῶσα* ἡ σὲ ἀσπόρως τεκοῦσα* καὶ θρηνῳδοῦσα ἐβόα·* Οἴμοι, γλυκύτατον τέκνον,* πῶς ἔδυς ἐξ ὀφθαλμῶν μου;* πῶς ἐν νεκροῖς ἐλογίσθης;

Τῇ Πέμπτῃ. Ἦχος β΄. (Γυναῖκες, ἀκουτίσθητε).

Εἰς πᾶσαν τὴν ὑφήλιον* δραμόντες, ἐκηρύξατε* τὴν τοῦ Χριστοῦ ἐκ Παρθένου* ἁγίαν σάρκωσιν ὀντως,* ἐκ πλάνης ἐπιστρέφοντες* τὰ ἔθνη καὶ φωτίζοντες,* καὶ πάντας ἐκδιδάσκοντες* Τριάδα σέβειν ἁγίαν,* ἀπόστολοι τοῦ Σωτῆρος.

Ὅμοιον.

Τὸν μέγαν ἀρχιποίμενα* καὶ ἱεράρχην ἅπαντες,* τὸν πρόεδρον τῶν Μυρέων,* Νικόλαον εὐφημοῦμεν'* πολλοὺς γὰρ ἄνδρας ἔσωσεν* ἀδίκως θνῄσκειν μέλλοντας,* καὶ βασιλεῖ ὀπτάνεται* σὺν Ἀβλαβίῳ κατ' ὄναρ,* λύων τὴν ἄδικον ψῆφον.

Θεοτοκίον. Ὅμοιον.

Μαρία καθαρώτατον,* χρυσοῦν θυμιατήριον,* τῆς ἀχωρήτου Τριάδος* δοχεῖον γεγενημένη'* ἐν ᾧ Πατὴρ ηὐδόκησεν,* ὁ δὲ Υἱὸς ἐσκήνωσε* καὶ Πνεῦμα τὸ πανάγιον* ἐπισκιάσαν σοι, Κόρη,* ἀνέδειξε Θεοτόκον.

Τῷ Σαββάτῳ. (Ὁ οὐρανὸν τοῖς ἄστροις).

Ὁ καὶ νεκρῶν καὶ ζώντων* ἐξουσιάζων ὡς Θεὸς* καὶ διὰ τῶν σῶν ἁγίων* πᾶσαν τὴν γῆν φωταγωγῶν,* δημιουργὲ τῶν ἁπάντων,* τοὺς ἀνυμνοῦντάς σε σῷζε.

Θεοτοκίον. (Τῶν μαθητῶν ὁρώντων σε).

Ἡμεῖς ἐν σοὶ καυχώμεθα, Θεοτόκε,* καὶ πρὸς Θεόν σε ἔχομεν προστασίαν'* ἔκτεινόν σου τὴν χεῖρα τὴν ἄμαχον* καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν'* σοῖς ἐξαπόστειλον δούλοις* βοήθειαν ἐξ ἁγίου.

Εἶτα ἀναγινώσκονται οἱ Ψαλμοὶ τῶν αἴνων Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν κ.λ.π. (σ. 126-128).(*)

Μετὰ δὲ τοὺς αἴνους ἀναγινώσκεται

Η ΜΙΚΡΑ ΔΟΞΟΛΟΓΙΑ

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(*) Οἱ Ψαλμοὶ τῶν αἴνων συνήθως παραλείπονται, ὅταν δὲν ὑπάρχουν δι' αὐτοὺς στιχηρά. Ὅταν ὅμως ὑπάρχουν στιχηρὰ διὰ τοὺς αἴνους, ψάλλονται οἱ δύο πρῶτοι στίχοι τοῦ ρμη' Ψαλμοῦ καὶ οἱ τέσσαρες τελευταῖοι τοῦ ρν' μετὰ τῶν στιχηρῶν.

Δόξα σοι τῷ δείξαντι τὸ φῶς.

Δόξα ἐν ὑψίστοις Θεῷ* καὶ ἐπὶ γῆς εἰρήνη,* ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε,* εὐλογοῦμέν σε,* προσκυνοῦμέν σε,* δοξολογοῦμέν σε,* εὐχαριστοῦμέν σοι* διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ,* ἐπουράνιε Θεέ,* Πάτερ παντοκράτορ* Κύριε Υἱὲ μονογενές,* Ἰησοῦ Χριστέ,* καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός,* ὁ ἀμνὸς τοῦ Θεοῦ,* ὁ Υἱὸς τοῦ Πατρός,* ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου,* ἐλέησον ἡμᾶς,* ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν,* ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός,* καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος,* σὺ εἶ μόνος Κύριος,* Ἰησοῦς Χριστός,* εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε* καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα* καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ* ἐγενήθης ἡμῖν* ἐν γενεᾷ καὶ γενεᾷ*. Ἐγὼ εἶπα·* Κύριε, ἐλέησόν με·* ἴασαι τὴν ψυχήν μου,* ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον·* δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου,* ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·* ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου* τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε,* ἐν τῇ ἡμέρᾳ ταύτῃ* ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν,* καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου* εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε,* τὸ ἔλεός σου ἐφ' ἡμᾶς,* καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε·* δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα·* συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε·* φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα·* τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος,* σοὶ πρέπει ὕμνος,* σοὶ δόξα πρέπει,* τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι,* νῦν καὶ ἀεὶ* καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἱερεὺς τὰς δεήσεις· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν... καὶ τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 135-137).

Εἶτα ψάλλονται τὰ ἀπόστιχα τῆς Παρακλητικῆς μετὰ τῶν ἑξῆς στίχων·

Εἰς τὸ β΄.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν· εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Εἰς τὸ μαρτυρικόν.

Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Δόξα, καὶ νῦν. Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

Κατὰ τὰ Σάββατα, ἐὰν μὲν ἐψάλῃ Θεὸς Κύριος, λέγονται ἀπόστιχα μαρτυρικὰ μετὰ τῶν στίχων·

α΄. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

β΄. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἐὰν δὲ ἐψάλῃ Ἀλληλούϊα, τὰ μὲν μαρτυρικὰ ψάλλονται εἰς τοὺς αἴνους, ἀπόστιχα δὲ λέγονται τὰ νεκρώσιμα τοῦ Θεοφάνους μετὰ τῶν στίχων·

α΄. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

β΄. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

γ΄. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Μετὰ δὲ τὰ ἀπόστιχα λέγει ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε· τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ὁ ἀναγνώστης τὸ Τρισάγιον κ.τ.λ.

Καὶ ψάλλεται τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ Θεοτοκίον.

Καὶ εὐθὺς ἄρχεται ἡ Θεία Λειτουργία.

Ἐὰν δὲ δὲν τελῆται Θ. Λειτουργία, ἀναγινώσκεται ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς ἡμέρας, καὶ μετ' αὐτὸ ὁ ἱερεὺς λέγει τὴν ἐκτενῆ Ἐλέησον ἡμᾶς, ὁ Θεός... (σ. 135) καὶ ποιεῖ ἀπόλυσιν λέγων· Σοφία· Ὁ ὢν εὐλογητὸς κ.τ.λ. (σελ. 137) ἄνευ τοῦ Ὁ ἀναστὰς ἐκ νεκρῶν.

Γ'.

ΟΡΘΡΟΣ ΤΩΝ ΚΑΘΗΜΕΡΙΝΩΝ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

(Ἀπὸ Δευτέρας μέχρι Παρασκευῆς ἑκάστης ἑβδομάδος).

Εὐλογήσαντος τοῦ ἱερέως λέγεται τὸ Βασιλεῦ οὐράνιε καὶ τὸ Τρισάγιον κ.τ.λ. (σ. 83).

* * *

Εἰς τοὺς Ὄρθρους τῆς Μ. Δευτέρας, Μ. Τρίτης, Μ. Τετάρτης καὶ Μ. Παρασκευῆς μετὰ τὸ Ὅτι σοῦ ἐστιν λέγει ὁ ἀναγνώστης·

Ἀμήν. Κύριε, ἐλέησον ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν. Μετανοίας γ'. Καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ ΙΘ' (19).

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως· ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Μνησθείη πάσης θυσίας σου καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.

Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.

Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.

Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου· νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ.

Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ· ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.

Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα.

Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνορθώθημεν.

Κύριε, σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

ΨΑΛΜΟΣ Κ' (20).

Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου· δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν.

Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος· εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.

Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ.

Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου· ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.

Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου.

Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ.

Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.

Ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο βουλάς, αἷς οὐ μὴ δύνωνται στῆναι.

Ὅτι θήσεις αὐτοὺς νῶτον, ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Δόξα, καὶ νῦν.

Καὶ πάλιν Τρισάγιον κ.τ.λ.

* * *

Εἶτα τὰ τροπάρια Σῶσον, Κύριε, τὸν λαόν σου.

Ὁ ἱερεὺς τὴν δέησιν. Καὶ ἀναγινώσκεται ὁ ἑξάψαλμος. Εἶτα τὰ εἰρηνικὰ (βλ. σ. 85-99).

Μετὰ δὲ τὰ εἰρηνικὰ ψάλλομεν τὸ Ἀλληλούϊα τετράκις ἐκ γ' εἰς τὸν ἦχον τῆς ἑβδομάδος προτάσσοντες τοὺς ἑξῆς στίχους·

Στίχ. α'. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. β'. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. γ'. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. δ'. Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Καὶ μετὰ τὸ Ἀλληλούϊα ψάλλομεν τοὺς τριαδικοὺς ὕμνους τοῦ τυχόντος ἤχου.

Σημειωτέον, ὅτι εἰς τὸ τέλος τοῦ α' τριαδικοῦ λέγομεν·

Τῇ Δευτέρᾳ· Προστασίαις τῶν ἀσωμάτων σῶσον ἡμᾶς.

Τῇ Τρίτῃ· Πρεσβείαις τοῦ Προδρόμου σῶσον ἡμᾶς.

Τῇ Τετάρτῃ καὶ Παρασκευῇ· Δυνάμει τοῦ Σταυροῦ σου σῶσον ἡμᾶς.

Τῇ Πέμπτῃ· Πρεσβείαις τῶν ἀποστόλων σῶσον ἡμᾶς.

Εἰς τὸ τέλος τοῦ β' γίνεται μνεία τοῦ ἁγίου τοῦ ναοῦ οὕτω· Πρεσβείαις τοῦ ἁγίου (ἢ τῆς ἁγίας) σῶσον ἡμᾶς.

Εἰς δὲ τὸ γ' λέγομεν πάντοτε· Διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

ΥΜΝΟΙ ΤΡΙΑΔΙΚΟΙ

Ἦχος α'.

Σωματικαῖς μορφώσεσι* τῶν ἀσωμάτων δυνάμεων* πρὸς νοερὰν καὶ ἄϋλον* ἀναγόμενοι ἔννοιαν,* καὶ τρισαγίῳ μελῳδήματι* τρισυποστάτου Θεότητος* ἐκδεχόμενοι ἔλλαμψιν,* χερουβικῶς βοήσωμεν·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Δόξα Πατρί.

Μετὰ πασῶν τῶν οὐρανίων δυνάμεων* χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν,* τὸν τρισάγιον ἀναμέλποντες αἶνον·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Καὶ νῦν.

Ἐξεγερθέντες τοῦ ὕπνου* προσπίπτομέν σοι, ἀγαθέ,* καὶ τῶν ἀγγέλων τὸν ὕμνον* βοῶμέν σοι, δυνατέ·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος β'.

Ἀκτιστε φύσις,* ἡ τῶν ὅλων δημιουργός,* τὰ χείλη ἡμῶν ἄνοιξον,* ὅπως ἀναγγέλλωμεν τὴν αἴνεσίν σου, βοῶντες·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Δόξα Πατρί.

Τὰς ἄνω δυνάμεις* μιμούμενοι οἱ ἐπὶ γῆς,* ἐπινίκιον ὕμνον* προσφέρομέν σοι, ἀγαθέ·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Καὶ νῦν.

Τῆς κλίνης καὶ τοῦ ὕπνου* ἐξεγείρας με, Κύριε,* τὸν νοῦν μου φώτισον* καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον* εἰς τὸ ὑμνεῖν σε, ἁγία Τριάς·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος γ΄.

Πατέρα ἄναρχον,* Υἱὸν συνάναρχον,* Πνεῦμα συναΐδιον,* Θεότητα μίαν* χερουβικῶς δοξάσωμεν·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Δόξα Πατρί.

Τριὰς ὁμοούσιε καὶ ἀδιαίρετε,* Μονὰς τρισυπόστατε καὶ συναΐδιε,* σοὶ ὡς Θεῷ τῶν ἀγγέλων τὸν ὕμνον κραυγάζομεν·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Καὶ νῦν.

Ἀθρόον ὁ Κριτὴς ἐπελεύσεται,* καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται·* ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτός·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος δ΄.

Τὸν ἄναρχόν σου Πατέρα,* καὶ σέ, Χριστὲ ὁ Θεός,* καὶ τὸ πανάγιόν σου Πνεῦμα* χερουβικῶς δοξολογεῖν τολμῶντες, λέγομεν·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Δόξα Πατρί.

Ὡς αἱ τάξεις νῦν τῶν ἀγγέλων ἐν οὐρανῷ* καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς* ἐπινίκιον ὕμνον προσφέρομέν σοι, ἀγαθέ·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Καὶ νῦν.

Τῶν νοερῶν σου λειτουργῶν* προσφέρειν οἱ θνητοὶ* τὸν ὕμνον τολμῶντες, λέγομεν·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος πλ. α'.

Υμνῳδίας ὁ καιρὸς* καὶ δεήσεως ὥρα·* ἐκτενῶς βοῶμέν σοι, τῷ μόνῳ Θεῷ·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Δόξα Πατρί.

Εἰκονίζειν τολμῶντες* τὰ νοερά σου στρατεύματα,* Τριὰς ἄναρχε,* στόμασιν ἀναξίοις βοῶμέν σοι·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Καὶ νῦν.

Ὁέν μήτρᾳ παρθενικῇ χωρηθεὶς* καὶ τῶν κόλπων τοῦ Πατρὸς μὴ χωρισθείς,* σὺν ἀγγέλοις καὶ ἡμᾶς πρόσδεξαι,* Χριστὲ ὁ Θεός, βοῶντάς σοι·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος πλ. β'.

Ασωμάτοις στόμασιν,* ἀσιγήτοις δοξολογίαις,* τὰ ἑξαπτέρυγα ᾄδουσί σοι* τὸν τρισάγιον ὕμνον, ὁ Θεὸς ἡμῶν·* καὶ ἡμεῖς οἱ ἐπὶ γῆς* ἀναξίοις χείλεσιν* αἶνόν σοι ἀναπέμπομεν·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Δόξα Πατρί.

Παριστάμενα φόβῳ τὰ Χερουβίμ,* ἐξιστάμενα τρόμῳ τὰ Σεραφίμ,* τὸν τρισάγιον ὕμνον* προσφέρει ἀσιγήτῳ φωνῇ·* μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Καὶ νῦν.

Τριαδικῆς Μονάδος Θεότητα* ἀσυγχύτῳ ἑνώσει δοξάσωμεν,* καὶ τῶν ἀγγέλων τὸν ὕμνον βοήσωμεν·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος βαρύς.

Ὑψίστῃ δυνάμει* χερουβικῶς ἀνυμνούμενος,* καὶ θεϊκῇ δόξῃ* ἀγγελικῶς προσκυνούμενος,* πρόσδεξαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς* ἀναξίως τολμῶντας κραυγάζειν σοι·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Δόξα Πατρί.

Τῇ ἀπροσίτῳ Θεότητι,* τῇ ἐν Μονάδι Τριάδι,* τῶν Σεραφὶμ τὸν τρισάγιον* ἀναπέμποντες αἶνον,* μετὰ φόβου βοήσωμεν·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Καὶ νῦν.

Ὡς ὕπνον τὸν ὄκνον ἀποθεμένη, ψυχή,* διόρθωσιν πρὸς ἔγερσιν δεῖξον τῷ κριτῇ,* καὶ ἐν φόβῳ βόησον·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος πλ. δ'.

Ὁρᾶν σε μὴ τολμῶντα τὰ Χερουβίμ,* ἱπτάμενα κραυγάζει ἀλαλαγμῷ* τὸ ἔνθεον μέλος τῆς τρισαγίας φωνῆς·* μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Δόξα Πατρί.

Εἰς οὐρανὸν τὰς καρδίας ἔχοντες,* ἀγγελικὴν μιμησώμεθα τάξιν* καὶ ἐν φόβῳ τῷ ἀδεκάστῳ προσπέσωμεν* ἐπινίκιον ἀνακράζοντες αἶνον·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός...

Καὶ νῦν.

Κατακαμπτόμενοι τῷ πλήθει τῶν πταισμάτων ἡμῶν* καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει σου,* τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες,* μετὰ ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

[Καὶ ἀναγινώσκονται τὰ ὡρισμένα δι' ἑκάστην ἡμέραν καθίσματα τοῦ Ψαλτηρίου].

Ὁ ἱερεύς· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Ὅτι σὸν τὸ κράτος.

Καὶ ψάλλονται τὰ καθίσματα τῆς Παρακλητικῆς καὶ τοῦ Τριῳδίου.

Εἶτα ὁ ἀναγνώστης τὸν Ν' Ψαλμὸν (σ. 103).

Ὁ ἱερεύς· Σῶσον, ὁ Θεός, τὸν λαόν σου (σ. 104).

Καὶ μετὰ τὴν ἐκφώνησιν Ἐλέει καὶ οἰκτιρμοῖς ἀναγινώσκονται αἱ ᾠδαὶ ὡς ἀκολούθως·

Ἑκάστην	ὁλόκληροι αἱ ᾠδαὶ	ἡ ἀρχὴ δὲ καὶ τὸ τέλος τῶν ᾠδῶν
Δευτέραν	α' η' θ'	γ' δ' ε' ς' ζ'
Τρίτην	β' η' θ'	α' γ' δ' ε' ς' ζ'
Τετάρτην	γ' η' θ'	α' δ' ε' ς' ζ'
Πέμπτην	δ' η' θ'	α' γ' ε' ς' ζ'
Παρασκευὴν	ε' η' θ'	α' γ' δ' ς' ζ'
Τὸ Β', Γ' καὶ Δ' Σάβ.	ς' ζ' η' θ'	α' γ' δ' ε'

ΑΙ ΕΝΝΕΑ ΩΔΑΙ

ΩΔΗ ΠΡΩΤΗ

Ὠδὴ Μωσέως ἐν τῇ Ἐξόδῳ (ιε' 1-19).

Ἄρδην βυθίσας Φαραώ, Μωσῆς λέγει·

Ἀρχή· Τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν· Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.

Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ.

Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν· ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ.

Πόντῳ ἐκάλυψεν αὐτούς· κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἀπέστειλας τὴν ὀργήν σου καὶ κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην.

Καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ· ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

Εἶπεν ὁ ἐχθρός· Διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου.

Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ.

Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε; τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα.

Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ.

Ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω· παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.

Ἤκουσαν ἔθνη καὶ ὠργίσθησαν· ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ.

Εἰς στίχους η'.

Τότε ἔσπευσαν ἡγεμόνες Ἐδὼμ καὶ ἄρχοντες Μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν.

Εἰς στίχους ς'.

Ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε, ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω.

Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατειργάσω, Κύριε, ἁγίασμα, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

Εἰς στίχους δ'.

Τέλος· Κύριος βασιλεύων τῶν αἰώνων, καὶ ἐπ' αἰῶνα καὶ ἔτι.

Ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν, καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΔΕΥΤΕΡΑ

Ὠδὴ Μωσέως ἐν τῷ Δευτερονομίῳ (λβ' 1-43).

Νόμου γραφέντος, αὖθις ᾠδὴ Μωσέως.

Πρόσεχε, οὐρανέ, καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.

Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου, ὡσεὶ ὄμβρος ἐπ' ἄγρωστιν καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον.

Ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα· δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.

Θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.

Θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ· δίκαιος καὶ ὅσιος ὁ Κύριος.

Ἥμαρτοσαν οὐκ αὐτῷ τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη. Ταῦτα Κυρίῳ ἀνταποδίδοτε;

Οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός; οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε;

Μνήσθητε ἡμέρας αἰῶνος, σύνετε δὴ ἔτη γενεᾶς γενεῶν.

Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.

Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ.

Καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.

Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος, ἐν γῇ ἀνύδρῳ· ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ.

Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ καὶ ἐπὶ τοῖς νεοσ-

σοῖς αὐτοῦ ἐπεπόθησε, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.

Κύριος μόνος ἦγεν αὐτούς, καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος.

Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν.

Ἐθήλασαν μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας,

Βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον.

Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτὸν καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ.

Παρώξυνάν με ἐπ' ἀλλοτρίοις καὶ ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με.

Ἔθυσαν δαιμονίοις καὶ οὐ Θεῷ, θεοῖς οἷς οὐκ ᾔδεισαν· καινοὶ καὶ πρόσφατοι ἥκασιν, οὓς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.

Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε.

Καὶ εἶδε Κύριος καὶ ἐζήλωσε καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων.

Καὶ εἶπεν· Ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων· ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν, υἱοί, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.

Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτου, καταφάγεται γῆν καὶ τὰ γεννήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων.

Συνάξω εἰς αὐτοὺς κακὰ καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.

Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων καὶ ὀπισθότονος ἀνίατος· ὀδόντας θηρίων ἐξαποστελῶ εἰς αὐτοὺς μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς.

Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα καὶ ἐκ τῶν ταμιείων φόβος· νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβύτου.

Εἶπα· Διασπερῶ αὐτούς, παύσω δὲ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσιν, ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι, μὴ εἴπωσιν· Ἡ χεὶρ ἡμῶν ἡ ὑψηλὴ καὶ οὐχὶ Κύριος, ἐποίησε ταῦτα πάντα.

Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη.

Οὐκ ἐφρόνησαν συνιέναι· ταῦτα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

Πῶς διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτοὺς καὶ ὁ Κύριος παρέδωκεν αὐτούς;

Οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν ὡς ὁ Θεὸς ἡμῶν· οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.

Ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς.

Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν καὶ θυμὸς ἀσπίδων ἀνίατος.

Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοὶ καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου;

Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ, ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν, ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, καὶ πάρεστιν ἕτοιμα ὑμῖν.

Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

Εἶδε γὰρ αὐτοὺς παραλελυμένους καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους.

Καὶ εἶπε Κύριος· Ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς;

Ὢν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν; Ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν καὶ γενηθήτωσαν ἡμῶν σκεπασταί.

Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.

Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου καὶ ἐρῶ· Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἀποδώσω δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσί με ἀνταποδώσω.

Μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα, ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.

Εὐφράνθητε, οὐρανοί, ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΤΡΙΤΗ

Προσευχὴ Ἄννης τῆς μητρὸς Σαμουὴλ τοῦ προφήτου. (Α' Βασιλειῶν, β' 1-10).

Θεὸν γεραίρει στεῖρα τίκτουσα ξένως.

Ἀρχή· Ἅγιος εἶ, Κύριε, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου.

Μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν, μηδὲ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν.

Ὅτι Θεὸς γνώσεων Κύριος καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν· ὅτι στεῖρα ἔτεκεν ἑπτά, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησεν.

Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει.

Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ.

Ἀνιστᾷ ἀπὸ γῆς πένητα καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν, τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ, καὶ θρόνον δόξης κατακληρονομῶν αὐτοῖς.

Εἰς στίχους η'.

Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλόγησεν ἔτη δικαίου.

Ὅτι οὐκ ἐν ἰσχύϊ δυνατὸς ἀνήρ· Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, Κύριος ἅγιος.

Εἰς στίχους ς'.

Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ.

Ἀλλ' ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον καὶ ποιεῖν κρῖμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Εἰς στίχους δ'.

Τέλος Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν· αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν.

Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΤΕΤΑΡΤΗ

Προσευχὴ Ἀββακοὺμ τοῦ προφήτου (γ' 1-19).

Τὴν τοῦ Λόγου κένωσιν, Ἀββακούμ, φράσον.

Ἀρχή· Δόξα τῇ δυνάμει σου, Κύριε.

Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβῆθην· Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην.

Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ.

Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.

Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ.

Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη.

Διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰῶνιοι· πορείας αἰωνίας αὐτοῦ ἀντὶ κόπων εἶδον.

Σκηνώματα Αἰθιόπων πτοηθήσονται καὶ αἱ σκηναὶ γῆς Μαδιάμ.

Μὴ ἐν ποταμοῖς ὠργίσθης, Κύριε, ἢ ἐν ποταμοῖς ὁ θυμός σου; ἢ ἐν θαλάσσῃ τὸ ὁρμημά σου; ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία.

Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος· ποταμῶν ῥαγήσεται γῆ.

Ὄψονταί σε καὶ ὠδινήσουσι λαοί· σκορπίζων ὕδατα πορείας· ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς.

Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· εἰς φῶς βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου.

Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη.

Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας, ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος.

Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν· σεισθήσονται ἐν αὐτοῖς, διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ἐσθίων πτωχὸς λάθρα.

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας ὕδατα πολλά.

Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου· καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου.

Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου.

Εἰς στίχους η'.

Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις.

Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν.

Εἰς στίχους ς'.

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις.

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Εἰς στίχους δ'.

Τέλος· Κύριος ὁ Θεός μου δύναμίς μου καὶ τᾶξει τοὺς πόδας μου εἰς συντέλειαν.

Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΠΕΜΠΤΗ

Προσευχὴ Ἡσαΐου τοῦ προφήτου (κστ' 9-20).

Ἡσαΐου πρόρρησις, εὐχὴ τὸ πλέον.

Ἀρχή· Κύριε, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Πέπαυται γὰρ ὁ ἀσεβής· πᾶς ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσει· ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.

Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ἤδεισαν· γνόντες δὲ αἰσχυνθήτωσαν.

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς· Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσι· διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.

Εἰς στίχους η'.

Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες αὐτοῖς κακά, τοῖς ἐνδόξοις τῆς γῆς.

Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου· ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.

Εἰς στίχους ς'.

Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.

Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Εἰς στίχους δ'.

Τέλος· Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

Βάδιζε, λαός μου, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΕΚΤΗ

Προσευχὴ Ἰωνᾶ τοῦ προφήτου (β' 3-10).

Ἐκ θηρὸς ἐκραύγαζεν Ἰωνᾶς, λέγων·

Ἀρχή· Ὡς τὸν προφήτην Ἰωνᾶν, σῶσον ἡμᾶς, Κύριε.

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου.

Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με.

Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Εἰς στίχους η'.

Κἀγὼ εἶπον· Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου;

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη· ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.

Εἰς στίχους ς'.

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σέ, Κύριε ὁ Θεός μου.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην· καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου.

Εἰς στίχους δ'.

Τέλος· Φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεον αὐτοῖς ἐγκατέλιπον.

Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΕΒΔΟΜΗ

Προσευχὴ τῶν ἁγίων τριῶν παίδων (Δαν. κεφ. γ').

Αἶνος φλόγα σβέννυσι τῶν τριῶν νέων.

Ἀρχή· Τῶν πατέρων καὶ ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν· καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς.

Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα ὧ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

Καὶ πάντα ὅσα ἐποίησας ἡμῖν καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε.

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου,

Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν.

Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος.

Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν.

Ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου σήμερον, καὶ ἐκτελείσθω ὄπισθέν σου· ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ.

Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου· μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

Ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη.

Καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος, Θεὸς μόνος καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβαλόντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθῃ καὶ πίσσῃ καὶ στυππίῳ καὶ κληματίδι.

Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα· καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων.

Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου,

Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς.

Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ εὐλόγουν καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες·

Ἡ τῶν τριῶν ὕμνησις, ἣν ᾖδον νέοι.

Εἰς στίχους η'.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, τὸ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

Εἰς στίχους ς'.

Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ

τῶν Χερουβίμ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εἰς στίχους δ'.

Τέλος· Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΟΓΔΟΗ

Ὕμνος τῶν ἁγίων τριῶν παίδων.

Τὸν Δεσπότην ὑμνήσον, ἡ κτιστῶν φύσις.

Ἀρχή· Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πῦρ καὶ καῦμα, ψῦχος καὶ καύσων, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, δρόσοι καὶ νιφετοί, πάγοι καὶ ψῦχος, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, φῶς καὶ σκότος, νύκτες καὶ ἡμέραι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, γῆ, ὄρη καὶ βουνοί, καὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πηγαί, θάλασσα καὶ ποταμοί, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς στίχους η'.

Εὐλογεῖτε, ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς στίχους ς'.

Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία καὶ Μισαήλ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, ἀπόστολοι, προφῆται καὶ μάρτυρες Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς στίχους δ'.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον· ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Δόξα, καὶ νῦν.

ΩΔΗ ΕΝΑΤΗ

Προσευχὴ Ζαχαρίου, τοῦ πατρὸς τοῦ Προδρόμου. (Λουκᾶ α' 68-79).

Ἀρχή· Ὁ Ζαχαρίας εὐλογεῖ παιδὸς τόκον.

Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ,

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ,

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ,

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς,

Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ,

Εἰς στίχους η'.

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν τοῦ δοῦναι ἡμῖν ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας,

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Εἰς στίχους ς'.

Καὶ σύ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ,

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν,

Εἰς στίχους δ'.

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους ἐπιφάναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις

Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Δόξα, καὶ νῦν.

Καὶ μετὰ τὰς ᾠδὰς ἀναγινώσκονται ὁ κανὼν τοῦ Μηναίου καὶ τὰ τριῴδια τῆς ἡμέρας κατὰ τὴν τάξιν αὐτῶν.

Μετὰ τὴν γ' ᾠδὴν ψάλλεται ὁ εἱρμὸς τοῦ Μηναίου (τῇ Τετάρτῃ ψάλλεται ὁ τοῦ Τριῳδίου).

Ὁ ἱερεύς· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

Καὶ ψάλλονται τὰ μεσῴδια καθίσματα τοῦ Μηναίου.

[Εἶτα ἀναγινώσκονται αἱ ᾠδαὶ δ', ε' καὶ στ'].

Μετὰ τὴν στ' ᾠδὴν ψάλλεται ὁ εἱρμὸς τοῦ Μηναίου.

Ὁ ἱερεύς· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

Ὁ ἀναγνώστης τὸ κοντάκιον τοῦ Μηναίου (ἢ τὸ μαρτυρικὸν τοῦ ἤχου) καὶ τὸ συναξάριον τῆς ἡμέρας.

[Εἶτα ἀναγινώσκονται αἱ λοιπαὶ ᾠδαὶ τῶν κανόνων].

Καὶ μετὰ τοῦτο λέγομεν· Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καὶ ψάλλομεν τὸν εἱρμὸν τῆς η′ ᾠδῆς τοῦ β′ τριῳδίου.

Ὁ ἱερεύς· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Καὶ στιχολογοῦμεν τὴν Ὠδὴν τῆς Θεοτόκου (σ. 119). Καὶ μετ' αὐτὴν ψάλλομεν τὸν εἱρμὸν τῆς θ′ ᾠδῆς τοῦ β′ τριῳδίου καὶ τὸ Ἄξιόν ἐστιν.

Εἶτα πάλιν ὁ ἱερεὺς Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν...

Καὶ ψάλλομεν τὸ φωταγωγικὸν τοῦ ἤχου τῆς ἑβδομάδος ἐκ γ′ συμπληροῦντες αὐτὸ οὕτω:

Τὸ α′.

Τῇ Δευτέρᾳ· Προστασίαις, Κύριε, τῶν ἀσωμάτων καὶ σῶσόν με.

Τῇ Τρίτῃ· Πρεσβείαις, Κύριε, τοῦ Προδρόμου καὶ σῶσόν με.

Τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ· Δυνάμει, Κύριε, τοῦ Σταυροῦ σου καὶ σῶσόν με.

Τῇ Πέμπτῃ· Πρεσβείαις, Κύριε, τῶν ἀποστόλων καὶ σῶσόν με.

Τὸ β′.

Πρεσβείαις, Κύριε, τοῦ ἁγίου (ἢ τῆς ἁγίας) καὶ σῶσόν με.

Τὸ γ′.

Πρεσβείαις, Κύριε, τῆς Θεοτόκου, καὶ σῶσόν με.

Σημειωτέον, ὅτι ἡ συμπλήρωσις τοῦ φωταγωγικοῦ τοῦ πλ. β' ἤχου καὶ τοῦ βαρέος γίνεται εἰς τὴν ἀρχὴν αὐτοῦ.

ΦΩΤΑΓΩΓΙΚΑ ΚΑΤ' ΗΧΟΝ

Ἦχος α'.

Ὁ τὸ φῶς ἀνατέλλων, Κύριε,* τὴν ψυχήν μου καθάρισον* ἀπὸ πάσης ἁμαρτίας,* (προστασίαις τῶν ἀσωμάτων),* καὶ σῶσόν με.

Ἦχος β'.

Τὸ φῶς σου τὸ ἀΐδιον* ἐξαπόστειλον, Κύριε,* καὶ φώτισον τὰ ὄμματα* τὰ κρυπτὰ τῆς καρδίας μου,* (προστασίαις τῶν ἀσωμάτων),* καὶ σῶσόν με.

Ἦχος γ'.

Ἐξαπόστειλον τὸ φῶς σου, Χριστὲ ὁ Θεός,* καὶ φώτισον τὴν καρδίαν μου,* (προστασίαις τῶν ἀσωμάτων),* καὶ σῶσόν με.

Ἦχος δ'.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου,* τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν* ἀπὸ πάσης ἁμαρτίας καθάρισον,* (προστασίαις τῶν ἀσωμάτων),* καὶ σῶσόν με.

Ἦχος πλ. α'.

Φωτοδότα Κύριε,* ἐξαπόστειλον τὸ φῶς σου* καὶ φώτισον τὴν καρδίαν μου,* (προστασίαις τῶν ἀσωμάτων),* καὶ σῶσόν με.

Ἦχος πλ. β'.

Προστασίαις, Κύριε, τῶν ἀσωμάτων,* κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν* τὸ φῶς σου τὸ ἀΐδιον.

Ἦχος βαρύς.

Προστασίαις, Κύριε, τῶν ἀσωμάτων,* φῶς κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν,* διὰ τὸ μέγα σου ἔλεος.

Ἦχος πλ. δ'.

Φῶς ὑπάρχων, Χριστέ,* φώτισόν με ἐν σοί,* (προστασίαις τῶν ἀσωμάτων),* καὶ σῶσόν με.

[Καὶ ἀναγινώσκονται οἱ Ψαλμοὶ τῶν αἴνων ἄνευ τροπαρίων, σ. 126-128].

Εἶτα ὁ ἀναγνώστης τὴν Δοξολογίαν χῦμα (σ. 148) καὶ ὁ ἱερεὺς τὰς δεήσεις Πληρώσωμεν τὴν ἐωθινὴν δέησιν... καὶ τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 135-137).

Καὶ ψάλλεται τὸ ἰδιόμελον τοῦ Τριῳδίου δὶς καὶ τὸ μαρτυρικὸν ἅπαξ μετὰ τῶν ἑξῆς στίχων.

Εἰς τὸ β'.

Ἐνεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν· εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Εἰς τὸ μαρτυρικόν.

Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Δόξα, καὶ νῦν. Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

Πληρωθέντων τῶν ἀποστίχων, λέγει ὁ προεστώς·

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε· τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ὁ ἀναγνώστης τὸ Τρισάγιον κ.τ.λ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ὁ ἀναγνώστης τὸ παρὸν τροπάριον·

Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης σου,* ἐν οὐρανῷ ἑστάναι νομίζομεν.* Θεοτόκε, πύλη ἐπουράνιε,* ἄνοιξον ἡμῖν* τὴν θύραν τοῦ ἐλέους σου.

Τὸ Κύριε, ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἡμεῖς λέγομεν·

Ἐπουράνιε βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς (ἢ ἄρχοντας) ἡμῶν στερέωσον· τὴν πίστιν στήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν Ἐκκλησίαν (ἢ Μονὴν) ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ ποιοῦμεν μετανοίας μεγάλας τρεῖς λέγοντες ἐν ἑκάστῃ ἀνὰ ἕνα στίχον τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραίμ.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας καὶ ἀργολογίας μή μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς, καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἑτέρας μικρὰς ιβ' καὶ πάλιν μίαν μεγάλην μετάνοιαν ἐπαναλαμβάνοντες τὸν τελευταῖον στίχον τῆς εὐχῆς.

Καὶ εὐθὺς ἀρχόμεθα τῆς Α' Ὥρας.

ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΩΡΩΝ

ΩΡΑ ΠΡΩΤΗ

Ἐὰν ἡ Α΄ Ὥρα δεν τελῆται συναπτῶς πρὸς τὸν Ὄρθρον, ἀρχόμεθα οὕτως· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Τρισάγιον κ.τ.λ. Κύριε, ἐλέησον ιβ΄. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ΄. Μετανοίας γ΄. Ἐὰν δὲ συνάπτεται πρὸς τὸν Ὄρθρον, λέγομεν εὐθύς· Δεῦτε προσκυνῆσωμεν γ΄ καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ Ε΄ (5).

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε· σύνες τῆς κραυγῆς μου. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε.

Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου· τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει με· ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ.

Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.

Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν ἁγιόν σου ἐν φόβῳ σου.

Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια· ἡ καρδία αὐτῶν ματαία.

Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.

Κρῖνον αὐτούς, ὁ Θεός· ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν.

Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε.

Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου.

Ὅτι σὺ εὐλογήσεις δίκαιον· Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

ΨΑΛΜΟΣ ΠΘ' (89).

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

Πρὸ τοῦ ὄρη γενηθῆναι, καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ.

Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν, καὶ εἶπας· Ἐπιστρέψατε, υἱοὶ τῶν ἀνθρώπων.

Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα ἡ ἐχθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.

Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται, τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι.

Τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι· τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη.

Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.

Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.

Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν· τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων.

Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος· ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα.

Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου; καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι;

Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.

Ἐπίστρεψον, Κύριε, ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.

Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά.

Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

ΨΑΛΜΟΣ Ρ' (100).

Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρός με;

Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.

Οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον· ποιοῦντας παραβάσεις ἐμίσησα.

Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον.

Τὸν καταλαλοῦντα λάθρᾳ τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.

Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.

Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.

Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν· λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.

Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς

τῆς γῆς τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός.

Ἐκ γ'. Κύριε, ἐλέησον γ'.

|Ἐνταῦθα κατὰ τὴν Μ. Τεσσαρακοστὴν στιχολογοῦμεν τὸ ὡρισμένον κάθισμα τοῦ Ψαλτηρίου|.

Εἶτα, ἐὰν μὲν ἐψάλη Θεὸς Κύριος, λέγομεν χῦμα·

Δόξα Πατρί. Τὸ ἀπολυτίκιον τῆς ἡμέρας.

Τὴν δὲ ἁγίαν καὶ Μεγάλην Ἑβδομάδα λέγομεν·

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται* ἐν τῷ μέσῳ τῆς νυκτός·* καὶ μακάριος ὁ δοῦλος,* ὃν εὑρήσει γρηγοροῦντα·* ἀνάξιος δὲ πάλιν,* ὃν εὑρήσει ῥαθυμοῦντα.* Βλέπε οὖν, ψυχή μου,* μὴ τῷ ὕπνῳ κατενεχθῇς,* ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς* καὶ τῆς βασιλείας ἔξω κλεισθῇς,* ἀλλὰ ἀνάνηψον κράζουσα·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Τί σε καλέσωμεν. (βλ. κατωτέρω).

Ἐὰν δὲ ἐψάλη Ἀλληλούϊα, ψάλλομεν τὸ παρόν.

Ἦχος πλ. β'.

Τὸ πρωΐ εἰσάκουσον τῆς φωνῆς μου,* ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.

Στίχ. α'. Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου.

Καὶ πάλιν· Τὸ πρωΐ εἰσάκουσον τῆς φωνῆς μου...

Στίχ. β'. Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε, τὸ πρωΐ εἰσακούσῃ τῆς φωνῆς μου.

Καὶ πάλιν· Τὸ πρωΐ εἰσάκουσον τῆς φωνῆς μου...

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τί σε καλέσωμεν, ὦ Κεχαριτωμένη;* Οὐρανόν·* ὅτι ἀνέτειλας τὸν ἥλιον τῆς δικαιοσύνης.* Παράδεισον·* ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας.* Παρθένον·* ὅτι ἔμει-

νας ἄφθορος.* Ἀγνὴν Μητέρα* ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις Υἱόν,* τὸν πάντων Θεόν.* Αὐτὸν ἱκέτευε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ εὐθὺς ψάλλομεν τοὺς ἑπομένους στίχους.

Ἦχος πλ. β΄.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. (Δὶς)

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. (Δὶς)

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. (Δὶς)

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. (Τρὶς)

Ἐὰν δὲ ἐψάλη Θεὸς Κύριος, οἱ ἀνωτέρω στίχοι λέγονται χῦμα ἅπαξ ἕκαστος.

Εἶτα Τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον τῆς ἡμέρας, ἐὰν ἐψάλη Θεὸς Κύριος.

Τῇ δὲ Κυριακῇ τὴν ὑπακοὴν τοῦ τυχόντος ἤχου.

Ἐὰν δὲ ἐψάλη Ἀλληλούϊα, τῇ μὲν Δευτέρᾳ, Τρίτῃ καὶ Πέμπτῃ τὸ παρὸν

Θεοτοκίον.

Τὴν ὑπερένδοξον τοῦ Θεοῦ Μητέρα* καὶ τῶν ἁγίων ἀγγέλων ἁγιωτέραν* ἀσιγήτως ὑμνήσωμεν καρδίᾳ καὶ στόματι,* Θεοτόκον αὐτὴν ὁμολογοῦντες* ὡς κυρίως γεννήσασαν Θεὸν σεσαρκωμένον* καὶ πρεσβεύουσαν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ δὲ Τετάρτῃ καὶ τῇ Παρασκευῇ τοῦτο

Ταχὺ προκατάλαβε,* πρὶν δουλωθῆναι ἡμᾶς* ἐχθροῖς βλασφημοῦσί σε* καὶ ἀπειλοῦσιν ἡμῖν,* Χριστὲ ὁ Θεὸς ἡμῶν* ἄνελε τῷ Σταυρῷ σου* τοὺς ἡμᾶς πολεμοῦντας* γνώτωσαν πῶς ἰσχύει* ὀρθοδόξων ἡ πίστις,* πρεσβείαις τῆς Θεοτόκου,* μόνε φιλάνθρωπε.

Τῇ Δευτέρᾳ, Τετάρτῃ καὶ Παρασκευῇ τῆς Δ΄ ἑβδομάδος τῶν νηστειῶν λέγομεν τὸ κοντάκιον τῆς Κυριακῆς τῆς Σταυροπροσκυνήσεως.

Ἦχος βαρύς.

Οὐκέτι φλογίνη* ῥομφαία φυλάττει* τὴν πύλην τῆς Ἐδέμ·* αὐτῇ γὰρ ἐπῆλθε* παράδοξος δέσις,* τὸ ξύλον τοῦ Σταυροῦ·* θανάτου τὸ κέντρον* καὶ ᾅδου τὸ νῖκος ἐλήλαται·* ἐπέστης δέ, Σωτήρ μου,* βοῶν τοῖς ἐν ᾅδῃ·* Εἰσάγεσθε* πάλιν εἰς τὸν παράδεισον.

Κατὰ δὲ τὴν Μεγάλην Ἑβδομάδα λέγομεν τὰ ἑξῆς·

Τῇ Μεγάλῃ Δευτέρᾳ· Ἦχος πλ. δ΄. (Ὡς ἀπαρχάς).

Ὁ Ἰακὼβ ὠδύρετο* τοῦ Ἰωσὴφ τὴν στέρησιν,* καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι* ὡς βασιλεὺς τιμώμενος·* τῆς Αἰγυπτίας γὰρ τότε* ταῖς ἡδοναῖς μὴ δουλεύσας,* ἀντεδοξάζετο* παρὰ τοῦ βλέποντος* τὰς τῶν ἀνθρώπων καρδίας* καὶ νέμοντος στέφος ἄφθαρτον.

Τῇ Μεγάλῃ Τρίτῃ. Ἦχος β΄. (Τὰ ἄνω ζητῶν).

Τὴν ὥραν, ψυχή,* τοῦ τέλους ἐννοήσασα,* καὶ τὴν ἐκκοπὴν* τῆς συκῆς δειλιάσασα,* τὸ δοθέν σοι τάλαντον* φιλοπόνως ἔργασαι, ταλαίπωρε,* γρηγοροῦσα καὶ κράζουσα·* Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

Τῇ Μεγάλῃ Τετάρτῃ. Ἦχος δ΄. (Ὁ ὑψωθείς).

Ὑπὲρ τὴν πόρνην, ἀγαθέ, ἀνομήσας,* δακρύων ὄμβρους οὐδαμῶς σοι προσῆξα·* ἀλλὰ σιγῇ δεόμενος* προσπίπτω σοι,* πόθῳ ἀσπαζόμενος* τοὺς ἀχράντους σου πόδας,* ὅπως μοι τὴν ἄφεσιν* ὡς Δεσπότης παράσχῃς* τῶν ὀφλημάτων κράζοντι, Σωτήρ·* Ἐκ τοῦ βορβόρου* τῶν ἔργων μου ῥῦσαί με.

Εἶτα τὸ Κύριε, ἐλέησον μ΄ καὶ τὴν εὐχήν·

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος, Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δι-

καίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν· αὐτός, Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον· τὰ σώματα ἁγνισον· τοὺς λογισμοὺς διόρθωσον· τὰς ἐννοίας κάθαρον· καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις, ἵνα, τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

* * *

Κατὰ τὴν Μ. Τεσσαρακοστὴν ποιοῦμεν μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ (σ. 177). Εἶτα λέγομεν Τρισάγιον κ.τ.λ. Κύριε, ἐλέησον ιβ'.

* * *

Καὶ τὴν ἑπομένην εὐχήν

Χριστέ, τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψώμεθα φῶς τὸ ἀπρόσιτον· καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου, πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

Καὶ γίνεται ἀπόλυσις ἢ συνάπτεται ἡ Γ' Ὥρα.

ΩΡΑ ΤΡΙΤΗ

Ἐὰν ἡ Γ΄ Ὥρα δὲν τελῆται συναπτῶς πρὸς τὴν Α΄, ἀρχόμεθα οὕτως· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Τρισάγιον κ.τ.λ. Κύριε, ἐλέησον ιβ΄. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ΄. Μετανοίας γ΄. Ἐὰν δὲ συνάπτεται πρὸς τὴν Α΄, λέγομεν εὐθύς· Δεῦτε προσκυνήσωμεν γ΄ καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ ΙΣΤ΄ (16).

Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου, ἐνώτισαι τὴν προσευχήν μου, οὐκ ἐν χείλεσι δολίοις.

Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι· οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.

Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.

Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου.

Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός· κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου.

Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ.

Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.

Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον· τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.

Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.

Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.

Ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς· ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου.

Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν· καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν.

Ἐχορτάσθησαν υἱῶν καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.

Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου· χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

ΨΑΛΜΟΣ ΚΔ' (24).

Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα.

Μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου.

Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.

Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι καὶ τὰς τρίβους σου δίδαξόν με.

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.

Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου σὺ ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.

Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστι.

Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.

Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν καὶ μῖσος ἄδικον ἐμίσησάν με.

Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.

Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

ΨΑΛΜΟΣ Ν′ (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός.

Ἐκ γ'. Κύριε, ἐλέησον γ'

[Καὶ στιχολογοῦμεν τὸ ὡρισμένον κάθισμα τοῦ Ψαλτηρίου κατὰ τὴν Μ. Τεσσαρακοστήν].

Εἶτα, ἐὰν μὲν ἐψάλη Θεὸς Κύριος, λέγομεν χῦμα· Δόξα Πατρί. Τὸ ἀπολυτίκιον τῆς ἡμέρας· κατὰ δὲ τὴν Μ. Ἑβδομάδα τὸ Ἰδοὺ ὁ Νυμφίος (σ. 181).

Καὶ νῦν. Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος (βλ. κατωτέρω).

Ἐὰν δὲ ἐψάλη Ἀλληλούϊα, ψάλλομεν τὸ παρόν·

Ἦχος πλ. β΄.

Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα* ἐν τῇ τρίτῃ ὥρᾳ* τοῖς ἀποστόλοις σου καταπέμψας,* τοῦτο, ἀγαθέ,* μὴ ἀντανέλης ἀφ' ἡμῶν,* ἀλλ' ἐγκαίνισον ἡμῖν τοῖς δεομένοις σου.

Στίχ. α΄. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Καὶ πάλιν· Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα...

Στίχ. β΄. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Καὶ πάλιν· Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα...

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς.* Σὲ ἱκετεύομεν·* πρέσβευε, Δέσποινα,* μετὰ τῶν ἀποστόλων* καὶ πάντων τῶν ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ εὐθύς·

Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν.

Εἶτα· Τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον τῆς ἡμέρας, ἐὰν ἐψάλη Θεὸς Κύριος.

Τῇ δὲ Κυριακῇ τὴν ὑπακοὴν τοῦ τυχόντος ἤχου.

Ἐὰν δὲ ἐψάλη Ἀλληλούϊα, λέγομεν τὰ τροπάρια ταῦτα·

Ἦχος πλ. δ'.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν,* ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας,* καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον* καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας.* Φιλάνθρωπε, δόξα σοι.

Δόξα.

Ταχεῖαν καὶ σταθηρὰν* δίδου παραμυθίαν* τοῖς δούλοις σου, Ἰησοῦ,* ἐν τῷ ἀκηδιάσαι* τὰ πνεύματα ἡμῶν·* μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν* ἐν θλίψεσι,* μὴ μακρύνου τῶν φρενῶν ἡμῶν* ἐν περιστάσεσιν,* ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον·* ἔγγισον ἡμῖν, ἔγγισον,* ὁ πανταχοῦ·* ὥσπερ καὶ τοῖς ἀποστόλοις σου* πάντοτε συνῆς,* οὕτω καὶ τοῖς σὲ ποθοῦσιν* ἕνωσον σαυτόν, οἰκτίρμον,* ἵνα συνημμένοι σοι* ὑμνῶμεν καὶ δοξολογῶμεν* τὸ πανάγιόν σου Πνεῦμα.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ ἐλπὶς καὶ προστασία* καὶ καταφυγὴ τῶν Χριστιανῶν,* τὸ ἀκαταμάχητον τεῖχος,* τῶν καταπονουμένων ὁ λιμὴν ὁ ἀχείμαστος* σὺ εἶ, Θεοτόκε ἄχραντε·* ἀλλ' ὡς τὸν κόσμον σῴζουσα τῇ ἀπαύστῳ πρεσβείᾳ σου,* μνήσθητι καὶ ἡμῶν, Παρθένε πανύμνητε.

Τῇ Δευτέρᾳ, Τετάρτῃ καὶ Παρασκευῇ τῆς Δ' ἑβδομάδος τῶν νηστειῶν λέγομεν τὸ κοντάκιον τῆς Σταυροπροσκυνήσεως Οὐκέτι φλογίνη ῥομφαία (σ. 183).

Τῇ Μ. Δευτέρᾳ· Ὁ Ἰακὼβ ὠδύρετο... (σ. 183).

Τῇ Μ. Τρίτῃ· Τὴν ὥραν, ψυχή... (σ. 183).

Τῇ Μ. Τετάρτῃ· Ὑπὲρ τὴν πόρνην... (σ. 183).

Τὸ Κύριε, ἐλέησον μ'· Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

* * *

Κατὰ τὴν Μ. Τεσσαρακοστὴν ποιοῦμεν μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ (σ. 177).

* * *

Καὶ τὴν ἑπομένην εὐχήν·

ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΔΑΡΙΟΥ

Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καί, οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐθὺς δὲ ἐπισυνάπτομεν τὴν ΣΤ΄ Ὥραν.

ΩΡΑ ΕΚΤΗ

Μετὰ τὴν εὐχὴν τῆς Γ΄ Ὥρας ὁ ἀναγνώστης εὐθύς· Δεῦτε προσκυνήσωμεν γ΄. Μετανοίας γ΄. Καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ ΝΓ΄ (53).

Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με.

Ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.

Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.

Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου· ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.

Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν.

Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

ΨΑΛΜΟΣ ΝΔ' (54).

Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες μοι καὶ εἰσάκουσόν μου.

Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.

Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.

Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ.

Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ καὶ ἐκάλυψέ με σκότος.

Καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω;

Ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Προσεδεχόμην τὸν Θεόν, τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος.

Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν· ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.

Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.

Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· καὶ εἰ ὁ μισῶν ἐπ' ἐμὲ ἐμεγαλορῥημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ.

Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτοὺς καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες.

Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.

Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.

Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.

Εἰσακούσεται ὁ Θεὸς καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.

Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεόν.

Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι· ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ.

Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν.

Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.

Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.

Σὺ δέ, ὁ Θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς.

Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δέ, Κύριε, ἐλπιῶ ἐπὶ σέ.

ΨΑΛΜΟΣ ϟ΄ (90).

Ο κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακὰ καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.

Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν.

Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. Ἐκ γ'. Κύριε, ἐλέησον γ'.

[Καὶ στιχολογοῦμεν τὸ ὡρισμένον κάθισμα τοῦ Ψαλτηρίου κατὰ τὴν Μ. Τεσσαρακοστήν].

Εἶτα, ἐὰν μὲν ἐψάλη Θεὸς Κύριος, λέγομεν χῦμα·

Δόξα Πατρί. Τὸ ἀπολυτίκιον τῆς ἡμέρας· κατὰ δὲ τὴν Μ. Ἑβδομάδα τὸ Ἰδοὺ ὁ Νυμφίος (σ. 181).

Καὶ νῦν. Ὅτι οὐκ ἔχομεν παῤῥησίαν (βλ. κατωτέρω).

Ἐὰν δὲ ἐψάλη Ἀλληλούϊα, ψάλλομεν τὸ παρόν·

Ἦχος β'.

Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ* τῷ Σταυρῷ προσηλώσας* τὴν ἐν τῷ παραδείσῳ τολμηθεῖσαν* τῷ Ἀδὰμ ἁμαρτίαν,* καὶ τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον* διάῤῥηξον, Χριστὲ ὁ Θεός,* καὶ σῶσον ἡμᾶς.

Στίχ. α'. Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου.

Καὶ πάλιν· Ὁ ἐν ἕκτῃ ἡμέρᾳ...

Στίχ. β'. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

Καὶ πάλιν· Ὁ ἐν ἕκτῃ ἡμέρᾳ...

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν* διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα,* σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον,* Θεοτόκε Παρθένε·* πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς* πρὸς εὐμένειαν Δεσπότου.* Μὴ παρίδῃς* ἁμαρτωλῶν ἱκεσίας, ἡ πάνσεμνος,* ὅτι ἐλεήμων ἐστί* καὶ σῴζειν δυνάμενος* ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ λέγεται ἐνταῦθα τὸ τροπάριον τῆς Προφητείας, τὸ προκείμενον, ἡ Προφητεία καὶ τὸ ἕτερον προκείμενον.

Καὶ εὐθύς·

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν, ὁ Θεός, ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου· Κύριε, ῥῦσαι ἡμᾶς καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Εἶτα· Τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον τῆς ἡμέρας, ἐὰν ἐψάλη Θεὸς Κύριος.

Τῇ δὲ Κυριακῇ τὴν ὑπακοὴν τοῦ τυχόντος ἤχου.

Ἐὰν δὲ ἐψάλη Ἀλληλούϊα, λέγομεν τὰ τροπάρια ταῦτα.

Ἦχος β'.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς,* Χριστὲ ὁ Θεός·* ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας,* ἐπισυνάγων πάντα τὰ ἔθνη* κράζοντα· Κύριε, δόξα σοι.

Δόξα.

Τὴν ἄχραντον εἰκόνα σου* προσκυνοῦμεν, ἀγαθέ,* αἰτούμενοι συγχώρησιν* τῶν πταισμάτων ἡμῶν,* Χριστὲ ὁ Θεός·* βουλήσει γὰρ ηὐδόκησας* σαρκὶ ἀνελθεῖν ἐν τῷ

Σταυρῷ,* ἵνα ῥύσῃ οὓς ἔπλασας* ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ.* Ὅθεν εὐχαρίστως βοῶμέν σοι·* Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν,* παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ νῦν.

Τῇ Δευτέρᾳ, Τρίτῃ καὶ Πέμπτῃ Θεοτοκίον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή,* συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε·* βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα,* δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου·* εἰς σὲ γὰρ ἐλπίζοντες* τὸ Χαῖρε βοῶμέν σοι,* ὥς ποτε ὁ Γαβριήλ,* ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Τῇ δὲ Τετάρτῃ καὶ Παρασκευῇ Σταυροθεοτοκίον.

Ὑπερδεδοξασμένη ὑπάρχεις,* Θεοτόκε Παρθένε,* ὑμνοῦμέν σε·* διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου* κατεβλήθη ὁ ᾅδης* καὶ ὁ θάνατος τέθνηκε·* νεκρωθέντες ἀνέστημεν* καὶ ζωῆς ἠξιώθημεν·* τὸν παράδεισον ἐλάβομεν,* τὴν ἀρχαίαν ἀπόλαυσιν.* Διὸ εὐχαριστοῦντες δοξολογοῦμεν* ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν* καὶ μόνον πολυέλεον.

Τῇ Δευτέρᾳ, Τετάρτῃ καὶ Παρασκευῇ τῆς Δ' ἑβδομάδος τῶν νηστειῶν λέγομεν τὸ κοντάκιον τῆς Σταυροπροσκυνήσεως Οὐκέτι φλογίνη ῥομφαία (σ. 183).

Τῇ Μ. Δευτέρᾳ· Ὁ Ἰακὼβ ὠδύρετο... (σ. 183).

Τῇ Μ. Τρίτῃ· Τὴν ὥραν, ψυχή... (σ. 183).

Τῇ Μ. Τετάρτῃ· Ὑπὲρ τὴν πόρνην... (σ. 183).

Τὸ Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφαναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

* * *

Κατὰ τὴν Μ. Τεσσαρακοστὴν ποιοῦμεν μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ (σ. 177).

* * *

Καὶ τὴν ἑπομένην εὐχήν

ΕΥΧΗ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ(*)

Θεὲ καὶ Κύριε τῶν δυνάμεων καὶ πάσης κτίσεως δημιουργέ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καταπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν καὶ διὰ τοῦ τιμίου αὐτοῦ Σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαρρήξας καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους· αὐτός, Δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς εὐχαριστηρίους ταύτας καὶ ἱκετηρίους ἐντεύξεις· καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς· ἵνα πρὸς σὲ διαπαντὸς ἀτενίζοντες καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀπρόσιτον καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ Πατρὶ σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ γίνεται ἀπόλυσις ἢ ἐπισυνάπτεται ἡ Θ' Ὥρα.

(*) Οὐχὶ ὀρθῶς ἔχει ἐπικρατήσει νὰ παραλείπεται κατὰ τὴν Μ. Τεσσαρακοστὴν ἡ εὐχὴ αὕτη, καθὼς καὶ ἡ τῆς Θ' Ὥρας.

ΣΥΝΤΟΜΟΣ ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΤΡΑΠΕΖΗΣ

ΠΡΟ ΤΟΥ ΑΡΙΣΤΟΥ

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἡμεῖς· Ἀμήν. Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον, γ'. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ ἱερεύς·

Χριστὲ ὁ Θεός, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων σου, ὅτι ἅγιος εἶ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἡμεῖς· Ἀμήν.

ΜΕΤΑ ΤΟ ΑΡΙΣΤΟΝ

Εὐχαριστοῦμεν σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἐνέπλησας ἡμᾶς τῶν ἐπιγείων σου ἀγαθῶν· μὴ στερήσῃς ἡμᾶς καὶ τῆς αἰωνίου σου βασιλείας· ἀλλ' ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου, Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ' ἡμῶν καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον, γ'. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ ἱερεύς·

Εὐλογητὸς ὁ Θεός, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ τῶν αὐτοῦ πλουσίων δωρεῶν τῇ αὐτοῦ χάριτι καὶ φιλανθρω-

πίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Καὶ ἡμεῖς· Ἀμήν.

ΩΡΑ ΕΝΑΤΗ

Ἐὰν ἡ Θ' Ὥρα τελῆται κεχωρισμένως, ἀρχόμεθα οὕτως· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Τρισάγιον κ.τ.λ. Κύριε, ἐλέησον ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ'. Μετανοίας γ'. Ἐὰν δὲ τελῆται συναπτῶς πρὸς τὰς ἄλλας, λέγομεν εὐθύς· Δεῦτε προσκυνήσωμεν γ' καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ ΠΓ' (83).

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων! Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου· ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.

Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς, τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου.

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου· εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Μακάριος ἀνήρ, ᾧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ· ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν ἔθετο.

Καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν· ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ.

Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεός, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.

Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.

Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός, χάριν καὶ δόξαν δώσει Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

ΨΑΛΜΟΣ ΠΔ' (84).

Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.

Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.

Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.

Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν.

Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;

Ὁ Θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.

Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός· ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν.

Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.

Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.

Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

ΨΑΛΜΟΣ ΠΕ' (85).

Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ.

Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν· εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ὅτι σύ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.

Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι ἐπήκουσάς μου.

Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου.

Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου.

Ὅτι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος.

Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.

Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.

Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.

Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.

Καὶ σύ, Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.

Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν· καὶ ἰδέτωσαν οἱ

μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

Καὶ πάλιν·

Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν· καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. Ἐκ γ'. Κύριε, ἐλέησον γ'.

[Καὶ στιχολογοῦμεν τὸ ὡρισμένον κάθισμα τοῦ Ψαλτηρίου κατὰ τὴν Μ. Τεσσαρακοστήν].

Εἶτα, ἐὰν μὲν ἐψάλη Θεὸς Κύριος, λέγομεν χῦμα·

Δόξα Πατρί. Τὸ ἀπολυτίκιον τῆς ἡμέρας· κατὰ δὲ τὴν Μ. Ἑβδομάδα τὸ Ἰδοὺ ὁ Νυμφίος (σ. 181).

Καὶ νῦν. Ὁ δι' ἡμᾶς γεννηθείς... (βλ. κατωτέρω).

Ἐὰν δὲ ἐψάλη Ἀλληλούϊα, ψάλλομεν τὸ παρόν·

Ἦχος πλ. δ'.

Ὁ ἐν τῇ ἐνάτῃ ὥρᾳ δι' ἡμᾶς* σαρκὶ τοῦ θανάτου γευσάμενος,* νέκρωσον τῆς σαρκὸς ἡμῶν τὸ φρόνημα,* Χριστὲ ὁ Θεός,* καὶ σῶσον ἡμᾶς.

Στίχ. σ'. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με.

Καὶ πάλιν· Ὁ ἐν τῇ ἐνάτῃ ὥρᾳ...

Στίχ. β'. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου ῥῦσαί με.

Καὶ πάλιν· Ὁ ἐν τῇ ἐνάτῃ ὥρᾳ...

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁδι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου* καὶ σταύρωσιν ὑπομείνας, ἀγαθέ·* ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας* καὶ ἔγερσιν δείξας ὡς Θεός,* μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου·* δεῖξον τὴν φιλανθρωπίαν σου, ἐλεῆμον,* δέξαι

τὴν τεκοῦσάν σε Θεοτόκον* πρεσβεύουσαν ὑπὲρ ἡμῶν* καὶ σῶσον, Σωτὴρ ἡμῶν,* λαὸν ἀπεγνωσμένον.

Καὶ εὐθύς·

Μὴ δὴ παραδῴῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Εἶτα· Τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον τῆς ἡμέρας, ἐὰν ἐψάλη Θεὸς Κύριος.

Τῇ δὲ Κυριακῇ τὴν ὑπακοὴν τοῦ τυχόντος ἤχου.

Ἐὰν δὲ ἐψάλη Ἀλληλούϊα, λέγομεν τὰ τροπάρια ταῦτα·

Ἦχος πλ. δ'.

Βλέπων ὁ λῃστὴς* τὸν ἀρχηγὸν τῆς ζωῆς* ἐπὶ σταυροῦ κρεμάμενον, ἔλεγεν* Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθείς* ὁ σὺν ἡμῖν σταυρωθείς,* οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν,* οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο.* Ἀλλ' ὁ πάντων ἀνεχόμενος,* μνήσθητί μου, Κύριε,* ἐν τῇ βασιλείᾳ σου.

Δόξα.

Εν μέσῳ δύο λῃστῶν* ζυγὸς δικαιοσύνης εὑρέθη ὁ Σταυρός σου,* τοῦ μὲν καταγομένου εἰς ᾅδην* τῷ βάρει τῆς βλασφημίας,* τοῦ δὲ κουφιζομένου πταισμάτων* πρὸς γνῶσιν θεολογίας.* Χριστὲ ὁ Θεός, δόξα σοι.

Καὶ νῦν. Σταυροθεοτοκίον.

Τὸν ἀμνὸν καὶ ποιμένα,* καὶ Σωτῆρα τοῦ κόσμου,* ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ τεκοῦσα* ἔλεγε δακρύουσα* Ὁ μὲν κόσμος ἀγάλλεται,* δεχόμενος τὴν λύτρωσιν* τὰ δὲ σπλάγχνα μου φλέγονται,* ὁρῶσης σου τὴν σταύρωσιν,* ἣν ὑπὲρ πάντων ὑπομένεις,* ὁ Υἱὸς καὶ Θεός μου.

Τῇ Δευτέρᾳ, Τετάρτῃ καὶ Παρασκευῇ τῆς Δ' ἑβδομάδος τῶν νηστειῶν λέγομεν τὸ κοντάκιον τῆς Σταυροπροσκυνήσεως Οὐκέτι φλογίνη ῥομφαία (σ. 183).

Τῇ Μ. Δευτέρᾳ· Ὁ Ἰακὼβ ὠδύρετο... (σ. 183).
Τῇ Μ. Τρίτῃ· Τὴν ὥραν, ψυχή... (σ. 183).
Τῇ Μ. Τετάρτῃ· Ὑπὲρ τὴν πόρνην... (σ. 183).

Τὸ Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Καὶ τὴν εὐχὴν ταύτην.

ΕΥΧΗ ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι καὶ ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ ἐπὶ τοῦ ζωοποιοῦ ξύλου κρεμάμενος τῷ εὐγνώμονι λῃστῇ τὴν εἰς τὸν παράδεισον ὡδοποίησας εἴσοδον καὶ θανάτῳ τὸν θάνατον ὤλεσας, ἱλάσθητι καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου· ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν καὶ οὐκ ἐσμεν ἄξιοι ἆραι τὰ ὄμματα ἡμῶν καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ· διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀνείκαστον ἀγαθότητα. Φεῖσαι ἡμῶν, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν. Ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρὸς καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα· ἵνα, τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον, τὸν νέον ἐνδυσώμεθα καὶ σοὶ ζήσωμεν τῷ ἡμετέρῳ δεσπότῃ καὶ κηδεμόνι· καὶ οὕτω, τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν, εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσωμεν, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία. Σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ

παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

Κατὰ δὲ τὴν Μ. Τεσσαρακοστὴν μετὰ τὸ Κύριε, ἐλέησον μ' λέγομεν εὐθὺς Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς...

Καὶ ποιήσαντες τὰς τρεῖς μόνον μεγάλας μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ λέγομεν τὴν ἀνωτέρω εὐχὴν Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν...

Καὶ μετ' αὐτὴν εὐθὺς ἀρχόμεθα τῶν Μακαρισμῶν, ψάλλοντες μεθ' ἕνα ἕκαστον αὐτῶν τὸ Μνήσθητι, ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, ὡσαύτως καὶ μετὰ τὸ Δόξα, καὶ τὸ Καὶ νῦν, καὶ ποιοῦντες μετάνοιαν μικρὰν μίαν ἐν ἑκάστῳ Μνήσθητι.

ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ

Ἦχος πλ. δ'.

Ἐν τῇ βασιλείᾳ σου· μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μνήσθητι ἡμῶν...

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μνήσθητι ἡμῶν...

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μνήσθητι ἡμῶν...

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μνήσθητι ἡμῶν...

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μνήσθητι ἡμῶν...

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μνήσθητι ἡμῶν...

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Μνήσθητι ἡμῶν...

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μνήσθητι ἡμῶν...

Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Μνήσθητι ἡμῶν...

Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Μνήσθητι ἡμῶν...

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Μνήσθητι ἡμῶν...

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Μνήσθητι ἡμῶν...

Μετὰ ταῦτα ψάλλομεν τὸ Μνήσθητι ἡμῶν... ἐκ γ', ὡς ἔπεται, ποιοῦντες ἐν ἑκάστῳ καὶ μετάνοιαν μεγάλην μίαν.

Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν, Δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μνήσθητι ἡμῶν, Ἅγιε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Εἶτα ὁ ἀναγνώστης·

Χορὸς ὁ ἐπουράνιος* ὑμνεῖ σε καὶ λέγει·* Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ,* πλήρης ὁ οὐρανὸς* καὶ ἡ γῆ τῆς δόξης σου.

Στίχ. Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Χορὸς ὁ ἐπουράνιος* ὑμνεῖ σε καὶ λέγει·* Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ,* πλήρης ὁ οὐρανὸς* καὶ ἡ γῆ τῆς δόξης σου.

Δόξα.

Χορὸς ἁγίων ἀγγέλων* καὶ ἀρχαγγέλων* μετὰ πασῶν τῶν ἐπουρανίων δυνάμεων* ὑμνεῖ σε καὶ λέγει·* Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ,* πλήρης ὁ οὐρανὸς* καὶ ἡ γῆ τῆς δόξης σου.

Καὶ νῦν. Πιστεύω εἰς ἕνα Θεὸν (σελ. 62).

Εἶτα·

Ἄνες, ἄφες, συγχώρησον, ὁ Θεός, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν ἔργῳ καὶ λόγῳ,

τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ, τὰ ἐν νυκτὶ καὶ ἡμέρᾳ, τὰ κατὰ νοῦν καὶ διάνοιαν· τὰ πάντα ἡμῖν συγχώρησον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα τὸ Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Μετὰ ταῦτα δὲ λέγομεν·

Ἐὰν μὲν ἐψάλη Θεὸς Κύριος, τὸ κοντάκιον τοῦ ἁγίου.

Τῇ Δευτέρᾳ, Τετάρτῃ καὶ Παρασκευῇ τῆς Δ΄ ἑβδομάδος τῶν νηστειῶν τὸ κοντάκιον τῆς Σταυροπροσκυνήσεως Οὐκέτι φλογίνη ρομφαία (σ. 183).

Τῇ Μ. Δευτέρᾳ· Ὁ Ἰακὼβ ὠδύρετο... (σ. 183).

Τῇ Μ. Τρίτῃ· Τὴν ὥραν, ψυχή... (σ. 183).

Τῇ Μ. Τετάρτῃ· Ὑπὲρ τὴν πόρνην... (σ. 183).

Κατὰ δὲ τὰς λοιπὰς ἡμέρας τῆς Μ. Τεσσαρακοστῆς λέγομεν πρῶτον τὸ κοντάκιον τῆς Μεταμορφώσεως.

Ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους* μετεμορφώθης,* καὶ ὡς ἐχώρουν* οἱ μαθηταί σου* τὴν δόξαν σου, Χριστὲ ὁ Θεός,* ἐθεάσαντο·* ἵνα, ὅταν σε ἴδωσι σταυρούμενον,* τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον,* τῷ δὲ κόσμῳ κηρύξωσιν* ὅτι σὺ ὑπάρχεις ἀληθῶς* τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Εἶτα τὸ κοντάκιον τῆς ἡμέρας.

Τῇ Δευτέρᾳ. Κοντάκιον τῶν ἀσωμάτων. Ἦχος β΄.

Ἀρχιστράτηγοι Θεοῦ,* λειτουργοὶ θείας δόξης,* τῶν ἀνθρώπων ὁδηγοὶ* καὶ ἀρχηγοὶ ἀσωμάτων,* τὸ συμφέρον ἡμῖν πρεσβεύσατε* καὶ τὸ μέγα ἔλεος* ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγοι.

Τῇ Τρίτῃ. Κοντάκιον τοῦ Προδρόμου.

Ἦχος β΄. (Τὰ ἄνω ζητῶν).

Προφῆτα Θεοῦ* καὶ Πρόδρομε τῆς χάριτος,* τὴν κάραν τὴν σὴν* ὡς ῥόδον ἱερώτατον* ἐκ τῆς γῆς εὑράμενοι,* τὰς ἰάσεις πάντοτε λαμβάνομεν·* καὶ γὰρ πάλιν, ὡς πρότερον,* ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ.

Κοντάκιον τοῦ Σταυροῦ. Ἦχος δ'.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως,* τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ* τοὺς οἰκτιρμούς σου δώρησαι,* Χριστὲ ὁ Θεός·* εὔφρανον ἐν τῇ δυνάμει σου* τοὺς πιστοὺς βασιλεῖς ἡμῶν,* νίκας χορηγῶν αὐτοῖς* κατὰ τῶν πολεμίων·* τὴν συμμαχίαν ἔχοιεν τὴν σήν,* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Τῇ Πέμπτῃ. Κοντάκιον τῶν ἁγίων ἀποστόλων. Ἦχος β'.

Τοὺς ἀσφαλεῖς* καὶ θεοφθόγγους κήρυκας,* τὴν κορυφὴν* τῶν μαθητῶν σου, Κύριε,* προσελάβου εἰς ἀπόλαυσιν* τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν·* τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον* ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν,* ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἕτερον τοῦ ἁγίου Νικολάου, τῇ αὐτῇ ἡμέρᾳ.

Ἦχος γ'. (Ἡ Παρθένος σήμερον).

Ἐν τοῖς Μύροις, ἅγιε,* ἱερουργὸς ἀνεδείχθης·* τοῦ Χριστοῦ γάρ, ὅσιε,* τὸ Εὐαγγέλιον πληρώσας* ἔθηκας τὴν ψυχήν σου* ὑπὲρ λαοῦ σου,* ἔσωσας τοὺς ἀθῴους* ἐκ τοῦ θανάτου·* διὰ τοῦτο ἡγιάσθης,* ὡς μέγας μύστης* Θεοῦ τῆς χάριτος.

Ἀκολούθως τὸ κοντάκιον τοῦ ἁγίου τοῦ Ναοῦ καὶ τὸ μαρτυρικὸν τῆς ἡμέρας.

Καὶ μετὰ τοῦτο

Δόξα Πατρί. Νεκρώσιμον. Ἦχος πλ. δ'.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου,* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος δ'.

Προστασία* τῶν Χριστιανῶν ἀκαταίσχυντε,* μεσιτεία* πρὸς τὸν ποιητὴν ἀμετάθετε,* μὴ παρίδῃς* ἁμαρτωλῶν δεήσεων φωνάς,* ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ* εἰς τὴν

βοήθειαν ἡμῶν* τῶν πιστῶς κραυγαζόντων σοί* Τάχυνον εἰς πρεσβείαν* καὶ σπεῦσον εἰς ἱκεσίαν,* ἡ προστατεύουσα ἀεί,* Θεοτόκε, τῶν τιμώντων σε.

Τὸ Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Καὶ ποιοῦμεν τὰς μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ (βλ. σ. 177).

Καί, ἐὰν μὲν δὲν τελῆται Προηγιασμένη, μετὰ τὰς μετανοίας ὁ προεστὼς ἀναγινώσκει τὸν προοιμιακὸν Ψαλμὸν (σ. 210) καὶ οὕτως ἄρχεται ὁ Ἑσπερινὸς (βλ. σ. 241 κ.ἑ.).

Ἐὰν ὅμως πρόκηται νὰ τελεσθῇ Λειτουργία τῶν Προηγιασμένων, μετὰ τὸ Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς..., λέγομεν Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε, ἐλέησον, ιβ'. Καὶ τὴν παροῦσαν εὐχήν.

Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου καὶ πᾶσαν περίελέ μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ καὶ λέγω· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Ἀνοιχθείσης δὲ τῆς Ὡραίας Πύλης, ὁ ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν, καὶ ἄρχεται ὁ Ἑσπερινὸς μετὰ τῆς Θείας Λειτουργίας τῶν Προηγιασμένων. (βλ. σ. 343 κ.ἑ.).

Τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ.

Κοντάκιον τοῦ Σταυροῦ. Ἦχος δ'.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἐκουσίως,* τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ* τοὺς οἰκτιρμούς σου δώρησαι,* Χριστὲ ὁ Θεός·* εὔφρανον ἐν τῇ δυνάμει σου* τοὺς πιστοὺς βασιλεῖς ἡμῶν,* νίκας χορηγῶν αὐτοῖς* κατὰ τῶν πολεμίων·* τὴν συμμαχίαν ἔχοιεν τὴν σήν,* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Τῇ Πέμπτῃ. Κοντάκιον τῶν ἁγίων ἀποστόλων. Ἦχος β'.

Τοὺς ἀσφαλεῖς* καὶ θεοφθόγγους κήρυκας,* τὴν κορυφὴν* τῶν μαθητῶν σου, Κύριε,* προσελάβου εἰς ἀπόλαυσιν* τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν·* τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον* ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν,* ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἕτερον τοῦ ἁγίου Νικολάου, τῇ αὐτῇ ἡμέρᾳ.

Ἦχος γ'. (Ἡ Παρθένος σήμερον).

Ἐν τοῖς Μύροις, ἅγιε,* ἱερουργὸς ἀνεδείχθης·* τοῦ Χριστοῦ γάρ, ὅσιε,* τὸ Εὐαγγέλιον πληρώσας* ἔθηκας τὴν ψυχήν σου* ὑπὲρ λαοῦ σου,* ἔσωσας τοὺς ἀθῴους* ἐκ τοῦ θανάτου·* διὰ τοῦτο ἡγιάσθης,* ὡς μέγας μύστης* Θεοῦ τῆς χάριτος.

Ἀκολούθως τὸ κοντάκιον τοῦ ἁγίου τοῦ Ναοῦ καὶ τὸ μαρτυρικὸν τῆς ἡμέρας.

Καὶ μετὰ τοῦτο·

Δόξα Πατρί. Νεκρώσιμον. Ἦχος πλ. δ'.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου,* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος δ'.

Προστασία* τῶν Χριστιανῶν ἀκαταίσχυντε,* μεσιτεία* πρὸς τὸν ποιητὴν ἀμετάθετε,* μὴ παρίδῃς* ἁμαρτωλῶν δεήσεων φωνάς,* ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ* εἰς τὴν

βοήθειαν ἡμῶν* τῶν πιστῶς κραυγαζόντων σοι·* Τάχυνον εἰς πρεσβείαν* καὶ σπεῦσον εἰς ἱκεσίαν,* ἡ προστατεύουσα ἀεί,* Θεοτόκε, τῶν τιμώντων σε.

Τὸ Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Καὶ ποιοῦμεν τὰς μετανοίας μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ (βλ. σ. 177).

Καί, ἐὰν μὲν δὲν τελῆται Προηγιασμένη, μετὰ τὰς μετανοίας ὁ προεστὼς ἀναγινώσκει τὸν προοιμιακὸν Ψαλμὸν (σ. 210) καὶ οὕτως ἄρχεται ὁ Ἑσπερινὸς (βλ. σ. 241 κ.ἑ.).

Ἐὰν ὅμως πρόκηται νὰ τελεσθῇ Λειτουργία τῶν Προηγιασμένων, μετὰ τὸ Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς..., λέγομεν Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε, ἐλέησον, ιβ'. Καὶ τὴν παροῦσαν εὐχήν.

Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου καὶ πᾶσαν περιέλε μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ καὶ λέγω· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Ἀνοιχθείσης δὲ τῆς Ὡραίας Πύλης, ὁ ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν, καὶ ἄρχεται ὁ Ἑσπερινὸς μετὰ τῆς Θείας Λειτουργίας τῶν Προηγιασμένων. (βλ. σ. 343 κ.ἑ.).

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ

Α΄.
ΕΣΠΕΡΙΝΟΣ ΤΩΝ ΚΥΡΙΑΚΩΝ ΚΑΙ ΤΩΝ ΕΟΡΤΩΝ

Ὁ ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει τὸν προοιμιακὸν Ψαλμὸν λέγων·

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ἀναγινωσκομένου τοῦ προοιμιακοῦ Ψαλμοῦ ὁ ἱερεὺς ἐνώπιον τῆς ἁγίας Τραπέζης λέγει τὰς εὐχὰς τοῦ Ἑσπερινοῦ.

ΕΥΧΗ Α΄.

Κύριε, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡ-

ΨΑΛΜΟΣ ΡΓ' (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

μᾶς ἐν τῇ ὁδῷ σου τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανον τὰς καρδίας ἡμῶν εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· διότι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια· σὺ εἶ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν καὶ παρακαλεῖν καὶ σῴζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Β'.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς· ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν· ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν

Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει᾽ ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ᾽ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς.

Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ᾽ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

χρόνον τῆς ζωῆς ἡμῶν᾽ πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Γ'.

Κύριε ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον ὄνομά σου καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα᾽ καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

ΕΥΧΗ Δ'.

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ καὶ φυλασσόντων τὰς ἐντολάς σου· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων σου.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Ε'.

Κύριε, Κύριε, ὁ τῇ ἀχράντῳ σου παλάμῃ συνέχων τὰ σύμπαντα, ὁ μακροθυμῶν ἐπὶ πάντας ἡμᾶς καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι· καὶ δὸς ἡμῖν διαφυγεῖν καὶ τὸ

Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

λοιπὸν τῆς παρούσης ἡμέρας ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχανημάτων, καὶ ἀνεπιβούλευτον τὴν ζωὴν ἡμῶν διαφύλαξον τῇ χάριτι τοῦ παναγίου σου Πνεύματος.

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΣΤ'.

Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὰ σύμπαντα, ὁ καὶ τὰ ἐγκόσμια ἀγαθὰ ἡμῖν δωρησάμενος καὶ κατεγγυήσας ἡμῖν τὴν ἐπηγγελμένην βασιλείαν διὰ τῶν ἤδη κεχαρισμένων ἡμῖν ἀγαθῶν· ὁ ποιήσας ἡμᾶς καὶ τῆς νῦν ἡμέρας τὸ παρελθὸν μέρος ἀπὸ παντὸς ἐκκλῖναι κακοῦ, δώρησαι ἡμῖν καὶ τὸ ὑπόλοιπον ἀμέμπτως ἐκτελέσαι ἐνώπιον τῆς ἁγίας δόξης σου, ὑμνοῦντάς σε τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ Ζ'.

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουρ-

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν σοφίᾳ ἐποίησας.

γήσας· ὁ διαχωρίσας ἀναμέσον τοῦ φωτὸς καὶ ἀναμέσον τοῦ σκότους· καὶ τὸν μὲν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἐπὶ τῆς παρούσης ὥρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει καὶ τὴν ἑσπερινήν σοι δοξολογίαν προσαγαγεῖν· αὐτός, φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας· παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν καὶ τὴν ἐπιοῦσαν νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δὸς ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ, ἵνα καὶ ἐπὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν ἐν νυκτὶ τοῦ ὀνόματός σου, καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διαναστῶμεν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ παντὸς τοῦ λαοῦ σου· ὃν ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι.

Ὅτι ἁγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. Ἐκ γ'.

Μετὰ δὲ τὸ γ'. Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Πληρωθέντος δὲ τοῦ προοιμιακοῦ λέγει ὁ διάκονος ἢ ὁ ἱερεὺς τὰ εἰρηνικά, ὁ δὲ χορὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηρὰν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.

(Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν).

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς ἢ τῆς χώρας ἢ τῆς νήσου) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἶτα, ἐὰν μὲν εἶναι ἑσπέρα Σαββάτου, ὁ ἀναγνώστης ἀναγινώσκει τὸ Α′ κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τὸ Μακάριος ἀνήρ, ὁλόκληρον· ἐὰν δὲ τῇ ἐπαύριον εἶναι Θεομητορικὴ ἑορτὴ ἢ μνήμη ἑορταζομένου ἁγίου ἐκτὸς Κυριακῆς, ἀναγινώσκει μόνον τοὺς τρεῖς πρώτους Ψαλμούς. Εἰς δὲ τοὺς Ἑσπερινοὺς τῶν μεγάλων δεσποτικῶν ἑορτῶν δὲν ἀναγινώσκεται Ψαλτήριον, ἀλλ' εὐθὺς μετὰ τὰ Εἰρηνικὰ ψάλλεται τὸ Κύριε, ἐκέκραξα.(*)

ΤΟ Α′ ΚΑΘΙΣΜΑ ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ

ΨΑΛΜΟΣ Α′ (1).

Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.

(*) Τὸ Ψαλτήριον, ὡς ἀλλαχοῦ ἐσημειώθη, συνήθως παραλείπεται. Τὸ Α′ κάθισμα ὅμως ἀναγινώσκεται ἐνίοτε, καὶ διὰ τοῦτο παρατίθεται ἐνταῦθα.

Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.

Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.

Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.

Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.

Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

ΨΑΛΜΟΣ Β' (2).

Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;

Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ.

Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.

Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.

Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.

Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλλων τὸ πρόσταγμα Κυρίου.

Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.

Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.

Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.

Καὶ νῦν βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν.

Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.

Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

ΨΑΛΜΟΣ Γ' (3).

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. Ἐκ γ'. Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν.

ΨΑΛΜΟΣ Δ' (4).

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;

Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ Κύριον.

Πολλοὶ λέγουσι· Τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

ΨΑΛΜΟΣ Ε' (5).

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε· σύνες τῆς κραυγῆς μου. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε.

Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου· τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει με· ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ.

Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.

Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.

Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.

Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια· ἡ καρδία αὐτῶν ματαία.

Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.

Κρῖνον αὐτούς, ὁ Θεός· ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν.

Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε.

Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σὲ· εἰς αἰῶ-

να ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου.

Ὅτι σὺ εὐλογήσεις δίκαιον· Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

ΨΑΛΜΟΣ Ϛ' (6).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, Κύριε, ἕως πότε;

Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.

Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Δόξα, καὶ νῦν.

Ἀλληλούια, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. Ἐκ γ'. Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν.

ΨΑΛΜΟΣ Ζ' (7).

Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με, μήποτε ἁρπάσῃ ὡς

λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος.

Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.

Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.

Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου.

Καὶ ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω· καὶ συναγωγὴ λαῶν κυκλώσει σε, καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.

Κύριος κρινεῖ λαούς. Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί.

Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφρούς, ὁ Θεός.

Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.

Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.

Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό.

Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.

Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν.

Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτὸν καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο.

Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.

Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ Ὑψίστου.

ΨΑΛΜΟΣ Η' (8).

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ! Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.

Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.

Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνῇσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου,

Τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ!

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός. Ἐκ γ'.

Μετὰ δὲ τὸ τρίτον· Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Ὁ διάκονος· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται οἱ ἐπιλύχνιοι Ψαλμοὶ εἰς τὸν τυχόντα ἦχον μετὰ τῶν στιχηρῶν τῆς ἡμέρας.(*)

ΨΑΛΜΟΣ ΡΜ′ (140).

Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. Εἰσάκουσόν μου, Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Εἰσάκουσόν μου, Κύριε.

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις,

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν· κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν· ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

Ὅτι πρὸς σέ, Κύριε Κύριε, οἱ ὀφθαλμοί μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστῆσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω.

(*) Εἰς τοὺς ἑνοριακοὺς ναοὺς ψάλλονται συνήθως οἱ δύο πρῶτοι στίχοι καὶ ἐκ τῶν τελευταίων ὅσοι ἀπαιτοῦνται διὰ τὰ στιχηρὰ τῆς ἡμέρας.

ΨΑΛΜΟΣ ΡΜΑ' (141).

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου· τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρὸς σέ, Κύριε, εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ στιχηρά, ὅταν εἶναι ι').

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

ΨΑΛΜΟΣ ΡΚΘ' (129).

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ στιχηρά, ὅταν εἶναι η').

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ στιχηρά, ὅταν εἶναι στ').

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν,

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

ΨΑΛΜΟΣ ΡΙΣ΄ (116).

Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ψάλλονται τὰ δοξαστικὰ κατὰ τὴν τυπικὴν διάταξιν.

Ὁ διάκονος καὶ ὁ ἱερεὺς εἰσοδεύουν μετὰ τοῦ θυμιατοῦ (ἢ μετὰ τοῦ ἱεροῦ Εὐαγγελίου, ἐὰν πρόκηται νὰ ἀναγνωσθῇ Εὐαγγέλιον).

Καὶ λέγει ὁ ἱερεὺς μυστικῶς τὴν εὐχὴν ταύτην.

ΕΥΧΗ ΤΗΣ ΕΙΣΟΔΟΥ

Ἑσπέρας καὶ πρωΐ καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε· Κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ, Κύριε Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ διάκονος λέγει πρὸς τὸν ἱερέα·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον.

Καὶ ὁ ἱερεὺς εὐλογεῖ κατὰ ἀνατολάς, λέγων·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ διάκονος· **Ἀμήν.**

Καὶ θυμιάσας τὰς ἁγίας εἰκόνας, ἐκφωνεῖ·

Σοφία· ὀρθοί.

Καὶ εὐθὺς ψάλλεται ἢ ἀναγινώσκεται

Η ΕΠΙΛΥΧΝΙΟΣ ΕΥΧΑΡΙΣΤΙΑ

Φῶς ἱλαρὸν ἁγίας δόξης* ἀθανάτου Πατρός,* οὐρανίου, ἁγίου, μάκαρος,* Ἰησοῦ Χριστέ,* ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν,* ἰδόντες φῶς ἑσπερινόν,* ὑμνοῦμεν Πατέρα, Υἱόν,* καὶ ἅγιον Πνεῦμα, Θεόν.* Ἄξιόν σε ἐν πᾶσι καιροῖς* ὑμνεῖσθαι φωναῖς αἰσίαις,* Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς·* διὸ ὁ κόσμος σὲ δοξάζει.

Ὁ διάκονος· Ἑσπέρας προκείμενον.

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΤΗΣ ΟΛΗΣ ΕΒΔΟΜΑΔΟΣ

Τῇ Κυριακῇ ἑσπέρας. Ἦχος πλ. δ΄.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.

Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τῇ Δευτέρᾳ ἑσπέρας. Ἦχος δ΄.

Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τῇ Τρίτῃ, ἑσπέρας. Ἦχος α΄.

Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Στίχ. Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τῇ Τετάρτῃ, ἑσπέρας. Ἦχος πλ. α΄.

Ο Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Στίχ. Ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τῇ Πέμπτῃ, ἑσπέρας. Ἦχος πλ. β΄.

Η βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῇ Παρασκευῇ ἑσπέρας. Ἦχος βαρύς.

Ο Θεὸς ἀντιλήπτωρ μου εἶ· τὸ ἔλεός σου προφθάσει με.

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.

Τῷ Σαββάτῳ ἑσπέρας. Ἦχος πλ. β΄.

Ο Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Στίχ. α΄. Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Μετὰ δὲ τὸ προκείμενον ὁ ἀναγνώστης ἀναγινώσκει τὰ ἐκ τῆς Παλαιᾶς Διαθήκης ἀναγνώσματα, ἐὰν ὑπάρχουν, τοῦ διακόνου ἐκφωνοῦντος εἰς τὴν ἀρχὴν ἑκάστου· **Σοφία Πρόσχωμεν.** Ἐὰν δὲ τὰ ἀναγνώσματα εἶναι ἀποστολικά, ὁ διάκονος ἐκφωνεῖ· **Πρόσχωμεν· Σοφία· Πρόσχωμεν.**

Εἶτα ἀναγινώσκεται ὑπὸ τοῦ ἱερέως τὸ Εὐαγγέλιον, ἐὰν ὑπάρχῃ.

Μετὰ ταῦτα ὁ διάκονος λέγει τὴν ἐκτενῆ, τῶν χορῶν ψαλλόντων μεθ' ἑκάστην δέησιν τὸ **Κύριε, ἐλέησον** τρίς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ ἐνορίᾳ καὶ πόλει ταύτῃ.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ λέγει ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης).

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἁναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡ-

μᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ διάκονος τὰς δεήσεις·

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ χοροί ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τῆς κεφαλοκλισίας·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἐπίδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἶτα ἐκφώνως·

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

* * *

Ἐνταῦθα τελεῖται ἡ λιτὴ μετὰ τῆς ἀρτοκλασίας, ἐὰν ὑπάρχῃ, κατὰ τὴν ἀκόλουθον τάξιν.(*)

(*) Ἐκτίθεται ἐνταῦθα ἡ τάξις, καθ' ἣν τελεῖται συνήθως εἰς τοὺς ἐνοριακοὺς ναοὺς ἡ λιτὴ μετὰ τῆς ἀρτοκλασίας. Τὴν ἀκριβῆ τάξιν αὐτῶν, ἡ ὁποία τηρεῖται, ὅταν τελῆται ἀγρυπνία, βλέπε κατωτέρω μετὰ τὸ τέλος τοῦ Ἑσπερινοῦ τῶν Κυριακῶν καὶ Ἑορτῶν (σ. 236).

Ψαλλομένου ἑνὸς ἰδιομέλου τῆς λιτῆς τῆς ἀγομένης ἑορτῆς ἐξέρχονται ὁ ἱερεὺς καὶ ὁ διάκονος μετὰ θυμιατοῦ καὶ ἵστανται εἰς τὸ μέσον τοῦ ναοῦ, ἔνθα εἶναι προηυτρεπισμένη ἡ τράπεζα τῶν ἄρτων. Πληρωθέντος δὲ τοῦ ἰδιομέλου λέγει ὁ διάκονος·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Οἱ χοροὶ ψάλλουσιν ἐναλλὰξ εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον γ'.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐπιτελούντων τὴν ἁγίαν ἑορτὴν ταύτην καὶ τῶν δούλων αὐτοῦ (τῶν προσκομισάντων τοὺς ἄρτους).

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν (ἢ τὴν ἁγίαν Μονὴν) ταύτην καὶ τὴν πόλιν (ἢ χώραν ἢ νῆσον) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου· καὶ ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Οἱ χοροὶ τὸ Κύριε, ἐλέησον μ'.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Οἱ χοροὶ τὸ Κύριε, ἐλέησον γ'.

Ὁ ἱερεύς·

Επάκουσον ἡμῶν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἴλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεύς·

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων· εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ χορός· Ἀμήν.

Καὶ θυμιᾷ ὁ ἱερεὺς τοὺς ἄρτους σταυροειδῶς, ψαλλομένου εἰς ἦχον πλ. α΄ τοῦ·

Θεοτόκε Παρθένε,* χαῖρε, κεχαριτωμένη Μαρία·* ὁ Κύριος μετὰ σοῦ.* Εὐλογημένη σὺ ἐν γυναιξί,* καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου,* ὅτι σωτῆρα ἔτεκες* τῶν ψυχῶν ἡμῶν.

Εἶτα ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ καὶ ἐξ αὐτῶν πεντακισχιλίους ἄνδρας χορτάσας, αὐτὸς εὐλόγησον καὶ τοὺς ἄρτους τούτους, τὸν σῖτον, τὸν οἶνον καὶ τὸ ἔλαιον· καὶ πλήθυνον αὐτὰ ἐν τῇ πόλει (ἢ χώρᾳ, ἢ ἐν τῇ ἁγίᾳ μονῇ) ταύτῃ καὶ εἰς τὸν κόσμον σου ἅπαντα· καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλει ὁ ἱερεύς·

Ἦχος βαρύς.

Πλούσιοι ἐπτώχευσαν* καὶ ἐπείνασαν·* οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον* οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Τὸ αὐτὸ ψάλλει καὶ ἑκάτερος τῶν χορῶν.

Καὶ ὁ ἱερεὺς μετὰ τοῦ διακόνου εἰσέρχονται εἰς τὸ Ἱερόν.

* * *

Καὶ ψάλλονται τὰ ἀπόστιχα κατὰ τὴν τυπικὴν διάταξιν, ἐν οἷς λέγομεν στίχους ἐν μὲν ἑσπέρᾳ Σαββάτου τοὺς παρόντας·

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Στίχ. β'. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Στίχ. γ'. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Δόξα, καὶ νῦν.

Ἐν Δεσποτικῇ δὲ ἢ Θεομητορικῇ ἑορτῇ ἢ ἐν μνήμῃ ἑορταζομένου ἁγίου τοὺς ὡρισμένους στίχους.

Μετὰ δὲ τὰ ἀπόστιχα λέγει ὁ προεστὼς (ἢ ὁ ἱερεὺς) τὴν

ΩΔΗΝ ΣΥΜΕΩΝ ΤΟΥ ΘΕΟΔΟΧΟΥ (Λουκ. β' 29)

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ ἀναγνώστης· Τρισάγιον κ.τ.λ. (σ. 47). Καὶ μετὰ τὸ Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... ψάλλονται τὰ ἀπολυτίκια τῆς ἡμέρας.

Εἶτα, ἐὰν μὲν προηγήθη ἀρτοκλασία, ὁ ἱερεὺς εὐλογεῖ λέγων·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εἰ δὲ μή, ὁ διάκονος λέγει· Σοφία.

Ὁ χορός· Εὐλόγησον.

Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστώς· Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν τῶν Χερουβὶμ* καὶ

ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον,* σὲ μεγαλύνομεν.

Ὁ ἱερεύς· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον, (τρίς). Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ ὁ ἱερεὺς τὴν ἀπόλυσιν· Ὁ ἀναστὰς ἐκ νεκρῶν (ἢ τὸ χαρακτηριστικὸν τῆς ἑορτῆς) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν... (σ. 138).

* * *

Ἐὰν δὲ τελῆται ἀγρυπνία, ἡ λιτὴ καὶ ἡ ἀρτοκλασία τελοῦνται ὡς ἀκολούθως·

Μετὰ τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν Εἴη τὸ κράτος τῆς βασιλείας σου... (σ. 231) ψάλλονται τὰ ἰδιόμελα τῆς λιτῆς. Ὁ δὲ διάκονος μετὰ τοῦ θυμιατοῦ καὶ ὁ ἱερεὺς μετὰ τῆς εἰκόνος τῆς ἑορτῆς ἐξέρχονται διὰ τοῦ βορείου κλίτους καὶ ἔρχονται εἰς τὸν νάρθηκα, ἔνθα ἀποτίθεται ἡ εἰκὼν ἐπὶ τετραποδίου· καὶ ὁ διάκονος θυμιᾷ αὐτὴν καὶ τὸν ἱερέα καὶ τὸν λαόν. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἰδιομέλων ἐκφωνεῖ ὁ διάκονος·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου... (σ. 104).

Ὁ χορός· Κύριε, ἐλέησον, γ'.

Ἔτι δεόμεθα (ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν ἢ) ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, κράτους, νίκης, διαμονῆς, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Ὁ χορός· Κύριε, ἐλέησον, γ'.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ χορός· Κύριε, ἐλέησον, γ'.

Ἔτι δεόμεθα καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν θλιβο-

μένης τε καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης· σκέπης τοῦ ἁγίου οἴκου τούτου, τῆς πόλεως ταύτης καὶ τῶν κατοικούντων ἐν αὐτῇ· εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου· εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν· σωτηρίας καὶ βοηθείας τῶν μετὰ σπουδῆς καὶ φόβου Θεοῦ κοπιώντων καὶ διακονούντων πατέρων καὶ ἀδελφῶν ἡμῶν· ὑπὲρ τῶν ἀπολειφθέντων καὶ τῶν ἐν ἀποδημίαις ὄντων· ἰάσεως τῶν ἐν ἀσθενείαις κατακειμένων· ὑπὲρ ἀνέσεως, μακαρίας μνήμης καὶ ἀφέσεως ἁμαρτιῶν πάντων τῶν προαπελθόντων εὐσεβῶς πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων· ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ, εἴπωμεν.

Ὁ χορός· Κύριε, ἐλέησον, γ'.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν ἐκκλησίαν (ἢ μονὴν) ταύτην, τὴν πόλιν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου καὶ ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ χορός· Κύριε, ἐλέησον, μ'.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ χορός· Κύριε, ἐλέησον, γ'.

Ἔπειτα ἐκφωνεῖ ὁ ἱερεύς·

Ἐπάκουσον ἡμῶν, ὁ Θεός... Εἰρήνη πᾶσι... Δέσποτα πολυέλεε... (σ. 233).

Καὶ μετὰ τὴν εὐχὴν ταύτην ψαλλομένων τῶν ἀποστίχων εἰσέρχονται πάντες ἐν τῷ ναῷ. Μετὰ δὲ τὰ ἀπόστιχα λέγε-

ται τὸ **Νῦν ἀπολύεις** (σ. 235), τὸ Τρισάγιον κ.τ.λ. καὶ ψάλλονται τὰ ἀπολυτίκια.

Ψαλλομένου δὲ τοῦ τελευταίου ἀπολυτικίου ἢ τοῦ **Θεοτόκε Παρθένε**, ἐξέρχεται ὁ ἱερεὺς καὶ θυμιᾷ σταυροειδῶς τοὺς ἄρτους καὶ λέγει τὴν εὐχὴν **Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους...** (σ. 234).

Καὶ ψάλλεται ἐκ τρίτου τό·

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὁ ἀναγνώστης τὸν Ψαλμόν·

ΨΑΛΜΟΣ ΛΓ' (33).

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.

Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ· ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

Καὶ ψάλλεται ἀνὰ μίαν παρὰ τοῦ ἱερέως καὶ ἑκατέρου τῶν χορῶν ὁ στίχος·

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Καὶ ὁ ἱερεὺς ἐπευλογεῖ λέγων·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ γίνεται ἀπόλυσις ἢ τίθεται ἀνάγνωσις καὶ μετ' αὐτὴν ἄρχεται ὁ Ὄρθρος εὐθὺς ἀπὸ τοῦ Ἐξαψάλμου (σ. 85 κ.ἑ.).

Β'.
ΕΣΠΕΡΙΝΟΣ ΤΩΝ ΚΑΘΗΜΕΡΙΝΩΝ

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκεται ὁ προοιμιακὸς Ψαλμὸς (σ. 210). Πληρωθέντος δὲ τοῦ Ψαλμοῦ λέγει ὁ ἱερεὺς τὰ εἰρηνικὰ (σ. 216). [Εἶτα ἀναγινώσκεται τὸ ὡρισμένον κάθισμα τοῦ Ψαλτηρίου καὶ μετ' αὐτὸ ὁ ἱερεὺς λέγει την μικρὰν συναπτὴν καὶ τὴν ἐκφώνησιν Ὅτι σὸν τὸ κράτος...]. Καὶ ψάλλονται οἱ ἐπιλύχνιοι Ψαλμοὶ (σ. 224) μετὰ τῶν στιχηρῶν τῆς ἡμέρας. Μετὰ δὲ τὸ δοξαστικὸν καὶ τὸ Θεοτοκίον (ἢ Σταυροθεοτοκίον) εὐθὺς ἀναγινώσκεται τὸ Φῶς ἱλαρόν... (σ. 226) καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας (σ. 227). Εἶτα ἀναγινώσκεται τὸ Καταξίωσον, Κύριε... (σ. 229). Ὁ ἱερεὺς τὰς δεήσεις Πληρώσωμεν την ἑσπερινὴν δέησιν... (σ. 230) καὶ τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 231). Μετὰ δὲ τὴν ἐκφώνησιν Εἴη τὸ κράτος τῆς βασιλείας σου... ψάλλονται τὰ ἀπόστιχα μετὰ τῶν καταλλήλων στίχων. Ὅταν ψάλλωνται τὰ ἀπόστιχα τῆς Ὀκτωήχου, λέγομεν τοὺς παρόντας στίχους·

Στίχ. α'. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδού, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς.

Στίχ. β'. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλησθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Δόξα, καὶ νῦν.

Τῇ δὲ Παρασκευῇ ἑσπέρας, ἐὰν μὲν εἰς τὸν Ὄρθρον πρόκηται νὰ ψαλῇ Θεὸς Κύριος, λέγομεν τοὺς ἑξῆς στίχους·

Στίχ. α'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. β'. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Στίχ. γ'. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Δόξα, καὶ νῦν.

Ὅταν δὲ πρόκηται νὰ ψαλῇ Ἀλληλούια, λέγομεν·

Στίχ. α'. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Στίχ. β'. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Δόξα, καὶ νῦν.

Πληρωθέντων τῶν ἀποστίχων λέγεται τὸ Νῦν ἀπολύεις... (σ. 235), τὸ Τρισάγιον κ.τ.λ. καὶ ψάλλονται τὰ ἀπολυτίκια τῆς ἡμέρας κατὰ τὴν τυπικὴν διάταξιν (Τὰ ἀπολυτίκια τῆς ἑβδομάδος βλ. σ. 138). Εἶτα ὁ ἱερεὺς λέγει τὴν ἐκτενῆ ἀρχόμενος ἀπὸ τοῦ Ἐλέησον ἡμᾶς, ὁ Θεός... (σ. 229)· καὶ μετὰ τὴν ἐκφώνησιν Ὅτι ἐλεήμων... λέγει Σοφία· Ὁ ὢν εὐλογητὸς κ.τ.λ. καὶ ποιεῖ τὴν ἀπόλυσιν· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν... (σ. 138).

Γ'.
ΕΣΠΕΡΙΝΟΣ ΤΩΝ ΚΑΘΗΜΕΡΙΝΩΝ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

("Οταν δὲν τελῆται Προηγιασμένη).

Εὐλογήσαντος τοῦ ἱερέως (ἢ συνηθέστερον εὐθὺς μετὰ τὴν ἀκολουθίαν τῶν Μακαρισμῶν, σ. 205) ἀναγινώσκεται ὁ προοιμιακὸς Ψαλμὸς (σ. 210). Πληρωθέντος δὲ τοῦ Ψαλμοῦ λέγει ὁ ἱερεὺς τὰ εἰρηνικὰ (σ. 216). [Εἶτα ἀναγινώσκεται τὸ ΙΗ' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τὰ **Πρὸς Κύριον**.(*) Τῇ Κυριακῇ ἑσπέρας ὅμως δὲν ἀναγινῶσκεται Ψαλτήριον. Ὁ ἱερεὺς λέγει τὴν μικρὰν συναπτὴν καὶ τὴν ἐκφώνησιν "Οτι σὸν τὸ κράτος...]. Καὶ ψάλλονται οἱ ἐπιλύχνιοι Ψαλμοὶ (σ. 224) μετὰ τῶν στιχηρῶν τοῦ Τριῳδίου καὶ τοῦ Μηναίου. Εἰς τὸ **Δόξα, καὶ νῦν, Θεοτοκίον** ἢ **Σταυροθεοτοκίον**.

* * *

Τῇ Κυριακῇ ἑσπέρας γίνεται Εἴσοδος καὶ μετὰ τὸ **Φῶς ἱλαρὸν** ψάλλεται τὸ Μέγα Προκείμενον **Μὴ ἀποστρέψῃς**... ἢ "Εδωκας κληρονομίαν... Εἶτα ὁ ἱερεὺς λέγει τὴν ἐκτενῆ (σ. 229) μέχρι τῆς δεήσεως Ὑπὲρ τοῦ ἀρχιεπισκόπου καὶ τὴν ἐκφώνησιν "Οτι ἐλεήμων... Καὶ ἀναγινώσκεται τὸ **Καταξίωσον, Κύριε**... (σ. 229).

* * *

(*) Ἐπειδὴ συνήθως τὰ **Πρὸς Κύριον** ἀναγινώσκονται μόνον ὅταν τελῆται Προηγιασμένη, δὲν παρατίθενται ἐνταῦθα ἀλλ' εἰς τὴν Θ. Λειτουργίαν τῶν Προηγιασμένων (σ. 347).

Κατὰ τὰς λοιπὰς ἡμέρας εὐθὺς ἀναγινώσκεται τὸ Φῶς ἱλαρόν... καὶ ἀκολούθως τὰ προκείμενα καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας ἐκ τοῦ Τριῳδίου. Εἶτα τὸ Καταξίωσον, Κύριε... (σ. 229). Ὁ ἱερεὺς τὰς δεήσεις Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν... (σ. 230) καὶ τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 231). Μετὰ δὲ τὴν ἐκφώνησιν Εἴη τὸ κράτος τῆς βασιλείας σου... ψάλλεται τὸ ἰδιόμελον τῶν ἀποστίχων καὶ τὸ μαρτυρικὸν μετὰ τῶν στίχων Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σ. 239). Δόξα, καὶ νῦν. Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

Πληρωθέντων δὲ τῶν ἀποστίχων λέγεται τὸ Νῦν ἀπολύεις... (σ. 235), τὸ Τρισάγιον κ.τ.λ..

Καὶ ψάλλομεν τὰ τροπάρια ταῦτα ποιοῦντες ἀνὰ μίαν μετάνοιαν εἰς ἕκαστον αὐτῶν πλὴν τοῦ τελευταίου.

Ἦχος πλ. α΄.

Θεοτόκε Παρθένε,* χαῖρε, κεχαριτωμένη Μαρία,* ὁ Κύριος μετὰ σοῦ.* Εὐλογημένη σὺ ἐν γυναιξί,* καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου,* ὅτι σωτῆρα ἔτεκες* τῶν ψυχῶν ἡμῶν.

Βαπτιστὰ τοῦ Χριστοῦ,* πάντων ἡμῶν μνήσθητι,* ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν·* σοὶ γὰρ ἐδόθη χάρις* πρεσβεύειν ὑπὲρ ἡμῶν.

Δόξα.

Ἱκετεύσατε ὑπὲρ ἡμῶν,* ἅγιοι ἀπόστολοι* καὶ ἅγιοι πάντες,* ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων·* ὑμᾶς γὰρ θερμοὺς προστάτας* πρὸς τὸν Σωτῆρα κεκτήμεθα.

Καὶ νῦν.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν* καταφεύγομεν, Θεοτόκε·* τὰς ἡμῶν ἱκεσίας* μὴ παρίδῃς ἐν περιστάσει,* ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς,* μόνη ἁγνή,* μόνη εὐλογημένη.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον μ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς·

Ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ προεστώς·

Ἐπουράνιε βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον· τὴν πίστιν στήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν ἐκκλησίαν (ἢ μονὴν) ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ ποιοῦμεν μετανοίας μεγάλας τρεῖς λέγοντες ἐν ἑκάστῃ ἀνὰ ἕνα στίχον τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραίμ.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας καὶ ἀργολογίας μή μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἑτέρας μικρὰς ιβ' καὶ πάλιν μίαν μεγάλην ἐπαναλαμβάνοντες τὸν τελευταῖον στίχον τῆς εὐχῆς.

Καὶ τῇ μὲν Κυριακῇ ἑσπέρας γίνεται εὐθὺς ἀπόλυσις, πρὸ δὲ τοῦ Δι' εὐχῶν ψάλλεται τὸ Θεοτοκίον Πάντων προστατεύεις, ἀγαθή... (σ. 273).

Κατὰ δὲ τὰς λοιπὰς ἡμέρας ὁ ἀναγνώστης λέγει τὸ Τρισάγιον κ.τ.λ., τὸ Κύριε, ἐλέησον ιβ' καὶ ὁ ἱερεὺς τὴν εὐχήν.

Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου καὶ πᾶσαν περίελέ μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ καὶ λέγω· Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καὶ ψάλλεται τρὶς τὸ Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν. Καὶ τοὺς Ψαλμοὺς Εὐλογήσω τὸν Κύριον... καὶ Ὑψώσω σε, ὁ Θεός μου... (σ. 372).(*)

Καὶ γίνεται ἀπόλυσις.

ΕΥΧΗ ΤΗΣ ΤΡΑΠΕΖΗΣ

ΠΡΟ ΤΟΥ ΔΕΙΠΝΟΥ

Φάγονται πένητες καὶ ἐμπλησθήσονται καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

Δόξα καὶ νῦν. Κύριε, ἐλέησον, γ'. Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ εὐλογεῖ ὁ ἱερεὺς τὴν τράπεζαν λέγων·

Χριστὲ ὁ Θεός, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων σου, ὅτι ἅγιος εἶ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἡμεῖς· Ἀμήν.

ΜΕΤΑ ΤΟ ΔΕΙΠΝΟΝ

Εὔφρανας ἡμᾶς, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἠγαλλιασάμεθα. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε· ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθή-

(*) Οἱ Ψαλμοὶ οὗτοι εἰς τὰς ἐνορίας ἀναγινώσκονται συνήθως μόνον ὅταν τελῆται Προηγιασμένη.

σομαι καὶ ὑπνώσω· ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον, γ'. Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ λέγει ὁ ἱερεύς·

Μεθ' ἡμῶν ὁ Θεός, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἡμεῖς· Ἀμήν.

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΠΟΔΕΙΠΝΟΥ

Α΄.
ΤΟ ΜΕΓΑ ΑΠΟΔΕΙΠΝΟΝ

(Τελεῖται τὴν ἑσπέραν ἑκάστης Δευτέρας, Τρίτης, Τετάρτης καὶ Πέμπτης τῆς Μ. Τεσσαρακοστῆς, καθὼς καὶ τῇ Μ. Δευτέρᾳ καὶ Μ. Τρίτῃ).

Ὁ ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς (ἢ ὁ ἱερεύς)·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε* Παράκλητε,* τὸ Πνεῦμα τῆς ἀληθείας,* ὁ πανταχοῦ παρὼν* καὶ τὰ πάντα πληρῶν,* ὁ θησαυρὸς τῶν ἀγαθῶν* καὶ ζωῆς χορηγός,* ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν* καὶ καθάρισον ἡμᾶς* ἀπὸ πάσης κηλῖδος* καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ὁ ἀναγνώστης· Τρισάγιον κ.τ.λ. Κύριε, ἐλέησον ιβ΄. Δόξα, καὶ νῦν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Μετανοίας τρεῖς· καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ Δ' (4).

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;

Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ Κύριον.

Πολλοὶ λέγουσι· Τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.

Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

ΨΑΛΜΟΣ Ϛ' (6).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, Κύριε, ἕως πότε;

Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;

Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο.

Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

ΨΑΛΜΟΣ ΙΒ' (12).

Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;

Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός;

Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.

Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.

Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ· ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα.

Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου· ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Καὶ πάλιν·

Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.

Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. Ἐκ γ'. Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν.

ΨΑΛΜΟΣ ΚΔ' (24).

Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα.

Μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου.

Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.

Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι καὶ τὰς τρίβους σου δίδαξόν με.

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.

Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.

Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου σὺ ἕνεκεν τῆς χρηστότητός σου, Κύριε.

Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.

Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστι.

Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.

Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.

Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν· ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.

Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν καὶ μῖσος ἄδικον ἐμίσησάν με.

Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.

Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε.

Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

ΨΑΛΜΟΣ Λ' (30).

Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.

Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με.

Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.

Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σὺ καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με.

Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε.

Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε, ὁ Θεὸς τῆς ἀληθείας.

Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς.

Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα· ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου,

Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου,

Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.

Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.

Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς.

Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.

Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὀνειδος καὶ τοῖς γείτοσί μου σφόδρα καὶ φόβος τοῖς γνωστοῖς μου.

Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ· ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας.

Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός· ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν.

Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.

Ἐγὼ δὲ ἐπὶ σοί, Κύριε, ἤλπισα· εἶπα· Σὺ εἶ ὁ Θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου.

Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με.

Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου· σῶσόν με ἐν τῷ ἐλέει σου.

Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε· αἰσχυνθείησαν ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου.

Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.

Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἣς ἔκρυψας τοῖς φοβουμένοις σε, ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ ταραχῆς ἀνθρώπων, σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.

Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.

Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέῤῥιμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.

Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀλήθειας ἐκζητεῖ Κύριος καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.

Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον.

ΨΑΛΜΟΣ ϟ΄ (90).

Ο κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.

Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.

Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.

Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.

Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου· τὸν Ὕψιστον ἔθου καταφυγήν σου.

Οὐ προσελεύσεται πρὸς σὲ κακὰ καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.

Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.

Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν.

Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός.

Ἐκ γ΄. Κύριε, ἐλέησον γ΄. Δόξα, καὶ νῦν.

Καὶ ψάλλομεν τοὺς ἐφεξῆς στίχους, ἀρχομένου τοῦ α΄ χοροῦ.

Ἦχος πλ. β΄.

Μεθ' ἡμῶν ὁ Θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ἰσχυκότες ἡττᾶσθε.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ λόγον, ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, οὐδ' οὐ μὴ ταραχθῶμεν.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Κύριον δὲ τὸν Θεὸν ἡμῶν αὐτὸν ἁγιάσωμεν, καὶ αὐτὸς ἔσται ἡμῖν φόβος.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ὦ, ἔσται μοι εἰς ἁγιασμόν.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ καὶ σωθήσομαι δι' αὐτοῦ.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδε φῶς μέγα.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ἡμᾶς.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Ὅτι Παιδίον ἐγεννήθη ἡμῖν, Υἱός, καὶ ἐδόθη ἡμῖν.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Θαυμαστὸς σύμβουλος.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Πατὴρ τοῦ μέλλοντος αἰῶνος.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Εἶτα οἱ δύο χοροὶ ὁμοῦ·

Μεθ' ἡμῶν ὁ Θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε· ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Ὁ ἀναγνώστης τὰ παρόντα τροπάρια χῦμα.

Τὴν ἡμέραν διελθὼν* εὐχαριστῶ σοι, Κύριε·* τὴν ἑσπέραν αἰτοῦμαι* σὺν τῇ νυκτὶ ἀναμάρτητον·* παράσχου μοι, Σωτήρ,* καὶ σῶσόν με.

Δόξα.

Τὴν ἡμέραν παρελθὼν* δοξολογῶ σε, Δέσποτα·* τὴν ἑσπέραν αἰτοῦμαι* σὺν τῇ νυκτὶ ἀσκανδάλιστον·* παράσχου μοι, Σωτήρ,* καὶ σῶσόν με.

Καὶ νῦν.

Τὴν ἡμέραν διαβᾶς* ὑμνολογῶ σε, Ἅγιε·* τὴν ἑσπέραν αἰτοῦμαι* σὺν τῇ νυκτὶ ἀνεπίβουλον·* παράσχου μοι, Σωτήρ,* καὶ σῶσόν με.

Εἶτα ψάλλουσιν ὁμοῦ οἱ δύο χοροὶ εἰς Ἦχον πλ. β'.

Ἡ ἀσώματος φύσις, τὰ Χερουβίμ,* ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ.

Ἐξαπτέρυγα ζῷα, τὰ Σεραφίμ,* ταῖς ἀπαύστοις φωναῖς σε ὑπερυψοῖ.

Τῶν ἀγγέλων τε πᾶσα ἡ στρατιὰ* τρισαγίοις σε ᾄσμασιν εὐφημεῖ.

Πρὸ γὰρ πάντων ὑπάρχεις ὁ ὢν Πατὴρ* καὶ συνάναρχον ἔχεις τὸν σὸν Υἱόν.

Καὶ ἰσότιμον φέρων Πνεῦμα ζωῆς* τῆς Τριάδος δεικνύεις τὸ ἀμερές.

Παναγία Παρθένε, Μήτηρ Θεοῦ,* οἱ τοῦ Λόγου αὐτόπται καὶ ὑπουργοί.

Προφητῶν καὶ μαρτύρων πάντες χοροί,* ὡς ἀθάνατον ἔχοντες τὴν ζωήν.

Ὑπὲρ πάντων πρεσβεύσατε ἐκτενῶς,* ὅτι πάντες ὑπάρχομεν ἐν δεινοῖς.

Ἵνα πλάνης ῥυσθέντες τοῦ πονηροῦ* τῶν ἀγγέλων βοήσωμεν τὴν ᾠδήν.

Ἅγιε, ἅγιε, ἅγιε, τρισάγιε Κύριε,* ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Καὶ εὐθὺς

ΤΟ ΣΥΜΒΟΛΟΝ ΤΗΣ ΠΙΣΤΕΩΣ

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ

Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Εἶτα ψάλλομεν τοὺς παρόντας στίχους.
Ἄρχεται δὲ ὁ β′ χορὸς εἰς ἦχον πλ. β′.

Παναγία Δέσποινα Θεοτόκε,* πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (Τρὶς)

Πᾶσαι αἱ οὐράνιαι δυνάμεις* τῶν ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων,* πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (Δὶς)

Ἅγιε Ἰωάννη, προφῆτα καὶ πρόδρομε* καὶ βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,* πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (Δὶς)

Ἅγιοι ἔνδοξοι ἀπόστολοι,* προφῆται καὶ μάρτυρες, καὶ πάντες ἅγιοι,* πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (Δὶς)

Ὅσιοι, θεοφόροι πατέρες ἡμῶν,* ποιμένες καὶ διδάσκαλοι τῆς οἰκουμένης,* πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (Δὶς)

Ἡ ἀήττητος, καὶ ἀκατάλυτος* καὶ θεία δύναμις* τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ,* μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς. (Δίς)

Ὁ Θεός, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς. (Τρις)

Καὶ ἐλέησον ἡμᾶς.

Ὁ ἀναγνώστης· Τρισάγιον κ.τ.λ. καὶ τὰ ἐφεξῆς τροπάρια ἐναλλάξ, ἡμέραν παρ' ἡμέραν.

Τῇ Δευτέρᾳ καὶ Τετάρτῃ.

Ἦχος β'.

Φώτισον τοὺς ὀφθαλμούς μου,* Χριστὲ ὁ Θεός,* μήποτε ὑπνώσω εἰς θάνατον,* μήποτε εἴπῃ ὁ ἐχθρός μου·* Ἴσχυσα πρὸς αὐτόν.

Δόξα.

Ἀντιλήπτωρ τῆς ψυχῆς μου* γενοῦ, ὁ Θεός,* ὅτι μέσον διαβαίνω* παγίδων πολλῶν·* ῥῦσαί με ἐξ αὐτῶν,* καὶ σῶσόν με, ἀγαθέ,* ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν* διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα,* σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον,* Θεοτόκε Παρθένε·* πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς* πρὸς εὐμένειαν Δεσπότου·* μὴ παρίδῃς* ἁμαρτωλῶν ἱκεσίας, ἡ πάνσεμνος·* ὅτι ἐλεήμων ἐστὶ* καὶ σῴζειν δυνάμενος,* ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Τῇ Τρίτῃ καὶ Πέμπτῃ.

Ἦχος πλ. δ'.

Τῶν ἀοράτων ἐχθρῶν μου* τὸ ἄϋπνον ἐπίστασαι, Κύριε,* καὶ τῆς ἀθλίας σαρκός μου* τὸ ἄτονον ἔγνως, ὁ πλάσας με·* διὸ εἰς χεῖράς σου* παραθήσομαι τὸ πνεῦμά μου.* Σκέπασόν με πτέρυξι* τῆς σῆς ἀγαθότητος,* ἵνα μὴ ὑπνώσω εἰς θάνατον·* καὶ τοὺς νοεροὺς ὀφθαλμούς μου φώτισον* ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου·* καὶ διέγειρόν με* ἐν καιρῷ

εὐθέτῳ* πρὸς σὴν δοξολογίαν,* ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχ. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε,* τῶν ἀγγέλων παριστα-μένων,* τῶν ἀνθρώπων εἰσαγομένων,* τῶν βίβλων ἀνεῳγμένων,* τῶν ἔργων ἐρευνωμένων,* τῶν λογισμῶν ἐξε-ταζομένων.* Ποία κρίσις ἔσται ἐν ἐμοὶ* τῷ συλληφθέντι ἐν ἁμαρτίαις;* τίς μου τὴν φλόγα κατασβέσει;* τίς μου τὸ σκό-τος καταλάμψει,* εἰ μὴ σύ, Κύριε, ἐλεήσεις με,* ὡς φιλάν-θρωπος;

Δόξα.

Δάκρυά μοι δός, ὁ Θεός,* ὥς ποτε τῇ γυναικὶ τῇ ἁμαρ-τωλῷ* καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου,* τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ* τῆς πλάνης ἐλευθερώσαντας* καὶ μύρον εὐωδίας σοι προσφέρειν,* βίον καθαρὸν* ἐν μετανοίᾳ μοι κτισθέντα·* ἵνα ἀκούσω κἀγὼ* τῆς εὐκταίας σου φωνῆς·* Ἡ πίστις σου σέσωκέ σε,* πορεύου εἰς εἰρήνην.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ἀκαταίσχυντον, Θεοτόκε,* ἐλπίδα σου ἔχων,* σωθή-σομαι·* τὴν προστασίαν σου* κεκτημένος,* πανάχραν-τε,* οὐ φοβηθήσομαι·* καταδιώξω τοὺς ἐχθρούς μου* καὶ τροπώσομαι αὐτούς,* μόνην ἀμπεχόμενος* ὡς θώρακα τὴν σκέπην σου·* καὶ τὴν παντοδύναμον βοήθειάν σου* καθικε-τεύων, βοῶ σοι·* Δέσποινα, σῶσόν με ταῖς πρεσβείαις σου* καὶ ἀνάστησόν με* ἐκ ζοφώδους ὕπνου* πρὸς σὴν δοξολο-γίαν,* δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος* Υἱοῦ τοῦ Θεοῦ.

Τὸ Κύριε ἐλέησον, μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἶτα τὴν ἑπομένην εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινὴν τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δὲ ἡμᾶς καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν· καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, ἵνα καὶ ἐν τῇ καθ' ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον δὲ ἀφ' ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ καὶ ἐπιθυμίαν βλαβεράν. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου· εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἀναγνώστης· Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. Μετανοίας γ'. Καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ Ν' (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

εὐθέτῳ* πρὸς σὴν δοξολογίαν,* ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχ. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε,* τῶν ἀγγέλων παριστα-μένων,* τῶν ἀνθρώπων εἰσαγομένων,* τῶν βίβλων ἀνεῳγμένων,* τῶν ἔργων ἐρευνωμένων,* τῶν λογισμῶν ἐξε-ταζομένων.* Ποία κρίσις ἔσται ἐν ἐμοὶ* τῷ συλληφθέντι ἐν ἁμαρτίαις;* τίς μου τὴν φλόγα κατασβέσει;* τίς μου τὸ σκό-τος καταλάμψει,* εἰ μὴ σύ, Κύριε, ἐλεήσεις με,* ὡς φιλάν-θρωπος;

Δόξα.

Δάκρυά μοι δός, ὁ Θεός,* ὥς ποτε τῇ γυναικὶ τῇ ἁμαρ-τωλῷ* καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου,* τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ* τῆς πλάνης ἐλευθερώσαντας* καὶ μύρον εὐωδίας σοι προσφέρειν,* βίον καθαρὸν* ἐν μετανοίᾳ μοι κτισθέντα·* ἵνα ἀκούσω κἀγὼ* τῆς εὐκταίας σου φωνῆς·* Ἡ πίστις σου σέσωκέ σε,* πορεύου εἰς εἰρήνην.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ἀκαταίσχυντον, Θεοτόκε,* ἐλπίδα σου ἔχων,* σωθή-σομαι·* τὴν προστασίαν σου* κεκτημένος,* πανάχραν-τε,* οὐ φοβηθήσομαι·* καταδιώξω τοὺς ἐχθρούς μου* καὶ τροπώσομαι αὐτούς,* μόνην ἀμπεχόμενος* ὡς θώρακα τὴν σκέπην σου·* καὶ τὴν παντοδύναμον βοήθειάν σου* καθικε-τεύων, βοῶ σοι·* Δέσποινα, σῶσόν με ταῖς πρεσβείαις σου* καὶ ἀνάστησόν με* ἐκ ζοφώδους ὕπνου* πρὸς σὴν δοξολο-γίαν,* δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος* Υἱοῦ τοῦ Θεοῦ.

Τὸ Κύριε ἐλέησον, μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Διὰ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἶτα τὴν ἑπομένην εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινὴν τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δὲ ἡμᾶς καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν· καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, ἵνα καὶ ἐν τῇ καθ' ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον δὲ ἀφ' ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ καὶ ἐπιθυμίαν βλαβεράν. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἑστηριγμένους ἐν τῇ πίστει καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου· εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἀναγνώστης· Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. Μετανοίας γ'. Καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ Ν' (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

ΨΑΛΜΟΣ ΡΑ' (101).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.

Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.

Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.

Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος.

Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.

Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων, ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέῤῥαξάς με.

Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.

Σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.

Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.

Καὶ φοβηθῆσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου.

Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιὼν καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν.

Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.

Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε,

Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων,

Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἰερουσαλήμ.

Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ, ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι.

Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί.

Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται.

Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

ΠΡΟΣΕΥΧΗ ΜΑΝΑΣΣΗ, ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΙΟΥΔΑΙΑΣ

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου· ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν· ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου· ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου· ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου· ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου. Σὺ γὰρ εἶ Κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων. Σύ, Κύριε, κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου ἐπηγγείλω μετάνοιαν καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσι σοι καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν. Σὺ οὖν, Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι· ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον

ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. Ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε· ἐπλήθυναν αἱ ἀνομίαι μου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδηρῷ εἰς τὸ μὴ ἀνανεῦσαι τὴν κεφαλήν μου, καὶ οὐκ ἔστι μοι ἄνεσις· διότι παρώργισα τὸν θυμόν σου καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, μὴ ποιήσας τὸ θέλημά σου καὶ μὴ φυλάξας τὰ προστάγματά σου. Καὶ νῦν κλίνω γόνυ καρδίας, δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. Ἥμαρτηκα, Κύριε, ἡμάρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω· ἀλλ' αἰτοῦμαι δεόμενος· Ἄνες μοι, Κύριε, ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι, μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς· διότι σὺ εἶ Θεός, Θεὸς τῶν μετανοούντων, καὶ ἐν ἐμοὶ δείξεις πᾶσαν τὴν ἀγαθωσύνην σου· ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου, καὶ αἰνέσω σε διαπαντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου. Ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Καὶ ψάλλομεν τὰ κατανυκτικὰ ταῦτα τροπάρια·

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης γὰρ ἀπολογίας ἀποροῦντες* ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* Ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε, ἐλέησον ἡμᾶς·* ἐπὶ σοὶ γὰρ πεποίθαμεν·* μὴ ὀργισθῇς ἡμῖν σφόδρα,* μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·* ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·* σὺ γὰρ εἶ Θεὸς ἡμῶν,* καὶ ἡμεῖς λαός σου·* πάντες ἔργα χειρῶν σου* καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν Χριστιανῶν.

Τὸ Κύριε, ἐλέησον, μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Διὰ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Καὶ τὴν εὐχήν·

Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καί, οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἀναγνώστης. Δεῦτε, προσκυνήσωμεν, γ'. Μετανοίας γ'. Καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ ΞΘ' (69).

Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός, καὶ λεγέτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεός, βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε· μὴ χρονίσῃς.

ΨΑΛΜΟΣ ΡΜΒ' (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνῶρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

ΔΟΞΟΛΟΓΙΑ

Δόξα ἐν ὑψίστοις Θεῷ*, καὶ ἐπὶ γῆς εἰρήνη,* ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε,* εὐλογοῦμέν σε,* προσκυνοῦμέν σε,* δοξολογοῦμέν σε,* εὐχαριστοῦμέν σοι* διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ,* ἐπουράνιε Θεέ,* Πάτερ παντοκράτορ·* Κύριε Υἱὲ μονογενές,* Ἰησοῦ Χριστέ,* καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός,* ὁ ἀμνὸς τοῦ Θεοῦ,* ὁ Υἱὸς τοῦ Πατρός,* ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου,* ἐλέησον ἡμᾶς,* ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν,* ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός,* καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος,* σὺ εἶ μόνος Κύριος,* Ἰησοῦς Χριστός,* εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε* καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα* καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ* ἐγενήθης ἡμῖν* ἐν γενεᾷ καὶ γενεᾷ.* Ἐγὼ εἶπα·* Κύριε, ἐλέησόν με·* ἴασαι τὴν ψυχήν μου,* ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον·* δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου,* ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·* ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου* τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε,* ἐν τῇ νυκτὶ ταύτῃ* ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν,* καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου* εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε,* τὸ ἔλεός σου ἐφ' ἡμᾶς,* καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε·* δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα·* συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε·* φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα·* τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος,* σοὶ πρέπει ὕμνος,* σοὶ δόξα πρέπει,*

τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι,* νῦν καὶ ἀεὶ* καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐνταῦθα ψάλλομεν κατὰ μὲν τὴν Α΄ ἑβδομάδα τῆς Μ. Τεσσαρακοστῆς τὸ ὡρισμένον τμῆμα τοῦ Μεγάλου Κανόνος, κατὰ δὲ τὰς λοιπὰς τὸν κανόνα τῆς ἡμέρας ἐκ τοῦ Θεοτοκαρίου, τῇ δὲ Μ. Δευτέρᾳ καὶ Μ. Τρίτῃ τὸ τρῳδιον ἑκάστης ἡμέρας.

Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν τροπαρίων τοῦ κανόνος· Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Καὶ τὸ ἑπόμενον τροπάριον μετὰ τῶν στίχων αὐτοῦ.

Ἦχος πλ. β΄.

Κύριε τῶν δυνάμεων,* μεθ' ἡμῶν γενοῦ·* ἄλλον γὰρ ἐκτός σου βοηθὸν* ἐν θλίψεσιν οὐκ ἔχομεν.* Κύριε τῶν δυνάμεων,* ἐλέησον ἡμᾶς.

Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Εἶτα ὁ α΄ χορός· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὁ β΄ χορός· Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Καὶ πάλιν οἱ δύο χοροὶ ὁμοῦ·

Κύριε τῶν δυνάμεων, μεθ' ἡμῶν γενοῦ...

Ὁ ἀναγνώστης·

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.

Κύριε,* εἰ μὴ τοὺς ἁγίους σου εἴχομεν πρεσβευτὰς* καὶ τὴν ἀγαθότητά σου συμπαθοῦσαν ἡμῖν,* πῶς ἐτολμῶμεν, Σῶτερ, ὑμνῆσαί σε,* ὃν εὐλογοῦσιν ἀπαύστως ἄγγελοι;* Καρδιογνῶστα,* φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Πολλὰ τὰ πλήθη τῶν ἐμῶν,* Θεοτόκε, πταισμάτων·* πρὸς σὲ κατέφυγον, ἁγνή,* σωτηρίας δεόμενος.* Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχὴν* καὶ πρέσβευε τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν* δοθῆναί μοι τὴν ἄφεσιν,* ὧν ἔπραξα δεινῶν,* μόνη εὐλογημένη.

Καὶ ψάλλει ὁ α' χορός·

Παναγία Θεοτόκε,* τὸν χρόνον τῆς ζωῆς μου* μὴ ἐγκαταλίπῃς με·* ἀνθρωπίνῃ προστασίᾳ* μὴ καταπιστεύσῃς με,* ἀλλ' αὐτὴ ἀντιλαβοῦ* καὶ ἐλέησόν με.

Καὶ ὁ β' χορός·

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς σὲ ἀνατίθημι·* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τὸ Κύριε, ἐλέησον, μ'.

Εἶτα τὴν εὐχὴν τοῦ Μεγάλου Βασιλείου.

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν· αὐτός, Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου· τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον καὶ ῥῦσαι ἡμᾶς ἀπὸ

πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις, ἵνα, τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὸ Κύριε, ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Καὶ ποιοῦμεν μετανοίας μεγάλας τρεῖς λέγοντες ἐν ἑκάστῃ ἀνὰ ἕνα στίχον τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραίμ.

Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας καὶ ἀργολογίας μὴ μοι δῷς.

Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ.

Ναί, Κύριε βασιλεῦ, δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ δὲ ταῦτας ἑτέρας μικρὰς ιβ', καὶ πάλιν μίαν μεγάλην ἐπαναλαμβάνοντες τὸν τελευταῖον στίχον τῆς εὐχῆς.

Εἶτα· Τρισάγιον κ.τ.λ. Κύριε, ἐλέησον ιβ' καὶ τὰς ἑπομένας εὐχάς·

ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Παύλου μοναχοῦ, Μονῆς τῆς Εὐεργέτιδος.

Ἀσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ Παρθένε, Θεόνυμφε Δέσποινα ἡ Θεὸν Λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σου κυήσει ἑνώσασα καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα· ἡ τῶν ἀπηλπισμένων μόνη ἐλπὶς καὶ τῶν πολεμουμένων βοήθεια· ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων καὶ πάντων τῶν Χριστιανῶν τὸ καταφύγιον· μὴ βδελύξῃ με τὸν ἁμαρτωλόν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν

ὅλον ἐμαυτὸν ἀχρειώσαντα καὶ τῶν ἡδονῶν τοῦ βίου, ῥαθυμίᾳ γνώμης, δοῦλον γενόμενον· ἀλλ' ὡς τοῦ φιλανθρώπου Θεοῦ Μήτηρ, φιλανθρώπως σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν· καὶ τὸν σὸν Υἱόν, καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, τῇ μητρικῇ σου παῤῥησίᾳ χρωμένη, δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος· καὶ παριδών μου τὰ ἀναρίθμητα πταίσματα ἐπιστρέψῃ με πρὸς μετάνοιαν καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργάτην δόκιμον ἀναδείξῃ με. Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων καὶ συμπαθὴς καὶ φιλάγαθος, ἐν μὲν τῷ παρόντι βίῳ θερμὴ προστάτις καὶ βοηθός, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με· καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόῤῥω αὐτῆς ἀπελαύνουσα· ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως τῆς αἰωνίου με ῥυομένη κολάσεως καὶ τῆς ἀπορῥήτου δόξης τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα. Ἧς καὶ τύχοιμι, Δέσποινά μου, ὑπεραγία Θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

Ἀντιόχου μοναχοῦ τοῦ Πανδέκτου.

Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν ἀνάπαυσιν σώματος καὶ ψυχῆς· καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ τὰ καθ' ἡμῶν δολίως κινούμενα· τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ Θεός, γρήγορον νοῦν, σώφρονα λογισμόν,

καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι εἰς τὸ ὑμνεῖν καὶ εὐλογεῖν καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν καὶ αἴτησαι, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΙΚΙΟΥ

Ἡ ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι· Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Κατὰ τὴν Α΄ ἑβδομάδα τῶν νηστειῶν ὁ ἱερεὺς ἀναγινώσκει ἀπὸ τῆς Ὡραίας Πύλης τὸ Εὐαγγέλιον τῆς ἡμέρας λέγων Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ..

Εἶτα ὁ ἱερεύς· Εἰρήνη πᾶσι.
Ὁ χορός· Καὶ τῷ πνεύματί σου.
Ὁ ἱερεύς· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ χορός· Σοί, Κύριε.

Καὶ ἡμῶν κεκλιμένων, λέγει ὁ ἱερεύς·

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν·

τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν ἁγίων· εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀπόδιωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ὁ ἱερεύς·

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Καὶ ἡμεῖς τὸ Κύριε, ἐλέησον, συνεχῶς.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

(Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν).

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν διακονούντων καὶ διακονησάντων ἡμῖν.

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων.

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν· τὸ Κύριε, ἐλέησον γ'.

Καὶ λαμβάνουσι πάντες συγχώρησιν παρὰ τοῦ προεστῶτος ἢ τοῦ ἱερέως, ἀσπαζόμενοι τὴν δεξιὰν αὐτοῦ. Ἐν ὅσῳ δὲ δίδεται ἡ συγχώρησις, ψάλλεται ὑπὸ τοῦ β' χοροῦ·

Τῇ μὲν Δευτέρᾳ καὶ Τετάρτῃ ἑσπέρας·

Ἦχος β'. (Ὅτε ἐκ τοῦ ξύλου).

Πάντων προστατεύεις, ἀγαθή,* τῶν καταφευγόντων ἐν πίστει* τῇ κραταιᾷ σου χειρί·* ἄλλην γὰρ οὐκ ἔχομεν* ἀμαρτωλοὶ πρὸς Θεὸν* ἐν κινδύνοις καὶ θλίψεσιν* ἀεὶ μεσιτείαν,* οἱ κατακαμπτόμενοι* ὑπὸ πταισμάτων πολλῶν,* Μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου·* ὅθεν σοι προσπίπτομεν· Ῥῦσαι* πάσης περιστάσεως τοὺς δούλους σου.

Τῇ δὲ Τρίτῃ καὶ Πέμπτῃ ἑσπέρας.

Ἦχος α'. (Πανεύφημοι μάρτυρες).

Σφαγήν σου τὴν ἄδικον, Χριστέ,* ἡ Παρθένος βλέπουσα* ὀδυρομένη ἐβόα σοι·* Τέκνον γλυκύτατον,* πῶς ἀδίκως θνήσκεις;* πῶς τῷ ξύλῳ κρέμασαι,* ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι;* Μὴ λίπῃς μόνην με,* εὐεργέτα πολυέλεε,* τὴν Μητέρα* καὶ δούλην σου, δέομαι.

Ὁ ἱερεύς·

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Καὶ ἡμεῖς· Ἀμήν.

Καὶ ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν, ἔνθα λέγομεν καὶ τὴν εὐχὴν ταύτην·

Τοῖς μισοῦσι καὶ ἀδικοῦσιν ἡμᾶς συγχώρησον, Κύριε. Τοῖς ἀγαθοποιοῦσιν ἀγαθοποίησον. Τοῖς ἀδελφοῖς καὶ οἰκείοις ἡμῶν χάρισαι τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι καὶ ἴασιν δώρησαι. Τοὺς ἐν θαλάσσῃ κυβέρνησον. Τοῖς ἐν ὁδοιπορίαις συνόδευσον. Τῷ βασιλεῖ συμμάχησον. Τοῖς διακονοῦσι καὶ ἐλεοῦσιν ἡμᾶς ἁμαρτιῶν ἄφεσιν δώρησαι. Τοὺς ἐντειλαμένους ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος. Μνήσθητι, Κύριε, τῶν προκοιμηθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι, Κύριε, τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων καὶ λύτρωσαι αὐτοὺς ἀπὸ πάσης πε-

ριστάσεως. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ δὸς αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Μνήσθητι, Κύριε, καὶ ἡμῶν τῶν ταπεινῶν καὶ ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου καὶ φώτισον ἡμῶν τὸν νοῦν τῷ φωτὶ τῆς γνώσεώς σου καὶ ὁδήγησον ἡμᾶς ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου Μητρός, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων σου τῶν ἁγίων· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Β'.
ΤΟ ΜΙΚΡΟΝ ΑΠΟΔΕΙΠΝΟΝ

(Εἰς τοὺς Ἐνοριακοὺς Ναοὺς τὸ Μικρὸν Ἀπόδειπνον τελεῖται κατὰ τὴν Μ. Τεσσαρακοστήν·

1. Τῇ Παρασκευῇ τῆς α', β', γ' καὶ δ' ἑβδομάδος ἑσπέρας, μετὰ τοῦ κανόνος καὶ μιᾶς στάσεως τῶν οἴκων (Χαιρετισμῶν) τοῦ Ἀκαθίστου.

2. Τῇ Τετάρτῃ τῆς ε' ἑβδομάδος ἑσπέρας, μεθ' ὁλοκλήρου τοῦ Μεγάλου Κανόνος.

3. Τῇ Παρασκευῇ τῆς ε' ἑβδομάδος ἑσπέρας, μετὰ τοῦ κανόνος καὶ πάντων τῶν οἴκων (Χαιρετισμῶν) τοῦ Ἀκαθίστου.

4. Τῇ Παρασκευῇ τῆς ς' ἑβδομάδος μετὰ τοῦ κανόνος τοῦ ἁγίου Λαζάρου.

5. Τῇ Μ. Τετάρτῃ ἑσπέρας μετὰ τοῦ τριῳδίου τῆς ἡμέρας.).

Ὁ ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς (ἢ ὁ ἱερεύς)·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε,* Παράκλητε,* τὸ Πνεῦμα τῆς ἀληθείας,* ὁ πανταχοῦ παρὼν* καὶ τὰ πάντα πληρῶν,* ὁ θησαυρὸς τῶν ἀγαθῶν* καὶ ζωῆς χορηγός,* ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν* καὶ καθάρισον ἡμᾶς* ἀπὸ πάσης κηλῖδος* καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ὁ ἀναγνώστης· Τρισάγιον κ.τ.λ.. Κύριε, ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν... Μετανοίας γ' καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ Ν' (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

ΨΑΛΜΟΣ ΞΘ' (69).

Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.

Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.

Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός, καὶ λεγέτωσαν διαπαντός· Μεγαλυνθῆτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.

Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ Θεός, βοήθησόν μοι. Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε· μὴ χρονίσῃς.

ΨΑΛΜΟΣ ΡΜΒ' (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

ΔΟΞΟΛΟΓΙΑ

Δόξα ἐν ὑψίστοις Θεῷ* καὶ ἐπὶ γῆς εἰρήνη,* ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε,* εὐλογοῦμέν σε,* προσκυνοῦμέν σε,* δοξολογοῦμέν σε,* εὐχαριστοῦμέν σοι* διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ,* ἐπουράνιε Θεέ,* Πάτερ παντοκράτορ·* Κύριε Υἱὲ μονογενές,* Ἰησοῦ Χριστέ,* καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός,* ὁ ἀμνὸς τοῦ Θεοῦ,* ὁ Υἱὸς τοῦ Πατρός,* ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου,* ἐλέησον ἡμᾶς,* ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν,* ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός,* καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος,* σὺ εἶ μόνος Κύριος,* Ἰησοῦς Χριστός,* εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε* καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα* καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ* ἐγενήθης ἡμῖν* ἐν γενεᾷ καὶ γενεᾷ.* Ἐγὼ εἶπα·* Κύριε, ἐλέησόν με·* ἴασαι τὴν ψυχήν μου,* ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον·* δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου,* ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·* ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου* τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε,* ἐν τῇ νυκτὶ ταύτῃ* ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν,* καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου* εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε,* τὸ ἔλεός σου ἐφ' ἡμᾶς,* καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε·* δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα·* συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε·* φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα·* τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος,* σοὶ πρέπει ὕμνος,* σοὶ δόξα πρέπει,* τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι,* νῦν καὶ ἀεί* καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟ ΣΥΜΒΟΛΟΝ ΤΗΣ ΠΙΣΤΕΩΣ

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Εἶτα·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον,* σὲ μεγαλύνομεν.

Καὶ ψάλλομεν τὸν κανόνα τῆς ἡμέρας.

Κατὰ δὲ τὴν περίοδον τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς, τὴν ἑσπέραν ἑκάστης Παρασκευῆς, μετὰ τὸ Ἄξιόν ἐστιν ὡς ἀληθῶς... ψάλλεται ὁ κανὼν τοῦ Ἀκαθίστου καὶ ἀναγινώσκεται ἡ ὡρισμένη στάσις τῶν οἴκων (Χαιρετισμῶν).

Μετὰ ταῦτα Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Εἶτα τὸ κοντάκιον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου ἢ τὰ παρόντα τροπάρια·

Ἦχος δ΄.

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν,* ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν* κατὰ τὴν σὴν ἐπιείκειαν,* μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν,* ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις* ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου* ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα* ἡ Ἐκκλησία σου στολισαμένη,* δι' αὐτῶν βοᾷ σοι, Χριστὲ ὁ Θεός·* Τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον,* εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου,* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν. Ἦχος α΄.

Τῇ πρεσβείᾳ, Κύριε,* πάντων τῶν ἁγίων* καὶ τῆς Θεοτόκου,* τὴν σὴν εἰρήνην δὸς ἡμῖν* καὶ ἐλέησον ἡμᾶς* ὡς μόνος οἰκτίρμων.

Εἶτα Κύριε, ἐλέησον, μ΄.

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δι-

καίους ἀγαπῶν καὶ τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν· αὐτός, Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου ἀγγέλοις, ἵνα, τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι, καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Ὁ ἀναγνώστης· Κύριε, ἐλέησον ιβ' καὶ τὰς ἑπομένας εὐχάς.

ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Παύλου μοναχοῦ, Μονῆς τῆς Εὐεργέτιδος.

Ἀσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ Παρθένε, Θεόνυμφε Δέσποινα· ἡ Θεὸν Λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σου κυήσει ἑνώσασα καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα· ἡ τῶν ἀπηλπισμένων μόνη ἐλπὶς καὶ τῶν πολεμουμένων βοήθεια· ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων καὶ πάντων τῶν Χριστιανῶν τὸ καταφύγιον· μὴ βδελύξῃ με τὸν ἁμαρτολόν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν ὅλον ἐμαυτὸν ἀχρειώσαντα καὶ τῶν ἡδονῶν τοῦ βίου, ῥᾳθυμίᾳ γνώμης, δοῦλον γενόμενον· ἀλλ' ὡς τοῦ φιλανθρώπου Θεοῦ Μήτηρ, φιλανθρώπως σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν· καὶ τὸν σὸν Υἱόν, καὶ ἡμῶν Δε-

σπότην καὶ Κύριον, τῇ μητρικῇ σου παῤῥησίᾳ χρωμένη, δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος· καὶ παριδών μου τὰ ἀναρίθμητα πταίσματα ἐπιστρέψῃ με πρὸς μετάνοιαν καὶ τῶν αὐτοῦ ἐντολῶν ἐργάτην δόκιμον ἀναδείξῃ με. Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων καὶ συμπαθὴς καὶ φιλάγαθος, ἐν μὲν τῷ παρόντι βίῳ θερμὴ προστάτις καὶ βοηθός, τὰς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με· καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόῤῥω αὐτῆς ἀπελαύνουσα· ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως τῆς αἰωνίου με ῥυομένη κολάσεως καὶ τῆς ἀπῤῥήτου δόξης τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα. Ἧς καὶ τύχοιμι, Δέσποινά μου, ὑπεραγία Θεοτόκε, διὰ τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΧΗ ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

Ἀντιόχου μοναχοῦ τοῦ Πανδέκτου.

Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν ἀνάπαυσιν σώματος καὶ ψυχῆς· καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ τὰ καθ' ἡμῶν δολίως κινούμενα· τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ Θεός, γρήγορον νοῦν, σώφρονα λογισμόν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρὸν καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι εἰς τὸ

ὑμνεῖν καὶ εὐλογεῖν καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Υπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν καὶ αἴτησαι, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

ΕΥΧΗ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΙΚΙΟΥ

Ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι· Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τῇ Παρασκευῇ τῆς α΄ ἑβδομάδος τῶν νηστειῶν, ὁ ἱερεύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ.. Καὶ ἀναγινώσκει τὸ Εὐαγγέλιον.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἱερεὺς ποιεῖ τὴν ἀπόλυσιν, λέγων·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Καὶ ἡμεῖς· Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ ἱερεύς· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Καὶ ἡμεῖς τὸ Κύριε, ἐλέησον συνεχῶς.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

(Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν).

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν διακονούντων καὶ διακονησάντων ἡμῖν.

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων.

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἀπανταχοῦ ὀρθοδόξων.

Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν· τὸ Κύριε, ἐλέησον, γ'.

Ὁ δὲ χορὸς ψάλλει εἰς μὲν τὰς ἀκολουθίας τῶν Χαιρετισμῶν τὸ ἀκόλουθον Θεοτοκίον.

Ἦχος γ'.

Τὴν ὡραιότητα* τῆς παρθενίας σου* καὶ τὸ ὑπέρλαμπρον* τὸ τῆς ἁγνείας σου* ὁ Γαβριὴλ καταπλαγεὶς* ἐβόα σοι, Θεοτόκε·* Ποῖόν σοι ἐγκώμιον* προσαγάγω ἐπάξιον;* τί δὲ ὀνομάσω σε;* ἀπορῶ καὶ ἐξίσταμαι.* Διό, ὡς προσετάγην, βοῶ σοι·* Χαῖρε, ἡ κεχαριτωμένη.

Τῇ Μ. Τετάρτῃ το Σφαγὴν σου τὴν ἄδικον, Χριστέ, (σ. 273).

Εἰς δὲ τὰς ἄλλας περιπτώσεις τὸ Πάντων προστατεύεις, ἀγαθή, (σ. 273).

Ὁ ἱερεύς· Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Καὶ ἡμεῖς· Ἀμήν.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

ΑΙ ΘΕΙΑΙ ΛΕΙΤΟΥΡΓΙΑΙ

«Σὺ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν...».

«Λάβετε φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου...
Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου...»
(Ματθ. κστ' 26, 28)

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ὁ διάκονος

Εὐλόγησον, δέσποτα.

Ὁ ἱερεύς

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός Ἀμήν.

Εἶτα ὁ διάκονος τὰ εἰρηνικά, ψάλλοντος τοῦ χοροῦ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.

(Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν).

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς, ἢ τῆς χώρας, ἢ τῆς νήσου) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ α' ἀντιφώνου.

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος· οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καί, ἐὰν μὲν εἶναι Κυριακὴ ἢ μνήμη ἁγίου, ψάλλεται ὁ

ΨΑΛΜΟΣ ΡΒ' (102)(*).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Εὐλογητὸς εἶ, Κύριε. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου· ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.

(*) Ὁ Ψαλμὸς οὗτος, καθὼς καὶ ὁ κατωτέρω ΡΜΕ' ἀποτελοῦν τὰ λεγόμενα «Τυπικά», τὰ ὁποῖα μετὰ τῶν Μακαρισμῶν πρέπει κανονικῶς νὰ ψάλλωνται ὡς ἀντίφωνα τῆς Θ. Λειτουργίας κατὰ τὰς Κυριακὰς καὶ τὰς μνήμας τῶν ἁγίων. Σήμερον ὅμως ταῦτα σπανίως ψάλλονται, διότι χάριν συντομίας ἔχει ἐπικρατήσει νὰ ψάλλωνται τὰ ἐν συνεχείᾳ παρατιθέμενα μικρὰ ἀντίφωνα.

Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλογητὸς εἶ, Κύριε.

Ἢ ἀντ' αὐτοῦ τὸ ἑξῆς ἀντίφωνον.

Ἦχος β'.

Στίχ. α'. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου,* Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β'. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις...

Στίχ. γ'. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις...

Κατὰ τὰς καθημερινὰς ψάλλεται τὸ ἑξῆς ἀντίφωνον.

Ἦχος β'.

Στίχ. α'. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.

Ταῖς πρεσβείαις...

Στίχ. β'. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ταῖς πρεσβείαις...

Στίχ. γ'. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Ταῖς πρεσβείαις...

Δόξα, καὶ νῦν.

Ταῖς πρεσβείαις...

Κατὰ δὲ τὰς δεσποτικὰς καὶ τὰς θεομητορικὰς ἑορτὰς καὶ τὰ μεθέορτα αὐτῶν ψάλλονται τὰ οἰκεῖα ἀντίφωνα.

Μετὰ δὲ τὸ α' ἀντίφωνον λέγει ὁ διάκονος τὴν μικρὰν συναπτήν.

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ β' ἀντιφώνου.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας

σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκφώνως·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ β΄ ἀντίφωνον, ἤτοι, ἐὰν εἶναι Κυριακὴ ἢ μνήμη ἁγίου, ὁ

ΨΑΛΜΟΣ ΡΜΕ΄ (145).

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι.

Κύριος λύει πεπεδημένους· Κύριος σοφοῖ τυφλούς· Κύριος ἀνορθοῖ κατερραγμένους· Κύριος ἀγαπᾷ δικαίους· Κύριος φυλάσσει τοὺς προσηλύτους.

Ὀρφανὸν καὶ χήραν ἀναλήψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,* ἀθάνατος ὑπάρχων* καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν* σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου* καὶ ἀειπαρθένου Μαρίας* ἀτρέπτως ἐνανθρωπήσας,* σταυρωθείς τε, Χριστὲ ὁ Θεός,* θανάτῳ θάνατον πατήσας,* εἷς ὢν τῆς ἁγίας Τριάδος,* συνδοξαζόμενος τῷ Πατρὶ* καὶ τῷ ἁγίῳ Πνεύματι,* σῶσον ἡμᾶς.

Ἦ ἀντ' αὐτοῦ τὸ ἑξῆς ἀντίφωνον.

Ἦχος β'.

Στίχ. α'. Αἶνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,* ὁ ἀναστὰς ἐκ νεκρῶν* (ἢ ὁ ἐν ἁγίοις θαυμαστός),* ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχ. β'. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς...

Στίχ. γ'. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον ἡμᾶς...

Δόξα, καὶ νῦν.

Ὁ μονογενὴς Υἱός... (ὡς ἀνωτέρω).

Κατὰ τὰς καθημερινὰς ψάλλεται τὸ ἑξῆς ἀντίφωνον·

Ἦχος πλ. α'.

Στίχ. α'. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Πρεσβείαις τῶν ἁγίων σου* σῶσον ἡμᾶς, Κύριε.

Στίχ. β'. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Πρεσβείαις τῶν ἁγίων σου...

Στίχ. γ'. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Πρεσβείαις τῶν ἁγίων σου...

Δόξα.

Πρεσβείαις τῶν ἁγίων σου...

Καὶ νῦν.

Ὁ μονογενὴς Υἱός... (σ. 293).

Ἐὰν δὲ εἶναι δεσποτικὴ ἢ θεομητορικὴ ἑορτὴ ἢ μεθέορτα αὐτῆς, ψάλλεται τὸ δεύτερον ἀντίφωνον αὐτῆς.

Μετὰ τὸ β΄ ἀντίφωνον ὁ διάκονος λέγει καὶ πάλιν τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ γ΄ ἀντιφώνου·

Ὁτὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ γ΄ ἀντίφωνον, ἤτοι ἐν Κυριακῇ ἢ μνήμῃ ἁγίου οἱ Μακαρισμοὶ μετὰ τῶν οἰκείων τροπαρίων. (Ζήτει τὰ ἀναστάσιμα τροπάρια εἰς τὸ Γ΄ μέρος τοῦ παρόντος).

ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ

Ἐν τῇ βασιλείᾳ σου· μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ τροπάρια).

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ ἀντὶ τῶν Μακαρισμῶν ἐν Κυριακῇ τὸ ἑξῆς ἀντίφωνον.

Στίχ. α'. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Τὸ ἀναστάσιμον ἀπολυτίκιον.

Στίχ. β'. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.

Καὶ πάλιν τὸ ἀπολυτίκιον.

Ἐν μνήμῃ ἁγίου οἱ κατάλληλοι στίχοι μετὰ τοῦ ἀπολυτικίου τοῦ ἁγίου.

Ἐν καθημερινῇ τὸ ἑξῆς ἀντίφωνον

Ἦχος β'.

Στίχ. α'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,* ὁ ἐν ἁγίοις θαυμαστός,* ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχ. β'. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Σῶσον ἡμᾶς...

Στίχ. γ'. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν· ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Σῶσον ἡμᾶς...

Ἐὰν δὲ εἶναι δεσποτικὴ ἢ θεομητορικὴ ἑορτή, ψάλλεται τὸ γ' ἀντίφωνον αὐτῆς.

Ψαλλομένου τοῦ γ' ἀντιφώνου γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου.

Ὁ διάκονος χαμηλοφώνως· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου χαμηλοφώνως·

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον.

Ὁ ἱερεὺς εὐλογῶν·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθέντος δὲ τοῦ γ' ἀντιφώνου, ὁ διάκονος ἐκφωνεῖ·

Σοφία· ὀρθοί.

Καὶ ψάλλεται τὸ εἰσοδικόν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,* ὁ ἀναστὰς ἐκ νεκρῶν,* (ἢ ὁ ἐν ἁγίοις θαυμαστός),* ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἐὰν δὲ εἶναι δεσποτικὴ ἑορτὴ ἡ ἀπόδοσις αὐτῆς ψάλλεται τὸ εἰσοδικὸν τῆς ἑορτῆς.

Εἶτα ψάλλονται τὰ ἀπολυτίκια τῆς Κυριακῆς ἢ τῆς ἑορτῆς καὶ τοῦ ἁγίου τοῦ ναοῦ καὶ τὸ κοντάκιον τῆς ἑορτῆς ἢ τῆς περιόδου.

Μετὰ δὲ τὸ κοντάκιον·

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ τρισαγίου ὕμνου.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων.

Ἐκφώνως·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί,

Ὁ διάκονος· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται ὑπὸ τῶν χορῶν ἐναλλὰξ ὁ τρισάγιος ὕμνος.

Ἅγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς. Ἐκ γ'.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς.

Ὁ διάκονος· Δύναμις.

Ὁ χορός· Ἅγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ τρισαγίου ἐκφωνεῖ ὁ ἀναγνώστης·

Προκείμενον. Ἦχος (...) Ψαλμὸς (...)

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης ἀπαγγέλλει τοὺς στίχους τοῦ προκειμένου.

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης λέγει τὴν ἐπιγραφὴν τοῦ ἀποστολικοῦ ἀναγνώσματος.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης ἀναγινώσκει τὸν Ἀπόστολον.

Μετὰ δὲ τὴν ἀνάγνωσιν ὁ ἱερεὺς εὐλογεῖ τὸν ἀναγνώστην λέγων· Εἰρήνη σοι.

Ὁ χορὸς ψάλλει τὸ Ἀλληλουϊάριον.

Ὁ δὲ ἱερεὺς χαμηλοφώνως τὴν εὐχὴν τοῦ Εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας πάσας καταπατήσαντες πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τῆν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σω-

μάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπὸ τῆς Ὡραίας Πύλης ἐκφωνεῖ·

Σοφία· ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Ἐκ τοῦ κατὰ (...) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ ἱερεύς· Πρόσχωμεν.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ διάκονος ἀναγινώσκει τὸ Εὐαγγέλιον.

Μετὰ δὲ τὴν ἀνάγνωσιν ὁ ἱερεὺς εὐλογεῖ τὸν διάκονον λέγων· Εἰρήνη σοι.

Ὁ δὲ χορὸς ψάλλει· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ γίνεται τὸ κήρυγμα τοῦ θείου λόγου.

Εἶτα ὁ διάκονος λέγει τὴν ἐκτενῆ δέησιν(*), τοῦ χοροῦ ψάλλοντος μεθ' ἑκάστην αἴτησιν τὸ Κύριε, ἐλέησον τρίς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...).

(*) Εἰς τοὺς ἐνοριακοὺς ναοὺς κατὰ κανόνα σήμερον ἡ ἐκτενὴς δέησις, ἡ ὑπὲρ τῶν κατηχουμένων καὶ αἱ εὐχαὶ τῶν πιστῶν ἀναγινώσκονται μυστικῶς, εὐθὺς δὲ μετὰ τὸ Εὐαγγέλιον ἢ τὸ κήρυγμα λέγεται ἡ ἐκφώνησις Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι...

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ ἐνορίᾳ καὶ πόλει ταύτῃ.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἀπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας·

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνως·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος τὴν δέησιν ὑπὲρ τῶν κατηχουμένων, οἱ δὲ χοροὶ ἐναλλὰξ τὸ Κύριε, ἐλέησον.

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.
Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν·
Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ·
Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας·
Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης·

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κατηχουμένων.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνως·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος τὴν ἀπόλυσιν τῶν κατηχουμένων·

Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε· μή τις τῶν κατηχουμένων.

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Σοφία.

Ὁ ἱερεὺς τὴν Α΄ εὐχὴν τῶν πιστῶν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ· ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἶης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Σοφία.

Ὁ ἱερεὺς τὴν Β΄ εὐχὴν τῶν πιστῶν.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύειν σοι,

ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ἐκφώνως·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλει ἀργῶς τὸν χερουβικὸν ὕμνον.

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες* καὶ τῇ ζωοποιῷ Τριάδι* τὸν τρισάγιον ὕμνον προσάδοντες* πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν* ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.

Ὁ δὲ ἱερεὺς εὔχεται ὑπὲρ ἑαυτοῦ χαμηλοφώνως·

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν. Ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· Ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ'

ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα θυμιᾷ λέγων τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι (ἢ τὸ Δεῦτε προσκυνήσωμεν) καὶ τὸν Ν' Ψαλμόν.

Καὶ γίνεται ἡ εἴσοδος τῶν τιμίων δώρων, τοῦ διακόνου καὶ τοῦ ἱερέως ἐκφωνούντων ἀλληλοδιαδόχως·

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἀποπληροῖ τὸν χερουβικὸν ὕμνον·

Ταῖς ἀγγελικαῖς ἀοράτως* δορυφορούμενον τάξεσιν.* Ἀλληλούϊα.

Εἶτα ὁ διάκονος λέγει τὰς δεήσεις·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Οἱ χοροί ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ χοροί ἐναλλάξ· Παράσχου, Κύριε. Ὁ διάκονος·

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός. Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προσκομιδῆς.

Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ἐκφώνως

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ χορός· Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Καὶ μετὰ τὸν ἀσπασμὸν ὁ διάκονος·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Καὶ λέγεται τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Εἶτα ὁ διάκονος ἐκφώνως·

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός· Ἄξιον καὶ δίκαιον.

Ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων, ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Ἐκφώνως·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα.

Ὁ χορός· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος σαβαώθ·* πλήρης ὁ οὐρανὸς* καὶ ἡ γῆ τῆς δόξης σου.* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου·* ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται·

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογῆσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Ἐκφώνως·

Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς·

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

Ἐκφωνως·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς·

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

Ἐκφώνως·

Τὰ σὰ ἐκ τῶν σῶν, σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα.

Ὁ χορός· Σὲ ὑμνοῦμεν,* σὲ εὐλογοῦμεν,* σοὶ εὐχαριστοῦμεν, Κύριε,* καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ δὲ ἱερεὺς κλίνας τὴν κεφαλὴν μετὰ πάσης κατανύξεως ἐπεύχεται·

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· Κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Ὁ ἱερεὺς σφαγίζει τὸν ἅγιον ἄρτον λέγων·

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

Ὁ διάκονος· Ἀμήν. Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Καὶ ὁ ἱερεὺς εὐλογῶν τὸ ἅγιον ποτήριον λέγει·

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

Ὁ διάκονος· Ἀμήν. Εὐλόγησον, δέσποτα, ἀμφότερα τὰ ἅγια.

Ὁ δὲ ἱερεὺς εὐλογῶν ἀμφότερα τὰ ἅγια, λέγει·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

Ὁ διάκονος· Ἀμήν· ἀμήν· ἀμήν.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται·

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ χορὸς ψάλλει τὸ μεγαλυνάριον τῆς Θεοτόκου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον,* σὲ μεγαλύνομεν.

Ἐὰν δὲ εἶναι δεσποτικὴ ἢ θεομητορικὴ ἑορτὴ ἢ ἀπόδοσις αὐτῆς, ψάλλεται ὁ εἱρμὸς τῆς θ' ᾠδῆς τῆς ἑορτῆς.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται·

Τοῦ ἁγίου Ἰωάννου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου (...), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου (καὶ μνημονεύει ὀνομαστὶ ὧν βούλεται τεθνεώτων), καὶ ἀνάπαυσον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε· Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων· ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ἐκφώνως·

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν (...), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ διάκονος κατακλείων τὴν ἀνάγνωσιν τῶν διπτύχων ἐκφωνεῖ·

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.

Ὁ χορός· Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐπεύχεται·

Μνήσθητι, Κύριε, τῆς πόλεως, (ἢ χώρας, ἢ νήσου, ἢ τῆς Μονῆς), ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαὸν λέγει·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ διάκονος τὰς δεήσεις·

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Οἱ χοροὶ ἐναλλὰξ ἐν ἑκάστῃ δεήσει· Κύριε ἐλέησον.

Ὁ διάκονος·

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

(*) [Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ χοροὶ ἐναλλάξ· Παράσχου Κύριε.

Ὁ διάκονος·

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.]

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

(*) Αἱ ἐντὸς ἀγκυλῶν δεήσεις παραλείπονται συνήθως καὶ λέγεται εὐθὺς ἡ τελευταία Τὴν ἑνότητα τῆς πίστεως...

Ὁ ἱερεὺς τὴν εὐχήν.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν.

Καὶ ἀπαγγέλλεται ἡ Κυριακὴ προσευχή.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας.

Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας καὶ τῷ πλήθει τοῦ ἐλέ-

ους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἐκφώνως·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἱερεὺς ὑψῶν τὸν ἅγιον ἄρτον ἐκφωνεῖ·

Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ χορός· Εἷς ἅγιος,* εἷς Κύριος,* Ἰησοῦς Χριστός,* εἰς δόξαν Θεοῦ Πατρός.* Ἀμήν.

Καὶ ψάλλεται τὸ ἁρμόδιον κοινωνικὸν κατὰ τὴν τυπικὴν διάταξιν.

Ὁ ἱερεὺς καὶ ὁ διάκονος λέγουσι χαμηλοφώνως τὰς εὐχὰς τῆς ἁγίας μεταλήψεως(*).

(*) Αἱ εὐχαὶ αὐταὶ πολλάκις ἀναγινώσκονται ἐκφώνως ὑπὸ τοῦ

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· Ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν·
Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ·
Πῦρ γὰρ ὑπάρχεις, τοὺς ἀναξίους φλέγον·
Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ* σήμερον, Υἱὲ Θεοῦ,* κοινωνόν με παράλαβε·* οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου* τὸ μυστήριον εἴπω·* οὐ φίλημά σοι δώσω,* καθάπερ ὁ Ἰούδας·* ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι* Μνήσθητί μου, Κύριε,* ἐν τῇ βασιλείᾳ σου.

Θεουργὸν Αἷμα φρῖξον, ἄνθρωπε, βλέπων·
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ Σῶμα καὶ θεοῖ με καὶ τρέφει.
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Ἐθελξας πόθῳ με, Χριστέ,* καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτί·* ἀλλὰ κατάφλεξον* πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου,* καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ* τρυφῆς καταξίωσον,* ἵνα τὰς δύο σκιρτῶν* μεγαλύνω, ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου* πῶς εἰσελεύσομαι ὁ ἀνάξιος;* ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα,* ὁ χιτών με ἐλέγχει,* ὅτι οὐκ ἔστι τοῦ γάμου,* καὶ δέ-

---

ἀναγνώστου ἀντὶ κοινωνικοῦ χάριν τῶν μελλόντων νὰ προσέλθουν εἰς τὴν θείαν κοινωνίαν.

σμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων.* Καθάρισον, Κύριε,* τὸν ῥύπον τῆς ψυχῆς μου* καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ...

Καὶ κοινωνεῖ ὁ ἱερεὺς καὶ μεταδίδει καὶ εἰς τὸν διάκονον. Ἔπειτα καλεῖ τὸν λαὸν λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

Ἀφοῦ δὲ μεταδώσῃ εἰς τοὺς πιστούς, λέγει·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ χορὸς ψάλλει·

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν,* ἐλάβομεν Πνεῦμα ἐπουράνιον,* εὕρομεν πίστιν ἀληθῆ,* ἀδιαίρετον Τριάδα προσκυνοῦντες·* αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἐὰν δὲ εἶναι δεσποτικὴ ἑορτὴ ἢ ἀπόδοσις αὐτῆς, ψάλλεται ἀντὶ τοῦτου τὸ ἀπολυτίκιον τῆς ἑορτῆς.

Ὁ ἱερεὺς θυμιάσας τὰ ἅγια εἰσάγει αὐτὰ εἰς τὴν πρόθεσιν λέγων καθ' ἑαυτόν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

Εἶτα ἐκφώνως·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε,* ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου,* ὅτι ἠξίωσας ἡμᾶς* τῶν ἁγίων σου μετασχεῖν μυστηρίων·* τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ,* ὅλην τὴν ἡμέραν* μελετῶντας τὴν δικαιοσύνην σου.* Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἶτα ὁ διάκονος·

Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀ-

θανάτων, ἐπουρανίων καὶ ζωοποιῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος·

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχαριστήριον εὐχὴν μετὰ τὴν θείαν κοινωνίαν.

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου, τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα· εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχήν.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θείᾳ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κό-

σμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Οἱ χοροὶ ἐναλλάξ· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος (ἐκ γ').

Ὁ δὲ ἱερεὺς ἀπελθὼν εἰς τὴν πρόθεσιν λέγει τὴν εὐχὴν ταύτην.

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς εὐλογῶν λέγει

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον (ἐκ γ'). Εὐλόγησον.

Ὁ ἱερεὺς πρὸς τὸν λαόν·

Ὁ ἀναστὰς ἐκ νεκρῶν (ἐὰν εἶναι Κυριακή, ἢ τὸ χαρακτηριστικὸν τῆς ἑορτῆς) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν

ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Οἱ χοροὶ καὶ σύμπας ὁ λαός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαὸν λέγει·

Ἡ ἁγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς.

Καὶ ὁ λαὸς ἀντεύχεται αὐτῷ λέγων·

Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.

Καὶ λαβόντες πάντες τὸ ἀντίδωρον καὶ ἀσπασάμενοι τὴν χεῖρα τοῦ ἱερέως ἀπέρχονται εὐτάκτως εὐλογοῦντες καὶ δοξάζοντες τὸν Θεόν.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Ἡ Θεία Λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου τελεῖται δεκάκις τοῦ ἔτους, ἤτοι: τῇ Α' Ἰανουαρίου, καθ' ἣν τελεῖται ἡ μνήμη αὐτοῦ, τὰς πέντε Κυριακὰς τῆς Μ. Τεσσαρακοστῆς, τῇ Μ. Πέμπτῃ καὶ τῷ Μ. Σαββάτῳ καὶ τὰς παραμονὰς τῶν Χριστουγέννων καὶ τῶν Θεοφανείων(*). Ἐὰν ὅμως αἱ παραμοναὶ τῶν ἑορτῶν τούτων τύχωσιν ἐν Σαββάτῳ ἢ Κυριακῇ, κατὰ μὲν τὴν παραμονὴν τελεῖται ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου, ἡ δὲ τοῦ Μ. Βασιλείου τελεῖται κατὰ τὴν κυρίαν ἡμέραν τῆς ἑορτῆς.

Τελεῖται δὲ ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου ἀκριβῶς, ὡς καὶ ἡ τοῦ Χρυσοστόμου μέχρι καὶ τῆς δεήσεως ὑπὲρ τῶν κατηχουμένων (βλ. σ. 287-301).

Μετὰ δὲ τὴν δέησιν λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ὑπὲρ τῶν κατηχουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας τοὺς ἑ-

---

(*) Παλαιότερον ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου ἐτελεῖτο προσέτι καὶ τῇ Κυριακῇ τῆς Πεντηκοστῆς καὶ εἰς τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ. Ἐν Ἁγίῳ Ὄρει μέχρι σήμερον τελεῖται κατὰ τὴν ἑορτὴν τῆς Ὑψώσεως.

αυτῶν αὐχένας ἐνώπιόν σου, καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν σου· ποίησον αὐτοὺς μέλη τίμια τῆς ἁγίας σου Ἐκκλησίας καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Ἐκφώνως·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος τὴν ἀπόλυσιν τῶν κατηχουμένων.

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων.

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Σοφία.

Ὁ ἱερεὺς τὴν α′ εὐχὴν τῶν πιστῶν.

Σύ, Κύριε, κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον· σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος εἰς τὴν διακονίαν ταύτην· ἵνα, ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. Δός, Κύριε, καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν καὶ εὐπρόσδεκτον ἐνώπιόν σου.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Σοφία.

Ὁ ἱερεὺς τὴν β΄ εὐχὴν τῶν πιστῶν.

Ὁ Θεός, ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν· ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ· σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος εἰς τὴν διακονίαν ταύτην· καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι δώρων.

Ἐκφώνως·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλει ἀργῶς τὸν χερουβικὸν ὕμνον.

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες* καὶ τῇ ζωοποιῷ Τριάδι* τὸν τρισάγιον ὕμνον προσᾴδοντες* πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν* ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.

Ὁ δὲ ἱερεὺς εὔχεται ὑπὲρ ἑαυτοῦ χαμηλοφώνως.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λει-

τουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ, τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· Ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιον αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα θυμιᾷ λέγων τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι (ἢ τὸ Δεῦτε προσκυνήσωμεν) καὶ τὸν Ν' Ψαλμόν.

Καὶ γίνεται ἡ εἴσοδος τῶν τιμίων δώρων, τοῦ διακόνου καὶ τοῦ ἱερέως ἐκφωνούντων ἀλληλοδιαδόχως·

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἀποπληροῖ τὸν χερουβικὸν ὕμνον.

Ταῖς ἀγγελικαῖς ἀοράτως* δορυφορούμενον τάξεσιν.* Ἀλληλούϊα.

Εἶτα ὁ διάκονος λέγει τὰς δεήσεις, οἱ δὲ χοροὶ ἐναλλὰξ τὸ Κύριε, ἐλέησον.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ὁ διάκονος συνεχίζει·

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προσκομιδῆς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοῦς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου. Εὐδόκησον δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἣν προσδεξάμενος εἰς τὸ ἅγιον, ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος. Ἐπίβλεψον ἐφ' ἡμᾶς, ὁ Θεός, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικὰς. Ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου, Κύριε· ἵνα, καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

Ἐκφώνως·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ χορός· Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Καὶ μετὰ τὸν ἀσπασμὸν ὁ διάκονος·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Καὶ λέγεται τὸ Σύμβολον τῆς πίστεως (σ. 306).

Εἶτα ὁ διάκονος ἐκφώνως·

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεύς· Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεύς· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός· Ἄξιον καὶ δίκαιον.

Ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς.

Ὢν, Δέσποτα, Κύριε Θεέ, Πάτερ παντοκράτορ προσκυνητέ, ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα Θεὸν καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν· ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. Καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ; Δέσποτα τῶν ἁπάντων, Κύριε οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως ὁρωμένης τε καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος, τῆς ἐλπίδος ἡμῶν· ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος, ἐν ἑαυτῷ δεικνὺς σὲ τὸν Πατέρα, Λόγος ζῶν, Θεὸς ἀληθινός, ἡ πρὸ αἰώνων σοφία, ζωή, ἁγιασμός, δύναμις, τὸ φῶς τὸ ἀλη-

θινόν· παρ' οὗ τὸ Πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας Πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀρραβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ· παρ' οὗ πᾶσα κτίσις λογική τε καὶ νοερὰ δυναμουμένη, σοὶ λατρεύει καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν, ὅτι τὰ σύμπαντα δοῦλα σά. Σὲ γὰρ αἰνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι, δυνάμεις, καὶ τὰ πολυόμματα Χερουβίμ. Σοὶ παρίστανται κύκλῳ τὰ Σεραφίμ, ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας καὶ ταῖς δυσὶ πετόμενα κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις,

Ἐκφώνως

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα.

Ὁ χορός· Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ·* πλήρης ὁ οὐρανὸς* καὶ ἡ γῆ τῆς δόξης σου.* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου·* ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὁ ἱερεὺς ἐπεύχεται

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ, ὡς ἀληθῶς, καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ δίσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν· πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ, ὁ Θεός, τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ· ἀλλὰ παρακούσαντα σοῦ τοῦ ἀληθινοῦ Θεοῦ τοῦ κτίσαντος αὐτὸν καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου, ὁ Θεός, ἐκ τοῦ παραδείσου

εἰς τὸν κόσμον τοῦτον καὶ ἀπέστρεψας εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου. Οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος, ὃ ἐποίησας, ἀγαθέ, οὐδὲ ἐπελάθου ἔργου χειρῶν σου, ἀλλ' ἐπεσκέψω πολυτρόπως διὰ σπλάγχνα ἐλέους σου. Προφήτας ἐξαπέστειλας· ἐποίησας δυνάμεις διὰ τῶν ἁγίων σου, τῶν καθ' ἑκάστην γενεὰν εὐαρεστησάντων σοι· ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν προφητῶν, προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν· ἀγγέλους ἐπέστησας φύλακας. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ Υἱῷ σου, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησας· ὅς, ὢν ἀπαύγασμα τῆς δόξης σου καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ Θεῷ καὶ Πατρί· ἀλλά, Θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη· καὶ ἐκ παρθένου ἁγίας σαρκωθείς, ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου λαβών, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὐτοῦ. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, ηὐδόκησεν ὁ μονογενής σου Υἱός, ὁ ὢν ἐν τοῖς κόλποις σοῦ τοῦ Θεοῦ καὶ Πατρός, γενόμενος ἐκ γυναικός, τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ, ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ Χριστῷ σου· καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρός, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· καὶ καθαρίσας ἐν ὕδατι καὶ ἁγιάσας τῷ Πνεύματι τῷ ἁγίῳ, ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα, πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν· καὶ κατελθὼν διὰ τοῦ Σταυροῦ εἰς τὸν ᾅδην, ἵνα πληρώσῃ ἑαυτοῦ τὰ πάντα, ἔλυσε τὰς ὀδύνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ καὶ ὁδοποιήσας πάσῃ σαρ-

κὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς· ὃς καὶ ἥξει, ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους ταῦτα, ἃ προτεθείκαμεν ἐνώπιόν σου κατὰ τὰς αὐτοῦ ἐντολάς. Μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτί, ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας,

Ἐκφώνως·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών· Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς·

Ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβών, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας,

Ἐκφώνως·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών· Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς·

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε. Μεμνημένοι οὖν, Δέσποτα, καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου

ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνόδου, τῆς ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς καθέδρας καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς δευτέρας αὐτοῦ παρουσίας,

Ἐκφώνως·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα.

Ὁ χορός· Σὲ ὑμνοῦμεν,* σὲ εὐλογοῦμεν,* σοὶ εὐχαριστοῦμεν, Κύριε,* καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται·

Διὰ τοῦτο, Δέσποτα πανάγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν (οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς), ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ' ἡμᾶς, θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ προθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, ἅγιε ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ εὐλογῆσαι αὐτὰ καὶ ἁγιάσαι καὶ ἀναδεῖξαι,

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Ὁ ἱερεὺς σφραγίζει τὸν ἅγιον ἄρτον λέγων·

Τὸν μὲν ἄρτον τοῦτον αὐτὸ τὸ τίμιον Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

Ὁ διάκονος· Ἀμήν. Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Καὶ ὁ ἱερεὺς εὐλογῶν τὸ ἅγιον ποτήριον λέγει·

Τὸ δὲ ποτήριον τοῦτο αὐτὸ τὸ τίμιον Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

Ὁ διάκονος· Ἀμήν. Εὐλόγησον, δέσποτα, ἀμφότερα τὰ ἅγια.

Ὁ δὲ ἱερεὺς εὐλογῶν ἀμφότερα τὰ ἅγια λέγει·

Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

Ὁ διάκονος· Ἀμήν· ἀμήν· ἀμήν.

Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται.

Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου μετέχοντας ἑνώσαις ἀλλήλοις εἰς ἑνὸς Πνεύματος ἁγίου κοινωνίαν, καὶ μηδένα ἡμῶν εἰς κρῖμα ἢ εἰς κατάκριμα ποιήσαις μετασχεῖν τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν μετὰ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, διδασκάλων καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ χορὸς ψάλλει τὸ μεγαλυνάριον τῆς Θεοτόκου.

Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη,* πᾶσα ἡ κτίσις,* ἀγγέλων τὸ σύστημα* καὶ ἀνθρώπων τὸ γένος,* ἡγιασμένε ναὲ* καὶ παράδεισε λογικέ,* παρθενικὸν καύχημα,* ἐξ ἧς Θεὸς ἐσαρκώθη* καὶ παιδίον γέγονεν* ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν·* τὴν γὰρ σὴν μήτραν* θρόνον ἐποίησε* καὶ τὴν σὴν γαστέρα* πλατυτέραν οὐρανῶν ἀπειργάσατο.* Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη,* πᾶσα ἡ κτίσις· δόξα σοι.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται·

Τοῦ ἁγίου Ἰωάννου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου (...), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου (καὶ μνημονεύει ἐνταῦθα ὀνομαστὶ ὧν βούλεται τεθνεώτων)· καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι σοῦ δεόμεθα· Μνήσθητι, Κύριε, τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτήν, ἣν περιεποιήσω τῷ τιμίῳ Αἵματι

τοῦ Χριστοῦ σου, καὶ τὸν ἅγιον οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Μνήσθητι, Κύριε, τῶν τὰ δῶρά σοι ταῦτα προσκομισάντων καὶ ὑπὲρ ὧν καὶ δι' ὧν καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων. Ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου καὶ ἐπουρανίοις χαρίσμασι· χάρισαι αὐτοῖς ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα. Μνήσθητι, Κύριε, τῶν ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ καὶ εὐλαβείᾳ καὶ ἀσκήσει καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς. Ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς· ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον αὐτῶν τὸν βραχίονα· ὕψωσον αὐτῶν τὴν δεξιάν· κράτυνον αὐτῶν τὴν βασιλείαν· ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη, τὰ τοὺς πολέμους θέλοντα· χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην· λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς Ἐκκλησίας σου καὶ παντὸς τοῦ λαοῦ σου, ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Μνήσθητι, Κύριε, πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ τῶν ἐν τῷ παλατίῳ ἀδελφῶν ἡμῶν καὶ παντὸς τοῦ στρατοπέδου. Τοὺς ἀγαθοὺς ἐν τῇ ἀγαθότητί σου διατήρησον· τοὺς πονηροὺς ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. Τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ· τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησαι· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε καὶ σύναψον τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ. Τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευ-

σον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπεράσπισον· αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι. Τῶν ἐν βήμασι καὶ μετάλλοις καὶ ἐξορίαις καὶ πικραῖς δουλείαις καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ καὶ περιστάσει ὄντων μνημόνευσον, ὁ Θεός, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας· καὶ τῶν ἀγαπώντων ἡμᾶς καὶ τῶν μισούντων καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ παντὸς τοῦ λαοῦ σου, μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα. Καὶ ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν δι' ἄγνοιαν ἢ λήθην ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον, ὁ Θεός, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ. Σὺ γὰρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων σωτῆρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός. Αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον καὶ τὸ αἴτημα αὐτοῦ, οἶκον καὶ τὴν χρείαν αὐτοῦ. Ῥῦσαι, Κύριε, τὴν πόλιν (ἢ τὴν Μονὴν) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου.

Ἐκφώνως·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν (...), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ διάκονος κατακλείων τὴν ἀνάγνωσιν τῶν διπτύχων ἐκφωνεῖ·

Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.

Ὁ χορός· Καὶ πάντων καὶ πασῶν.

Ὁ ἱερεὺς ἐπεύχεται.

Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ τῆς ἐμῆς ἀνα-

ξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων δώρων. Μνήσθητι, Κύριε, τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος· καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, Κύριε· ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς· εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμβρους εἰρηνικοὺς τῇ γῇ πρὸς καρποφορίαν δώρησαι. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· παῦσον τὰ σχίσματα τῶν Ἐκκλησιῶν· σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν· τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος. Πάντας ἡμᾶς πρόσδεξαι εἰς τὴν βασιλείαν σου, υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας. Τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαὸν λέγει·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ διάκονος τὰς δεήσεις.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Οἱ χοροὶ ἐναλλὰξ ἐν ἑκάστῃ δεήσει· Κύριε, ἐλέησον.

Ὁ διάκονος.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

[Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.]

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχήν.

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως ὑπὲρ τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας καὶ ποιεῖς μεθ' ἡμῶν. Σύ, ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ δίδαξον ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου· ἵνα, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶ-

μεν τῷ ἁγίῳ Σώματι καὶ Αἵματι τοῦ Χριστοῦ σου. Καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν καὶ γενώμεθα ναὸς τοῦ ἁγίου σου Πνεύματος. Ναί, ὁ Θεὸς ἡμῶν· καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων μυστηρίων, μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς ἀξίως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου· ὅπως ἂν καὶ ἡμεῖς μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ἃ ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε.

Ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν.

Καὶ ἀπαγγέλλεται ἡ Κυριακὴ προσευχὴ (σ. 313).

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας.

Δέσποτα Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον, παντὶ δὲ ἔργῳ ἀγαθῷ σύναψον καὶ καταξίωσον ἀκατακρίτως μετα-

σχεῖν τῶν ἀχράντων σου τούτων καὶ ζωοποιῶν μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς Πνεύματος ἁγίου κοινωνίαν.

Ἐκφώνως·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἱερεὺς ὑψῶν τὸν ἅγιον ἄρτον ἐκφωνεῖ·

Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ χορός· Εἷς ἅγιος,* εἷς Κύριος,* Ἰησοῦς Χριστός,* εἰς δόξαν Θεοῦ Πατρός.* Ἀμήν.

Καὶ ψάλλεται τὸ ἁρμόδιον κοινωνικὸν κατὰ τὴν τυπικὴν διάταξιν.

Ὁ δὲ ἱερεὺς καὶ ὁ διάκονος λέγουσι χαμηλοφώνως τὰς εὐχὰς τῆς ἁγίας μεταλήψεως (σ. 315-316). Καὶ κοινωνεῖ ὁ ἱερεὺς καὶ μεταδίδει καὶ εἰς τὸν διάκονον. Ἔπειτα καλεῖ τὸν λαὸν λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

Ἀφοῦ δὲ μεταδώσῃ εἰς τοὺς πιστούς, λέγει·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ χορὸς ψάλλει·

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν,* ἐλάβομεν Πνεῦμα ἐπουράνιον,* εὕρομεν πίστιν ἀληθῆ,* ἀδιαίρετον Τριάδα προσκυνοῦντες·* αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἐὰν δὲ εἶναι δεσποτικὴ ἑορτή, ἀντὶ τοῦ Εἴδομεν τὸ φῶς ψάλλεται τὸ ἀπολυτίκιον τῆς ἑορτῆς.

Ὁ ἱερεὺς θυμιάσας τὰ ἅγια εἰσάγει αὐτὰ εἰς τὴν πρόθεσιν λέγων καθ' ἑαυτόν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

Εἶτα ἐκφώνως·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε,* ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου,* ὅτι ἠξίωσας ἡμᾶς* τῶν ἁγίων σου μετασχεῖν μυστηρίων·* τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ,* ὅλην τὴν ἡμέραν* μελετῶντας τὴν δικαιοσύνην σου.* Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἶτα ὁ διάκονος·

Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος·

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχαριστήριον εὐχὴν μετὰ τὴν θείαν κοινωνίαν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων καὶ ἐπουρανίων σου μυστηρίων, ἃ ἔδωκας ἡμῖν ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. Αὐτός, Δέσποτα τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας,

εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχήν.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θείᾳ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου· ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἢ ἀντὶ τῆς ἀνωτέρω τὴν ἑξῆς (*)

Θυσίαν αἰνέσεως καὶ λατρείαν εὐάρεστον τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν προσδεχόμενος παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ ἀμνὸς καὶ Υἱὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ὁ μόσχος ὁ ἄμωμος ὁ μὴ δεχόμενος ἁμαρτίας ζυγὸν

(*) Ἡ εὐχὴ αὕτη λέγεται συνήθως τῇ Α' Ἰανουαρίου.

καὶ τυθεὶς δι' ἡμᾶς ἐκών· ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, τοὺς δὲ ἐσθίοντας ἁγιάζων· ὁ εἰς ἀνάμνησιν τοῦ ἑκουσίου πάθους σου καὶ τῆς ζωοποιοῦ τριημέρου ἐγέρσεώς σου κοινωνοὺς ἡμᾶς ἀναδείξας τῶν ἀῤῥήτων καὶ ἐπουρανίων καὶ φρικτῶν σου μυστηρίων, τοῦ ἁγίου σου Σώματος καὶ τοῦ τιμίου σου Αἵματος· τήρησον ἡμᾶς τοὺς δούλους σου, τοὺς διακόνους, καὶ τοὺς πιστοὺς ἡμῶν βασιλεῖς καὶ τὸν φιλόχριστον στρατὸν καὶ τὸν περιεστῶτα λαὸν ἐν τῷ σῷ ἁγιασμῷ. Καὶ δὸς ἡμῖν ἐν παντὶ χρόνῳ καὶ καιρῷ μελετᾶν τὴν σὴν δικαιοσύνην, ὅπως, πρὸς τὸ σὸν θέλημα ὁδηγηθέντες καὶ τὰ εὐάρεστά σοι ποιήσαντες, ἄξιοι γενώμεθα καὶ τῆς ἐκ δεξιῶν σου παραστάσεως, ὅταν ἐλεύσῃ κρῖναι ζῶντας καὶ νεκρούς. Τοὺς ἐν αἰχμαλωσίᾳ ἀδελφοὺς ἡμῶν ἀνάῤῥυσαι, τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, τοὺς ἐν κινδύνοις θαλάσσης κυβέρνησον καὶ τὰς προαναπαυσαμένας ψυχὰς ἐπ' ἐλπίδι ζωῆς αἰωνίου ἀνάπαυσον, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, καὶ πάντων τῶν δεομένων τῆς σῆς βοηθείας ἐπάκουσον. Ὅτι σὺ εἶ ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλουσιν οἱ χοροὶ ἐκ τρίτου·

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὁ δὲ ἱερεὺς ἀπελθὼν εἰς τὴν πρόθεσιν λέγει τὴν εὐχὴν ταύτην.

Ἡνυσται καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸ τῆς σῆς οἰκονομίας μυστήριον· ἔσχομεν γὰρ τοῦ θανάτου σου τὴν μνήμην· εἴδομεν τῆς ἀναστάσεώς σου τὸν τύπον· ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς· ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς· ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον, χάριτι τοῦ ἀνάρχου σου Πατρὸς καὶ τοῦ ἁγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς εὐλογῶν λέγει·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ἡμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον (ἐκ γ'). Εὐλόγησον.

Ὁ ἱερεὺς πρὸς τὸν λαόν·

Ὁ ἀναστὰς ἐκ νεκρῶν (ἐὰν εἶναι Κυριακή, ἢ τὸ χαρακτηριστικὸν τῆς ἑορτῆς) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τοῦ ἁγίου (τοῦ ναοῦ)· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, οὐρανοφάντορος τοῦ μεγάλου· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἅννης· τοῦ ἁγίου (...), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων ἐλεήσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Οἱ χοροὶ καὶ σύμπας ὁ λαός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαὸν λέγει·

Ἡ ἁγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς.

Καὶ ὁ λαὸς ἀντεύχεται αὐτῷ λέγων·

Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.

Καὶ λαβόντες πάντες τὸ ἀντίδωρον καὶ ἀσπασάμενοι τὴν χεῖρα τοῦ ἱερέως ἀπέρχονται εὐτάκτως εὐλογοῦντες καὶ δοξάζοντες τὸν Θεόν.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ

Μετὰ τὴν ἀπόλυσιν τῆς Θ΄ Ὥρας καὶ τῶν Μακαρισμῶν ὁ διάκονος· Εὐλόγησον, δέσποτα.

Ὁ ἱερεὺς ἐκφώνως·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Καὶ τὸν προοιμιακὸν Ψαλμόν.

ΨΑΛΜΟΣ ΡΓ΄ (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς.

Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἥτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός.

(Ἐκ γ'.) Μετὰ δὲ τὸ τρίτον·

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Ὁ διάκονος τὰ εἰρηνικά, τῶν χορῶν ψαλλόντων ἐναλλὰξ μεθ' ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ τοῦ Κυρίου δεηθῶμεν.

(Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν).

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς, ἢ τῆς χώρας, ἢ τῆς νήσου) ταύτης, πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν Α΄ εὐχὴν τοῦ Λυχνικοῦ.

Κύριε, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὰς καρδίας ἡμῶν εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· διότι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια· σὺ εἶ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, δυνατὸς ἐν ἐλέει καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν καὶ παρακαλεῖν καὶ σῴζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Καὶ ἄρχεται τῆς ἀναγνώσεως τοῦ ΙΗ΄ καθίσματος τοῦ Ψαλτηρίου εἰς τρεῖς στάσεις.

ΣΤΑΣΙΣ Α΄.

ΨΑΛΜΟΣ ΡΙΘ΄ (119).

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.

Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν;

Τὰ βέλη τοῦ δυνατοῦ ἡκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς.

Οἴμοι! ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ· πολλὰ παρῴκησεν ἡ ψυχή μου.

Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

ΨΑΛΜΟΣ ΡΚ' (120).

Ηρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Μὴ δῷης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε.

Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ.

Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου.

Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα.

Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος.

Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ ΡΚΑ' (121).

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον Κυρίου πορευσόμεθα.

Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ.

Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.

Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραὴλ τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.

Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ.

Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε·

Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου.

Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ·

Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι.

ΨΑΛΜΟΣ ΡΚΒ' (122).

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.

Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν.

Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

ΨΑΛΜΟΣ ΡΚΓ' (123).

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ·

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς.

Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς· χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.

Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.

Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν.

Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός (τρίς). Κύριε, ἐλέησον (τρίς). Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ διάκονος τὴν μικρὰν συναπτήν· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὁ ἱερεὺς τὴν Β' εὐχὴν τοῦ Λυχνικοῦ.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς· ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν· ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων.

Ἐκφώνως·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΣΤΑΣΙΣ Β'.

ΨΑΛΜΟΣ ΡΚΔ' (124).

Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ.

Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐ-

πὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν.

Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ· τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΨΑΛΜΟΣ ΡΚΕ' (125).

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.

Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν.

Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι.

Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάρρους ἐν τῷ νότῳ.

Οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι.

Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν.

Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν.

ΨΑΛΜΟΣ ΡΚΣΤ' (126).

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.

Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν, ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.

Ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.

Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

ΨΑΛΜΟΣ ΡΚΖ' (127).

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι· μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.

Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου· οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου.

Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.

Εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἰερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου·

Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

ΨΑΛΜΟΣ ΡΚΗ' (128).

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ·

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι.

Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.

Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν.

Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών.

Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη·

Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων.

Καὶ οὐκ εἶπον οἱ παράγοντες· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός (τρίς). Κύριε, ἐλέησον (τρίς). Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ διάκονος τὴν μικρὰν συναπτήν· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὁ ἱερεὺς τὴν Γ΄ εὐχὴν τοῦ Λυχνικοῦ.

Κύριε, ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον ὄνομά σου καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου· ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου.

Ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΣΤΑΣΙΣ Γ΄.

ΨΑΛΜΟΣ ΡΚΘ΄ (129).

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου·

Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου.

Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός· ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

ΨΑΛΜΟΣ ΡΛ' (130).

Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου,

Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.

Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.

Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ ΡΛΑ' (131).

Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ, ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ·

Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου,

Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου,

Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.

Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.

Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου.

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν·

Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου·

Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς,

Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου.

Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ·

Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν.

Τὴν θύραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων,

Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται.

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ· ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

ΨΑΛΜΟΣ ΡΛΒ΄ (132).

Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;

Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾠὰν τοῦ ἐνδύματος αὐτοῦ·

Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.

Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ ΡΛΓ΄ (133).

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.

Εὐλογήσαι σε Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός (Ἐκ γ'). Μετὰ δὲ τὸ τρίτον·

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Ὁ διάκονος τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας...

Ὁ ἱερεὺς τὴν Δ' εὐχὴν τοῦ Λυχνικοῦ.

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ καὶ φυλασσόντων τὰς ἐντολάς σου· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σῴζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ Κύριε, ἐκέκραξα εἰς τὸν ἦχον τῶν στιχηρῶν τῆς ἡμέρας.

ΨΑΛΜΟΣ ΡΜ' (140).

Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. Εἰσάκουσόν μου, Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Εἰσάκουσόν μου, Κύριε(*).

(*) Οἱ ἐφεξῆς στίχοι συνήθως παραλείπονται καὶ λέγεται εὐθὺς ὁ στίχος, ἀπὸ τοῦ ὁποίου ἄρχονται τὰ στιχηρά.

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν· κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν· ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω.

ΨΑΛΜΟΣ ΡΜΑ' (141).

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου· τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων μέ.

Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἐκέκραξα πρὸς σέ, Κύριε, εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ στιχηρά, ὅταν εἶναι ι').

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

ΨΑΛΜΟΣ ΡΚΘ' (129).

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ στιχηρά, ὅταν εἶναι η').

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

(Ἀπὸ τοῦ ἑπομένου στίχου συμψάλλονται τὰ στιχηρά, ὅταν εἶναι στ').

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

ΨΑΛΜΟΣ ΡΙΣ' (116).

Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Δόξα, καὶ νῦν.

Καὶ γίνεται εἴσοδος μετὰ τοῦ θυμιατοῦ (ἢ μετὰ τοῦ Εὐαγγελίου, ἐὰν πρόκηται νὰ ἀναγνωσθῇ Εὐαγγέλιον).

Ὁ διάκονος χαμηλοφώνως· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου.

Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε. Κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρός σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν· μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον.

Ὁ ἱερεὺς εὐλογῶν· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος· Σοφία· ὀρθοί.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν.

Φῶς ἱλαρὸν ἁγίας δόξης* ἀθανάτου Πατρός,* οὐρανίου, ἁγίου, μάκαρος,* Ἰησοῦ Χριστέ,* ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν,* ἰδόντες φῶς ἑσπερινόν,* ὑμνοῦμεν Πατέρα, Υἱὸν* καὶ ἅγιον Πνεῦμα, Θεόν.* Ἄξιόν σε ἐν πᾶσι καιροῖς* ὑμνεῖσθαι φωναῖς αἰσίαις,* Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς·* διὸ ὁ κόσμος σὲ δοξάζει.

Ὁ διάκονος· Ἑσπέρας.

Ὁ ἀναγνώστης· Προκείμενον. Ἦχος (...) Ψαλμὸς (...).

Καὶ λέγει τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Γενέσεως (ἢ Τῆς Ἐξόδου) τὸ ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης ἀναγινώσκει τὴν περικοπὴν τῆς Γενέσεως ἢ τῆς Ἐξόδου.

Εἶτα πάλιν· Προκείμενον. Ἦχος (...) Ψαλμὸς (...).

Καὶ λέγει τὸ ἕτερον προκείμενον καὶ τὸν στίχον αὐτοῦ, μεθ' ὃ ἐκφωνεῖ· Κέλευσον.

Ὁ ἱερεὺς κρατῶν λαμπάδα μετὰ τοῦ θυμιατοῦ ἐκφωνεῖ· Σοφία· ὀρθοί.

Καὶ σφραγίζων σταυροειδῶς τὸν λαὸν λέγει·

Φῶς Χριστοῦ φαίνει πᾶσι.

Ὁ ἀναγνώστης· Παροιμιῶν (ἢ Ἰὼβ) τὸ ἀνάγνωσμα.

Ὁ διάκονος· Σοφία· πρόσχωμεν.

Ὁ ἀναγνώστης ἀναγινώσκει τὴν περικοπὴν τῶν Παροιμιῶν ἢ τοῦ Ἰώβ.

Εἶτα ψάλλει ὁ ἱερεὺς θυμιῶν τὴν ἁγίαν τράπεζαν·

Ἦχος πλ. α'.

Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

Τὸ αὐτὸ ἐπαναλαμβάνουσιν οἱ χοροί, τοῦ ἱερέως θυμιῶντος ἑκάστην πλευρὰν τῆς ἁγίας τραπέζης καὶ λέγοντος τοὺς στίχους.

Στίχ. α'. Κύριε, ἐκέκραξα πρός σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Στίχ. β' Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Στίχ. γ'. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ πάλιν ὁ ἱερεύς·

Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου.

Ὁ χορὸς τὸ τέλος· Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

Μετὰ τοῦτο, ἐὰν εἶναι μνήμη ἁγίου, ἀναγινώσκεται ὁ

Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον κατὰ τὴν συνήθη τάξιν. Κατὰ δὲ τὴν Μ. Ἑβδομάδα ἀναγινώσκεται μόνον Εὐαγγέλιον τοῦ διακόνου εἰπόντος Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς κ.λ.π.

Εἶτα λέγει ὁ διάκονος τὴν ἐκτενῆ, οἱ δὲ χοροὶ μεθ' ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον τρίς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (...).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρῆσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ ἐνορίᾳ καὶ πόλει ταύτῃ.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας.

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τοὺς οἰκτιρμούς σου κατάπεμ-

ψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνως

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος τὴν δέησιν ὑπὲρ τῶν κατηχουμένων, οἱ δὲ χοροὶ ἐναλλὰξ τὸ Κύριε, ἐλέησον.

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν·

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ·

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας·

Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης·

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κατηχουμένων.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης καὶ τῆς μεθοδείας τοῦ ἀντικειμένου· καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα καὶ συγκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ, ἐφ' ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται.

Ἐκφώνως

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος τὴν ἀπόλυσιν τῶν κατηχουμένων.

Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε.

* * *

Ἀπὸ τῆς Τετάρτης τῆς Δ΄ ἑβδομάδος τῶν νηστειῶν παρεμβάλλονται καὶ αἱ δεήσεις ὑπὲρ τῶν πρὸς τὸ φώτισμα εὐτρεπιζομένων.

Ὁ διάκονος (τῶν χορῶν λεγόντων μεθ' ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον).

Ὅσοι πρὸς τὸ φώτισμα προσέλθετε· εὔξασθε οἱ πρὸς τὸ φώτισμα τῷ Κυρίῳ.

Οἱ πιστοὶ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων ἀδελφῶν καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν·

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν στηρίξῃ αὐτοὺς καὶ ἐνδυναμώσῃ·

Φωτίσῃ αὐτοὺς φωτισμῷ γνώσεως καὶ εὐσεβείας·

Καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας·

Ἀναγεννήσῃ αὐτοὺς δι' ὕδατος καὶ Πνεύματος·

Χαρίσηται αὐτοῖς τὴν τελειότητα τῆς πίστεως·

Συγκαταριθμήσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ ποίμνῃ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ πρὸς τὸ φώτισμα, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῶν πρὸς τὸ φώτισμα εὐτρεπιζομένων.

Ἐπίφανον, Δέσποτα, τὸ πρόσωπόν σου ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους καὶ ἐπιποθοῦντας τὸν τῆς ἁμαρτίας μολυσμὸν ἀποτινάξασθαι· καταύγασον αὐτῶν

τὴν διάνοιαν· βεβαίωσον αὐτοὺς ἐν τῇ πίστει· στήριξον ἐν ἐλπίδι, τελείωσον ἐν ἀγάπῃ· μέλη τίμια τοῦ Χριστοῦ σου ἀνάδειξον τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος τὴν ἀπόλυσιν τῶν πρὸς τὸ φώτισμα εὐτρεπιζομένων·

Ὅσοι πρὸς τὸ φώτισμα προέλθετε· οἱ πρὸς τὸ φώτισμα προέλθετε.

* * *

Καὶ ἐπιλέγει ὁ διάκονος·

Ὅσοι κατηχούμενοι προέλθετε· μή τις τῶν κατηχουμένων.

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Σοφία.

Ὁ ἱερεὺς τὴν Α΄ εὐχὴν τῶν πιστῶν.

Ὁ Θεὸς ὁ μέγας καὶ αἰνετός, ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ σου θανάτῳ εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας, σὺ πάσας ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας· καὶ ὀφθαλμὸς μὲν ἀπέστω παντὸς πονηροῦ βλέμματος, ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνεπίβατος, ἡ δὲ γλῶττα καθαρευέτω ῥημάτων ἀπρεπῶν· ἅγνισον ἡμῶν τὰ χείλη, τὰ αἰνοῦντά σε, Κύριε· τὰς χεῖρας ἡμῶν ποίησον τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δὲ μόνα τὰ σοὶ εὐάρεστα,

πάντα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν τῇ σῇ κατασφαλιζόμενος χάριτι.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ διάκονος·

Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ διάκονος· Σοφία.

Ὁ ἱερεὺς τὴν Β' εὐχὴν τῶν πιστῶν.

Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον, ἵλεων γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀξίους ἡμᾶς ποιῆσαι τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, τοῦ βασιλέως τῆς δόξης. Ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ Σῶμα καὶ τὸ ζωοποιὸν Αἷμα κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει τραπέζῃ ὑπὸ πλήθους στρατιᾶς οὐρανίου ἀοράτως δορυφορούμενα· ὧν τὴν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρησαι· ἵνα δι' αὐτῶν τὸ τῆς διανοίας ὄμμα καταυγαζόμενοι, υἱοὶ φωτὸς καὶ ἡμέρας γενώμεθα.

Ἐκφώνως·

Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλει ἀντὶ χερουβικοῦ τὸν ἑξῆς ὕμνον.

Ἦχος πλ. β'.

Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν* σὺν ἡμῖν ἀοράτως λατρεύουσιν·* ἰδοὺ γὰρ εἰσπορεύεται* ὁ βασιλεὺς τῆς δόξης.

Ὁ ἱερεὺς θυμιᾷ λέγων καθ' ἑαυτὸν τὸν Ν' Ψαλμόν. Καὶ διακοπτομένου τοῦ ὕμνου, καὶ πάντων προσπεσόντων ἕως ἐδάφους, γίνεται ἐν ἄκρᾳ σιωπῇ ἡ εἴσοδος τῶν τιμίων δώρων. Μετὰ τοῦτο ποιοῦμεν πάντες μετανοίας μεγάλας τρεῖς. Ὁ δὲ χορὸς συμπληροῖ τὸν ὕμνον.

Ἰδοὺ θυσία μυστική,* τετελειωμένη, δορυφορεῖται.* Πίστει καὶ πόθῳ προσέλθωμεν,* ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα.* Ἀλληλούϊα.

Εἶτα ὁ διάκονος λέγει τὰς δεήσεις· οἱ δὲ χοροὶ ἐναλλὰξ τὸ Κύριε, ἐλέησον.

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων καὶ προαγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχήν.

Ὁ τῶν ἀῤῥήτων καὶ ἀθεάτων μυστηρίων Θεός, παρ' ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι, ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν καὶ θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς διὰ τὴν πολλήν σου φιλανθρωπίαν εἰς τὸ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· αὐτός, ἀόρατε βασιλεῦ, ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἐνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, ἔπιδε ἐφ' ἡμᾶς τοὺς τῷ ἁγίῳ τούτῳ θυσιαστηρίῳ ὡς τῷ χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ' ᾧ ὁ μονογενής σου Υἱὸς καὶ Θεὸς ἡμῶν διὰ τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται μυστηρίων· καὶ πάσης ἡμᾶς καὶ τὸν πιστόν σου λαὸν ἐλευθερώσας ἀκαθαρσίας, ἁγίασον πάντων ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἁγιασμῷ ἀναφαιρέτῳ· ἵνα ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ καὶ πεφωτισμένῃ καρδίᾳ τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων καὶ ὑπ' αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ Χριστῷ σου, τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ εἰπόντι· Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ· ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπεριπατοῦντος τοῦ Λόγου σου, Κύριε, γενώμεθα ναὸς τοῦ παναγίου καὶ προσκυνητοῦ σου Πνεύματος, λελυτρωμένοι πάσης διαβολικῆς μεθοδείας, ἐν πρᾶξει ἢ λόγῳ ἢ κατὰ διάνοιαν ἐνεργουμένης καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, σὺν πᾶσι τοῖς ἁγίοις σου τοῖς ἀπ' αἰῶνός σοι εὐαρεστήσασιν.

Ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν.

Καὶ ἀπαγγέλλεται ἡ Κυριακὴ προσευχὴ (σ. 313).

Ὁ ἱερεὺς ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας.

Ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ἔπιδε εὐσπλάγχνῳ ὄμματι ἐπὶ πάντα τὸν λαόν σου καὶ φύλαξον αὐτόν· καὶ ἀξίωσον πάντας ἡμᾶς ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων μυστηρίων· σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν κεφαλάς, ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνως·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς·

Πρόσχες, Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καὶ τοῦ τιμίου σου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ δὲ ἱερεύς, κεκαλυμμένων ὄντων τῶν θείων δώρων, βαλὼν τὰς χεῖρας ἅπτεται τοῦ ζωοποιοῦ ἄρτου καὶ ἐκφωνεῖ·

Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις.

Ὁ χορός· Εἷς ἅγιος,* εἷς Κύριος,* Ἰησοῦς Χριστός,* εἰς δόξαν Θεοῦ Πατρός.* Ἀμήν.

Καὶ ψάλλει τὸ κοινωνικόν.

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος. Ἀλληλούϊα.

Ἐὰν δὲ εἶναι μνήμη ἁγίου, λέγει·

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Ὁ δὲ ἱερεὺς καὶ ὁ διάκονος λέγουσι χαμηλοφώνως τὰς εὐχὰς τῆς θείας μεταλήψεως (σ. 315-316). Καὶ κοινωνεῖ ὁ ἱερεὺς καὶ μεταδίδει καὶ εἰς τὸν διάκονον. Ἔπειτα καλεῖ τὸν λαὸν λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

Ἀφοῦ δὲ μεταδώσῃ εἰς τοὺς πιστούς, λέγει·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ χορὸς ψάλλει·

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ,* διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.* Ἄρτον οὐράνιον καὶ ποτήριον ζωῆς* γεύσασθε καὶ ἴδετε,* ὅτι χρηστὸς ὁ Κύριος·* Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ὁ ἱερεὺς θυμιάσας τὰ ἅγια εἰσάγει αὐτὰ εἰς τὴν πρόθεσιν λέγων καθ' ἑαυτόν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

Εἶτα ἐκφώνως·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε,* ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου,* ὅτι ἠξίωσας ἡμᾶς* τῶν ἁγίων σου μετασχεῖν μυστηρίων·* τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁ-

γιασμῷ,* ὅλην τὴν ἡμέραν* μελετῶντες τὴν δικαιοσύνην σου.* Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἶτα ὁ διάκονος·

Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ χορός· Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ ἱερεὺς τὴν εὐχαριστήριον εὐχὴν μετὰ τὴν θείαν μετάληψιν.

Εὐχαριστοῦμέν σοι, τῷ Σωτῆρι τῶν ὅλων Θεῷ, ἐπὶ πᾶσιν, οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου· καὶ δεόμεθά σου, Δέσποτα φιλάνθρωπε· Φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου· καὶ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου εἰς φωτισμὸν ψυχῆς καὶ σώματος, εἰς βασιλείας οὐρανῶν κληρονομίαν.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχήν.

Δέσποτα παντοκράτορ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν καὶ πολλὴν ἀγαθότητα ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἐγκράτειαν παθῶν, πρὸς ἐλπίδα ἀναστάσεως· ὁ διὰ τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας, τὰ θεοχάρακτα γράμματα, τῷ θεράποντί σου Μωσεῖ, παράσχου καὶ ἡμῖν, ἀγαθέ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν πίστιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀοράτων δρακόντων συνθλάσαι, νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι καὶ ἀκατακρίτως φθάσαι προσκυνῆσαι καὶ τὴν ἁγίαν ἀνάστασιν. Ὅτι ἠὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλουσιν οἱ χοροὶ ἐκ γ'·

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὁ δὲ ἱερεὺς ἀπελθὼν εἰς τὴν πρόθεσιν λέγει τὴν εὐχὴν ταύτην.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας καὶ κοινωνοὺς ἡμᾶς ποιήσας τῶν φρικτῶν σου μυστηρίων, σύναψον τῇ λογικῇ σου ποίμνῃ καὶ κληρονόμους ἀνάδειξον τῆς βασιλείας σου, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς εὐλογῶν λέγει·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα, καὶ νῦν. Κύριε, ἐλέησον (ἐκ γ'). Εὐλόγησον.

Ὁ ἱερεὺς πρὸς τὸν λαόν·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ διανέμει τὸ ἀντίδωρον, ἐνῷ ὁ ἀναγνώστης ἀναγινώσκει τοὺς ἑφεξῆς Ψαλμούς.

ΨΑΛΜΟΣ ΛΓ' (33).

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.

Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ· ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς.

Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.

Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.

Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς.

Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων· καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν· ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

ΨΑΛΜΟΣ ΡΜΔ' (144).

Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι καὶ τὰ θαυμάσιά σου διηγήσονται.

Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

Δόξαν τῆς βασιλείας σου ἐροῦσι καὶ τὴν δυναστείαν σου λαλήσουσι.

Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.

Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Ἀνοίγεις σὺ τὴν χεῖρά σου καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.

Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς.

Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Δόξα, καὶ νῦν. Κύριε ἐλέησον (τρίς). Εὐλόγησον.

Ὁ ἱερεύς·

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Οἱ χοροὶ καὶ σύμπας ὁ λαός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαὸν λέγει·

Ἡ ἁγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς.

Καὶ ὁ λαὸς ἀντεύχεται αὐτῷ λέγων·

Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη.

Καὶ ἀπέρχονται πάντες εὐτάκτως εὐλογοῦντες καὶ δοξάζοντες τὸν Θεόν.

ΜΕΡΟΣ ΤΡΙΤΟΝ

ΟΚΤΩΗΧΟΣ

ΠΕΡΙΕΧΟΥΣΑ

ΤΑΣ ΑΝΑΣΤΑΣΙΜΟΥΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΚΥΡΙΑΚΩΝ

ΚΑΙ ΤΑ ΚΑΤΑ ΤΗΝ Μ. ΤΕΣΣΑΡΑΚΟΣΤΗΝ

ΨΑΛΛΟΜΕΝΑ

ΚΑΤΑΝΥΚΤΙΚΑ, ΜΑΡΤΥΡΙΚΑ ΚΑΙ ΝΕΚΡΩΣΙΜΑ

«Πλήσας μελῶν γῆν ἠδέων Ἰωάννης
κἀν οὐρανοῖς ἄνεισι συνθεῖναι μέλη»
(Συναξάριον Δ΄ Δεκεμβρίου)

Α'.
ΑΙ ΑΝΑΣΤΑΣΙΜΟΙ ΑΚΟΛΟΥΘΙΑΙ

ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ(*)

(Βλ. ἀκολουθίαν Ἑσπερινοῦ Κυριακῶν, σ. 210-239, Μεσονυκτικοῦ Κυριακῆς, σ. 81, Ὄρθρου Κυριακῶν, σ. 83-137, καὶ Θ. Λειτουργίας, σ. 287-319).

1.— ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ [καὶ τὸ α' κάθισμα τοῦ Ψαλτηρίου] (σ. 210-223) εἰς τὸ **Κύριε, ἐκέκραξα** (σ. 224-226) ψάλλομεν στιχηρὰ ι', ἤτοι ἀναστάσιμα τοῦ τυχόντος ἤχου γ' καὶ ἀνατολικὰ δ' καὶ τοῦ Μηναίου γ' (ἢ ἀνατολικὰ γ' καὶ τοῦ Μηναίου δ'). **Δόξα**, τοῦ Μηναίου, ἐὰν ὑπάρχῃ. **Καὶ νῦν**, τὸ θεοτοκίον τοῦ ἤχου· ἄλλως **Δόξα, καὶ νῦν**, τὸ θεοτοκίον τοῦ ἤχου. Εἴσοδος· τὸ **Φῶς ἱλαρόν**, τὸ προκείμενον **Ὁ Κύριος ἐβασίλευσεν**, ἡ ἐκτενής, τὸ **Καταξίωσον, Κύριε**, τὰ

(*) Πρὸς διευκόλυνσιν τῶν ἐκκλησιαζομένων καὶ πρὸς ἀποφυγὴν ἐπαναλήψεων παραθέτομεν ἐνταῦθα τὴν τυπικὴν διάταξιν τῶν ἀκολουθιῶν τῶν Κυριακῶν ἐκτὸς Τριῳδίου καὶ Πεντηκοσταρίου, ὅταν δὲν συμπίπτῃ κατ' αὐτὰς ἑορτὴ δεσποτικὴ ἢ θεομητορικὴ ἢ ἐπισήμου ἁγίου. Τὴν διάταξιν αὐτὴν καλὸν εἶναι νὰ μελετήσῃ καὶ νὰ γνωρίζῃ ὁ Χριστιανός. Διὰ τὴν περίοδον τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου ἡ διάταξις ἀναγράφεται εἰς τὸν οἰκεῖον τόπον.

Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 226-231). Καὶ ψάλλονται τὰ ἀναστάσιμα ἀπόστιχα μετὰ τῶν στίχων Ὁ Κύριος ἐβασίλευσε κ.λ.π. (σ. 234). Δόξα, καὶ νῦν, τὸ θεοτοκίον τοῦ ἤχου. Ἐὰν ὅμως ἔχῃ τὸ Μηναῖον δοξαστικόν, ψάλλεται Δόξα, τοῦ Μηναίου, Καὶ νῦν, θεοτοκίον τοῦ αὐτοῦ ἤχου πρὸς τὸ δοξαστικόν. Εἶτα τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον κ.τ.λ. (σ. 235), τὸ ἀναστάσιμον ἀπολυτίκιον τοῦ ἤχου. Δόξα, καὶ νῦν, τὸ θεοτοκίον αὐτοῦ· ἢ Δόξα, τὸ ἀπολυτίκιον τοῦ ἁγίου τῆς ἡμέρας, Καὶ νῦν, θεοτοκίον τοῦ αὐτοῦ ἤχου. Καὶ ἀπόλυσις (σ. 235).

2.— ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ (σ. 81) μετὰ τὸν Ν' Ψαλμὸν ψάλλεται ὁ τριαδικὸς κανὼν τοῦ ἤχου καὶ μετ' αὐτὸν τὰ τριαδικὰ μεγαλυνάρια. Εἶτα τὸ Τρισάγιον κ.τ.λ., ἡ ὑπακοὴ τοῦ ἤχου καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

3.— ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ μετὰ τὸ Τρισάγιον κ.τ.λ., τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ (σ. 83-99), εἰς τὸ Θεὸς Κύριος (σ. 99) ψάλλονται τὰ ἀπολυτίκια, τὰ ὁποῖα ἐψάλησαν καὶ εἰς τὸν Ἑσπερινόν. Εἶτα [τὸ Ψαλτήριον τῆς ἡμέρας], μικρὰ συναπτὴ καὶ ἐκφώνησις Ὅτι σὸν τὸ κράτος. Καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα τοῦ ἤχου καὶ μετ' αὐτὰ τὰ ἀναστάσιμα εὐλογητάρια (σ. 100). Μικρὰ συναπτὴ καὶ ἐκφώνησις Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα. Ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου. Καὶ εὐθὺς ψάλλεται ἡ α' καὶ ἡ γ' ᾠδὴ τῶν κανόνων, τοῦ ἀναστασίμου καὶ τοῦ Μηναίου. Μετὰ τὴν γ' ᾠδὴν μικρὰ συναπτὴ καὶ ἐκφώνησις Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν. Καὶ ψάλλονται τὰ καθίσματα τοῦ Μηναίου [καὶ αἱ ᾠδαὶ δ', ε' καὶ στ'. Καὶ πάλιν συναπτὴ μικρὰ καὶ ἐκφώνησις Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης. Καὶ ἀναγινώσκεται τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου καὶ τὸ συναξάριον τῆς ἡμέρας. Ἔπειτα ψάλλονται [αἱ λοιπαὶ ᾠδαὶ τῶν κανόνων καὶ] αἱ καταβασίαι τῆς περιόδου μέχρι τῆς η' ᾠδῆς. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἀναγινώσκεται τὸ ἀναστάσιμον ἑωθινὸν Εὐαγγέλιον κατὰ τὴν συνήθη τάξιν (σ. 108-118). Ἀκολούθως στιχολογεῖται ἡ Τιμιωτέρα (σ. 119) καὶ μετ' αὐτὴν ψάλλεται ἡ καταβασία τῆς θ' ᾠδῆς. Εἶτα μικρὰ συναπτὴ καὶ ἐκφώνησις Ὅτι σὲ αἰνοῦσι. Καὶ ψάλλεται τὸ Ἅγιος Κύριος (σ. 120) καὶ τὸ ἀναστάσιμον ἐξαποστειλάριον μετὰ τοῦ θεοτοκίου (σ. 121-125) (ἢ τὸ ἀναστάσιμον, τοῦ Μηναίου καὶ τὸ θεοτοκίον αὐτοῦ). Εἰς τοὺς αἴνους (σ. 126-128) ψάλλονται στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου δ' καὶ ἀνατολικὰ δ'. Ἐὰν δ-μως ἔχῃ τὸ Μηναῖον στιχηρά, ψάλλονται αὐτὰ ἀντὶ τῶν ἀνατολικῶν. Δόξα, τὸ ἑωθινὸν (σ. 128-132). Καὶ νῦν. Ὑπερευλογημένη (σ. 133). Δοξολογία μεγάλη (σ. 133), τὸ ἀναστάσιμον τροπάριον Σήμερον σωτηρία ἢ Ἀναστὰς ἐκ τοῦ μνήματος (σ. 134), καὶ εὐθὺς ἄρχεται ἡ Θ. Λειτουργία.

4.— ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ (σ. 287-319) ψάλλονται [τὰ τυπικὰ καὶ οἱ Μακαρισμοὶ (σ. 289, 292, 294) μετὰ τῶν εἰδικῶν τροπαρίων τοῦ ἤχου, ἢ συνηθέστερον] τὰ ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ τὴν εἴσοδον τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ Μηναίου, τὸ τοῦ ἁγίου τοῦ ναοῦ καὶ τὸ κοντάκιον τῆς περιόδου. Ὁ τρισάγιος ὕμνος, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς καὶ τὰ λοιπὰ τῆς Θ. Λειτουργίας (σ. 299-319).



ΗΧΟΣ Α'.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν

Στιχηρὰ ἀναστάσιμα. Ἦχος α'.

Τὰς ἑσπερινάς ἡμῶν εὐχὰς* πρόσδεξαι, ἅγιε Κύριε,* καὶ παράσχου ἡμῖν* ἄφεσιν ἁμαρτιῶν·* ὅτι μόνος εἶ ὁ δείξας* ἐν κόσμῳ τὴν ἀνάστασιν.

Κυκλώσατε, λαοί, Σιὼν* καὶ περιλάβετε αὐτὴν* καὶ δότε δόξαν ἐν αὐτῇ* τῷ ἀναστάντι ἐκ νεκρῶν·* ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν,* ὁ λυτρωσάμενος ἡμᾶς* ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Δεῦτε, λαοί, ὑμνήσωμεν* καὶ προσκυνήσωμεν Χριστόν,* δοξάζοντες αὐτοῦ* τὴν ἐκ νεκρῶν ἀνάστασιν·* ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν,* ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ* τὸν κόσμον λυτρωσάμενος.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Εὐφράνθητε, οὐρανοί,* σαλπίσατε, τὰ θεμέλια τῆς γῆς,* βοήσατε, τὰ ὄρη, εὐφροσύνην·* ἰδοὺ γὰρ ὁ Ἐμμανουὴλ* τὰς ἁμαρτίας ἡμῶν* τῷ Σταυρῷ προσήλωσε,* καὶ ζωὴν ὁ διδοὺς* θάνατον ἐνέκρωσε,* τὸν Ἀδὰμ ἀναστήσας* ὡς φιλάνθρωπος.

Τὸν σαρκὶ ἑκουσίως* σταυρωθέντα δι' ἡμᾶς,* παθόντα καὶ ταφέντα* καὶ ἀναστάντα ἐκ νεκρῶν* ὑμνήσωμεν λέγοντες·* Στήριξον ὀρθοδοξίᾳ* τὴν Ἐκκλησίαν σου, Χρι-

στέ,* καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν* ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Τῷ ζωοδόχῳ σου τάφῳ* παρεστῶτες οἱ ἀνάξιοι* δοξολογίαν προσφέρομεν* τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ,* Χριστὲ ὁ Θεὸς ἡμῶν·* ὅτι Σταυρὸν κατεδέξω* καὶ θάνατον, ἀναμάρτητε,* ἵνα τῷ κόσμῳ δωρήσῃ* τὴν ἀνάστασιν ὡς φιλάνθρωπος.

Τὸν τῷ Πατρὶ συνάναρχον* καὶ συναΐδιον Λόγον,* τὸν ἐκ παρθενικῆς νηδύος* προελθόντα ἀφράστως* καὶ Σταυρὸν καὶ θάνατον* δι' ἡμᾶς ἑκουσίως καταδεξάμενον* καὶ ἀναστάντα ἐν δόξῃ* ὑμνήσωμεν λέγοντες·* Ζωοδότα Κύριε, δόξα σοι,* ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καὶ τὰ στιχηρὰ τοῦ Μηναίου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὴν παγκόσμιον δόξαν,* τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν* καὶ τὸν Δεσπότην τεκοῦσαν,* τὴν ἐπουράνιον πύλην* ὑμνήσωμεν, Μαρίαν τὴν Παρθένον,* τῶν ἀσωμάτων τὸ ἄσμα* καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα·* αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς* καὶ ναὸς τῆς Θεότητος·* αὕτη τὸ μεσότοιχον* τῆς ἔχθρας καθελοῦσα,* εἰρήνην ἀντεισῆξε* καὶ τὸ βασίλειον ἠνέῳξε.* Ταύτην οὖν κατέχοντες* τῆς πίστεως τὴν ἄγκυραν,* ὑπέρμαχον ἔχομεν* τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον.* Θαρσείτω τοίνυν,* θαρσείτω λαὸς τοῦ Θεοῦ·* καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς* ὡς παντοδύναμος.

Εἰς τὰ ἀπόστιχα ἀναστάσιμον στιχηρόν.

Ἦχος α΄.

Τῷ πάθει σου, Χριστέ,* παθῶν ἠλευθερώθημεν* καὶ τῇ ἀναστάσει σου* ἐκ φθορᾶς ἐλυτρώθημεν·* Κύριε, δόξα σοι.

Ἕτερα στιχηρὰ κατ' ἀλφάβητον.

Ἀγαλλιάσθω ἡ κτίσις,* οὐρανοὶ εὐφραινέσθωσαν,* χεῖρας κροτείτω τὰ ἔθνη μετ' εὐφροσύνης·* Χριστὸς γὰρ

ὁ Σωτὴρ ἡμῶν* τῷ Σταυρῷ προσήλωσε* τὰς ἁμαρτίας ἡμῶν* καὶ τὸν θάνατον νεκρώσας* ζωὴν ἡμῖν ἐδωρήσατο,* πεπτωκότα τὸν Ἀδὰμ* παγγενῆ ἀναστῆσας* ὡς φιλάνθρωπος.

Βασιλεὺς ὑπάρχων οὐρανοῦ* καὶ γῆς, ἀκατάληπτε,* ἑκὼν ἐσταύρωσαι διὰ φιλανθρωπίαν·* ὃν ὁ ᾅδης συναντῆσας* κάτωθεν ἐπικράνθη* καὶ δικαίων ψυχαὶ δεξάμεναι* ἠγαλλιάσαντο·* Ἀδὰμ δὲ ἰδών σε τὸν κτίστην* ἐν τοῖς καταχθονίοις ἀνέστη.* Ὦ τοῦ θαύματος!* πῶς θανάτου ἐγεύσατο* ἡ τῶν ἁπάντων ζωή;* ἀλλ' ἢ ὡς ἠβουλήθη,* κόσμον φωτίσαι* κραυγάζοντα καὶ λέγοντα·* Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* Κύριε, δόξα σοι.

Γυναῖκες μυροφόροι μύρα φέρουσαι* μετὰ σπουδῆς καὶ ὀδυρμοῦ* τὸν τάφον σου κατέλαβον·* καὶ μὴ εὑροῦσαι τὸ ἄχραντον σῶμά σου,* παρὰ δὲ τοῦ ἀγγέλου μαθοῦσαι* τὸ καινὸν καὶ παράδοξον θαῦμα,* τοῖς ἀποστόλοις ἔλεγον·* Ἀνέστη ὁ Κύριος,* παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἰδοὺ πεπλήρωται* ἡ τοῦ Ἡσαΐου πρόρρησις·* Παρθένος γὰρ ἐγέννησας* καὶ μετὰ τόκον ὡς πρὸ τόκου διέμεινας·* Θεὸς γὰρ ἦν ὁ τεχθείς,* διὸ καὶ φύσεις ἐκαινοτόμησεν.* Ἀλλ', ὦ Θεομῆτορ,* ἱκεσίας σῶν δούλων* σῷ τεμένει προσφερομένας σοι* μὴ παρίδῃς·* ἀλλ' ὡς τὸν εὔσπλαγχνον* σαῖς ἀγκάλαις φέρουσα,* σοῖς οἰκέταις σπλαγχνίσθητι* καὶ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον ἀναστάσιμον.

Τοῦ λίθου σφραγισθέντος* ὑπὸ τῶν Ἰουδαίων* καὶ στρατιωτῶν φυλασσόντων* τὸ ἄχραντόν σου σῶμα,* ἀνέστης τριήμερος, Σωτήρ,* δωρούμενος τῷ κόσμῳ τὴν ζωήν·* διὰ τοῦτο αἱ δυνάμεις* τῶν οὐρανῶν ἐβόων σοι, ζωοδότα·* Δόξα τῇ ἀναστάσει σου, Χριστέ,* δόξα τῇ βασιλείᾳ σου,* δόξα τῇ οἰκονομίᾳ σου,* μόνε φιλάνθρωπε.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου* σοι, Παρθένε, τὸ Χαῖρε,* σὺν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης* ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα* τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου·* Δόξα τῷ ἐνοικήσαντι ἐν σοί·* δόξα τῷ προελθόντι ἐκ σοῦ·* δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διὰ τοῦ τόκου σου.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ΄

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανὼν τριαδικὸς ἔχων ἀκροστιχίδα·
Μίαν σε μέλπω τὴν τρισήλιον φύσιν.
Ποίημα Μητροφάνους Σμύρνης.

Ἦχος α΄. Ὠδὴ α΄. (Σοῦ ἡ τροπαιοῦχος δεξιά).

Μίαν τρισυπόστατον ἀρχὴν* τὰ Σεραφὶμ ἀσιγήτως δοξάζουσιν,* ἄναρχον, ἀΐδιον, ποιητικὴν* ἁπάντων, ἀκατάληπτον·* ἣν καὶ πᾶσα γλῶσσα* πιστῶς γεραίρει τοῖς ᾄσμασιν.

Ἵνα τοῖς ἀνθρώποις ἑνικὴν* τὴν τριλαμπῆ σου δηλώσῃς Θεότητα,* πλάσας πρὶν τὸν ἄνθρωπον, κατὰ τὴν σὴν* εἰκόνα διεμόρφωσας,* νοῦν αὐτῷ καὶ λόγον* καὶ πνεῦμα δοὺς ὡς φιλάνθρωπος.

Ἄνωθεν δεικνὺς μοναδικὸν* θεαρχικαῖς ἐν τρισὶν ὑποστάσεσι* κράτος, Πάτερ, ἔφησας τῷ ἰσουργῷ* Υἱῷ σου καὶ τῷ Πνεύματι·* Δεῦτε καταβάντες* αὐτῶν τὰς γλώσσας συγχέωμεν.

Θεοτοκίον.

Νοῦς μὲν ὁ ἀγέννητος Πατὴρ* εἰκονικῶς τοῖς σοφοῖς προηγόρευται·* Λόγος δὲ συνάναρχος ὁ συμφυὴς* Υἱός, καὶ Πνεῦμα ἅγιον* τὸν ἐν τῇ Παρθένῳ* τοῦ Λόγου κτίσαν τὴν σάρκωσιν.

Ὠδὴ γ'. (Ὁ μόνος εἰδώς).

Σὺ πάλαι σαφῶς τῷ Ἀβραὰμ* ὡς ὤφθης τρισυπόστατος,* μοναδικός τε φύσει Θεότητος,* θεολογίας τὸ ἀκραιφνέστατον* τυπικῶς ἐνέφηνας·* καὶ πιστῶς ὑμνοῦμέν σε* τὸν μονάρχην Θεὸν καὶ τρισήλιον.

Ἐκ σοῦ γεννηθεὶς θεοπρεπῶς,* ἀῤῥεύστως, Πάτερ, ἔλαμψε* φῶς ἐκ φωτὸς Υἱὸς ἀπαράλλακτος* καὶ Πνεῦμα θεῖον φῶς ἐκπεπόρευται·* καὶ μιᾶς Θεότητος* αἴγλην τρισυπόστατον* προσκυνοῦμεν πιστῶς καὶ δοξάζομεν.

Μονὰς ἡ Τριὰς ὑπερφυῶς* ἀῤῥήτως ὑπὲρ ἔννοιαν* ταῖς νοεραῖς οὐσίαις δοξάζεται,* ταῖς τρισαγίαις φωναῖς ἀσίγητον* ἐκβοώσαις αἴνεσιν·* αἷς συμφώνως μέλπεται* καὶ ἡμῖν τρισυπόστατος Κύριος.

Θεοτοκίον.

Ἐκ σοῦ χρονικῶς ἄνευ σπορᾶς* προῆλθεν ὁ ὑπέρχρονος,* ὁμοιωθεὶς ἡμῖν ὁ ἀνείδεος,* καὶ μίαν φύσιν καὶ κυριότητα* τοῦ Πατρὸς ἐδίδαξε* καὶ Υἱοῦ καὶ Πνεύματος,* Θεοτόκε· διό σε δοξάζομεν.

Κάθισμα. (Τὸν τάφον σου Σωτήρ).

Πατέρα καὶ Υἱὸν* προσκυνήσωμεν πάντες* καὶ Πνεῦμα τὸ εὐθὲς* καὶ ἰσότιμον δόξῃ,* Τριάδα τὴν ἄκτιστον* καὶ ὑπέρθεον δύναμιν,* ἣν δοξάζουσι* τῶν ἀσωμάτων αἱ τάξεις·* ταύτην σήμερον* καὶ γηγενεῖς μετὰ φόβου* πιστῶς εὐφημήσωμεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὁδήγησον ἡμᾶς* ἐν ὁδῷ μετανοίας* ἐκκλίνοντας ἀεὶ* πρὸς κακῶν ἀνοδίας* καὶ τὸν ὑπεράγαθον* παροργίζοντας Κύριον,* ἀπειρόγαμε,* εὐλογημένη Μαρία,* καταφύγιον* ἀπεγνωσμένων ἀνθρώπων,* Θεοῦ ἐνδιαίτημα.

Ὠδὴ δ'. (Ὄρος σε τῇ χάριτι).

Λάμψον μοι,* Θεαρχία τρισήλιε, λάμψεσι* σῶν θεουργῶν μαρμαρυγῶν,* τοῖς τῆς καρδίας ὀφθαλμοῖς* τὸ

κάλλος φαντάζεσθαι* τῆς ὑπὲρ νοῦν* θεαρχικῆς σου λαμπρότητος* καὶ φωτουργοῦ καὶ γλυκείας μεθέξεως.

Πρότερον* οὐρανοὺς ἐστερέωσας, Κύριε,* καὶ πᾶσαν δύναμιν αὐτῶν* τῷ Λόγῳ σου τῷ παντουργῷ* καὶ Πνεύματι στόματος* τῷ συμφυεῖ,* μεθ' ὧν δεσπόζεις τοῦ σύμπαντος* ἐν τριλαμπεῖ μοναρχίᾳ Θεότητος.

Ὡς ἔπλασας* κατ' εἰκόνα με σὴν καὶ ὁμοίωσιν,* θεαρχική, παντουργικῇ,* Τριὰς ἀσύγχυτε Μονάς,* συνέτισον, φώτισον* πρὸς τὸ ποιεῖν* τὸ θέλημά σου τὸ ἅγιον,* τὸ ἀγαθὸν ἐν ἰσχύϊ καὶ τέλειον.

Θεοτοκίον.

Τέτοκας* τῆς Τριάδος τὸν ἕνα, πανάχραντε,* θεαρχικώτατον Υἱόν,* σωματωθέντα δι' ἡμᾶς* ἐκ σοῦ, καὶ αὐγάζοντα* τοὺς γηγενεῖς* τῆς τρισηλίου Θεότητος* τῷ ἀνεσπέρῳ φωτὶ καὶ ταῖς λάμψεσιν.

Ὠδὴ ε΄. (Ὁ φωτίσας τῇ ἐλλάμψει).

Ἡ τὸν πρῶτον* τῶν ἀγγέλων ἀμέσως διάκοσμον* ἀπροσίτοις* τοῦ σοῦ κάλλους ἀκτῖσιν ἐλλάμπουσα,* ταῖς σαῖς αἴγλαις φώτισον,* Τριὰς ἡ μοναρχικωτάτη,* τοὺς ὀρθοδόξως σε μέλποντας.

Νῦν ἡ φύσις,* ἐνικὴ Θεαρχία τρισήλιε,* ἀνυμνεῖ σε,* ἣν οὐσίωσας δι' ἀγαθότητα,* τῶν πταισμάτων λύτρωσιν* καὶ πειρασμῶν ἐξαιτουμένη* καὶ τῶν δεινῶν καὶ τῶν θλίψεων.

Τὸν Πατέρα* καὶ Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον,* μίαν φύσιν* καὶ Θεότητα πίστει δοξάζομεν,* μεριστήν, ἀμέριστον,* ἕνα Θεὸν τῆς ἀοράτου* καὶ ὁρωμένης τε κτίσεως.

Θεοτοκίον.

Ρήσεις πᾶσαι* προφητῶν προδιέγραψαν, ἄχραντε,* τὸν σὸν τόκον* τὸν ἀπόῤῥητον καὶ ἀνερμήνευτον* ὃν ἡμεῖς ἐγνώκαμεν* μυσταγωγὸν τῆς ἐνιαίας* καὶ τρισηλίου Θεότητος.

Ὠδὴ ς'. (Ἐκύκλωσεν ἡμᾶς).

Ἰσόῤῥοπον τὴν δύναμιν ὡς ἔχουσα,* Τριὰς ἡ ὑπερούσιος,* ἐν ταὐτότητι βουλήσεως Μονὰς* πέφυκας ἁπλῆ καὶ ἀδιαίρετος.* Σὺ οὖν ἡμᾶς* ἐν τῇ δυνάμει σου περιφρούρησον.

(Δὶς)

Σὺ πάντας τοὺς αἰῶνας τῇ βουλήσει σου* ὡς ἀγαθὴ ὑπέστησας* ἐξ οὐκ ὄντων, ἀκατάληπτε Τριάς·* εἶτα καὶ τὸν ἄνθρωπον διέπλασας.* Ἀλλὰ καὶ νῦν* ἐκ πάσης ῥῦσαί με περιστάσεως.

Θεοτοκίον.

Ἡλίου τοῦ ἀδύτου οἶκος γέγονας* τοῦ κτίσαντος καὶ τάξαντος* τοὺς φωστῆρας τοὺς μεγάλους πανσθενῶς,* ἄχραντε Παρθένε θεονύμφευτε.* Ἀλλὰ καὶ νῦν* τῆς τῶν παθῶν με ῥῦσαι ζοφώσεως.

Κάθισμα. (Τὸν τάφον σου Σωτῆρ).

Τριάδα τὴν σεπτὴν* καὶ ἀμέριστον φύσιν,* προσώποις ἐν τρισὶ* τεμνομένην ἀτμήτως* καὶ μένουσαν ἀμέριστον* κατ' οὐσίαν Θεότητος,* προσκυνήσωμεν* οἱ γηγενεῖς μετὰ φόβου* καὶ δοξάσωμεν* ὡς ποιητὴν καὶ Δεσπότην* Θεὸν ὑπεράγαθον.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὁμοιον.

Κυβέρνησον, ἁγνή,* τὴν ἀθλίαν ψυχήν μου* καὶ οἰκτειρον αὐτήν,* ὑπὸ πλήθους πταισμάτων* βυθῷ ὀλισθαίνουσαν* ἀπωλείας, πανάμωμε·* καὶ ἐν ὥρᾳ με* τῇ φοβερᾷ τοῦ θανάτου* σὺ ἐξάρπασον* κατηγορούντων δαιμόνων* καὶ πάσης κολάσεως.

Ὠδὴ ζ'. (Σὲ νοητὴν Θεοτόκε).

Λόγε Θεοῦ,* συμφυὲς ἀπαύγασμα* τοῦ παντοκράτορος Θεοῦ,* ὡς ὑπέσχου τὴν παρὰ σοῦ* θεουργὸν ἐνοίκησιν,* ποίησον ὡς εὔσπλαγχνος* σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι* καὶ φοβερὸν* τοῖς δαίμοσί με δεῖξον καὶ πάθεσιν.

(Δὶς)

Ινα τῆς σῆς* εὐσπλαγχνίας, Δέσποτα,* δείξῃς τὸ πέλαγος ἡμῖν,* τὸν Υἱόν σου πρὸς τὴν ἡμῶν* πέμψας ταπεινότητα,* αὖθις ἀνεμόρφωσας* πρὸς τὴν ἀρχαίαν λαμπρότητα.* Ἀλλὰ καὶ νῦν* τῷ θείῳ με συνέτισον Πνεύματι.

Θεοτοκίον.

Ο Χερουβὶμ* θρόνῳ ἐποχούμενος* καὶ τῶν ἁπάντων βασιλεὺς* ἐν γαστρί σου παρθενικῇ* ᾤκησε, πανάχραντε,* πάντας ἐκλυτρούμενος* ἐκ τῆς φθορᾶς ὡς φιλάνθρωπος.* Ἀλλὰ καὶ νῦν* ταῖς σαῖς πρεσβείαις με περιφρούρησον.

Ὠδὴ η'. (Θαύματος ὑπερφυοῦς).

Νεύματι θεουργικῷ, Κύριε πάντων,* τρισυπόστατε καὶ παντοκράτορ,* οὐρανοὺς ἐξέτεινας ὡσεὶ δέρριν,* εἶτα καὶ γῆς* ἀπηώρησας τὸ βάθος πανσθενεῖ σου δρακί*. Διὸ καὶ τοὺς δούλους σου κραταίωσον* τῇ ἀγάπῃ καὶ πίστει τῇ σῇ, φιλάνθρωπε,* ἵνα σε δοξάζωμεν πόθῳ εἰς αἰῶνας. (Δίς).

Φώτισον, θεαρχικὸν φῶς, τοὺς ὑμνοῦντας* τὸ τρισήλιον φῶς τοῖς προσώποις,* ἑνιαῖον αὖθις δὲ τῇ οὐσίᾳ,* καὶ πρὸς τὰς σὰς* φωτοδότιδας ἀκτῖνας ἐπιβλέπειν ἀεί,* δι' ὧν χορτασθήσομαι τὴν δόξαν σου* τὴν γλυκεῖαν καὶ φωτουργὸν καὶ πανόλβιον* καὶ ὑπερυψῶ σε πιστῶς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Υψωσεν εἰς οὐρανοὺς τὴν τῶν ἀνθρώπων* προσλαβόμενος φύσιν ἀτρέπτως* ὁ Υἱός σου, πάναγνε Θεοτόκε,* ὑπερβολῇ* ἀγαθότητος ῥυσάμενος τῆς πάλαι φθορᾶς* ᾧ καὶ εὐχαρίστως ἀναμέλπομεν* Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον* καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. (Τύπον τῆς ἀγνῆς).

Σῶσον, ὁ Σωτὴρ τῆς κτίσεως* τῆς αἰσθητῆς καὶ νοουμένης τοὺς δούλους σου,* τῆς τῶν δυσμενῶν ἐπιβουλῆς καὶ κακώσεως,* παναγία Τριὰς ὁμοούσιε,* καὶ φρούρει τὴν σὴν ποίμνην* διαπαντὸς ἀνεπιβούλευτον. (Δίς)

Ινα τὸν βυθὸν τὸν ἄπειρον* τῆς οὐσιώδους σου ἀγαθότητος,* δέδωκας ἡμῖν ἐπαγγελίας, τρισήλιε* καὶ μονάρχα Θεὲ παντοδύναμε,* σωστικὰς τοῖς σοῖς δούλοις,* ἃς ἐκπληρῶσαι καταξίωσον.

Θεοτοκίον.

Νεῦσον ταῖς ἡμῶν δεήσεσιν,* ὁ ἐν τρισὶ θεαρχικαῖς ὑποστάσεσι* μόνος εἷς Θεὸς ἀληθινὸς πιστευόμενος,* καὶ παράσχου σοῖς δούλοις παράκλησιν* πρεσβείαις τῆς ἀχράντου* καὶ πανυμνήτου Θεομήτορος.

Τὸ Ἄξιόν ἐστιν... καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν, καθίσματα ἀναστάσιμα.
Ἦχος α'. Αὐτόμελον.

Τὸν τάφον σου, Σωτήρ,* στρατιῶται τηροῦντες,* νεκροὶ τῇ ἀστραπῇ* τοῦ ὀφθέντος ἀγγέλου* ἐγένοντο κηρύττοντος* γυναιξὶ τὴν ἀνάστασιν.* Σὲ δοξάζομεν* τὸν τῆς φθορᾶς καθαιρέτην* σοὶ προσπίπτομεν* τῷ ἀναστάντι ἐκ τάφου* καὶ μόνῳ Θεῷ ἡμῶν.

Δόξα. Ὅμοιον.

Σταυρῷ προσηλωθεὶς* ἑκουσίως, οἰκτίρμον,* ἐν μνήματι τεθεὶς* ὡς θνητός, ζωοδότα,* τὸ κράτος συνέτριψας,* δυνατέ, τῷ θανάτῳ σου* σὲ γὰρ ἔφριξαν* οἱ πυλωροὶ οἱ τοῦ ᾅδου* σὺ συνήγειρας* τοὺς ἀπ' αἰῶνος θανόντας* ὡς μόνος φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Μητέρα σε Θεοῦ* ἐπιστάμεθα πάντες,* Παρθένον ἀληθῶς* καὶ μετὰ τόκον φανεῖσαν,* οἱ πόθῳ καταφεύγοντες* πρὸς τὴν σὴν ἀγαθότητα* σὲ γὰρ ἔχομεν* ἁμαρτωλοὶ προστασίαν* σὲ κεκτήμεθα* ἐν πειρασμοῖς σωτηρίαν,* τὴν μόνην πανάμωμον.

Μετὰ τὴν β' στιχολογίαν, ἕτερα.
(Τοῦ λίθου σφραγισθέντος).

Γυναῖκες πρὸς τὸ μνῆμα* παρεγένοντο δρθριαι* καὶ ἀγγελικὴν ὀπτασίαν* θεασάμεναι ἔτρεμον* ὁ τάφος ἐξήστραπτε ζωήν,* τὸ θαῦμα κατέπληττεν αὐτάς* διὰ τοῦτο ἀπελθοῦσαι* τοῖς μαθηταῖς ἐκήρυττον τὴν ἔγερσιν.* Τὸν ᾅδην ἐσκύλευσε Χριστός,* ὡς μόνος κραταιὸς καὶ δυνατός,* καὶ φθαρέντας συνήγειρε πάντας,* τὸν τῆς κατακρίσεως φόβον* λύσας δυνάμει Σταυροῦ.

Δόξα. Ὅμοιον.

Εν τῷ Σταυρῷ προσηλωθείς,* ἡ ζωὴ τῶν ἁπάντων,* καὶ ἐν νεκροῖς λογισθείς,* ὁ ἀθάνατος Κύριος,* ἀνέστης τριήμερος, Σωτήρ,* καὶ ἤγειρας Ἀδὰμ ἐκ τῆς φθορᾶς* διὰ τοῦτο αἱ δυνάμεις* τῶν οὐρανῶν ἐβόων σοι, ζωοδότα* Δόξα τοῖς σοῖς παθήμασι, Χριστέ* δόξα τῇ ἀναστάσει σου* δόξα τῇ συγκαταβάσει σου,* μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον. (Τὸν τάφον σου, Σωτήρ).

Μαρία, τὸ σεπτὸν* τοῦ Δεσπότου δοχεῖον,* ἀνάστησον ἡμᾶς* πεπτωκότας εἰς χάος* δεινῆς ἀπογνώσεως* καὶ πταισμάτων καὶ θλίψεων* σὺ γὰρ πέφυκας* ἁμαρτωλῶν σωτηρία* καὶ βοήθεια* καὶ κραταιὰ προστασία,* καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια, ἡ ὑπακοή.

Ηττοῦ λῃστοῦ μετάνοια* τὸν παράδεισον ἐσύλησεν,* ὁ δὲ θρῆνος τῶν μυροφόρων* τὴν χαρὰν ἐμήνυσεν* ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός,* παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον Α'.

Εν τῷ θλίβεσθαί με* εἰσάκουσόν μου τῶν ὀδυνῶν,* Κύριε, σοὶ κράζω.

Τοῖς ἐρημικοῖς* ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται,* κόσμου οὐσι τοῦ ματαίου ἐκτός.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* τιμὴ καὶ δόξα,* ὥσπερ Πατρί,* πρέπει ἅμα καὶ Υἱῷ* διὰ τοῦτο ᾄσωμεν* τῇ Τριάδι μονοκρατορίᾳ.

Ἀντίφωνον Β'.

Εἰς τὰ ὄρη τῶν σῶν* ὑψώσας με νόμων,* ἀρεταῖς ἐκλάμπρυνον,* ὁ Θεός, ἵνα ὑμνῶ σε.

Δεξιᾷ σου χειρὶ* λαβὼν σύ, Λόγε,* φύλαξόν με, φρούρησον,* μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* πᾶσα ἡ κτίσις καινουργεῖται,* παλινδρομοῦσα εἰς τὸ πρῶτον* ἰσοσθενὲς γάρ ἐστι Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον Γ'.

Ἐπὶ τοῖς εἰρηκόσι μοι* Ὁδεύσωμεν εἰς τὰς αὐλὰς τοῦ Κυρίου* εὐφράνθη μου τὸ πνεῦμα,* συγχαίρει ἡ καρδία.

Ἐπὶ οἶκον Δαβὶδ* φόβος μέγας* ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων* κριθήσονται ἅπασαι* αἱ φυλαὶ τῆς γῆς καὶ γλῶσσαι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* τιμήν, προσκύνησιν,* δόξαν καὶ κράτος,* ὡς Πατρί τε ἄξιον* καὶ τῷ Υἱῷ, δεῖ προσφέρειν* Μονὰς γάρ ἐστιν ἡ Τριὰς* τῇ φύσει, ἀλλ' οὐ προσώποις.

Προκείμενον.

Νῦν ἀναστήσομαι, λέγει Κύριος, θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ.

Στίχ. Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.

Κανὼν ἀναστάσιμος. Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἦχος α΄. Ὠδὴ α΄. Ὁ εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιὰ* θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται·* αὕτη γάρ, ἀθάνατε, ὡς πανσθενὴς* ὑπεναντίους ἔθραυσε,* τοῖς Ἰσραηλίταις* ὁδὸν βυθοῦ καινουργήσασα.

Τροπάρια.

Οχερσὶν ἀχράντοις ἐκ χοὸς* θεουργικῶς κατ᾽ ἀρχὰς διαπλάσας με,* χεῖρας διεπέτασας ἐν τῷ Σταυρῷ,* ἐκ γῆς ἀνακαλούμενος* τὸ φθαρέν μου σῶμα,* ὃ ἐκ Παρθένου προσείληφας.

Νέκρωσιν ὑπέστη δι᾽ ἐμὲ* καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωσιν* ὁ ἐμπνεύσει θείᾳ ψυχήν μοι ἐνθείς* καὶ λύσας αἰωνίων δεσμῶν* καὶ συναναστήσας* τῇ ἀφθαρσίᾳ ἐδόξασε.

Θεοτοκίον.

Χαῖρε, ἡ τῆς χάριτος πηγή·* χαῖρε, ἡ κλῖμαξ καὶ πύλη οὐράνιος·* χαῖρε, ἡ λυχνία καὶ στάμνος χρυσῆ* καὶ ὄρος ἀλατόμητον,* ἡ τὸν ζωοδότην* Χριστὸν τῷ κόσμῳ κυήσασα.

Ὠδὴ γ΄. Ὁ εἱρμός.

Ομόνος εἰδὼς τῆς τῶν βροτῶν* οὐσίας τὴν ἀσθένειαν* καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος,* περίζωσόν με ἐξ ὕψους δύναμιν,* τοῦ βοᾶν σοι· Ἅγιος* ὁ ναός σου ὁ ἔμψυχος* τῆς ἀχράντου σου δόξης, φιλάνθρωπε.

Τροπάρια.

Θεός μου ὑπάρχων, ἀγαθέ,* πεσόντα κατῳκτείρησας* καὶ καταβῆναι πρός με ηὐδόκησας,* ἀνύψωσάς με διὰ σταυρώσεως,* τοῦ βοᾶν σοι· Ἅγιος,* ὁ τῆς δόξης Κύριος,* ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Ζωὴ ἐνυπόστατος, Χριστέ,* ὑπάρχων, καὶ φθαρέντα με* ὡς συμπαθὴς Θεὸς ἐνδυσάμενος,* εἰς χοῦν θανάτου καταβάς, Δέσποτα,* τὸ θνητὸν διέῤῥηξας* καὶ νεκροὺς τριήμερος* ἀναστὰς ἀφθαρσίαν ἠμφίασας.

Θεοτοκίον.

Θεὸν συλλαβοῦσα ἐν γαστρί,* Παρθένε, διὰ Πνεύματος* τοῦ παναγίου, ἔμεινας ἀφλεκτος·* ἐπεὶ σὲ βάτος τῷ νομοθέτῃ Μωσῇ,* φλεγομένη ἄκαυστα,* σαφῶς προεμήνυσε* τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον.

Κοντάκιον. (Ὅταν ἔλθῃς, ὁ Θεός).

Ἐξανέστης ὡς Θεὸς* ἐκ τοῦ τάφου ἐν δόξῃ* καὶ κόσμον συνανέστησας,* καὶ ἡ φύσις τῶν βροτῶν* ὡς Θεόν σε ἀνύμνησε,* καὶ θάνατος ἠφάνισται* καὶ ὁ Ἀδὰμ χορεύει, Δέσποτα,* καὶ ἡ Εὔα νῦν* ἐκ τῶν δεσμῶν λυτρουμένη* χαίρει κράζουσα·* Σὺ εἶ ὁ πᾶσι παρέχων,* Χριστέ, τὴν ἀνάστασιν.

Ὁ οἶκος. (Τὸ φοβερόν σου κριτήριον).

Τὸν ἀναστάντα τριήμερον ἀνυμνήσωμεν* ὡς Θεὸν παντοδύναμον* καὶ πύλας τοῦ ᾅδου συντρίψαντα* καὶ τοὺς ἀπ' αἰῶνος ἐκ τάφου ἐγείραντα,* μυροφόροις ὀφθέντα,* καθὼς ηὐδόκησε,* πρώταις ταύταις* τὸ Χαίρετε φήσας,* καὶ ἀποστόλοις* χαρὰν μηνύων,* ὡς μόνος ζωοδότης.* Ὅθεν πίστει αἱ γυναῖκες* μαθηταῖς σύμβολα νίκης εὐαγγελίζονται·* καὶ ᾅδης στενάζει* καὶ θάνατος ὀδύρεται* καὶ κόσμος ἀγάλλεται* καὶ πάντες συγχαίρουσι·* σὺ γὰρ παρέσχες πᾶσι,* Χριστέ, τὴν ἀνάστασιν.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα. Ἦχος α'.

Ὑμνοῦμέν σου, Χριστέ,* τὸ σωτήριον πάθος* καὶ δοξάζομέν σου τὴν ἀνάστασιν.

Ὁ σταυρὸν ὑπομείνας* καὶ τὸν θάνατον καταργήσας* καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν,* εἰρήνευσον ἡμῶν* τὴν ζωήν, Κύριε,* ὡς μόνος παντοδύναμος.

Ὁτὸν ᾅδην σκυλεύσας* καὶ τὸν ἄνθρωπον ἀναστήσας* τῇ ἀναστάσει σου, Χριστέ,* ἀξίωσον ἡμᾶς* ἐν καθαρᾷ καρδίᾳ* ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν* δοξάζοντες ὑμνοῦμέν σε, Χριστέ·* ἐτέχθης ἐκ Παρθένου* καὶ ἀχώριστος

ὑπῆρχες τῷ Πατρί·* ἔπαθες ὡς ἄνθρωπος* καὶ ἑκουσίως ὑπέμεινας σταυρόν·* ἀνέστης ἐκ τοῦ τάφου,* ὡς ἐκ παστάδος προελθών,* ἵνα σώσῃς τὸν κόσμον.* Κύριε, δόξα σοι.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Ὅτε προσηλώθης* τῷ ξύλῳ τοῦ Σταυροῦ,* τότε ἐνεκρώθη* τὸ κράτος τοῦ ἐχθροῦ·* ἡ κτίσις ἐσαλεύθη τῷ φόβῳ σου* καὶ ὁ ᾅδης ἐσκυλεύθη τῷ κράτει σου·* τοὺς νεκροὺς ἐκ τῶν τάφων ἀνέστησας* καὶ τῷ ληστῇ τὸν παράδεισον ἤνοιξας.* Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὀδυρόμεναι μετὰ σπουδῆς* τὸ μνῆμά σου κατέλαβον* αἱ τίμιαι γυναῖκες·* εὑροῦσαι δὲ τὸν τάφον ἀνεῳγμένον* καὶ μαθοῦσαι παρὰ τοῦ ἀγγέλου* τὸ καινὸν καὶ παράδοξον θαῦμα,* ἀπήγγειλαν τοῖς ἀποστόλοις,* ὅτι ἀνέστη ὁ Κύριος,* δωρούμενος τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Τὴν τῶν παθῶν θείαν μωλώπωσιν* σοῦ προσκυνοῦμεν, Χριστὲ ὁ Θεός,* καὶ τὴν ἐν τῇ Σιὼν δεσποτικὴν ἱερουργίαν,* τὴν ἐν τέλει τῶν αἰώνων* θεοφανῶς γεγενημένην·* τοὺς γὰρ ἐν σκότει καθεύδοντας* ὁ ἥλιος ἐφώτισας τῆς δικαιοσύνης,* πρὸς ἀνέσπερον χειραγωγῶν ἔλλαμψιν.* Κύριε, δόξα σοι.

Τὸ φιλοτάραχον γένος* τῶν Ἰουδαίων, ἐνωτίσασθε·* Ποῦ εἰσιν οἱ Πιλάτῳ προσελθόντες;* εἴπωσιν οἱ φυλάσσοντες στρατιῶται·* ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ μνήματος;* ποῦ μετετέθη ὁ ταφείς;* πῶς ἐπράθη ὁ ἄπρατος;* πῶς ἐσυλήθη ὁ θησαυρός;* τί συκοφαντεῖτε* τὴν ἔγερσιν τοῦ σταυρωθέντος,* παράνομοι Ἰουδαῖοι;* Ἀνέστη ὁ ἐν νεκροῖς ἐλεύθερος* καὶ παρέχει τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Δόξα. Τὸ ἐωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Εἶτα Δοξολογία μεγάλη κ.τ.λ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοί.

Ἦχος α΄.

Διὰ βρώσεως ἐξήγαγε* τοῦ παραδείσου ὁ ἐχθρὸς τὸν Ἀδάμ·* διὰ Σταυροῦ δὲ τὸν λῃστὴν* ἀντεισήγαγε Χριστὸς ἐν αὐτῷ,* Μνήσθητί μου, κράζοντα,* ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Προσκυνῶ σου τὰ παθήματα,* δοξολογῶ καὶ τὴν ἀνάστασιν·* σὺν τῷ Ἀδὰμ καὶ τῷ λῃστῇ* μετὰ φωνῆς ἀναβοῶ σοι λαμπρᾶς·* Μνήσθητί μου, Κύριε,* ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Ἐσταυρώθης, ἀναμάρτητε,* καὶ ἐν μνημείῳ κατετέθης ἑκών·* ἀλλ' ἐξανέστης ὡς Θεός,* συνεγείρας ἑαυτῷ τὸν Ἀδάμ,* Μνήσθητί μου, κράζοντα,* ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Τὸν ναόν σου τὸν τοῦ σώματος* τῇ τριημέρῳ ἀναστήσας ταφῇ,* σὺν τῷ Ἀδὰμ τοὺς ἐξ Ἀδὰμ* ἐξανέστησας, Χριστὲ ὁ Θεός,* Μνήσθητί μου, κράζοντας,* ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Μυροφόροι ἦλθον κλαίουσαι* ἐπὶ τὸ μνῆμά σου, Χριστὲ ὁ Θεός,* λίαν πρωΐ καὶ ἐν λευκοῖς* εὗρον ἄγγελον καθήμενον,* Τί ζητεῖτε; κράζοντα,* ἐξανέστη Χριστός, μὴ θρηνεῖτε λοιπόν.

Οἱ ἀπόστολοί σου, Κύριε,* ἐπὶ τὸ ὄρος, οὗ ἐτάξω αὐτοῖς,* παραγενόμενοι, Σωτήρ,* σὲ ἰδόντες προσεκύνησαν,* οὓς καὶ ἐξαπέστειλας* εἰς τὰ ἔθνη διδάσκειν καὶ βαπτίζειν αὐτούς.

Δόξα. Τριαδικόν.

Τὸν Πατέρα προσκυνήσωμεν* καὶ τὸν Υἱὸν δοξολογήσωμεν* καὶ τὸ πανάγιον ὁμοῦ* πάντες Πνεῦμα ἀνυμνήσωμεν,* κράζοντες καὶ λέγοντες·* Παναγία Τριάς, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Μητέρα σου προσάγει σοι* εἰς ἱκεσίαν ὁ λαός σου, Χριστέ·* ταῖς παρακλήσεσιν αὐτῆς* τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν, ἀγαθέ,* ἵνα σε δοξάζωμεν,* τὸν ἐκ τάφου ἡμῖν ἀνατείλαντα.

ΗΧΟΣ Β΄.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν Στιχηρὰ ἀναστάσιμα. Ἦχος β΄.

Τὸν πρὸ αἰώνων* ἐκ Πατρὸς γεννηθέντα,* τὸν Θεὸν Λόγον σαρκωθέντα* ἐκ Παρθένου Μαρίας* δεῦτε προσκυνήσωμεν·* σταυρὸν γὰρ ὑπομείνας* τῇ ταφῇ παρεδόθη,* ὡς αὐτὸς ἠθέλησε,* καὶ ἀναστὰς ἐκ νεκρῶν* ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν* τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας* τῷ Σταυρῷ ἐξήλειψε* καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε·* προσκυνοῦμεν αὐτοῦ* τὴν τριήμερον ἔγερσιν.

Σὺν ἀρχαγγέλοις ὑμνήσωμεν* Χριστοῦ τὴν ἀνάστασιν·* αὐτὸς γὰρ λυτρωτής ἐστι* καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν·* καὶ ἐν δόξῃ φοβερᾷ* καὶ κραταιᾷ δυνάμει* πάλιν ἔρχεται* κρῖναι κόσμον, ὃν ἔπλασεν.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα* ἄγγελος ἐκήρυξε Δεσπότην* καὶ ἔλεγε ταῖς γυναιξί·* Δεῦτε ἴδετε,* ὅπου ἔκειτο ὁ Κύριος·* ἀνέστη γάρ, καθὼς εἶπεν,* ὡς παντοδύναμος·* διό σε προσκυνοῦμεν* τὸν μόνον ἀθάνατον·* ζωοδότα Χριστέ,* ἐλέησον ἡμᾶς.

Ἐν τῷ Σταυρῷ σου κατήργησας* τὴν τοῦ ξύλου κατάραν·* ἐν τῇ ταφῇ σου ἐνέκρωσας* τοῦ θανάτου τὸ κράτος·* ἐν δὲ τῇ ἐγέρσει σου* ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων·* διὰ τοῦτό σοι βοῶμεν·* Εὐεργέτα Χριστέ,* ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἠνοίγησάν σοι, Κύριε,* φόβῳ πύλαι θανάτου,* πυλωροὶ δὲ ᾅδου* ἰδόντες σε ἔπτηξαν·* πύλας γὰρ χαλκᾶς συνέτριψας* καὶ μοχλοὺς σιδηροῦς συνέθλασας* καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους* καὶ σκιᾶς θανάτου* καὶ τοὺς δεσμοὺς ἡμῶν διέρρηξας.

Τὸν σωτήριον ὕμνον ᾄδοντες* ἐκ στομάτων ἀναμέλψωμεν·* δεῦτε πάντες ἐν οἴκῳ Κυρίου* προσπέσωμεν λέγοντες·* Ὁ ἐπὶ ξύλου σταυρωθεὶς* καὶ ἐκ νεκρῶν ἀναστὰς* καὶ ὢν ἐν κόλποις τοῦ Πατρός,* ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου,* τῆς χάριτος ἐλθούσης·* ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο* καταφλεγομένη,* οὕτω παρθένος ἔτεκες* καὶ παρθένος ἔμεινας·* ἀντὶ στύλου πυρὸς* δικαιοσύνης ἀνέτειλεν ἥλιος,* ἀντὶ Μωϋσέως Χριστός,* ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπόστιχα ἀναστάσιμα. Ἦχος β΄.

Ἡ ἀνάστασίς σου, Χριστὲ Σωτήρ,* ἅπασαν ἐφώτισε τὴν οἰκουμένην,* καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα.* Παντοδύναμε Κύριε, δόξα σοι.

Τὰ κατ' ἀλφάβητον.

Διὰ ξύλου, Σῶτερ, κατήργησας* τὴν τοῦ ξύλου κατάραν·* κράτος θανάτου τῇ ταφῇ σου ἐνέκρωσας·* ἐφώτισας δὲ* τὸ γένος ἡμῶν τῇ ἐγέρσει σου·* διὸ βοῶμέν σοι·* Ζωοδότα Χριστέ,* ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐν τῷ Σταυρῷ, Χριστέ,* φανεὶς καθηλωμένος* ἠλλοίωσας κάλλος κτισμάτων·* καὶ τὸ μὲν ἀπάνθρωπον* στρατιῶται δεικνύμενοι* λόγχῃ πλευράν σου ἐκέντησαν·*

Ἑβραῖοι δὲ σφραγίσαι τάφον ἠτήσαντο,* τὴν σὴν ἐξουσίαν οὐκ ἐπιστάμενοι.* Ἀλλ' ὁ δι' οἴκτον σπλάγχνων σου* καταδεξάμενος ταφὴν* καὶ τριήμερος ἀναστάς,* Κύριε, δόξα σοι.

Ζωοδότα Χριστέ,* ἑκουσίως πάθος ὑποστὰς διὰ θνητούς,* ἐν ᾅδῃ δὲ κατελθών, ὡς δυνατὸς* τοὺς ἐκεῖ τὴν ἔλευσιν μένοντας τὴν σὴν* ἀφαρπάσας ὡς ἐκ χειρὸς κραταιοῦ,* παράδεισον ἀνθ' ᾅδου* οἰκεῖν δεδώρησαι.* διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι* τὴν σὴν τριήμερον ἔγερσιν* δώρησαι ἱλασμὸν ἁμαρτιῶν* καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὦ θαύματος καινοῦ* πάντων τῶν πάλαι θαυμάτων!* τίς γὰρ ἔγνω Μητέρα* ἄνευ ἀνδρὸς τετοκυῖαν* καὶ ἐν ἀγκάλαις φέρουσαν* τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα;* Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν·* ὃν ὡς βρέφος, πάναγνε,* σαῖς ὠλέναις βαστάσασα* καὶ μητρικὴν παῤῥησίαν* πρὸς αὐτὸν κεκτημένη,* μὴ παύσῃ δυσωποῦσα* ὑπὲρ τῶν σὲ τιμώντων* τοῦ οἰκτειρῆσαι* καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον,* ἡ ζωὴ ἡ ἀθάνατος,* τότε τὸν ᾅδην ἐνέκρωσας* τῇ ἀστραπῇ τῆς Θεότητος·* ὅτε δὲ καὶ τοὺς τεθνεῶτας* ἐκ τῶν καταχθονίων ἀνέστησας,* πᾶσαι αἱ δυνάμεις* τῶν ἐπουρανίων ἐκραύγαζον·* Ζωοδότα Χριστέ,* ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν,* πάντα ὑπερένδοξα* τὰ σά, Θεοτόκε, μυστήρια·* τῇ ἀγνείᾳ ἐσφραγισμένη,* καὶ παρθενίᾳ φυλαττομένη,* Μήτηρ ἐγνώσθης ἀψευδὴς* Θεὸν τεκοῦσα ἀληθινόν·* αὐτὸν ἱκέτευε,* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανὼν τριαδικὸς ἔχων ἀκροστιχίδα·
Τὸ τρισσὸν ὑμνῶ τῆς θεαρχίας σέλας.
Ποίημα Μητροφάνους Σμύρνης.

Ηχος β'. Ὠδὴ α'. (Ἐν βυθῷ κατέστρωσε ποτέ).

Τὴν τριττὴν καὶ μίαν ἀρχικὴν* φύσιν τῆς θεότητος* ἀσματικῶς ἀνυμνήσωμεν λέγοντες·* Τοῦ ἐλέους πέλαγος* ἀνεξάντλητον οὐσιῶδες ὡς ἔχουσα,* τοὺς σὲ προσκυνοῦντας φρούρησον* καὶ σῶσον ὡς φιλάνθρωπος.

Ὀπηγὴ καὶ ῥίζα πεφυκώς,* ὁ Πατήρ, ὡς αἴτιος* τῆς ἐν Υἱῷ καὶ ἁγίῳ σου Πνεύματι* συμφυοῦς θεότητος,* τὸ τρισήλιον τῇ καρδίᾳ μου πήγασον* σέλας καὶ μεθέξει λάμπρυνον* σῆς θεουργοῦ ἐλλάμψεως.

Τριηγὴς Μονὰς θεαρχική,* πᾶσαν διασκέδασον* ἁμαρτιῶν καὶ παθῶν μου τὴν ζόφωσιν* φωτεινῶν ἀκτίνων σου* γλυκυτάταις ἐν μετουσίαις καὶ ποίησον* σοῦ τῆς ἀπροσίτου δόξης με* ναὸν καὶ σκηνὴν ἄχραντον.

Θεοτοκίον.

Ροῦν τὸν πρὶν τῆς φύσεως ἡμῶν* πεπονθυίας ἄτοπον* καὶ πρὸς φθορὰν ὀλισθησάσης, ἄχραντε,* σαρκωθεὶς ἐν μήτρᾳ σου* ὁ Θεὸς Λόγος φιλανθρώπως ἀνέστειλε* καὶ τὴν θεαρχίαν τρίφωτον* ἡμᾶς ἐμυσταγώγησεν.

Ὠδὴ γ'. (Ἐν πέτρᾳ με τῆς πίστεως).

Ισότητι τῆς φύσεως, θεαρχία,* ὁμότιμον δοξάζω σε τοῖς προσώποις·* ζωὴ γὰρ καὶ ζωῆς χορηγὸς σὺ οὖσα,* ἀῤῥήτως πέφυκας* εἰς ὁ Θεὸς ἡμῶν,* καὶ οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε.

Σὺ τάξεις τὰς ἀύλους καὶ οὐρανίους* ὑπέστησας ὡς ἔσοπτρα τοῦ σοῦ κάλλους,* Τριὰς ἡ ἀδιαίρετος μοναρχία,* ὑμνεῖν ἀπαύστως σε·* ἀλλὰ καὶ νῦν ἡμῶν* ἐκ πηλίνου στόματος* δέξαι τὴν αἴνεσιν.

Στερέωσον τῆς πίστεως ἐν τῇ πέτρᾳ* καὶ πλάτυνον ἀγάπης σου τῷ πελάγει* καρδίαν καὶ διάνοιαν τῶν σῶν δούλων,* Μονὰς τρισήλιε* σὺ γὰρ Θεὸς ἡμῶν,* ἐφ' ᾧπερ ἐλπίζοντες* μὴ αἰσχυνθείημεν.

Θεοτοκίον.

Ὅπασαν πρὶν ὑπόστασιν οὐσιώσας* τῆς κτίσεως ἐν μήτρᾳ σου οὐσιώθη* ἀπείρῳ ἀγαθότητι, Θεοτόκε,* καὶ φῶς τρισήλιον* πᾶσιν ἀνέτειλε* τῆς μιᾶς θεότητος* καὶ κυριότητος.

Κάθισμα.

Ὅτε κατ' ἀρχὰς* τὸν Ἀδὰμ διέπλασας, Κύριε,* τότε τῷ Λόγῳ σου* τῷ ἐνυποστάτῳ ἐβόησας εὐσπλαγχνε* Ποιήσωμεν κατὰ τὴν ἡμετέραν ὁμοίωσιν* τὸ δὲ Πνεῦμα τὸ ἅγιον* συμπαρῆν δημιουργόν* διὸ βοῶμέν σοι* Ποιητά, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὅτε πρὸς ἡμᾶς* ὁ Θεὸς ἐλθεῖν κατηξίωσε,* τότε σου, πάναγνε,* τὴν καθαρωτάτην νηδὺν ἐγκατῴκησε* καὶ ἔσωσε διὰ σοῦ τῶν ἀνθρώπων τὸ φύραμα,* χαρισάμενος ἅπασι* βασιλείαν οὐρανῶν* διὸ βοῶμέν σοι* Θεοτόκε ἁγνή, χαῖρε, Δέσποινα.

Ὠδὴ δ΄. (Ὑμνῶ σε ἀκοῇ γὰρ Κύριε).

Νοεῖν σε οὐδὲ τάξεις ἄϋλοι* ἐξισχύουσι τῶν ἀγγέλων,* Τριὰς μονὰς ἄναρχε* ἀλλ' οὖν ἡμεῖς πηλίνῃ γλώττῃ* τὴν σὴν οὐσιώδη ἀγαθότητα* καὶ ἀνυμνοῦμεν πίστει καὶ δοξάζομεν.

Ὑπάρχων πλαστουργὸς τῆς φύσεως,* παντοκράτορ, τῆς τῶν ἀνθρώπων,* πᾶσαν ἐμὴν βλέπεις νῦν* ὡς πανδερκὴς ἀδυναμίαν* διὸ κατοικτείρησον τὸν δοῦλόν σου* καὶ πρὸς ζωὴν βελτίστην ἐπανάγαγε.

Μονάδος ἀρχικῆς ἀσύγχυτα* τρία πρόσωπα ἀνυμνοῦμεν* ὡς εἰδικῶς ἔχοντα* καὶ μεριστῶς τὰς ὑποστά-

σεις·* ἀλλ᾽ οὖν ἡνωμένα καὶ ἀμέριστα* ἔν τε βουλῇ καὶ δόξῃ καὶ θεότητι.

Θεοτοκίον.

Ναόν σε καθαρὸν καὶ ἄχραντον,* ἀειπάρθενε Θεοτόκε,* ὁ παντουργὸς εὗρηκε* μόνην σαφῶς ἐκ τοῦ αἰῶνος·* ἐν ᾧ κατοικήσας ἀνεμόρφωσε* τὴν τῶν ἀνθρώπων φύσιν ὡς φιλάνθρωπος.

Ὠδὴ ε΄. (Ὁ φωτισμός).

Ως ὁλικῶς* ἐπὶ πάντα τὰ ὄντα τῆς σῆς προνοίας* τὰς εἰρηνοδώρους ἁπλῶν ἀκτῖνας* καὶ σωτηρίους,* βασιλεῦ τῆς εἰρήνης,* φρούρησόν με ἐν τῇ εἰρήνῃ σου·* σὺ γὰρ εἶ ζωὴ καὶ εἰρήνη τοῦ σύμπαντος.

Τῷ Μωϋσῇ* ἐν τῇ βάτῳ ὡς ὤφθης πυρὸς ἐν εἴδει,* ἄγγελος ἐκλήθης Πατρὸς ὁ Λόγος,* τῆν πρὸς ἡμᾶς σου* προδηλῶν παρουσίαν,* δι᾽ ἧς πᾶσι σαφῶς ἀνήγγειλας* κράτος θεαρχίας μιᾶς τρισυπόστατον.

Ηφυσικὴν* συναΐδιον δόξαν προβαλλομένη,* μοναρχικωτάτη Τριὰς ἁγία,* τοὺς ἀνυμνοῦντας* ὀρθοδόξῳ σε πίστει* τῆς σῆς δόξης ἰδεῖν ἀξίωσον* ἄναρχον καὶ μίαν αὐγὴν τὴν τρισήλιον.

Θεοτοκίον.

Συνεκτικὸς* κατ᾽ οὐσίαν ὑπάρχων ὁ Θεὸς Λόγος* πάντων τῶν αἰώνων, ἐν τῇ γαστρί σου,* παρθενομῆτορ,* συνεσχέθη ἀφράστως,* τοὺς ἀνθρώπους ἀνακαλούμενος* πρὸς τὸ ἑνικὸν τῆς μιᾶς κυριότητος.

Ὠδὴ ς΄. (Ἐν ἀβύσσῳ πταισμάτων).

Θελητὰ τοῦ ἐλέους, ἐλέησον* τοὺς εἰς σὲ πιστεύοντας, Θεὲ τρισήλιε* καὶ τῶν πταισμάτων λύτρωσαι* καὶ παθῶν καὶ κινδύνων τοὺς δούλους σου. (Δὶς)

Εν ἀφάτῳ πελάγει χρηστότητος* τὴν ἀπερινόητον τῆς σῆς ἐλλάμψεως* καὶ τριλαμποῦς θεότητος* φωτοδότιδα αἴγλην μοι βράβευσον.

Θεοτοκίον.

Ἀπορρήτως, Παρθένε, ὁ Ὕψιστος* ἄνθρωπος ἐγένετο ἐκ σοῦ, τὸν ἄνθρωπον* ὁλικῶς ἐνδυσάμενος,* καὶ φωτὶ τριλαμπεῖ με κατηύγασε.

Κάθισμα. (Εὐσπλαγχνίας ὑπάρχουσα πηγή).

Εὐσπλαγχνίας τὸ πέλαγος ἡμῖν* ὑφαπλώσας, ὑπόδεξαι ἡμᾶς,* ἐλεῆμον·* βλέψον εἰς λαὸν τὸν σὲ δοξάζοντα·* δέξαι τὰς ᾠδὰς τῶν αἰτουμένων σε,* Τριὰς μονὰς ἄναρχε·* εἰς σὲ γὰρ ἐλπίζομεν* τὸν τῶν ὅλων Θεὸν* τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Εὐσπλαγχνίας κυήσασα πηγήν,* συμπαθὴς σὺ ὑπάρχεις, ἀγαθὴ* Θεοτόκε·* σὺ γὰρ τῶν πιστῶν μόνη ἀντίληψις,* σὺ τῶν λυπουμένων ἡ παράκλησις·* διό σοι νῦν ἅπαντες* ἐν πίστει προσπίπτομεν* εὐρεῖν λύσιν δεινῶν·* οἱ πλουτοῦντες μόνην σε βοήθειαν.

Ὠδὴ ζ΄. (Εἰκόνος χρυσῆς).

Ρυθμίζεις ἀεὶ* τῶν ἀγγέλων στρατιὰς πρὸς ἀτρεψίαν,* μόνος ὑπάρχων ἀναλλοίωτος,* ὁ τρισυπόστατος Κύριος·* δεῖξον οὖν κάμοῦ τὴν καρδίαν* ἀπερίτρεπτον πάντοτε* πρὸς τὸ δοξάζειν σε θερμῶς* καὶ ἀνυμνεῖν εὐσεβῶς. (Δὶς)

Χοροὶ νοεροὶ* τῶν ἀΰλων οὐσιῶν, ταῖς σαῖς ἀκτῖσι,* Θεὲ μονάρχα καὶ τρισήλιε,* καταυγαζόμενοι γίνονται* θέσει δευτερεύοντα φῶτα·* ὧν κάμὲ ταῖς ἐλλάμψεσι* καὶ μετουσίαις δεῖξον φῶς* ὡς φωτουργὸς τριλαμπής.

Θεοτοκίον.

Ἰθύνειν ἡμᾶς* καὶ ὑψοῦν πρὸς οὐρανοὺς μὴ διαλίπῃς* τοὺς σὲ φιλοῦντας ὁ δι' ἄφατον* φιλανθρωπίαν γενόμενος* ἄνθρωπος ἐν μήτρᾳ Παρθένου* καὶ θεώσας τὸν ἄνθρωπον* καὶ θρόνῳ δόξης τῷ Πατρὶ* συγκαθεζόμενος.

Ὠδὴ η΄. (Ἰνδάλματος χρυσοῦ).

Ἀπρόσιτε Τριάς,* συναΐδιε, συνάναρχε θεαρχία,* ἡ ἀπαράλλακτος ἐν πᾶσι* πλὴν τῶν φωσφόρων ἰδιοτήτων,* πᾶσαν πονηρὰν κατάργησον* τῶν ἀντικειμένων* βουλὴν καὶ ἐνόχλησιν τῶν δαιμόνων,* ἀβλαβῆ τηρῶν με* ἀεί, Κύριε πάντων. (Δὶς)

Σοφῶς καὶ πανσθενῶς,* ἀπερίγραπτε τρισήλιε μοναρχία,* ἡ ὑποστήσασα τὸν κόσμον* καὶ συντηροῦσα ἐν ἀλωβήτῳ* τάξει παντελεῖ, ἐνοίκησον* τῇ ἐμῇ καρδίᾳ* ὑμνεῖν καὶ δοξάζειν σε ἀσιγήτως* σὺν χοροῖς ἀγγέλων* εἰς πάντας τοὺς αἰῶνας.

Σοφία τοῦ Πατρὸς* ἀκατάληπτε, ἀνέκφραστε Θεοῦ Λόγε,* τὴν ἀμετάβλητόν σου φύσιν* οὐκ ἀλλοιώσας, τὴν τῶν ἀνθρώπων* φύσιν συμπαθῶς ἀνέλαβες* καὶ τὴν ἑνιαίαν* Τριάδα ἐδίδαξας πάντας σέβειν* ὡς κυριαρχίαν* ἁπάντων τῶν αἰώνων.

Ὠδὴ θ΄. (Ἡ τὸν πρὸ ἡλίου φωστῆρα).

Ἐκ φωτὸς ἀνάρχου* συνάναρχος Υἱὸς φῶς ἐξανέτειλε* καὶ συμφυὲς φῶς Πνεῦμα ἐκπεπόρευται* ἀπορρήτως, θεοπρεπῶς,* ἀῤῥεύστου τῆς γεννήσεως* πιστευομένης, ἅμα δὲ* καὶ τῆς ἀφράστου ἐκπορεύσεως.

Λάμψον τὰς καρδίας,* τρισήλιε Θεότης, τῶν ὑμνούντων σε* τῷ τριλαμπεῖ φωτί σου καὶ δὸς σύνεσιν* τοῦ ἐν πᾶσι κατανοεῖν* καὶ πράττειν τὸ σὸν θέλημα* τὸ ἀγαθὸν καὶ τέλειον* καὶ μεγαλύνειν καὶ δοξάζειν σε.

Ἄπειρος τῇ φύσει* ὑπάρχων ὡς Θεός, ἄπειρον πέλαγος* τῶν οἰκτιρμῶν ὡς ἔχων, κατῳκτείρησας,* Τριάς, πρώην· οὕτω καὶ νῦν* οἰκτείρησον τοὺς δούλους σου* καὶ τῶν πταισμάτων λύτρωσαι* καὶ πειρασμῶν καὶ περιστάσεων.

Θεοτοκίον.

Σῶσόν με, Θεέ μου* παντοίας ἐπηρείας καὶ κακώσεως,* ὁ ἐν τρισὶ προσώποις ἀνυμνούμενος* ἀνεκφράστως

μοναδικὸς* Θεὸς καὶ παντοδύναμος·* καὶ τὴν σὴν ποίμνην φύλαττε* τῆς Θεοτόκου ταῖς ἐντεύξεσιν.

Τὸ Ἄξιόν ἐστιν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα ἀναστάσιμα.
Ἦχος β΄. Αὐτόμελον.

Εὐσχήμων Ἰωσὴφ* ἀπὸ τοῦ ξύλου καθελὼν* τὸ ἄχραντόν σου Σῶμα,* σινδόνι καθαρᾷ* εἱλήσας καὶ ἀρώμασιν,* ἐν μνήματι καινῷ* κηδεύσας ἀπέθετο·* ἀλλὰ τριήμερος ἀνέστης, Κύριε,* παρέχων τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Δόξα. Ὅμοιον.

Ταῖς μυροφόροις γυναιξὶ* παρὰ τὸ μνῆμα ἐπιστὰς* ὁ ἄγγελος ἐβόα·* Τὰ μύρα τοῖς θνητοῖς* ὑπάρχει ἁρμόδια,* Χριστὸς δὲ διαφθορᾶς* ἐδείχθη ἀλλότριος·* ἀλλὰ κραυγάσατε· Ἀνέστη ὁ Κύριος,* παρέχων τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Καὶ νῦν. Σταυροθεοτοκίον.

Ὑπερδεδοξασμένη ὑπάρχεις,* Θεοτόκε Παρθένε,* ὑμνοῦμέν σε·* διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου* κατεβλήθη ὁ ᾅδης* καὶ ὁ θάνατος τέθνηκε·* νεκρωθέντες ἀνέστημεν* καὶ ζωῆς ἠξιώθημεν·* τὸν παράδεισον ἐλάβομεν,* τὴν ἀρχαίαν ἀπόλαυσιν·* διὸ εὐχαριστοῦντες δοξολογοῦμεν* ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν* καὶ μόνον πολυέλεον.

Μετὰ τὴν β΄ στιχολογίαν, ἕτερα.

Τὸν λίθον τοῦ μνήματος* σφραγισθῆναι μὴ κωλύσας,* τὴν πέτραν τῆς πίστεως* ἀναστὰς παρέσχες πᾶσι·* Κύριε, δόξα σοι.

Δόξα. (Ὁ εὐσχήμων Ἰωσήφ).

Τῶν μαθητῶν σου ὁ χορὸς* σὺν μυροφόροις γυναιξὶν* ἀγάλλεται συμφώνως·* κοινὴν γὰρ ἑορτὴν* σὺν αὐτοῖς

ἑορτάζομεν* εἰς δόξαν καὶ τιμὴν* τῆς σῆς ἀναστάσεως·* καὶ δι' αὐτῶν, φιλάνθρωπε Κύριε,* τῷ λαῷ σου παράσχου* τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. (Ὑπερδεδοξασμένη).

Υπερευλογημένη ὑπάρχεις,* Θεοτόκε Παρθένε·* διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος* ὁ ᾅδης ἠχμαλώτισται,* ὁ Ἀδὰμ ἀνακέκληται,* ἡ κατάρα νενέκρωται,* ἡ Εὔα ἠλευθέρωται,* ὁ θάνατος τεθανάτωται,* καὶ ἡμεῖς ἐζωοποιήθημεν·* διὸ ἀνυμνοῦντες βοῶμεν·* Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν,* ὁ οὕτως εὐδοκήσας.

Μετὰ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια, ἡ ὑπακοή.

Μετὰ τὸ πάθος* πορευθεῖσαι ἐν τῷ μνήματι* πρὸς τὸ μυρίσαι* τὸ σῶμά σου, αἱ γυναῖκες,* Χριστὲ ὁ Θεός,* εἶδον ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν·* φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν,* ὅτι ἀνέστη ὁ Κύριος,* δωρούμενος τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον Α'.

Εν τῷ οὐρανῷ* τὰ ὄμματα ἐκπέμπω μου τῆς καρδίας* πρὸς σέ, Σωτήρ·* σῶσόν με σῇ ἐπιλάμψει.

Ελέησον ἡμᾶς* τοὺς πταίοντάς σοι πολλὰ* καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου,* καὶ δὸς πρὸ τέλους τρόπους* τοῦ μετανοεῖν σοι.

Δόξα, καὶ νῦν.

Αγίῳ Πνεύματι* τὸ βασιλεύειν πέλει,* τὸ ἁγιάζειν,* τὸ κινεῖν τὴν κτίσιν·* Θεὸς γάρ ἐστιν* ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον Β'.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν,* τίς ἱκανὸς σῶος φυλαχθῆναι* ἐκ τοῦ ἐχθροῦ ἅμα* καὶ ἀνθρωποκτόνου;

Τοῖς ὀδοῦσιν αὐτῶν* μὴ παραδῷς, Σῶτερ, τὸν σὸν δοῦλον·* λέοντος τρόπον* κατ' ἐμοῦ κινοῦνται* καὶ γὰρ οἱ ἐχθροί μου.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* ζωαρχίᾳ καὶ γέρας* πάντα γὰρ τὰ κτιστὰ* ὡς Θεὸς ὢν δυναμοῖ,* συντηρεῖ ἐν Πατρὶ δι' Υἱοῦ δέ.

Ἀντίφωνον Γ΄.

Οἱ πεποιθότες ἐπὶ Κύριον* ἐοίκασιν ὄρει τῷ ἁγίῳ* οἳ οὐδαμῶς σαλεύονται* προσβολαῖς τοῦ Βελίαρ.

Ἐν ἀνομίαις χεῖρας αὐτῶν* μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες* οὐ γὰρ ἐᾷ Χριστὸς* τῇ ῥάβδῳ τὸν κλῆρον αὐτοῦ.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* προσπηγάζει πᾶσα σοφία* ἔνθεν χάρις ἀποστόλοις,* καὶ τοῖς ἄθλοις καταστέφονται μάρτυρες* καὶ προφῆται ὁρῶσι.

Προκείμενον.

Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Στίχ. Κύριε, ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με.

Κανὼν ἀναστάσιμος. Ποίημα Ἰωάννου μοναχοῦ.

Ἦχος β΄. Ὠδὴ α΄. Ὁ εἱρμός.

Ἐν βυθῷ κατέστρωσέ ποτε* τὴν Φαραωνίτιδα* πανστρατιὰν ἡ ὑπέροπλος δύναμις* σαρκωθεὶς ὁ Λόγος δὲ* τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν* ὁ δεδοξασμένος Κύριος* ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια.

Οτοῦ κόσμου ἄρχων, ἀγαθέ,* ᾧ ἀπεγραψάμεθα,* τῇ ἐντολῇ τῇ σῇ μὴ πειθαρχήσαντες,* τῷ Σταυρῷ σου κέκριται* προσβαλὼν γάρ σοι ὡς θνητῷ περιπέπτωκε* τῷ τῆς ἐξουσίας κράτει σου* καὶ ἀσθενὴς διήλεγκται.

Λυτρωτὴς τοῦ γένους τῶν βροτῶν* καὶ τῆς ἀκηράτου ζωῆς* ἀρχηγὸς εἰς τὸν κόσμον ἐλήλυθας·* τῇ γὰρ ἀναστάσει σου* διεσπάραξας τοῦ θανάτου τὰ σπάργανα,* ἣν δοξολογοῦμεν ἅπαντες·* ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον.

Υπερτέρα πέφηνας,* ἀγνή,* πάσης ἀοράτου τε* καὶ ὁρατῆς, ἀειπάρθενε, κτίσεως·* τὸν γὰρ κτίστην τέτοκας,* ὡς ηὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου·* ᾧ σὺν παῤῥησίᾳ πρέσβευε,* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Εξήνθησεν ἡ ἔρημος* ὡσεὶ κρίνον, Κύριε,* ἡ τῶν ἐθνῶν στειρεύουσα* Ἐκκλησία τῇ παρουσίᾳ σου·* ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Τροπάρια.

Ηκτίσις ἐν τῷ πάθει σου* ἠλλοιοῦτο, βλέπουσα* ἐν εὐτελεῖ προσχήματι* ὑπ' ἀνόμων μυκτηριζόμενον* τὸν ἑδράσαντα πάντα θείῳ νεύματι.

Εκ χοὸς κατ' εἰκόνα με* τῇ χειρί σου ἔπλασας,* καὶ συντριβέντα πάλιν δὲ* εἰς χοῦν θανάτου δι' ἁμαρτίαν, Χριστέ,* συγκαταβὰς εἰς ᾅδην συνανέστησας.

Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησαν* τῶν ἀγγέλων, πάναγνε* καὶ τῶν ἀνθρώπων ἔφριξαν* αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου·* διό σε Θεοτόκον πίστει σέβομεν.

Κοντάκιον. (Τὰ ἄνω ζητῶν).

Ανέστης, Σωτήρ,* ἐκ τάφου, παντοδύναμε,* καὶ ᾅδης ἰδὼν* τὸ θαῦμα ἐξεπλήττετο* καὶ νεκροὶ ἀνίσταντο* καὶ ἡ κτίσις ἰδοῦσα συγχαίρει σοι* καὶ ὁ Ἀδὰμ συναγάλλεται* καὶ κόσμος, Σωτήρ μου, ἀνυμνεῖ σε ἀεί.

Ὁ οἶκος. (Τοῦ Συμεὼν τὸν ἄμεμπτον βίον).

Σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων,* σὺ εἶ ἡ ἀνάστασις πάντων* καὶ ἡ ζωὴ τῶν βροτῶν,* καὶ πάντας συνανέστη-

σας,* τοῦ θανάτου τὸ κράτος, Σωτήρ, σκυλεύσας* καὶ τοῦ ᾅδου τὰς πύλας συντρίψας, Λόγε* καὶ οἱ θνητοὶ κατιδόντες* τὸ θαῦμα ἐθαύμαζον,* καὶ πᾶσα κτίσις συγχαίρει* ἐν τῇ σῇ ἀναστάσει, φιλάνθρωπε.* Διὸ καὶ πάντες δοξάζομεν* καὶ ὑμνοῦμεν τὴν σὴν συγκατάβασιν* καὶ κόσμος, Σωτήρ μου, ἀνυμνεῖ σε ἀεί.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα. Ἦχος β΄.

Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις* σὲ δοξάζει, Κύριε,* ὅτι διὰ τοῦ Σταυροῦ* τὸν θάνατον κατήργησας,* ἵνα δείξῃς τοῖς λαοῖς* τὴν ἐκ νεκρῶν σου ἀνάστασιν* ὡς μόνος φιλάνθρωπος.

Εἰπάτωσαν Ἰουδαῖοι* Πῶς οἱ στρατιῶται* ἀπώλεσαν τηροῦντες τὸν βασιλέα;* διὰ τί γὰρ ὁ λίθος* οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς;* ἢ τὸν ταφέντα δότωσαν* ἢ ἀναστάντα προσκυνείτωσαν,* λέγοντες σὺν ἡμῖν* Δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου* Σωτὴρ ἡμῶν, δόξα σοι.

Χαίρετε, λαοί, καὶ ἀγαλλιᾶσθε* ἄγγελος ἐκάθισεν* εἰς τὸν λίθον τοῦ μνήματος* αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών* Χριστὸς ἀνέστη ἐκ νεκρῶν,* ὁ Σωτὴρ τοῦ κόσμου,* καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας.* Χαίρετε, λαοί, καὶ ἀγαλλιᾶσθε.

Ἄγγελος μὲν τὸ Χαῖρε* πρὸ τῆς σῆς συλλήψεως, Κύριε,* τῇ Κεχαριτωμένῃ ἐκόμισεν* ἄγγελος δὲ τὸν λίθον* τοῦ ἐνδόξου σου μνήματος* ἐν τῇ σῇ ἀναστάσει ἐκύλισεν* ὁ μέν, ἀντὶ τῆς λύπης,* εὐφροσύνης σύμβολα μηνύων,* ὁ δέ, ἀντὶ θανάτου,* Δεσπότην ζωοδότην κηρύττων ἡμῖν.* Διὸ βοῶμέν σοι* Εὐεργέτα τῶν ἁπάντων,* Κύριε, δόξα σοι.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Ἔρραναν μύρα μετὰ δακρύων* ἐπὶ τὸ μνῆμά σου αἱ γυναῖκες,* καὶ ἐπλήσθη χαρᾶς* τὸ στόμα αὐτῶν* ἐν τῷ λέγειν* Ἀνέστη ὁ Κύριος.

Αἰνεσάτωσαν ἔθνη καὶ λαοί* Χριστὸν τὸν Θεὸν ἡμῶν,* τὸν ἑκουσίως δι' ἡμᾶς* σταυρὸν ὑπομείναντα* καὶ ἐν

τῷ ᾅδῃ τριημερεύσαντα·* καὶ προσκυνησάτωσαν αὐτοῦ* τὴν ἐκ νεκρῶν ἀνάστασιν,* δι' ἧς πεφώτισται* πάντα τοῦ κόσμου τὰ πέρατα.

Ἐσταυρώθης, ἐτάφης,* Χριστέ, ὡς ἠβουλήθης·* ἐσκύλευσας τὸν θάνατον,* ὡς Θεὸς καὶ Δεσπότης,* δωρούμενος τῷ κόσμῳ* ζωὴν αἰώνιον* καὶ τὸ μέγα ἔλεος.

Οὕτως, παράνομοι,* σφραγίσαντες τὸν λίθον,* μείζονος ἡμᾶς θαύματος ἠξιώσατε.* Ἔχουσι τὴν γνῶσιν οἱ φύλακες,* Σήμερον προῆλθε τοῦ μνήματος, λέγοντες·* πρὸς οὓς ὑμεῖς·* Εἴπατε, ὅτι, ἡμῶν κοιμωμένων,* ἦλθον οἱ μαθηταὶ* καὶ ἔκλεψαν αὐτόν.* Καὶ τίς κλέπτει νεκρόν,* μάλιστα δὲ καὶ γυμνόν;* Αὐτὸς ἀνέστη* αὐτεξουσίως ὡς Θεός,* καταλιπὼν καὶ ἐν τῷ τάφῳ* τὰ ἐντάφια αὐτοῦ.* Δεῦτε ἴδετε, Ἰουδαῖοι,* πῶς οὐ διέρρηξε τὰς σφραγῖδας* ὁ τὸν θάνατον πατήσας* καὶ τῷ γένει τῶν ἀνθρώπων* τὴν ἀτελεύτητον ζωὴν δωρούμενος* καὶ τὸ μέγα ἔλεος.

Δόξα. Τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις. Εἶτα Δοξολογία μεγάλη κ.τ.λ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοί.
Ἦχος β'.

Τὴν φωνήν σοι προσάγομεν* τοῦ λῃστοῦ καὶ βοῶμέν σοι·* Μνήσθητι ἡμῶν, Σωτήρ,* ἐν τῇ βασιλείᾳ σου.

Τὸν Σταυρόν σοι προσάγομεν* εἰς πταισμάτων συγχώρησιν,* ὃν ὑπὲρ ἡμῶν* κατεδέξω, φιλάνθρωπε.

Προσκυνοῦμέν σου, Δέσποτα,* τὴν ταφὴν καὶ τὴν ἔγερσιν,* δι' ὧν ἐκ φθορᾶς ἐλυτρώσω* τὸν κόσμον, φιλάνθρωπε.

Τῷ θανάτῳ σου, Κύριε,* κατεπόθη ὁ θάνατος* καὶ τῇ ἀναστάσει σου, Σῶτερ,* τὸν κόσμον διέσωσας.

Οἱ ἐν σκότει καθεύδοντες* σὲ τὸ φῶς θεασάμενοι* ἐν τοῖς κατωτάτοις τοῦ ᾅδου,* Χριστέ, ἐξανέστησαν.

Μυροφόροις ὑπήντησας* ἀναστὰς ἐκ τοῦ μνήματος* καὶ τοῖς μαθηταῖς ἐπηγγείλω* εἰπεῖν σου τὴν ἔγερσιν.

Δόξα. Τριαδικόν.

Τὸν Πατέρα δοξάσωμεν,* τὸν Υἱὸν προσκυνήσωμεν* πάντες, καὶ τὸ ἅγιον Πνεῦμα* πιστῶς ἀνυμνήσωμεν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, θρόνε πυρίμορφε΄* Χαῖρε, νύμφη ἀνύμφευτε΄* Χαῖρε, ἡ Θεὸν τοῖς ἀνθρώποις,* Παρθένε, κυήσασα.

ΗΧΟΣ Γ΄.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ ἀναστάσιμα. Ἦχος γ΄.

Τῷ σῷ Σταυρῷ, Χριστὲ Σωτήρ,* θανάτου κράτος λέλυται* καὶ διαβόλου ἡ πλάνη κατήργηται΄* γένος δὲ ἀνθρώπων* πίστει σῳζόμενον* ὕμνον σοι* καθ' ἑκάστην προσφέρει.

Πεφώτισται τὰ σύμπαντα* τῇ ἀναστάσει σου, Κύριε,* καὶ ὁ παράδεισος πάλιν ἠνέῳκται΄* πᾶσα δὲ ἡ κτίσις* ἀνευφημοῦσά σε* ὕμνον σοι* καθ' ἑκάστην προσφέρει.

Δοξάζω τοῦ Πατρὸς* καὶ τοῦ Υἱοῦ τὴν δύναμιν* καὶ Πνεύματος ἁγίου* ὑμνῶ τὴν ἐξουσίαν,* ἀδιαίρετον, ἄκτιστον θεότητα,* Τριάδα ὁμοούσιον,* τὴν βασιλεύουσαν* εἰς αἰῶνα αἰῶνος.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Τὸν Σταυρόν σου τὸν τίμιον* προσκυνοῦμεν, Χριστέ,* καὶ τὴν ἀνάστασίν σου* ὑμνοῦμεν καὶ δοξάζομεν΄* τῷ γὰρ μώλωπί σου* ἡμεῖς οἱ πάντες ἰάθημεν.

Ὑμνοῦμεν τὸν Σωτῆρα* τὸν ἐκ τῆς Παρθένου σαρκωθέντα·* δι' ἡμᾶς γὰρ ἐσταυρώθη* καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη* δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τοῖς ἐν ᾅδῃ καταβὰς* Χριστὸς εὐηγγελίσατο,* Θαρσεῖτε, λέγων,* νῦν νενίκηκα·* ἐγώ εἰμι ἡ ἀνάστασις·* ἐγὼ ὑμᾶς ἀνάξω* λύσας θανάτου τὰς πύλας.

Οἱ ἀναξίως ἑστῶτες* ἐν τῷ ἀχράντῳ σου οἴκῳ* ἑσπερινὸν ὕμνον ἀναμέλπομεν,* ἐκ βαθέων κραυγάζοντες·* Χριστὲ ὁ Θεός,* ὁ φωτίσας τὸν κόσμον* τῇ τριημέρῳ ἀναστάσει σου,* ἐξελοῦ τὸν λαόν σου* ἐκ χειρὸς τῶν ἐχθρῶν σου, φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πῶς μὴ θαυμάσωμεν* τὸν θεανδρικόν σου τόκον, πανσεβάσμιε;* πεῖραν γὰρ ἀνδρὸς* μὴ δεξαμένη, πανάμωμε,* ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκί,* τὸν πρὸ αἰώνων ἐκ Πατρὸς* γεννηθέντα ἀμήτορα,* μηδαμῶς ὑπομείναντα τροπὴν* ἢ φυρμὸν ἢ διαίρεσιν,* ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα* σώαν φυλάξαντα.* Διό, Μητροπάρθενε Δέσποινα,* αὐτὸν ἱκέτευε σωθῆναι* τὰς ψυχὰς τῶν ὀρθοδόξως* Θεοτόκον ὁμολογούντων σε.

Ἀπόστιχα ἀναστάσιμα. Ἦχος γ'.

Οτῷ πάθει σου, Χριστέ,* ἀμαυρώσας τὸν ἥλιον,* καὶ τῷ φωτὶ τῆς σῆς ἀναστάσεως* φαιδρύνας τὰ σύμπαντα,* πρόσδεξαι ἡμῶν* τὸν ἑσπερινὸν ὕμνον, φιλάνθρωπε.

Τὰ κατ' ἀλφάβητον.

Ηζωοδόχος σου ἔγερσις, Κύριε,* τὴν οἰκουμένην πᾶσαν ἐφώτισε* καὶ τὸ ἴδιον πλάσμα* φθαρὲν ἀνεκαλέσατο.* Διὸ τῆς κατάρας τοῦ Ἀδὰμ* ἀπαλλαγέντες βοῶμεν·* Παντοδύναμε Κύριε, δόξα σοι.

Θεὸς ὑπάρχων ἀναλλοίωτος* σαρκὶ πάσχων ἠλλοίωσαι·* ὃν ἡ κτίσις μὴ φέρουσα* κρεμάμενον ὁρᾶν* τῷ φόβῳ ἐκλονεῖτο* καὶ στένουσα ὕμνει* τὴν σὴν μακροθυ-

μίαν'* κατελθὼν ἐν ᾅδῃ δὲ* τριήμερος ἀνέστης,* ζωὴν τῷ κόσμῳ δωρούμενος* καὶ τὸ μέγα ἔλεος.

Ἵνα τὸ γένος ἡμῶν* ἐκ τοῦ θανάτου, Χριστέ, λυτρώσῃς,* θάνατον ὑπήνεγκας'* καὶ τριήμερος ἐκ νεκρῶν ἀναστάς,* ἑαυτῷ συνανέστησας* τοὺς σὲ Θεὸν ἐπιγνόντας,* καὶ κόσμον ἐφώτισας'* Κύριε, δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀσπόρως ἐκ θείου Πνεύματος,* βουλήσει δὲ Πατρὸς* συνείληφας Υἱὸν τὸν τοῦ Θεοῦ,* ἐκ Πατρὸς ἀμήτορα* πρὸ τῶν αἰώνων ὑπάρχοντα'* δι' ἡμᾶς δὲ ἐκ σοῦ* ἀπάτορα γεγονότα,* σαρκὶ ἀπεκύησας* καὶ βρέφος ἐγαλούχησας.* Διὸ μὴ παύσῃ πρεσβεύειν* τοῦ λυτρωθῆναι κινδύνων* τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

Εὐφραινέσθω τὰ οὐράνια,* ἀγαλλιάσθω τὰ ἐπίγεια,* ὅτι ἐποίησε κράτος* ἐν βραχίονι αὐτοῦ* ὁ Κύριος ἐπάτησε* τῷ θανάτῳ τὸν θάνατον'* πρωτότοκος τῶν νεκρῶν ἐγένετο'* ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς* καὶ παρέσχε τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν* τὴν σωτηρίαν τοῦ γένους ἡμῶν* ἀνυμνοῦμεν, Θεοτόκε Παρθένε'* ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ* ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν* τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος,* ἐλυτρώσατο ἡμᾶς* ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανὼν τριαδικὸς ἔχων ἀκροστιχίδα·
Αἰνῶ Τριάς σε τὴν μίαν θεαρχίαν.
Ποίημα Μητροφάνους Σμύρνης.

Ἦχος γ΄. Ὠδὴ α΄. (Ὁ τὰ ὕδατα πάλαι).

Ακατάληπτε μόνη* κυριαρχία* καὶ μία τριαδικὴ θεαρχία,* τριλαμποῦς αἴγλης με* τῆς σῆς ἀξίωσον νῦν,* ὅπως ἀνυμνήσω σε* τὴν ὑμνουμένην ἀπαύστως* τρισαγίοις ᾄσμασιν* ἀγγέλων στόμασιν.

Ιερῶς τῶν ἀΰλων* πᾶσαι αἱ τάξεις* ὑμνοῦσι ποιητικὴν ὡς αἰτίαν,* ἐνικήν, τρίφωτον,* ἀρχικωτάτην σαφῶς·* αἷς συμφώνως μέλψωμεν* καὶ τῶν ἀνθρώπων τὰ πλήθη* καὶ πιστῶς δοξάσωμεν* πηλίνοις στόμασι.

Νοῦν καὶ Λόγον καὶ Πνεῦμα* οἱ θεολόγοι* προσφόρως συμβολικῶς σε καλοῦσιν,* ἀπαθῆ γέννησιν* ἐξ ἀγεννήτου Πατρὸς* τοῦ Υἱοῦ σημαίνοντες,* Θεὲ μονάρχα τῶν ὅλων,* ἅμα καὶ τοῦ Πνεύματος* θείαν ἐκπόρευσιν.

Θεοτοκίον.

Ως φιλάνθρωπος φύσει* τὴν τῶν ἀνθρώπων* οὐσίαν προσειληφώς, Θεοῦ Λόγε,* τὸ τρισσὸν ἔλαμψας* μοναρχικώτατον φῶς* τῆς μιᾶς θεότητος,* δεδοξασμένην τοῖς πᾶσι* δείξας τὴν τεκοῦσάν σε* Παρθένον ἄχραντον.

Ὠδὴ γ΄. (Ὁ ἐκ μὴ ὄντων τὰ πάντα).

Τρισσεῦσαι πάλαι* τὸ ὕδωρ προστεταχὼς* Ἠλίας ταῖς σχίδαξι,* τυπικῶς παρενέφηνε* τὴν τριττὴν ὑπόστασιν* τῆς ἐνιαίας Θεοῦ κυριαρχίας.

Ροώδης φύσις* ὑμνεῖ σε τῶν γηγενῶν* τὸν ἕνα καὶ τρίφωτον* πλαστουργὸν ἀναλλοίωτον* καὶ βοᾷ σοι· Δέσποτα,* παντοδαπῆς με τροπῆς ῥῦσαι καὶ σῶσον.

Ισηγοροῦντες* τοῖς λόγοις τῶν προφητῶν,* κλεινῶν ἀποστόλων τε* καὶ κηρύκων τῆς πίστεως,* ἰσουργὸν Τριάδα σε* δοξολογοῦμεν πιστοί, Θεὲ τῶν ὅλων.

Θεοτοκίον.

Ἀπὸ τοῦ θρόνου* κατῆλθε τοῦ ὑψηλοῦ* ὁ Χριστὸς τὸν ἄνθρωπον* ἀνυψῶν ὡς φιλάνθρωπος* διὰ σοῦ, πανάχραντε,* καὶ τὸ τρισήλιον φῶς ἔλαμψε πᾶσι.

Κάθισμα. (Τὴν ὡραιότητα).

Ὑπερούσιος* καὶ μόνος Κύριος,* Χριστὸς ἀπαύγασμα* τοῦ προανάρχου Πατρός,* καὶ Πνεῦμα τὸ θειότατον,* ἐλέησον τοὺς δούλους σου·* πάντες γὰρ ἡμάρτομεν,* ἀλλὰ σοῦ οὐκ ἀπέστημεν.* Ὅθεν δυσωποῦμέν σε,* τρισυπόστατε Κύριε,* ὡς ἔχων ἐξουσίαν, τὸ πλάσμα σου* σῶσον ἐκ πάσης περιστάσεως.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὑπερούσιος* Θεὸς καὶ Κύριος* ἐκ σοῦ σεσάρκωται* δι' ἀγαθότητα,* τὸ καθ' ἡμᾶς οὐσιωθεὶς* καὶ μείνας ὅπερ πέφυκεν·* ὅθεν καὶ Θεάνθρωπον* τοῦτον σέβοντες, πάναγνε,* σὲ τὴν ἀπειρόγαμον* Θεοτόκον κηρύττομεν,* δοξάζοντες τὸ μέγιστον θαῦμα* τῆς σῆς ἀσπόρου κυήσεως.

Ὠδὴ δ'. (Ἔθου πρὸς ἡμᾶς).

Στέλεχος διττὸν* ἐκ Πατρὸς ὡς ῥίζης ἐβλάστησεν* ὁ Υἱὸς καὶ Πνεῦμα τὸ εὐθές,* οἱ συμφυεῖς βλαστοὶ καὶ θεόφυτοι* καὶ ἄνθη συνάναρχα,* ὡς τρία εἶναι* φῶτα τῆς θεότητος. (Δίς)

Στίφη νοερῶν* οὐσιῶν ἀπαύστως ὑμνοῦσί σε* τὸν ἀπερινόητον Θεόν·* μεθ' ὧν ἡμεῖς δοξάζομεν λέγοντες·* Τριὰς ὑπερούσιε,* τοὺς σοὺς οἰκέτας* σῶσον ὡς φιλάνθρωπος.

Θεοτοκίον.

Ἐθελξας ἡμᾶς* εἰς ἀγάπην σήν, πολυέλεε* Λόγε τοῦ Θεοῦ, ὁ δι' ἡμᾶς* σωματωθεὶς ἀτρέπτως, καὶ τρίφωτον* τὴν μίαν θεότητα* μυσταγωγήσας·* ὅθεν σε δοξάζομεν.

Ὠδὴ ε'. (Ὡς εἶδεν Ἡσαΐας).

Τὸν ἕνα κυριάρχην εἰκονικῶς* ὡς εἶδεν Ἡσαΐας Θεὸν* ἐν τρισὶ προσώποις δοξολογούμενον* ἀχράντοις φωναῖς Σεραφίμ,* ἀπεστάλη τοῦ κηρύξαι παρευθὺς* τρίφωτον οὐσίαν* καὶ μονάδα τρισήλιον. (Δὶς)

Η πάντων ἀοράτων καὶ ὁρατῶν* τὴν φύσιν ἐξ οὐκ ὄντων τὸ πρὶν* ὑποστησαμένη, Μονὰς τρισήλιε,* τοὺς ἕνα Θεόν σε πιστῶς* εὐφημοῦντας, ἐκ παντοίων πειρασμῶν* ἐκλυτρωσαμένη,* τῆς σῆς δόξης ἀξίωσον.

Θεοτοκίον.

Νυμφῶνα φωτοφόρον καὶ καθαρόν,* Παρθένε, γεγονυῖαν Θεοῦ* σὲ ὑμνοῦμεν πόθῳ καὶ μακαρίζομεν·* ἐκ σοῦ γὰρ ἐτέχθη Χριστὸς* ἐν οὐσίαις καὶ θελήσεσι δικταῖς,* ὁ εἷς τῆς Τριάδος* καὶ τῆς δόξης ὢν Κύριος.

Ὠδὴ ς'. (Ἄβυσσος ἐσχάτη).

Μέτοικος ὑπάρχων ὁ Ἀβραὰμ* κατηξιώθη τυπικῶς ὑποδέξασθαι* ἑνικὸν μὲν Κύριον* ἐν τρισὶν ὑποστάσεσιν,* ὑπερούσιον* ἀνδρικαῖς δὲ μορφώσεσιν. (Δὶς)

Ἰθυνον καρδίας σῶν οἰκετῶν* πρὸς φῶς ἀπρόσιτον, τρισήλιε Κύριε,* καὶ σῆς δόξης ἔλλαμψιν* παράσχου ταῖς ψυχαῖς ἡμῶν* τοῦ φαντάζεσθαι* τὸ σὸν κάλλος τὸ ἄῤῥητον.

Θεοτοκίον.

Ἄνοιξον τὰς πύλας μοι τοῦ φωτὸς* τοῦ κυηθέντος ἐκ νηδύος σου, ἄχραντε,* ἵνα βλέπω τρίφωτον* ἀκτῖνα τῆς θεότητος* καὶ δοξάζω σε* τὴν ὁλόφωτον Δέσποιναν.

Κάθισμα. (Θείας πίστεως).

Θείας φύσεως* ὁμοουσίου,* τὸ τρισήλιον* ὑμνοῦμεν κράτος* καὶ τρισαγίαις φωναῖς ἐκβοήσωμεν·* Ἅγιος εἶ, ὁ Πατὴρ ὁ προάναρχος,* ἅγιος εἶ, ὁ Υἱὸς ὁ συνάναρχος,* Πνεῦμα ἅγιον,* ὁ εἷς ἀμερὴς Θεὸς ἡμῶν* καὶ πάντων ποιητὴς καὶ φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Θαῦμα μέγιστον!* πῶς συνεσχέθη* ὁ ἀχώρητος* ἐν τῇ γαστρί σου* καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος,* μὴ ὑπομείνας φυρμὸν ἢ διαίρεσιν* τῆς θεϊκῆς καὶ ἀτρέπτου θεότητος,* Κόρη πάναγνε·* διὸ Θεοτόκον σε πιστῶς* κηρύττομεν ἀεὶ καὶ δοξάζομεν.

Ὠδὴ ζ'. (Ὡς πάλαι τοὺς εὐσεβεῖς).

Ναόν με δεῖξον τῆς σῆς* θεότητος, Δέσποτα,* τῆς τριλαμποῦς ὅλον φωτεινόν,* ἁμαρτητικῆς ἀμαυρώσεως δεινῆς* καὶ παθῶν ἀνώτερον,* ταῖς φωτουργαῖς σου λάμψεσιν,* ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεότητος τὴν μορφὴν* μίαν καταγέλλομεν* ἐν τρισὶν ὑποστατικαῖς* καὶ διαιρεταῖς ἰδιότησι, Πατρὸς* καὶ Υἱοῦ καὶ Πνεύματος,* Εὐλογητὸς εἶ, κράζοντες,* ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐφάνη τῷ Ἀβραάμ* Θεὸς τρισυπόστατος* ἐν τῇ δρυῒ πάλαι τῇ Μαμβρῇ,* τῆς φιλοξενίας μισθὸν τὸν Ἰσαάκ* ἀντιδοὺς δι' ἔλεον·* ὅνπερ καὶ νῦν δοξάζομεν* ὡς Θεὸν τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐφάνη ἐπὶ τῆς γῆς* γενόμενος ἄνθρωπος* ὁ παντουργὸς ἀγαθοπρεπῶς* ἐκ παρθενικῆς καὶ ἀχράντου σου γαστρὸς* καὶ ἡμᾶς ἐθέωσεν,* εὐλογημένη πάναγνε* Θεοτόκε πανάχραντε.

Ὠδὴ η'. (Ἀστέκτῳ πυρὶ ἐνωθέντες).

Ἀνάρχου Πατρός, ὡς ἐκ ῥίζης,* Λόγος καὶ τὸ Πνεῦμα* συνανάρχως πεφυκότες* ὡς βλαστοὶ τῆς ὑπερουσίου* θεαρχίας, ἔδειξαν* τῆς Τριάδος* δόξαν μίαν τε καὶ δύναμιν·* ἣν ὑμνοῦμεν πάντες* πιστοὶ εἰς τοὺς αἰῶνας. (Δὶς)

Ῥυθμίζεις ταῖς σαῖς φρυκτωρίαις* τάξεις οὐρανίους* ἀναμέλπειν ἀσιγήτως* τρισαγίοις ᾄσμασι θείοις,* Πάτερ, Λόγε σύμμορφε* καὶ τὸ Πνεῦμα,* τρίφωτον κράτος καὶ ἰσόῤῥοπον·* ὅθεν σε ὑμνοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Χρησμοὶ προφητῶν τὸν σὸν τόκον* πόρρωθεν ἰδόντες,* Θεοτόκε, ἀνευφήμουν* ὡς ἀσπόρως καὶ ὑπὲρ φύσιν* γεννηθέντα, Δέσποινα,* καὶ συμφώνως* τοῦτον ὑμνοῦμεν ὡς Κύριον* καὶ ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. (Καινὸν τὸ θαῦμα).

Ἰδεῖν τὴν δόξαν τὴν τρισσολαμπῆ* αἱ θεοειδεῖς τῶν ἀσωμάτων τάξεις* σαφῶς ἀνιέναι πτέρυξιν* ἐφίενται ἄνω,* ἀλλ' εὐλαβοῦνται σφόδρα τὸ ἀπρόσιτον φῶς* καὶ ὕμνον ἀπαύστως ἐκβοῶσι* ταύταις συμφώνως,* μοναδικὴ Τριάς, σὲ δοξάζομεν. (Δὶς)

Ἁπλέτῳ πόθῳ καὶ οἱ ἐπὶ γῆς,* νοερὰν ψυχὴν ἐκ σοῦ λαβόντες* καὶ λογικήν, σὲ ὑμνοῦμεν, Δέσποτα* Θεὲ τῶν ἁπάντων,* τὴν ἐνιαίαν φύσιν ἀληθῶς καὶ τριττὴν* προσώποις ἐξ ὅλης τῆς καρδίας* διό, οἰκτίρμον,* ὡς πολυέλεος ἡμᾶς οἴκτειρον.

Θεοτοκίον.

Ναόν με δεῖξον τῆς μοναρχικῆς* καὶ τριφεγγοῦς σου θεαρχίας* φωτοειδῆ, καθαρῶς λατρεύειν σοι* τῷ κτίστῃ τῶν ὅλων,* καὶ τῆς ἀφράστου δόξης νοερὸν θεωρόν,* πρεσβείαις τῆς μόνης Θεοτόκου* ἣν ἐπαξίως* ὡς ὑπερένδοξον μεγαλύνομεν.

Τὸ Ἄξιόν ἐστιν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν, καθίσματα ἀναστάσιμα.
Ἦχος γ'.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται,* ἡ ἀπαρχὴ τῶν κεκοιμημένων* ὁ πρωτότοκος τῆς κτίσεως* καὶ δημιουργὸς* πάντων τῶν γεγονότων* τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν* ἐν ἑαυτῷ ἀνεκαίνισεν.* Οὐκέτι, θάνατε, κυριεύεις* ὁ γὰρ τῶν ὅλων Δεσπότης* τὸ κράτος σου κατέλυσε.

Δόξα.

Σαρκὶ τοῦ θανάτου γευσάμενος, Κύριε,* τὸ πικρὸν τοῦ θανάτου* ἐξέτεμες τῇ ἐγέρσει σου·* καὶ τὸν ἄνθρωπον* νῦν κατ' αὐτοῦ ἐνίσχυσας,* τῆς ἀρχαίας κατάρας* τὴν ἠτταν ἀνακαλούμενος.* Ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν,* Κύριε, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον. Αὐτόμελον.

Τὴν ὡραιότητα* τῆς παρθενίας σου* καὶ τὸ ὑπέρλαμπρον* τὸ τῆς ἁγνείας σου* ὁ Γαβριὴλ καταπλαγεὶς* ἐβόα σοι, Θεοτόκε·* Ποῖόν σοι ἐγκώμιον* προσαγάγω ἐπάξιον;* τί δὲ ὀνομάσω σε;* ἀπορῶ καὶ ἐξίσταμαι·* διό, ὡς προσετάγην, βοῶ σοι·* Χαῖρε, ἡ κεχαριτωμένη.

Μετὰ τὴν β΄ στιχολογίαν, ἕτερα. (Τὴν ὡραιότητα).

Τὸ ἀναλλοίωτον* τὸ τῆς θεότητος* καὶ τὸ ἑκούσιον* πάθος σου, Κύριε,* εἰς ἑαυτὸν καταπλαγεὶς* ὁ ᾅδης ἐπωδύρετο·* Τρέμω τὴν τοῦ σώματος* μὴ φθαρεῖσαν ὑπόστασιν·* βλέπω τὸν ἀόρατον* μυστικῶς πολεμοῦντά με·* διὸ καὶ οὓς κατέχω κραυγάζουσι·* Δόξα, Χριστέ, τῇ ἀναστάσει σου.

Δόξα. Ὅμοιον.

Τὸ ἀκατάληπτον* τὸ τῆς σταυρώσεως* καὶ ἀνερμήνευτον* τὸ τῆς ἐγέρσεως* θεολογοῦμεν οἱ πιστοὶ* ἀπόρρητον μυστήριον·* σήμερον γὰρ θάνατος* καὶ ὁ ᾅδης ἐσκύλευται,* γένος δὲ ἀνθρώπινον* ἀφθαρσίαν ἐνδέδυται·* διὸ καὶ εὐχαρίστως κραυγάζομεν·* Δόξα, Χριστέ, τῇ ἀναστάσει σου.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὸν ἀκατάληπτον* καὶ ἀπερίγραπτον,* τὸν ὁμοούσιον* Πατρὶ καὶ Πνεύματι* ἐν τῇ γαστρί σου μυστικῶς* ἐχώρησας, Θεομῆτορ·* μίαν καὶ ἀσύγχυτον* τῆς Τριάδος ἐνέργειαν* ἔγνωμεν τῷ τόκῳ σου* ἐν τῷ κόσμῳ δοξάζεσθαι·* διὸ καὶ εὐχαρίστως βοῶμέν σοι·* Χαῖρε, ἡ κεχαριτωμένη.

Μετὰ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια, ἡ ὑπακοή.

Ἐκπλήττων τῇ ὁράσει,* δροσίζων τοῖς ῥήμασιν* ὁ ἀστραπτων ἄγγελος* ταῖς μυροφόροις ἔλεγε·* Τὸν ζῶντα τί ζητεῖτε ἐν μνήματι;* ἠγέρθη κενώσας τὰ μνήματα·* τῆς φθορᾶς ἀλλοιωτὴν* γνῶτε τὸν ἀναλλοίωτον·* εἴπατε τῷ Θεῷ·* Ὡς φοβερὰ τὰ ἔργα σου!* ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον Α'.

Τὴν αἰχμαλωσίαν Σιὼν* σὺ ἐξείλου ἐκ Βαβυλῶνος·* κἀμὲ ἐκ τῶν παθῶν* πρὸς ζωὴν ἔλκυσον, Λόγε.

Ἐν τῷ νότῳ οἱ σπείροντες* δάκρυσιν ἐνθέοις* θεριοῦσι στάχυας* ἐν χαρᾷ ἀειζωΐας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* πᾶσα ἀγαθοδωρία* ὡς Πατρὶ καὶ Υἱῷ συναστράπτει,* ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται.

Ἀντίφωνον Β'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ* οἶκον τῶν ἀρετῶν,* μάτην κοπιῶμεν·* τὴν δὲ ψυχὴν σκέποντος,* οὐδεὶς ἡμῶν πορθεῖται τὴν πόλιν.

Τοῦ καρποῦ τῆς γαστρὸς* τῷ Πνεύματι* υἱοποιητῶς σοι τῷ Χριστῷ ὡς πατρὶ* οἱ ἅγιοι πάντοτε εἰσι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* ἐνθεωρεῖται πᾶσα ἁγιότης, σοφία·* οὐσιοῖ πᾶσαν γὰρ κτίσιν.* Αὐτῷ λατρεύσωμεν·* Θεὸς γάρ,* ὡς Πατρί τε καὶ Λόγῳ.

Ἀντιφωνον Γ'.

Οἱ φοβούμενοι τὸν Κύριον μακάριοι·* τρίβους βαδιοῦνται τῶν ἐντολῶν·* φάγονται* ζωηρὰν γὰρ παγκαρπίαν.

Κύκλῳ τῆς τραπέζης σου εὐφράνθητι,* καθορῶν σου, ποιμενάρχα,* τὰ ἔκγονα φέροντα* κλάδους ἀγαθοεργίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* ὁ πᾶς πλοῦτος τῆς δόξης,* ἐξ οὗ χάρις καὶ ζωὴ πάσῃ τῇ κτίσει·* σὺν Πατρὶ γὰρ ἀνυμνεῖται καὶ τῷ Λόγῳ.

Προκείμενον.

Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε· καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Κανὼν ἀναστάσιμος. Ποίημα Ἰωάννου μοναχοῦ.

Ἦχος γ'. Ὠδὴ α'. Ὁ εἱρμός.

Ὅτα ὕδατα πάλαι* νεύματι θείῳ* εἰς μίαν συναγωγὴν συναθροίσας* καὶ τεμὼν θάλασσαν* Ἰσραηλίτῃ λαῷ,* οὗτος ὁ Θεὸς ἡμῶν* δεδοξασμένος ὑπάρχει·* αὐτῷ μόνῳ ᾄσωμεν,* ὅτι δεδόξασται.

Τροπάρια.

Ὅτην γῆν κατακρίνας* τῷ παραβάντι* ἱδρῶτος φέρειν καρπὸν τὰς ἀκάνθας,* ἀκανθῶν στέφανον* ἐκ παρανόμου χειρὸς* οὗτος ὁ Θεὸς ἡμῶν* σωματικῶς δεδεγμένος,* τὴν κατάραν ἔλυσεν,* ὅτι δεδόξασται.

Νικητὴς τροπαιοῦχος* κατὰ θανάτου* ὁ θάνατον δεδυκὼς ἀνεδείχθη·* παθητὴν σάρκα γὰρ* ἐμψυχωμένην λαβὼν* οὗτος ὁ Θεὸς ἡμῶν* καὶ συμπλακεὶς τῷ τυράννῳ* πάντας συνανέστησεν,* ὅτι δεδόξασται.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον* πάντα τὰ ἔθνη* δοξάζει σε τὴν ἀσπόρως τεκοῦσαν·* ὑποδὺς μήτραν γὰρ* ἡγιασμένην τὴν σήν,* οὗτος ὁ Θεὸς ἡμῶν* τὸ καθ' ἡμᾶς οὐσιώθη* καὶ Θεὸς καὶ ἄνθρωπος* ἐκ σοῦ γεγέννηται.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Οὐκ μὴ ὄντων* τὰ πάντα παραγαγὼν* τῷ Λόγῳ κτιζόμενα,* τελειούμενα Πνεύματι,* παντοκράτορ Δέσποτα,* ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Τροπάρια.

Διὰ Σταυροῦ σου* ᾐσχύνθη ὁ ἀσεβὴς·* εἰργάσατο βόθρον γάρ,* ὃν ὀρύξας εἰσπέπτωκε·* ταπεινῶν ὑψώθη δέ,* Χριστέ, τὸ κέρας ἐν τῇ σῇ ἀναστάσει.

Τῆς εὐσεβείας* τὸ κήρυγμα τῶν ἐθνῶν* ὡς ὕδωρ ἐκάλυψε* τὰς θαλάσσας, φιλάνθρωπε·* ἀναστὰς ἐκ τάφου γὰρ* τὸ τῆς Τριάδος ἀπεκάλυψας φέγγος.

Θεοτοκίον.

Δεδοξασμένα* λελάληνται περὶ σοῦ,* ἡ πόλις ἡ ἔμψυχος* τοῦ ἀεὶ βασιλεύοντος·* διὰ σοῦ γάρ, Δέσποινα,* τοῖς ἐπιγείοις Θεὸς συνανεστράφη.

Κοντάκιον. (Ἡ Παρθένος σήμερον).

Ἐξανέστης σήμερον* ἀπὸ τοῦ τάφου, οἰκτίρμον,* καὶ ἡμᾶς ἐξήγαγες* ἐκ τῶν πυλῶν τοῦ θανάτου·* σήμερον Ἀδὰμ χορεύει* καὶ χαίρει Εὔα,* ἅμα δὲ καὶ οἱ προφῆται* σὺν πατριάρχαις* ὑμνοῦσιν ἀκαταπαύστως* τὸ θεῖον κράτος* τῆς ἐξουσίας σου.

Ὁ οἶκος. (Τὴν Ἐδὲμ Βηθλεέμ).

Οὐρανὸς καὶ ἡ γῆ* σήμερον χορευέτωσαν* καὶ Χριστὸν τὸν Θεὸν* ὁμοφρόνως ὑμνείτωσαν,* ὅτι τοὺς δεσμίους* ἐκ τῶν τάφων ἀνέστησε.* Συγχαίρει πᾶσα* κτίσις, προσφέρουσα* ἐπάξια ἄσματα* τῷ πάντων κτίστῃ* καὶ λυτρωτῇ ἡμῶν·* ὅτι τοὺς βροτοὺς* ἐξ ᾅδου σήμερον* ὡς ζωοδότης συνανελκύσας* πρὸς οὐρανοὺς συνανυψοῖ* καὶ καταῤῥάσσει τοῦ ἐχθροῦ* τὰς ἐπάρσεις καὶ πύλας* τοῦ ᾅδου διαθλάττει* τῷ θείῳ κράτει* τῆς ἐξουσίας αὐτοῦ.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα. Ἦχος γ'.

Δεῦτε, πάντα τὰ ἔθνη,* γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν·* Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν,* ὁ ἐν ἀρχῇ Λόγος,* ἐσταυρώθη δι' ἡμᾶς* καὶ ἑκὼν ἐτάφη* καὶ ἀνέστη ἐκ νεκρῶν* τοῦ σῶσαι τὰ σύμπαντα.* Αὐτὸν προσκυνήσωμεν.

Διηγήσαντο πάντα τὰ θαυμάσια* οἱ φύλακές σου, Κύριε·* ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος* πληρῶσαν δώρων* τὴν δεξιὰν αὐτῶν* κρύπτειν ἐνόμιζον* τὴν ἀνάστασίν σου,* ἣν ὁ κόσμος δοξάζει.* Ἐλέησον ἡμᾶς.

Χαρᾶς τὰ πάντα πεπλήρωται* τῆς ἀναστάσεως τὴν πεῖραν εἰληφότα·* Μαρία γὰρ ἡ Μαγδαληνὴ* ἐπὶ τὸ μνῆμα ἦλθεν,* εὗρεν ἄγγελον* ἐπὶ τὸν λίθον καθήμενον* τοῖς ἱματίοις ἐξαστράπτοντα* καὶ λέγοντα·* Τί ζητεῖτε τὸν ζῶντα* μετὰ τῶν νεκρῶν;* οὐκ ἔστιν ὧδε,* ἀλλ' ἐγήγερται, καθὼς εἶπε,* προάγων ἐν τῇ Γαλιλαίᾳ.

Εν τῷ φωτί σου, Δέσποτα,* ὀψόμεθα φῶς, φιλάνθρωπε·* ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν* σωτηρίαν τῷ γένει* τῶν ἀνθρώπων δωρούμενος,* ἵνα σε πᾶσα κτίσις δοξολογῇ* τὸν μόνον ἀναμάρτητον.* Ἐλέησον ἡμᾶς.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Υμνον ἐωθινὸν* αἱ μυροφόροι γυναῖκες* τὰ δάκρυα προσέφερον, Κύριε·* εὐωδίας γὰρ ἀρώματα κατέχουσαι* τὸ μνῆμά σου κατέλαβον,* τὸ ἄχραντόν σου σῶμα* μυρίσαι σπουδάζουσαι.* Ἄγγελος καθήμενος ἐπὶ τὸν λίθον* αὐταῖς εὐηγγελίσατο·* Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;* τὸν θάνατον γὰρ πατήσας* ἀνέστη ὡς Θεός,* παρέχων πᾶσι τὸ μέγα ἔλεος.

Εξαστράπτων ἄγγελος* ἐπὶ τὸ μνῆμά σου τὸ ζωοποιὸν* ταῖς μυροφόροις ἔλεγεν·* Ἐκένωσε τοὺς τάφους ὁ Λυτρωτής,* ἐσκύλευσε τὸν ᾅδην* καὶ ἀνέστη τριήμερος* ὡς μόνος Θεὸς καὶ παντοδύναμος.

Εἰς τὸ μνῆμά σε ἐπεζήτησεν* ἐλθοῦσα τῇ μιᾷ τῶν σαββάτων* Μαρία ἡ Μαγδαληνή·* μὴ εὑροῦσα δὲ ὠλοφύρετο* κλαυθμῷ βοῶσα·* Οἴμοι, Σωτήρ μου!* πῶς ἐκλάπης,

πάντων βασιλεῦ;* Ζεῦγος δὲ ζωηφόρων ἀγγέλων* ἔνδοθεν τοῦ μνημείου ἐβόα·* Τί κλαίεις, ὦ γύναι;* Κλαίω, φησίν,* ὅτι ἦραν τὸν Κύριόν μου τοῦ τάφου,* καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.* Αὐτὴ δὲ στραφεῖσα ὀπίσω,* ὡς κατεῖδέ σε,* εὐθέως ἐβόα·* Ὁ Κύριός μου* καὶ ὁ Θεός μου, δόξα σοι.

Ἑβραῖοι συνέκλεισαν* ἐν τῷ τάφῳ τὴν ζωήν·* λῃστὴς δὲ ἀνέῳξεν* ἐν τῇ γλώσσῃ τὴν τρυφήν,* κραυγάζων καὶ λέγων·* Ὁ μετ' ἐμοῦ δι' ἐμὲ σταυρωθεὶς* συνεκρέματό μοι ἐπὶ τοῦ ξύλου* καὶ ἐφαίνετό μοι ἐπὶ τοῦ θρόνου* τῷ Πατρὶ συγκαθήμενος·* αὐτὸς γάρ ἐστι* Χριστὸς ὁ Θεὸς ἡμῶν,* ὁ ἔχων τὸ μέγα ἔλεος.

Δόξα. Τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη. Εἶτα Δοξολογία μεγάλη, κ.τ.λ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοί.

Ἦχος γ'.

Ἀθετήσαντα, Χριστέ,* τὴν ἐντολήν σου* τὸν προπάτορα Ἀδάμ,* τοῦ παραδείσου ἐξώρισας·* τὸν δὲ λῃστήν, οἰκτίρμον,* ὁμολογήσαντά σε ἐν Σταυρῷ,* ἐν αὐτῷ εἰσῴκισας κράζοντα·* Μνήσθητί μου, Σωτήρ,* ἐν τῇ βασιλείᾳ σου.

Ἁμαρτήσαντας ἡμᾶς* τῇ τοῦ θανάτου* κατεδίκασας ἀρᾷ,* ὁ ζωοδότης καὶ Κύριος·* ἐν δὲ τῷ σώματί σου* ἀναμαρτήτως, Δέσποτα, παθών,* τοὺς θνητοὺς ἐζώωσας κράζοντας·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Ἀναστὰς ἐκ τῶν νεκρῶν,* συνεξανέστησας* ἡμᾶς ἐκ τῶν παθῶν* τῇ ἀναστάσει σου, Κύριε,* τοῦ δὲ θανάτου πᾶσαν* τὴν δυναστείαν ὤλεσας, Σωτήρ·* διὰ τοῦτο πίστει σοι κράζομεν·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Τῇ τριημέρῳ σου ταφῇ* τοὺς ἐν τῷ ᾅδῃ* νεκρωθέντας ὡς Θεὸς* ζωοποιήσας συνήγειρας·* καὶ ἀφθαρσίαν πᾶσιν* ὡς ἀγαθὸς ἐπήγασας ἡμῖν* τοῖς ἐν πίστει κράζουσι πάντοτε·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Ταῖς μυροφόροις γυναιξὶ* πρώταις ἐφάνης* ἀναστὰς ἐκ τῶν νεκρῶν,* Σωτήρ, βοήσας τὸ Χαίρετε* καὶ δι' αὐτῶν τοῖς φίλοις* τὴν σὴν μηνύεις ἔγερσιν, Χριστέ* διὰ τοῦτο πίστει κραυγάζομεν* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Ἐν τῷ ὄρει Μωϋσῆς* χεῖρας ἁπλώσας* προετύπου τὸν Σταυρόν,* τὸν Ἀμαλὴκ τροπωσάμενος* ἡμεῖς δὲ πίστει τοῦτον* κατὰ δαιμόνων ὅπλον κραταιὸν* εἰληφότες, πάντες κραυγάζομεν* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Δόξα. Τριαδικόν.

Τὸν Πατέρα καὶ Υἱὸν* καὶ Πνεῦμα ἅγιον* ὑμνήσωμεν, πιστοί,* ἕνα Θεόν, ἕνα Κύριον,* ὡς ἐξ ἑνὸς ἡλίου* τρισσολαμπὴς γὰρ ἐστιν ἡ Τριὰς* καὶ φωτίζει πάντας τοὺς κράζοντας* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, ἡ πύλη τοῦ Θεοῦ,* δι' ἧς διῆλθε* σαρκωθεὶς ὁ πλαστουργός,* ἐσφραγισμένην φυλάξας σε.* Χαῖρε, νεφέλη κούφη,* τὸν θεῖον ὄμβρον φέρουσα Χριστόν.* Χαῖρε, κλῖμαξ καὶ θρόνε οὐράνιε.* Χαῖρε δρος σεπτόν,* πῖον, ἀλατόμητον.

ΗΧΟΣ Δ'.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ ἀναστάσιμα. Ἦχος δ'.

Τὸν ζωοποιόν σου Σταυρὸν* ἀπαύστως προσκυνοῦντες,* Χριστὲ ὁ Θεός,* τὴν τριήμερόν σου* ἀνάστασιν δοξάζομεν* δι' αὐτῆς γὰρ ἀνεκαίνισας* τὴν καταφθαρεῖσαν*

τῶν ἀνθρώπων φύσιν, παντοδύναμε,* καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον* καθυπέδειξας ἡμῖν* ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Τοῦ ξύλου τῆς παρακοῆς* τὸ ἐπιτίμιον ἔλυσας, Σωτήρ,* τῷ ξύλῳ τοῦ Σταυροῦ* ἑκουσίως προσηλωθείς·* καὶ εἰς ᾅδου κατελθών, δυνατέ,* τοῦ θανάτου τὰ δεσμὰ* ὡς Θεὸς διέῤῥηξας·* διὸ προσκυνοῦμεν* τὴν ἐκ νεκρῶν σου ἀνάστασιν* ἐν ἀγαλλιάσει βοῶντες·* Παντοδύναμε Κύριε, δόξα σοι.

Πύλας ᾅδου συνέτριψας, Κύριε,* καὶ τῷ σῷ θανάτῳ* τοῦ θανάτου τὸ βασίλειον ἔλυσας·* γένος δὲ τὸ ἀνθρώπινον* ἐκ φθορᾶς ἠλευθέρωσας,* ζωὴν καὶ ἀφθαρσίαν* τῷ κόσμῳ δωρησάμενος* καὶ τὸ μέγα ἔλεος.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Δεῦτε, ἀνυμνήσωμεν, λαοί,* τὴν τοῦ Σωτῆρος τριῆμερον ἔγερσιν·* δι' ἧς ἐλυτρώθημεν* τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν* καὶ ἀφθαρσίαν καὶ ζωὴν* πάντες ἐλάβομεν κράζοντες·* Ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ ἀναστάς,* σῶσον ἡμᾶς τῇ ἀναστάσει σου,* μόνε φιλάνθρωπε.

Ἄγγελοι καὶ ἄνθρωποι, Σωτήρ,* τὴν σὴν ὑμνοῦσι τριῆμερον ἔγερσιν·* δι' ἧς κατηυγάσθη* τῆς οἰκουμένης τὰ πέρατα,* καὶ τῆς δουλείας τοῦ ἐχθροῦ* πάντες ἐλυτρώθημεν κράζοντες·* Ζωοποιὲ παντοδύναμε Σωτήρ,* σῶσον ἡμᾶς τῇ ἀναστάσει σου,* μόνε φιλάνθρωπε.

Πύλας χαλκᾶς συνέτριψας* καὶ μοχλοὺς συνέθλασας,* Χριστὲ ὁ Θεός,* καὶ γένος ἀνθρώπων* πεπτωκὸς ἀνέστησας·* διὰ τοῦτο συμφώνως βοῶμεν·* Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* Κύριε, δόξα σοι.

Κύριε,* ἡ ἐκ Πατρός σου γέννησις* ἄχρονος ὑπάρχει καὶ ἀΐδιος·* ἡ ἐκ Παρθένου σάρκωσις* ἄφραστος ἀνθρώποις* καὶ ἀνερμήνευτος·* καὶ ἡ εἰς ᾅδου κάθοδος* φοβερὰ διαβόλῳ* καὶ τοῖς ἀγγέλοις αὐτοῦ·* θάνατον γὰρ πατήσας* τριήμερος ἀνέστης,* ἀφθαρσίαν παρέχων ἀνθρώποις* καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ θεοπάτωρ,* προφήτης Δαβὶδ* μελῳδικῶς περὶ σοῦ προανεφώνησε* τῷ μεγαλεῖά σοι ποιήσαντι·* Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.* Σὲ γὰρ μητέρα* πρόξενον ζωῆς ἀνέδειξεν* ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι* εὐδοκήσας Θεός,* ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα* φθαρεῖσαν τοῖς πάθεσι,* καὶ τὸ πλανηθὲν* ὀρειάλωτον εὑρὼν* πρόβατον, τοῖς ὤμοις ἀναλαβών,* τῷ Πατρὶ προσαγάγῃ* καὶ τῷ ἰδίῳ θελήματι* ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι* καὶ σώσῃ, Θεοτόκε, τὸν κόσμον* Χριστὸς ὁ ἔχων* τὸ μέγα καὶ πλούσιον ἔλεος.

Ἀπόστιχα ἀναστάσιμα. Ἦχος δ΄.

Κύριε,* ἀνελθὼν ἐν τῷ σταυρῷ* τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας·* καὶ κατελθὼν ἐν τῷ ᾅδῃ* τοὺς ἀπ᾽ αἰῶνος δεσμίους ἠλευθέρωσας,* ἀφθαρσίαν δωρούμενος* τῶν ἀνθρώπων τῷ γένει* διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν* τὴν ζωοποιὸν* καὶ σωτήριόν σου ἔγερσιν.

Τὰ κατ᾽ ἀλφάβητον.

Κρεμάμενος* ἐπὶ ξύλου, μόνε δυνατέ,* πᾶσαν κτίσιν ἐσάλευσας·* τεθεὶς ἐν τάφῳ δὲ* τοὺς κατοικοῦντας ἐν τάφοις ἀνέστησας,* ἀφθαρσίαν καὶ ζωὴν δωρούμενος* τῷ γένει τῶν ἀνθρώπων·* διὸ ὑμνοῦντες δοξάζομεν* τὴν τριήμερόν σου ἔγερσιν.

Λαὸς παράνομος, Χριστέ,* σὲ προδοὺς τῷ Πιλάτῳ* σταυρωθῆναι κατεδίκασεν,* ἀγνώμων περὶ τὸν εὐεργέτην φανείς·* ἀλλ᾽ ἐκὼν ὑπέμεινας ταφήν,* αὐτεξουσίως ἀνέστης τριήμερος,* ὡς Θεὸς δωρούμενος ἡμῖν* ἀτελεύτητον ζωὴν* καὶ τὸ μέγα ἔλεος.

Μετὰ δακρύων γυναῖκες* καταλαβοῦσαι τὸ μνῆμα* σὲ ἐπεζήτησαν·* μὴ εὑροῦσαι δέ, ὀλοφυρόμεναι* μετὰ κλαυθμοῦ βοῶσαι ἔλεγον·* Οἴμοι! Σωτὴρ ἡμῶν,* βασιλεῦ τῶν ἁπάντων,* πῶς ἐκλάπης;* ποῖος δὲ τόπος κατέχει* τὸ ζωηφόρον σῶμά σου;* Ἄγγελος δὲ πρὸς αὐτὰς ἀπεκρίνα-

το᾽* Μὴ κλαίετε, φησίν,* ἀλλ᾽ ἀπελθοῦσαι κηρύξατε,* ὅτι ἀνέστη ὁ Κύριος,* παρέχων ἡμῖν ἀγαλλίασιν* ὡς μόνος εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Νεῦσον παρακλήσεσι* σῶν οἰκετῶν, πανάμωμε,* παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις,* πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα᾽* σὲ γὰρ μόνην ἀσφαλῆ* καὶ βεβαίαν ἄγκυραν ἔχομεν* καὶ τὴν σὴν προστασίαν κεκτήμεθα.* Μὴ αἰσχυνθῶμεν, Δέσποινα,* σὲ προσκαλούμενοι᾽* σπεῦσον εἰς ἱκεσίαν* τῶν σοὶ πιστῶς βοώντων᾽* Χαῖρε, Δέσποινα,* ἡ πάντων βοήθεια,* χαρὰ καὶ σκέπη* καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον.

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα* ἐκ τοῦ ἀγγέλου μαθοῦσαι* αἱ τοῦ Κυρίου μαθήτριαι* καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι,* τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον᾽* Ἐσκύλευται ὁ θάνατος,* ἠγέρθη Χριστὸς ὁ Θεός,* δωρούμενος τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον* καὶ ἀγγέλοις ἄγνωστον μυστήριον* διὰ σοῦ, Θεοτόκε,* τοῖς ἐπὶ γῆς πεφανέρωται,* Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος* καὶ σταυρὸν ἑκουσίως* ὑπὲρ ἡμῶν καταδεξάμενος᾽* δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον* ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανὼν τριαδικὸς ἔχων ἀκροστιχίδα΄
Τέταρτος ὕμνος τῷ Θεῷ, Μητροφάνους.
Ποίημα Μητροφάνους Σμύρνης.

Ἦχος δ΄. Ὠδὴ α΄. (Θαλάσσης τὸ ἐρυθραῖον).

Τριάδα* θεαρχικὴν δοξάσωμεν* ταῖς ὑποστάσεσι,* μοναδικὴν δὲ φύσιν τῶν τριῶν,* συναΐδιον, σύνθρονον* ἣν δυσωποῦντες λέγομεν·* Σῶσον τοὺς πίστει σε δοξάζοντας.

Ἐχρίσθη* ὑπὸ Πατρὸς τῷ Πνεύματι* ἀγαλλιάσεως* θεουργικῷ ἐλαίῳ ὁ Υἱὸς* καὶ βροτὸς ἐχρημάτισε* καὶ τῆς μιᾶς θεότητος* τὸ τρισυπόστατον ἐδίδαξε.

Τὸ κάλλος* τῆς ἀπροσίτου δόξης σου,* Μονὰς τρισήλιε,* τὰ Σεραφὶμ οὐ φέροντα ὁρᾶν,* συγκαλύπτονται πτέρυξι* καὶ τρισαγίοις ἄσμασιν* ἀκαταπαύστως σε δοξάζουσιν.

Θεοτοκίον.

Ἀφράστως* τὸν ποιητὴν γεγέννηκας* τῶν ὅλων, πάναγνε,* τῆς παλαιᾶς λυτρούμενον ἀρᾶς* τοὺς βροτοὺς καὶ θανάτου φθορᾶς,* καὶ διὰ σοῦ ἐπέγνωμεν* ἕνα Θεὸν τὸν τρισυπόστατον.

Ὠδὴ γ΄. (Οὐκ ἐν σοφίᾳ).

Ῥώμην ἐξ ὕψους* τοῖς ἁγίοις τὸ πρὶν ἀποστόλοις σου* ὡς ἀπέστειλας, Χριστέ,* παρὰ Πατρὸς τὸν Παράκλητον,* τὴν μίαν ἐνέφηνας* φύσιν τρισήλιον.

Τῷ πατριάρχῃ* Ἀβραὰμ ὅτε ὤφθης ἐν σχήματι* ἀνδρικῷ, τριττὴ Μονάς,* τὸ ἀπαράλλακτον ἔδειξας,* τῆς σῆς ἀγαθότητος* καὶ κυριότητος.

Ὁ χαρακτῆρσιν* ἐν τρισὶν εἷς Θεὸς πιστευόμενος,* ἀπερίγραπτος σαφῶς,* ἀπερινόητος ἅπασι,* ῥῦσαι τὰς ψυχὰς ἡμῶν* ἐκ πάσης θλίψεως.

Θεοτοκίον.

Στοιχειωθέντες* τοῦ Υἱοῦ σου σοφαῖς εἰσηγήσεσιν,* ἐνικὴν καὶ τριλαμπῆ* τὴν θεαρχίαν δοξάζομεν* καὶ σὲ μακαρίζομεν* τὴν ἀειπάρθενον.

Κάθισμα. (Ταχὺ προκατάλαβε).

Τρισήλιε, ἄκτιστε* καὶ ὁμοούσιε,* Μονὰς τρισυπόστατε* καὶ ἀκατάληπτε,* τοὺς δούλους σου οἰκτειρον,* σῶσον ἐκ τῶν κινδύνων* ὡς Θεὸς ἐλεήμων·* σὲ γάρ, Κύριε, μόνον* λυτρωτὴν καὶ Δεσπότην* κεκτήμεθα βοῶντες·* Γενοῦ ἡμῖν ἵλεως.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Πολλαῖς περιστάσεσι* καὶ συμφοραῖς τῶν δεινῶν,* Παρθένε, κυκλούμενοι* καὶ πρὸς ἀπόγνωσιν* ἀεὶ περιπίπτοντες,* μόνην σε σωτηρίαν* καὶ ἐλπίδα καὶ τεῖχος* ἔχομεν, Θεοτόκε,* καὶ πρὸς σὲ κατὰ χρέος* ἐν πίστει καὶ νῦν προστρέχομεν·* σῶσον τοὺς δούλους σου.

Ὠδὴ δ'. (Ὁ καθήμενος ἐν δόξῃ).

Υπερούσιον Τριάδα* ἐν μονάδι θεότητος* καὶ κυριαρχίαν* σὺν τοῖς Σεραφὶμ σε δοξάζομεν* ὡς ἀδιαίρετον φύσιν,* ὡς ἀσύγχυτον,* ὡς ἰσόρροπον* δόξῃ, Θεὲ ἀκατάληπτε.

Μεριστὴν οὖσαν ἀφράστως* τοῖς προσώποις θεότητα* καὶ ταυτιζομένην* ἅμα τῇ μιᾷ κυριότητι,* ἀπεριόριστον μόνην,* ἀπερίγραπτον,* ἀνυμνοῦμέν σε* τὸν ποιητὴν πάσης κτίσεως.

Νοῦς ὁ ἄναρχος τὸν Λόγον* ἀπορρήτως γεγέννηκε* καὶ τὸ θεῖον Πνεῦμα* τὸ ἰσοσθενὲς ἐκπεπόρευκε·* καὶ διὰ τοῦτο Τριάδα* ὁμοούσιον,* τὸν Δεσπότην* τῶν ὅλων Θεὸν καταγγέλλομεν.

Θεοτοκίον.

Οπτανόμενος τοῖς πάλαι* τυπικῶς προκατήγγειλε* τὴν ἐκ σοῦ, Παρθένε,* σάρκωσιν ὁ Λόγος· ἀλλ' ὕστερον*

ἐπιφανεὶς τοῖς ἀνθρώποις* κατ' ἀλήθειαν,* τρισυπόστατον* μίαν ἀρχὴν ἐφανέρωσε.

Ὠδὴ ε΄. (Ἐξέστη τὰ σύμπαντα).

Συνέντες ἐκ πίστεως* τῆς παντουργοῦ θεότητος,* μίαν μὲν ἀπρόσιτον οὐσίαν,* τρεῖς δ' ὑποστάσεις* ζωαρχικάς, συμφυεῖς* σέβομεν, Πατέρα καὶ Υἱὸν* καὶ Πνεῦμα τὸ ἅγιον,* συναΐδιον ὕπαρξιν.

Τὸ σέλας, τρισήλιε,* τῆς οὐσιώδους αἴγλης σου* λάμψον, ἐνιαία μοι θεότης,* ἄκτιστε φύσις* καὶ φωτουργαία πηγῆ* πάσης φωτοδότιδος αὐγῆς,* ἵνα κατοπτρίζωμαι* σοῦ τὸ κάλλος τὸ ἄῤῥητον.

Ὡς μόνον ὑπάρχοντα* δημιουργὸν τοῦ σύμπαντος* καὶ συνεκτικὸν καὶ κυβερνήτην* πάνσοφον ὄντως* καὶ τῆς ζωῆς χορηγὸν* γνόντες σε, βοῶμέν σοι πιστῶς* Δέσποτα τρισήλιε,* τοὺς ὑμνοῦντάς σε φρούρησον.

Θεοτοκίον.

Θεῶσαι βουλόμενος* τὸν πρὶν φθαρέντα ἄνθρωπον* ὁ δι' ἀγαθότητα, Παρθένε,* πλάσας καὶ δείξας* εἰκόνα θείας μορφῆς,* ἄνθρωπος ἐγένετο ἐκ σοῦ* καὶ μίαν τρισάριθμον* θεαρχίαν κατήγγειλεν.

Ὠδὴ ς΄. (Ἐβόησε προτυπῶν).

Ἐνέφηνεν* ὁ Πατὴρ ἐκλαλῶν τὴν υἱότητα,* καὶ τὸ Πνεῦμα* τῷ Χριστῷ βαπτισθέντι ὁρώμενον* διὰ τοῦτο μίαν* καὶ τριττὴν θεαρχίαν δοξάζομεν.

Ὡς εἶδέ σε* τρισαγίαις φωναῖς ἀνυμνούμενον* Ἡσαΐας,* ὑψηλοῦ ἐπὶ θρόνου καθήμενον,* τὴν τριττὴν ἐπέγνω* τῆς μιᾶς θεαρχίας ὑπόστασιν.

Μετάρσιον,* ὑψηλὲ βασιλεῦ τρισυπόστατε,* τὴν καρδίαν* καὶ ἡμῶν τῶν σῶν δούλων ἀνάδειξον,* ἵνα τῆς σῆς δόξης* θεωρῶμεν λαμπρῶς τὴν φαιδρότητα.

Θεοτοκίον.

Ηξίωσε* μορφωθῆναι σαφῶς τὸ ἡμέτερον* ἐκ Παρθένου* ὁ Υἱὸς τοῦ Θεοῦ ὡς φιλάνθρωπος* καὶ τῆς θείας δόξης* κοινωνοὺς τοὺς ἀνθρώπους ἐποίησε.

Κάθισμα. (Ταχὺ προκατάλαβε).

Πατέρα ἀγέννητον,* τὸν δὲ Υἱὸν γεννητὸν* καὶ Πνεῦμα τὸ ἅγιον* ἐκπορευτὸν ἐκ Πατρὸς* φρονοῦντες, κηρύττομεν* ἄναρχον βασιλείαν* καὶ θεότητα μίαν*, ἣν περ δοξολογοῦντες* ὁμοφρόνως βοῶμεν·* Τριὰς ὁμοούσιε,* σῶσον ἡμᾶς, ὁ Θεός.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὸν χρόνων ἐπέκεινα* καὶ πρὸ αἰώνων Θεὸν* ἐν χρόνῳ ἐκύησας* ὑπερφυῶς ἐν σαρκὶ* Θεάνθρωπον, ἄχραντε·* ὅθεν σε Θεοτόκον* ἀληθῶς καὶ κυρίως* πάντες ὁμολογοῦντες,* ἐκτενῶς σοι βοῶμεν·* Τῆς δόξης τῆς αἰωνίου* πάντας ἀξίωσον.

Ὠδὴ ζ'. (Ἐν τῇ καμίνῳ).

Τὰς τεταγμένας* ἐπουρανίους φύσεις καὶ νοερὰς* τάξεις ὀρθοδόξως πάντες οἱ γηγενεῖς* ἐκμιμούμενοι, δοξάζομεν* μίαν θεότητα* ἐν τρισὶν ἰσουργοῖς ὑποστάσεσι. (Δις)

Ρήσεις ἁγίων* ὑποφητῶν σε πάλαι συμβολικῶς* ἕνα τῶν αἰώνων πάντων δημιουργὸν* προεδήλωσαν, ἀνέκφραστον* Θεὸν καὶ Κύριον,* θεαρχικαῖς ἐν τρισὶν ὑποστάσεσιν.

Θεοτοκίον.

Οκατ' οὐσίαν* ἀθεώρητος Λόγος καὶ παντουργὸς* ὤφθης τοῖς ἀνθρώποις ἄνθρωπος ἐξ ἀγνῆς* Θεομήτορος, τὸν ἄνθρωπον* ἀνακαλούμενος* πρὸς μετουσίαν τῆς σῆς θεότητος.

Ὠδὴ η'. (Χεῖρας ἐκπετάσας Δανιήλ).

Φῶς μοναρχικὸν καὶ τριλαμπές,* οὐσία ἄναρχε,* κάλλος ἀμήχανον,* ἐν τῇ καρδίᾳ μου οἴκησον* καὶ ναὸν

τῆς σῆς θεότητος* φωτοειδῆ καὶ καθαρὸν* δεῖξόν με κράζοντα·* Εὐλογεῖτε,* πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον. (Δὶς)

Ἀπὸ τῶν ποικίλων με παθῶν,* Τριὰς ἀμέριστε,* Μονὰς ἀσύγχυτε,* καὶ τῆς ζοφώσεως λύτρωσαι* τῶν πταισμάτων καὶ καταύγασον* μαρμαρυγαῖς σου θεϊκαῖς,* ἵνα φαντάζωμαι* τὴν σὴν δόξαν* καὶ ἀνυμνῶ σε τῆς δόξης τὸν Κύριον.

Θεοτοκίον.

Νοῦς μὲν ὁ ἀγέννητος Πατὴρ* καὶ Λόγος σύμμορφος* καὶ Πνεῦμα σύνθρονον,* οὐσία, δύναμις, ὕπαρξις,* ὑπερούσιε, ἀνέκφραστε,* μεγαλουργὲ Τριὰς μονάς,* φρούρει τὴν ποίμνην σου* ταῖς πρεσβείαις* τῆς Θεοτόκου ὡς φύσει φιλάνθρωπος.

Ὠδὴ θ΄. (Ἅπας γηγενής).

Ὅλην νῦν πρὸς σὲ* κινῶ τὴν καρδίαν μου* καὶ τὴν διάνοιαν* καὶ τὰς διαθέσεις δὲ* ψυχῆς ἁπάσας* καὶ τὰς τοῦ σώματος,* τὸν πλαστουργὸν καὶ ῥύστην μου,* μονάρχα τρίφωτε,* καὶ βοῶ σοι·* Σῶσόν με τὸν δοῦλόν σου* πειρασμῶν ἐκ παντοίων καὶ θλίψεων. (Δὶς)

Ὕψωσον ἡμῶν* καὶ νοῦν καὶ διάνοιαν* πρὸς σὲ τὸν ὕψιστον·* φώτισον σαῖς λάμψεσιν* ἀχράντοις, Πάτερ,* Λόγε, Παράκλητε,* ὁ φῶς οἰκῶν ἀπρόσιτον,* τῆς δόξης ἥλιε,* φωτοκράτορ,* πάντοτε δοξάζειν σε* τὸν μονάρχην Θεὸν τρισυπόστατον.

Θεοτοκίον.

Σῶσον τοὺς εἰς σὲ* πιστεύοντας, Κύριε,* καὶ καταγγέλλοντας* ἄναρχον, ἀΐδιον,* οὐσίαν μίαν,* τρία δὲ πρόσωπα* θεαρχικὰ καὶ σύμμορφα* τῆς κυριότητος,* καὶ τῆς θείας* δόξης σου ἀξίωσον* ταῖς λιταῖς τῆς ἁγνῆς Θεομήτορος.

Τὸ Ἄξιόν ἐστιν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα ἀναστάσιμα.
Ἦχος δ΄.

Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον* καὶ τὴν φλόγα τοῦ ἀγγέλου μὴ φέρουσαι* αἱ μυροφόροι σὺν τρόμῳ* ἐξίσταντο, λέγουσαι·* Ἆρα ἐκλάπη* ὁ τῷ λῃστῇ ἀνοίξας παράδεισον;* ἆρα ἠγέρθη* ὁ καὶ πρὸ πάθους κηρύξας τὴν ἔγερσιν;* Ἀληθῶς ἀνέστη Χριστὸς ὁ Θεός,* τοῖς ἐν ᾅδῃ παρέχων* ζωὴν καὶ ἀνάστασιν.

Δόξα. (Κατεπλάγη Ἰωσήφ).

Ἐκουσίᾳ σου βουλῇ* σταυρὸν ὑπέμεινας, Σωτήρ,* καὶ ἐν μνήματι καινῷ* ἄνθρωποι ἔθεντο θνητοί* τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον·* ὅθεν δεσμευθεὶς* ὁ ἀλλότριος* θάνατος δεινῶς* ἐσκυλεύετο,* καὶ οἱ ἐν ᾅδῃ ἅπαντες ἐκραύγαζον* τῇ ζωηφόρῳ ἐγέρσει σου·* Χριστὸς ἀνέστη* ὁ ζωοδότης* μένων εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον, αὐτόμελον.

Κατεπλάγη Ἰωσὴφ* τὸ ὑπὲρ φύσιν θεωρῶν* καὶ ἐλάμβανεν εἰς νοῦν* τὸν ἐπὶ πόκον ὑετὸν* ἐν τῇ ἀσπόρῳ συλλήψει σου, Θεοτόκε,* βάτον ἐν πυρὶ* ἀκατάφλεκτον,* ῥάβδον Ἀαρὼν* τὴν βλαστήσασαν·* καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ* τοῖς ἱερεῦσιν ἐκραύγαζε·* Παρθένος τίκτει,* καὶ μετὰ τόκον* πάλιν μένει παρθένος.

Μετὰ τὴν β΄ στιχολογίαν, ἕτερα. (Ταχὺ προκατάλαβε).

Ἀνέστης ὡς ἀθάνατος* ἀπὸ τοῦ ᾅδου, Σωτήρ,* συνήγειρας τὸν κόσμον σου* τῇ ἀναστάσει τῇ σῇ,* Χριστὲ ὁ Θεὸς ἡμῶν·* ἔθραυσας ἐν ἰσχύϊ* τοῦ θανάτου τὸ κράτος·* ἔδειξας, ἐλεῆμον,* τὴν ἀνάστασιν πᾶσι·* διό σε καὶ δοξάζομεν,* μόνε φιλάνθρωπε.

Δόξα. (Κατεπλάγη Ἰωσήφ).

Ἐκ τῶν ἄνω κατελθὼν* τῶν ὑψωμάτων Γαβριὴλ* καὶ τῇ πέτρᾳ προσελθών,* ἔνθα ἡ πέτρα τῆς ζωῆς,* λευχειμονῶν ἀνεκραύγαζε ταῖς κλαιούσαις·* Παύσασθε ὑμεῖς*

τῆς θρηνώδους κραυγῆς,* ἔχουσαι ἀεὶ* τὸ εὐσυμπάθητον·* ὃν γὰρ ζητεῖτε κλαίουσαι, θαρσεῖτε,* ὡς ἀληθῶς ἐξεγήγερται·* διὸ βοᾶτε* τοῖς ἀποστόλοις,* ὅτι ἀνέστη ὁ Κύριος.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Κατεπλάγησαν, ἀγνή,* πάντες ἀγγέλων οἱ χοροί* τὸ μυστήριον τῆς σῆς* κυοφορίας τὸ φρικτόν·* πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ* ἀγκάλαις ὡς βροτὸς* ταῖς σαῖς συνέχεται,* καὶ δέχεται ἀρχὴν* ὁ προαιώνιος,* καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων* πνοὴν ἀφάτῳ χρηστότητι;* καὶ σὲ ὡς ὄντως* Θεοῦ Μητέρα* εὐφημοῦντες δοξάζουσιν.

Μετὰ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια, ἡ ὑπακοή.

Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως* προδραμοῦσαι αἱ μυροφόροι* τοῖς ἀποστόλοις ἐκήρυττον, Χριστέ,* ὅτι ἀνέστης ὡς Θεός,* παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου* πολλὰ πολεμεῖ με πάθη·* ἀλλ' αὐτὸς ἀντιλαβοῦ* καὶ σῶσον, Σωτήρ μου.

Οἱ μισοῦντες Σιών,* αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου·* ὡς χόρτος γὰρ πυρὶ* ἔσεσθε ἀπεξηραμμένοι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* πᾶσα ψυχὴ ζωοῦται* καὶ καθάρσει ὑψοῦται,* λαμπρύνεται* τῇ τριαδικῇ Μονάδι* ἱεροκρυφίως.

Ἀντίφωνον Β΄.

Ἐκέκραξά σοι, Κύριε,* θερμῶς ἐκ βάθους ψυχῆς μου·* κἀμοὶ γενέσθω* πρὸς ὑπακοὴν τὰ θεῖά σου ὦτα.

Ἐπὶ τὸν Κύριον ἐλπίδα* πᾶς τις κεκτημένος* ὑψηλότερός ἐστι* πάντων τῶν λυπούντων.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα* ἀρδεύοντα ἅπασαν τὴν κτίσιν* πρὸς ζωογονίαν.

Ἀντίφωνον Γ'.

Ἡ καρδία μου πρὸς σέ,* Λόγε, ὑψωθήτω,* καὶ οὐδὲν θέλξει με* τῶν τοῦ κόσμου τερπνῶν* πρὸς χαμαιζηλίαν.

Ἐπὶ τὴν μητέρα αὐτοῦ* ὡς ἔχει τις στοργήν,* ἐπὶ τῷ Κυρίῳ θερμότερον* φίλτρον χρεωστοῦμεν.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* θεογνωσίας πλοῦτος,* θεωρίας καὶ σοφίας·* πάντα γὰρ ἐν τούτῳ* τὰ πατρῷα δόγματα* ὁ Λόγος ἐκκαλύπτει.

Προκείμενον.

Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου.

Στίχ. Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.

Κανὼν ἀναστάσιμος. Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἦχος δ'. Ὠδὴ α'. Ὁ εἱρμός.

Θαλάσσης* τὸ ἐρυθραῖον πέλαγος* ἀβρόχοις ἴχνεσιν* ὁ παλαιὸς πεζεύσας Ἰσραήλ,* σταυροτύποις Μωσέως χερσὶ* τοῦ Ἀμαλὴκ τὴν δύναμιν* ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Τροπάριο

Ὑψώθης* τὴν ἡμετέραν ἔκπτωσιν* ἐπανορθούμενος,* ἐν τῷ ἀχράντῳ ξύλῳ τοῦ Σταυροῦ* τὴν ἐν ξύλῳ ἰώμενος* πανωλεθρίαν, Δέσποτα,* ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Ἐν τάφῳ* σωματικῶς, ἐν ᾅδῃ δὲ* μετὰ ψυχῆς ὡς Θεός,* ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ* καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ,* μετὰ Πατρὸς καὶ Πνεύματος,* πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Θεοτοκίον.

Ἀσπόρως* τῷ τοῦ Πατρὸς βουλήματι* ἐκ θείου Πνεύματος* τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν* καὶ σαρκὶ ἀπεκύησας* τὸν ἐκ Πατρὸς ἀμήτορα* καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Εὐφραίνεται ἐπὶ σοὶ* ἡ Ἐκκλησία σου, Χριστέ, κράζουσα·* Σύ μου ἰσχύς, Κύριε,* καὶ καταφυγὴ καὶ στερέωμα.

Τροπάρια.

Τὸ ξύλον τὸ τῆς ζωῆς,* ἡ νοητὴ καὶ ἀληθὴς ἄμπελος,* ἐπὶ Σταυροῦ κρέμαται,* πᾶσιν ἀμβροσίαν πηγάζουσα.

Ὡς μέγας, ὡς φοβερός,* ὡς τὸ τοῦ ᾅδου καθελὼν φρύαγμα* καὶ ὡς Θεὸς ἄφθαρτος* νῦν σωματικῶς ἐξεγήγερται.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς* τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος,* Μῆτερ Θεοῦ, γέγονας·* ὅθεν σοι τὸ Χαῖρε προσάγομεν.

Κοντάκιον. (Ἐπεφάνης σήμερον).

Ὁ Σωτὴρ καὶ ῥύστης μου* ἀπὸ τοῦ τάφου* ὡς Θεὸς ἀνέστησεν* ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς* καὶ πύλας ᾅδου συνέτριψε* καὶ ὡς Δεσπότης* ἀνέστη τριήμερος.

Ὁ οἶκος.

Τὸν ἀναστάντα ἐκ νεκρῶν* Χριστὸν τὸν ζωοδότην* τριήμερον ἐκ τάφου,* καὶ πύλας τοῦ θανάτου* σήμερον συνθλάσαντα* τῇ δυνάμει τῇ αὐτοῦ,* τὸν ᾅδην τε νεκρώσαντα* καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα* καὶ τὸν Ἀδὰμ* σὺν τῇ Εὔᾳ ἐλευθερώσαντα* ὑμνήσωμεν πάντες οἱ γηγενεῖς,* εὐχαρίστως βοῶντες αἶνον ἐκτενῶς.* Αὐτὸς γὰρ ὡς μόνος κραταιὸς* Θεὸς καὶ Δεσπότης* ἀνέστη τριήμερος.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα. Ἦχος δ΄.

Ὁ σταυρὸν ὑπομείνας καὶ θάνατον* καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν,* παντοδύναμε Κύριε,* δοξάζομέν σου τὴν ἀνάστασιν.

Ἐν τῷ Σταυρῷ σου, Χριστέ,* τῆς ἀρχαίας κατάρας* ἠλευθέρωσας ἡμᾶς,* καὶ ἐν τῷ θανάτῳ σου* τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα* διάβολον κατήργησας·* ἐν δὲ τῇ ἐγέρσει σου* χαρᾶς τὰ πάντα ἐπλήρωσας·* διὸ βοῶμέν σοι·* Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* Κύριε, δόξα σοι.

Τῷ σῷ Σταυρῷ, Χριστὲ Σωτήρ,* ὁδήγησον ἡμᾶς* ἐπὶ τὴν ἀλήθειάν σου* καὶ ῥῦσαι ἡμᾶς* τῶν παγίδων τοῦ ἐχθροῦ·* ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* ἀνάστησον ἡμᾶς* πεσόντας τῇ ἁμαρτίᾳ,* ἐκτείνας τὴν χεῖρά σου,* φιλάνθρωπε Κύριε,* τῇ πρεσβείᾳ τῶν ἁγίων σου.

Τῶν πατρικῶν σου κόλπων* μὴ χωρισθείς, μονογενὲς* Λόγε τοῦ Θεοῦ,* ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν,* ἄνθρωπος γενόμενος ἀτρέπτως,* καὶ σταυρὸν καὶ θάνατον* ὑπέμεινας σαρκὶ* ὁ ἀπαθὴς τῇ θεότητι·* ἀναστὰς δὲ ἐκ νεκρῶν* ἀθανασίαν παρέσχες* τῷ γένει τῶν ἀνθρώπων* ὡς μόνος παντοδύναμος.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Θάνατον κατεδέξω σαρκί,* ἡμῖν ἀθανασίαν* πραγματευσάμενος, Σωτήρ·* καὶ ἐν τάφῳ ᾤκησας,* ἵνα ἡμᾶς τοῦ ᾅδου ἐλευθερώσῃς* συναναστήσας ἑαυτῷ,* παθῶν μὲν ὡς ἄνθρωπος,* ἀλλ' ἀναστὰς ὡς Θεός·* διὰ τοῦτο βοῶμεν·* Δόξα σοι, ζωοδότα Κύριε,* μόνε φιλάνθρωπε.

Πέτραι ἐσχίσθησαν, Σωτήρ,* ὅτε ἐν τῷ Κρανίῳ* ὁ Σταυρός σου ἐπάγη·* ἔφριξαν ᾅδου πυλωροί,* ὅτε ἐν τῷ μνημείῳ* ὡς θνητὸς κατετέθης·* καὶ γὰρ τοῦ θανάτου* καταργήσας τὴν ἰσχὺν* τοῖς τεθνεῶσι πᾶσιν* ἀφθαρσίαν παρέσχες* τῇ ἀναστάσει σου, Σωτήρ.* Ζωοδότα Κύριε, δόξα σοι.

Ἐπεθύμησαν γυναῖκες* ἰδεῖν σου τὴν ἀνάστασιν,* Χριστὲ ὁ Θεός·* ἦλθε προλαβοῦσα* Μαρία ἡ Μαγδαληνή,*

εὗρε τὸν λίθον* ἀποκυλισθέντα τοῦ μνήματος,* καὶ τὸν ἄγγελον* καθεζόμενον καὶ λέγοντα·* Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;* ἀνέστη ὡς Θεός,* ἵνα σώσῃ τὰ σύμπαντα.

Ποῦ ἐστιν Ἰησοῦς,* ὃν ἐλογίσασθε φυλάττειν;* εἴπατε, Ἰουδαῖοι·* ποῦ ἐστιν,* ὃν ἐθήκατε ἐν τῷ μνήματι* τὸν λίθον σφραγίσαντες;* δότε τὸν νεκρόν,* οἱ τὴν ζωὴν ἀρνησάμενοι·* δότε τὸν ταφέντα* ἢ πιστεύσατε τῷ ἀναστάντι·* κἂν ὑμεῖς σιγήσητε,* τοῦ Κυρίου τὴν ἔγερσιν* οἱ λίθοι κεκράξονται,* μάλιστα ὁ ἀποκυλισθεὶς* ἐκ τοῦ μνήματος.* Μέγα σου τὸ ἔλεος!* μέγα τὸ μυστήριον* τῆς οἰκονομίας σου!* Σωτὴρ ἡμῶν, δόξα σοι.

Δόξα. Τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη κ.τ.λ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοί.

Ἦχος δ΄.

Διὰ ξύλου ὁ Ἀδὰμ* παραδείσου γέγονεν ἄποικος·* διὰ ξύλου δὲ Σταυροῦ* ὁ ληστὴς παράδεισον ᾤκησεν·* ὁ μὲν γὰρ γευσάμενος* ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος,* ὁ δὲ συσταυρούμενος* Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον,* Μνήσθητί μου, βοῶν,* ἐν τῇ βασιλείᾳ σου.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ* καὶ τοῦ θανάτου λύσας τὴν δύναμιν* καὶ ἐξαλείψας ὡς Θεὸς* τὸ καθ' ἡμῶν χειρόγραφον, Κύριε,* λῃστοῦ τὴν μετάνοιαν* καὶ ἡμῖν παράσχου, μόνε φιλάνθρωπε,* τοῖς πίστει λατρεύουσι,* Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ βοῶσί σοι·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Τὸ χειρόγραφον ἡμῶν* ἐν τῷ Σταυρῷ τῇ λόγχῃ διέῤῥηξας* καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς* τὸν ἐκεῖσε τύραννον ἔδησας,* ῥυσάμενος ἅπαντας* ἐκ δεσμῶν τοῦ ᾅδου τῇ ἀναστάσει σου,* δι' ἧς ἐφωτίσθημεν,* φιλάνθρωπε Κύριε, καὶ βοῶμέν σοι·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Ὁ σταυρωθεὶς καὶ ἀναστὰς* ὡς δυνατὸς ἐκ τάφου τριήμερος* καὶ τὸν πρωτόπλαστον Ἀδὰμ* ἐξαναστήσας, μόνε ἀθάνατε,* κἀμὲ εἰς μετάνοιαν* ἐπιστρέψαι, Κύριε, καταξίωσον* ἐξ ὅλης καρδίας μου* καὶ ἐν θερμῇ τῇ πίστει ἀεὶ κραυγάζειν σοι·* Μνήσθητί μου, Σωτήρ,* ἐν τῇ βασιλείᾳ σου.

Δι' ἡμᾶς ὁ ἀπαθὴς* παθητὸς ἐγένετο ἄνθρωπος* καὶ ἐν μνήματι τεθεὶς* καὶ ἀναστὰς ἡμᾶς συνανέστησε·* διὸ καὶ δοξάζομεν* σὺν τῷ Σταυρῷ τὸ πάθος καὶ τὴν ἀνάστασιν,* δι' ὧν ἀνεπλάσθημεν,* δι' ὧν καὶ σῳζόμεθα ἀνακράζοντες·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Τὸν ἀναστάντα ἐκ νεκρῶν* καὶ τὸ τοῦ ᾅδου κράτος σκυλεύσαντα* καὶ ὁραθέντα γυναιξὶ* μυροφόροις λέγοντα, Χαίρετε,* πιστοὶ δυσωπήσωμεν* ἐκ φθορᾶς λυτρώσασθαι τὰς ψυχὰς ἡμῶν,* κραυγάζοντες πάντοτε* λῃστοῦ τοῦ εὐγνώμονος τὴν φωνὴν πρὸς αὐτόν·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Δόξα. Τριαδικόν.

Τὸν Πατέρα καὶ Υἱὸν* καὶ τὸ Πνεῦμα πάντες τὸ ἅγιον* ὁμοφρόνως οἱ πιστοὶ* δοξολογεῖν ἀξίως εὐξώμεθα,* Μονάδα θεότητος* ἐν τρισὶν ὑπάρχουσαν ὑποστάσεσιν,* ἀσύγχυτον μένουσαν,* ἁπλῆν ἀδιαίρετον καὶ ἀπρόσιτον,* δι' ἧς ἐκλυτρούμεθα* τοῦ πυρὸς τῆς κολάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Μητέρα σου, Χριστέ,* τὴν ἐν σαρκὶ ἀσπόρως τεκοῦσάν σε* καὶ Παρθένον ἀληθῶς* καὶ μετὰ τόκον μείνασαν ἄφθορον,* αὐτὴν σοι προσάγομεν* εἰς πρεσβείαν, Δέσποτα πολυέλεε,* πταισμάτων συγχώρησιν* δωρήσασθαι πάντοτε τοῖς βοῶσί σοι·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

ΗΧΟΣ ΠΛ. Α΄.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν

Στιχηρὰ ἀναστάσιμα. Ἦχος πλ. α΄.

Διὰ τοῦ τιμίου σου Σταυροῦ, Χριστέ,* διάβολον ἴσχυνας* καὶ διὰ τῆς ἀναστάσεώς σου* τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας* καὶ ἔσωσας ἡμᾶς* ἐκ τῶν πυλῶν τοῦ θανάτου.* Δοξάζομέν σε, Μονογενές.

Ὁ τὴν ἀνάστασιν διδοὺς* τῷ γένει τῶν ἀνθρώπων* ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη* ἔφριξαν τοῦτον* οἱ ἄρχοντες τοῦ ᾅδου* καὶ ἐπήρθησαν πύλαι ὀδυνηραί* εἰσελήλυθε γὰρ* ὁ βασιλεὺς τῆς δόξης Χριστός,* λέγων τοῖς ἐν δεσμοῖς* Ἐξέλθετε,* καὶ τοῖς ἐν τῷ σκότει* Ἀνακαλύπτεσθε.

Μέγα θαῦμα!* ὁ τῶν ἀοράτων κτίστης* διὰ φιλανθρωπίαν σαρκὶ παθὼν* ἀνέστη ὁ ἀθάνατος.* Δεῦτε, πατριαὶ τῶν ἐθνῶν,* τοῦτον προσκυνήσωμεν* τῇ γὰρ αὐτοῦ εὐσπλαγχνίᾳ* ἐκ πλάνης ῥυσθέντες,* ἐν τρισὶν ὑποστάσεσιν* ἕνα Θεὸν ὑμνεῖν μεμαθήκαμεν.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Ἑσπερινὴν προσκύνησιν* προσφέρομέν σοι τῷ ἀνεσπέρῳ φωτί,* τῷ ἐπὶ τέλει τῶν αἰώνων* ὡς ἐν ἐσόπτρῳ διὰ σαρκὸς* λάμψαντι τῷ κόσμῳ* καὶ μέχρις ᾅδου κατελθόντι* καὶ τὸ ἐκεῖσε σκότος λύσαντι* καὶ τὸ φῶς τῆς ἀναστάσεως* τοῖς ἔθνεσι δείξαντι.* Φωτοδότα Κύριε, δόξα σοι.

Τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν* Χριστὸν δοξολογήσωμεν* αὐτοῦ γὰρ ἐκ νεκρῶν ἀναστάντος,* κόσμος ἐκ πλάνης σέσωσται* χαίρει χορὸς ἀγγέλων,* φεύγει δαιμόνων πλάνη* Ἀδὰμ πεσὼν ἀνίσταται* διάβολος κατήργηται.

Οἱ τῆς κουστωδίας ἐνηχοῦντο* ὑπὸ τῶν παρανόμων·* Καλύψατε Χριστοῦ τὴν ἔγερσιν* καὶ λάβετε ἀργύρια καὶ εἴπατε,* ὅτι ἡμῶν κοιμωμένων* ἐκ τοῦ μνημείου ἐσυλήθη ὁ νεκρός.* Τίς εἶδε, τίς ἤκουσε* νεκρὸν κλαπέντα ποτέ;* μάλιστα ἐσμυρνισμένον καὶ γυμνόν,* καταλιπόντα καὶ ἐν τῷ τάφῳ* τὰ ἐντάφια αὐτοῦ;* Μὴ πλανᾶσθε, Ἰουδαῖοι·* μάθετε τὰς ῥήσεις* τῶν προφητῶν, καὶ γνῶτε,* ὅτι αὐτός ἐστιν ἀληθῶς* ὁ Λυτρωτὴς τοῦ κόσμου* καὶ παντοδύναμος.

Κύριε,* ὁ τὸν ᾅδην σκυλεύσας* καὶ τὸν θάνατον πατήσας,* Σωτὴρ ἡμῶν,* ὁ φωτίσας τὸν κόσμον* τῷ Σταυρῷ τῷ τιμίῳ,* ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ* τῆς ἀπειρογάμου νύμφης* εἰκὼν διεγράφη ποτέ.* Ἐκεῖ Μωϋσῆς* διαιρέτης τοῦ ὕδατος,* ἐνθάδε Γαβριὴλ* ὑπηρέτης τοῦ θαύματος·* τότε τὸν βυθὸν* ἐπέζευσεν ἀβρόχως Ἰσραήλ,* νῦν δὲ τὸν Χριστὸν* ἐγέννησεν ἀσπόρως ἡ Παρθένος·* ἡ θάλασσα* μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ* ἔμεινεν ἄβατος·* ἡ ἄμεμπτος* μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ* ἔμεινεν ἄφθορος.* Ὁ ὢν καὶ προῶν* καὶ φανεὶς ὡς ἄνθρωπος Θεός,* ἐλέησον ἡμᾶς.

Ἀπόστιχα ἀναστάσιμα. Ἦχος πλ. α΄.

Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστὸν* καὶ τῶν οὐρανῶν μὴ χωρισθέντα* ἐν φωναῖς ἀσμάτων μεγαλύνομεν,* ὅτι σταυρὸν καὶ θάνατον κατεδέξω* διὰ τὸ γένος ἡμῶν* ὡς φιλάνθρωπος Κύριος·* σκυλεύσας ᾅδου πύλας* τριήμερος ἀνέστης,* σῴζων τὰς ψυχὰς ἡμῶν.

Τὰ κατ' ἀλφάβητον.

Νυγείσης σου τῆς πλευρᾶς, ζωοδότα,* κρουνοὺς ἀφέσεως πᾶσιν ἐξέβλυσας,* ζωῆς καὶ σωτηρίας·* σαρκὶ δὲ θάνατον κατεδέξω,* ἀθανασίαν ἡμῖν δωρούμενος·* οἰκήσας τάφῳ δὲ* ἡμᾶς ἠλευθέρωσας,* συναναστήσας ἑαυτῷ* ἐνδόξως ὡς Θεός·* διὰ τοῦτο βοῶμεν·* Φιλάνθρωπε Κύριε, δόξα σοι.

Ξένη σου ἡ σταύρωσις* καὶ ἡ ἐν ᾅδου κάθοδος,* φιλάνθρωπε, ὑπάρχει·* σκυλεύσας γὰρ αὐτὸν* καὶ τοὺς πάλαι δεσμίους* συναναστήσας ἑαυτῷ* ἐνδόξως ὡς Θεός,* τὸν παράδεισον ἀνοίξας* ἀπολαβεῖν τούτου ἠξίωσας·* διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι* τὴν σὴν τριήμερον ἔγερσιν* δῶρησαι ἱλασμὸν ἁμαρτιῶν,* παραδείσου οἰκήτορας καταξιῶν* ὡς μόνος εὔσπλαγχνος.

Ὁδι' ἡμᾶς σαρκὶ πάθος δεξάμενος* καὶ τριήμερος ἐκ νεκρῶν ἀναστάς,* τῆς σαρκὸς ἡμῶν τὰ πάθη θεράπευσον* καὶ ἀνάστησον ἐκ πταισμάτων χαλεπῶν,* φιλάνθρωπε,* καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ναὸς καὶ πύλη ὑπάρχεις,* παλάτιον καὶ θρόνος τοῦ βασιλέως,* Παρθένε πάνσεμνε·* δι' ἧς ὁ λυτρωτὴς μου* Χριστὸς ὁ Κύριος* τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν,* ἥλιος ὑπάρχων δικαιοσύνης,* φωτίσαι θέλων, οὓς ἔπλασε* κατ' εἰκόνα ἰδίαν* χειρὶ τῇ ἑαυτοῦ.* Διό, πανύμνητε,* ὡς μητρικὴν παῤῥησίαν* πρὸς αὐτὸν κεκτημένη,* ἀδιαλείπτως πρέσβευε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον ἀναστάσιμον. Αὐτόμελον.

Τὸν συνάναρχον Λόγον* Πατρὶ καὶ Πνεύματι,* τὸν ἐκ Παρθένου τεχθέντα* εἰς σωτηρίαν ἡμῶν,* ἀνυμνήσωμεν, πιστοί,* καὶ προσκυνήσωμεν·* ὅτι ηὐδόκησε σαρκὶ* ἀνελθεῖν ἐν τῷ Σταυρῷ* καὶ θάνατον ὑπομεῖναι* καὶ ἐγεῖραι τοὺς τεθνεῶτας* ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Θεοτοκίον, ὅμοιον

Χαῖρε, πύλη Κυρίου* ἡ ἀδιόδευτος·* χαῖρε, τεῖχος καὶ σκέπη* τῶν προστρεχόντων εἰς σέ·* χαῖρε, ἀχείμαστε λιμὴν* καὶ ἀπειρόγαμε·* ἡ τεκοῦσα ἐν σαρκὶ* τὸν ποιητήν σου καὶ Θεόν,* πρεσβεύουσα μὴ ἐλλίπῃς* ὑπὲρ τῶν ἀνυμνούντων* καὶ προσκυνούντων τὸν τόκον σου.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανὼν τριαδικὸς ἔχων ἀκροστιχίδα.
Κανὼν ὁ πέμπτος φωτὶ τῷ τρισηλίῳ.
Ποίημα Μητροφάνους Σμύρνης.

Ἦχος πλ. α΄. Ὠδὴ α΄. (Ἵππον καὶ ἀναβάτην).

Κράτος τῆς ἐνιαίας* καὶ τρισηλίου μορφῆς* ἀνυμνοῦντες βοῶμεν* Τὸν νοῦν ἡμῶν καταύγασον,* Θεὲ παντοδύναμε,* καὶ πρὸς τὴν σήν, Δέσποτα,* μετεώρισον δόξαν ἄφραστον.

Ἄνω σε τῶν ἀγγέλων* διάκοσμοι νοεροὶ* ἀσιγήτως ὑμνοῦσιν* ἐν τρισαγίοις ἄσμασι* Μονάδα τρισάριθμον* καὶ Τριάδα σύμμορφον,* ὑπερούσιον, παντοδύναμον.

Νέκταρ τῆς σῆς ἀγάπης,* γλυκύτατον, φωτουργὸν* τῇ ψυχῇ μου παράσχου,* Τριὰς Μονὰς ἀρχίφωτε,* καὶ θείαν κατάνυξιν* καθαρτικήν, Δέσποτα* πολυέλεε πάσης κτίσεως.

Θεοτοκίον.

Ὥσπερ ἐπὶ τὸν πόκον* κατῆλθεν ἀψοφητὶ* οὐρανόθεν, Παρθένε,* ὁ ὑετὸς ἐν μήτρᾳ σου* ὁ θεῖος καὶ ἔσωσε* ξηρανθεῖσαν ἅπασαν* τῶν ἀνθρώπων τὴν φύσιν, ἄχραντε.

Ὠδὴ γ΄. (Ὁ πήξας ἐπ᾽ οὐδενός).

Νοήσας* τὰς νοερὰς οὐσίας ὑπέστησας* ὑμνῳδοὺς ἀπαύστους τῆς σῆς θεότητος,* τρίφωτε Θεὲ καὶ παντουργέ·* ἀλλὰ καὶ τῶν πηλίνων* καὶ γηγενῶν δέξαι τὴν δέησιν* καὶ τὴν ἱκεσίαν ὡς εὔσπλαγχνος.

Ὁπάσης* κατὰ φύσιν τροπῆς ἀπαράδεκτος,* τοῖς ἀλλοιουμένοις ἡμῖν καὶ μέλπουσι* τὴν ἀνεξιχνίαστον πηγὴν* τῆς σῆς ἀγαθωσύνης* πλημμελημάτων δὸς συγχώρησιν* καὶ τὴν σωτηρίαν ὡς εὔσπλαγχνος.

Πατέρα* καὶ τὸν Υἱὸν καὶ Πνεῦμα δοξάζομεν* ἐν ἀπαραλλάκτῳ μορφῇ θεότητος,* σὲ τὸν ἑνικὸν καὶ τριλαμ-

μπῆ* Κύριον τῶν ἁπάντων,* ὡς οἱ προφῆται καὶ ἀπόστολοι* παρὰ σοῦ σαφῶς ἐδιδάχθησαν.

Θεοτοκίον.

Ἐφάνης* τῷ Μωϋσῇ ἐν βάτῳ ὡς ἄγγελος* βουλῆς τῆς μεγάλης τοῦ παντοκράτορος* σοῦ τὴν ἐκ Παρθένου προδηλῶν* σάρκωσιν, Θεοῦ Λόγε,* δι' ἧς ἡμᾶς μετεστοιχείωσας* καὶ πρὸς οὐρανοὺς ἀνεβίβασας.

Κάθισμα. (Τὸν συνάναρχον Λόγον).

Ἐλεήμων ὑπάρχεις,* Τριὰς ἀμέριστε·* ἐλεεῖς γὰρ τοὺς πάντας* ὡς παντοδύναμος* καὶ πανοικτίρμων, συμπαθὴς* καὶ πολυέλεος·* διὸ προσφεύγομεν πρὸς σὲ* οἱ ἁμαρτήμασι πολλοῖς* βαρούμενοι, κεκραγότες·* Ἴλάσθητι τοῖς σοῖς δούλοις* καὶ ῥῦσαι πάντας πάσης κολάσεως.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παναγία Παρθένε,* ἡμᾶς ἐλέησον* τοὺς προσφεύγοντας πίστει* εἰς σὲ τὴν εὐσπλαγχνον* καὶ αἰτουμένους τὴν θερμήν σου* νῦν ἀντίληψιν·* δύνασαι γὰρ ὡς ἀγαθὴ* τοὺς πάντας σῴζειν, ὡς οὖσα* Μήτηρ Θεοῦ τοῦ ὑψίστου,* ταῖς μητρικαῖς σου πρεσβείαις* ἀεὶ χρωμένη θεοχαρίτωτε.

Ὠδὴ δ΄. (Τὴν θείαν ἐννοήσας σου).

Μυεῖται τῆς μιᾶς κυριότητος* τὸ τριφαὲς ὁ Δανιήλ,* Χριστὸν κριτὴν θεασάμενος* πρὸς τὸν Πατέρα ἰόντα,* καὶ Πνεῦμα τὸ προφαῖνον τὴν ὅρασιν. (Δίς)

Πηλίνοις τοὺς ὑμνοῦντάς σε στόμασι* τὸν ὑπερούσιον Θεόν,* τριαδικὸν ὑποστάσεσι,* μοναδικόν τε τῇ φύσει,* τῆς δόξης τῶν ἀγγέλων ἀξίωσον.

Θεοτοκίον.

Τὸ ὄρος τὸ δασὺ καὶ κατάσκιον,* ὃ εἶδε πρὶν ὁ Ἀββακούμ,* ἐξ οὗ προῆλθεν ὁ ἅγιος,* τὸν δυσθεώρητον τόκον* ἐδήλου σῆς, Παρθένε, συλλήψεως.

Ὠδὴ ε΄. (Ὁ ἀναβαλλόμενος).

Ὀδι᾽ ἀγαθότητα* κτίσας τὸν ἄνθρωπον* καὶ κατ᾽ εἰκόνα* τὴν σὴν ποιήσας,* ἐν ἐμοὶ κατοίκησον,* τρίφωτε Θεέ μου,* ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος.

Σύ με καθοδήγησον,* Μονὰς τρισήλιε,* πρὸς τρίβους θείας* τῆς σωτηρίας,* καὶ τῆς σῆς ἐλλάμψεως* πλήρωσον ὡς φύσει* Θεὸς ἀπειροδύναμος.

Φῶς τὸ ἀδιαίρετον* τῆς μιᾶς φύσεως,* μεμερισμένον* τοῖς χαρακτῆρσι,* τριλαμπές, ἀνέσπερον,* τὴν ἐμὴν καρδίαν* καταύγασον ταῖς αἴγλαις σου.

Θεοτοκίον.

Ὡς κατεῖδε πάλαι σε,* ἁγνὴ πανάχραντε,* ὁ ὑποφήτης* βλέπουσαν πύλην* πρὸς τὸ φῶς τὸ ἄδυτον,* εὐθύς σε ἐπέγνω* Θεοῦ κατοικητήριον.

Ὠδὴ ς΄. (Μαινομένην κλύδωνι).

Τριφαὴς ὑπάρχουσα,* θεαρχία,* ὑποστατικῶς,* ἐνιαία πέφυκας, ὡς σύμμορφος* καὶ ἰσουργὸς* καὶ κατ᾽ οὐσίαν καὶ βούλησιν. (Δὶς)

Ἱκανῶς ἐδήλωσεν* ὁ προφήτης* ᾄδων τῷ Πατρί* Σῷ φωτὶ ὀψόμεθα, τῷ Πνεύματι,* φῶς τὸν Υἱόν,* ἕνα Θεὸν τὸν τρισήλιον.

Θεοτοκίον.

Τῶν πταισμάτων λύτρωσιν* καὶ κινδύνων,* Δέσποτα Θεέ,* ἐνικὲ καὶ τρίφωτε, κατάπεμψον* σοῖς ὑμνηταῖς* πρεσβείαις τῆς Θεομήτορος.

Κάθισμα. (Τὸν συνάναρχον Λόγον).

Τὸ τρισήλιον σέλας* δοξολογήσωμεν* καὶ ἁπλῆν τὴν Τριάδα* νῦν προσκυνήσωμεν* ὅτι ἐφώτισεν ἡμᾶς* καὶ ἠλέησε* καὶ ἐρρύσατο φθορᾶς* τὸ γένος ἅπαν τῶν βροτῶν,* λυτρώσασα ἐκ τῆς πλάνης* εἰδώλων πάντα τὸν κόσμον,* καὶ βασιλείαν ἡμῖν παρέσχετο.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἀπορήσας ἐκ πάντων* πρὸς σὲ κατέφυγον,* τὴν ἐλπίδα ἀπάντων* καὶ τὸ προσφύγιον* ἁμαρτωλῶν καὶ ταπεινῶν,* κράζων τὸ Ἥμαρτον* ἀλλ᾽ ἐπιμένω τοῖς χείροσιν* ἀναισθητῶν ὁ ἄθλιος* ἐλέησόν με πρὸ τέλους,* ἐπίστρεψόν με καὶ ῥῦσαι* πάσης κολάσεως τὸν ἀνάξιον.

Ὠδὴ ζ΄. (Ὁ ὑπερυψούμενος).

Ὡς ἐλέους ἄβυσσον* κεκτημένος, Κύριε,* καὶ πέλαγος ἄπειρον,* οἰκτίρμον, ἐλέησον* τοὺς ἕνα σε ὑμνοῦντας* τριλαμπῆ Θεὸν τῶν ὅλων. (Δίς).

Τὸν ἀπερινόητον* ἑνικὸν καὶ τρίφωτον* Θεόν σε καὶ Κύριον,* ὑμνοῦντες βοῶμέν σοι* Παράσχου τοῖς σοῖς δούλοις* ἱλασμὸν ἁμαρτημάτων.

Θεοτοκίον.

Ῥάδαμνον ἐβλάστησας* τῷ Πατρὶ συνάναρχον,* ἄνθος τῆς θεότητος,* βλαστὸν συναΐδιον,* Παρθένε, τὸν διδόντα* τὴν ζωὴν πᾶσιν ἀνθρώποις.

Ὠδὴ η΄. (Σοὶ τῷ παντουργῷ).

Ἵνα τῆς μιᾶς* ἀνακαλύψῃς πάλαι* σαφῶς κυριότητος* τριττὴν ὑπόστασιν,* ὤφθης, Θεέ μου,* ἐν σχήματι ἀνθρώπων* Ἀβραὰμ ὑμνοῦντι* σὸν κράτος ἐνιαῖον. (Δίς)

Σύ με πρὸς τὰς σὰς* θεουργικὰς ἀκτῖνας* δέρκειν καταξίωσον,* φῶς τὸ ἀπρόσιτον,* Πάτερ οἰκτίρμον* καὶ Λόγε καὶ τὸ Πνεῦμα,* τοῦ εὐαρεστεῖν σοι* ἀεί, Κύριε πάντων.

Θεοτοκίον.

Ἠστραψας ἡμῖν* τῆς τρισηλίου δόξης* τὸν ἕνα, πανύμνητε,* Χριστὸν τὸν Κύριον,* πάντας μυοῦντα* τὴν μίαν θεαρχίαν* ἐν τρισὶ προσώποις* ὑμνεῖν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. (Ἡσαΐα χόρευε).

Λαλιαί σε βρότειαι* κατ᾽ ἀξίαν, ἀναρχε μονάς,* οὐ σθένουσιν ὑμνεῖν* πλήν, ὡς ἐφικτόν,* τολμῶντες ἐκ πί-

στεως,* θεαρχικὴ σύνθρονε Τριάς,* δόξαν προσφέρομεν* τῷ σῷ κράτει καὶ τὴν αἴνεσιν. (Δὶς)

Ἰσορρόπῳ δόξῃ σε* τὸν μονάρχην τρίφωτον Θεὸν* δοξάζει τὰ Χερουβὶμ* καὶ τὰ Σεραφὶμ* ἀχράντοις ἐν στόμασι·* μεθ' ὧν ἡμᾶς τοὺς ἁμαρτωλοὺς* πρόσδεξαι, Κύριε,* τὸ σὸν κράτος μεγαλύνοντας.

Θεοτοκίον.

Ὡς ἁγνὴ καὶ ἄμωμος* καὶ παρθένος τέτοκας Υἱὸν* λυτρούμενον ἡμᾶς* ἀπὸ πειρασμῶν,* Θεὸν ἀναλλοίωτον·* ἀλλὰ καὶ νῦν ἄφεσιν ἡμῖν* τῶν παραπτώσεων* τοῦτον δοῦναι καθικέτευε.

Τὸ Ἄξιόν ἐστιν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα ἀναστάσιμα.
Ἦχος πλ. α΄. (Τὸν συνάναρχον Λόγον).

Τὸν Σταυρὸν τοῦ Κυρίου* ἐγκωμιάσωμεν,* τὴν ταφὴν τὴν ἁγίαν* ὕμνοις τιμήσωμεν* καὶ τὴν ἀνάστασιν αὐτοῦ* ὑπερδοξάσωμεν·* ὅτι συνήγειρε νεκροὺς* ἐκ τῶν μνημάτων ὡς Θεός,* σκυλεύσας κράτος θανάτου* καὶ ἰσχὺν διαβόλου,* καὶ τοῖς ἐν ᾅδῃ φῶς ἀνέτειλε.

Δόξα.

Κύριε,* νεκρὸς προσηγορεύθης* ὁ νεκρώσας τὸν θάνατον·* ἐν μνήματι ἐτέθης* ὁ κενώσας τὰ μνήματα·* ἄνω στρατιῶται* τὸν τάφον ἐφύλαττον,* κάτω τοὺς ἀπ' αἰῶνος* νεκροὺς ἐξανέστησας.* Παντοδύναμε καὶ ἀκατάληπτε* Κύριε, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον. (Τὸν συνάναρχον Λόγον).

Χαῖρε, ἅγιον ὄρος* καὶ θεοβάδιστον·* χαῖρε, ἔμψυχε βάτε* καὶ ἀκατάφλεκτε·* χαῖρε, ἡ μόνη πρὸς Θεὸν* κόσμου γέφυρα,* ἡ μετάγουσα θνητοὺς* πρὸς τὴν αἰώνιον ζωήν·* χαῖρε, ἀκήρατε Κόρη,* ἡ ἀπειράνδρως τεκοῦσα* τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν β΄ στιχολογίαν, ἕτερα.

Κύριε,* μετὰ τὴν τριῆμερόν σου ἀνάστασιν* καὶ τὴν τῶν ἀποστόλων προσκύνησιν* ὁ Πέτρος ἐβόα σοι·* Γυναῖκες ἀπετόλμησαν,* κἀγὼ ἐδειλίασα·* ληστὴς ἐθεολόγησε,* κἀγὼ ἠρνησάμην σε·* ἆρα καλέσεις με τοῦ λοιποῦ μαθητήν;* ἢ πάλιν δείξεις με ἁλιέα βυθοῦ;* Ἀλλὰ μετανοοῦντά με δέξαι,* ὁ Θεός, καὶ σῶσόν με.

Δόξα.

Κύριε,* ἐν μέσῳ σε προσήλωσαν* οἱ παράνομοι τῶν καταδίκων,* καὶ λόγχῃ τὴν πλευράν σου* ἐξεκέντησαν, ὦ ἐλεῆμον·* ταφὴν δὲ κατεδέξω,* ὁ λύσας ᾅδου τὰς πύλας,* καὶ ἀνέστης τριήμερος·* ἔδραμον γυναῖκες ἰδεῖν σε* καὶ ἀπήγγειλαν ἀποστόλοις τὴν ἔγερσιν.* Ὑπερυψούμενε Σωτήρ,* ὃν ὑμνοῦσιν ἄγγελοι,* εὐλογημένε Κύριε, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον. (Τὸν συνάναρχον Λόγον).

Ἀπειρόγαμε νύμφη,* Θεογεννήτρια,* ἡ τῆς Εὔας τὴν λύπην* χαροποιήσασα,* ἀνυμνοῦμεν οἱ πιστοὶ* καὶ προσκυνοῦμέν σε,* ὅτι ἀνήγαγες ἡμᾶς* ἐκ τῆς ἀρχαίας ἀρᾶς·* καὶ νῦν δυσὼπει ἀπαύστως,* πανύμνητε Παναγία,* εἰς τὸ σωθῆναι ἡμᾶς.

Μετὰ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια, ἡ ὑπακοή.

Ἀγγελικῇ ὁράσει* τὸν νοῦν ἐκθαμβούμεναι* καὶ θεϊκῇ ἐγέρσει* τὴν ψυχὴν φωτιζόμεναι* αἱ μυροφόροι* τοῖς ἀποστόλοις εὐηγγελίζοντο·* Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι* τὴν ἀνάστασιν τοῦ Κυρίου* συνεργοῦντος τοῖς θαύμασι* καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον Α΄.

Ἐν τῷ θλίβεσθαί με* δαβιτικῶς ᾄδω σοι, Σωτήρ μου·* Ῥῦσαί μου τὴν ψυχὴν* ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς* ζωὴ μακαρία ἐστὶ* θεϊκῷ ἔρωτι πτερουμένοις.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* περικρατεῖται πάντα τὰ ὁρατά τε* σὺν τοῖς ἀοράτοις·* αὐτοκρατὲς γὰρ ὂν* τῆς Τριάδος ἐν ἐστιν ἀψεύστως.

Ἀντίφωνον Β'.

Εἰς τὰ ὄρη, ψυχή, ἀρθῶμεν·* δεῦρο ἐκεῖσε,* ὅθεν βοήθεια ἥκει.

Δεξιά σου χεὶρ* κἀμέ, Χριστέ, ἱπταμένη* σκαιωρίας πάσης* περιφυλαξάτω.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* θεολογοῦντες φῶμεν·* Σὺ εἶ Θεός,* ζωή, ἔρως, φῶς, νοῦς·* σὺ χρηστότης,* σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας.

Ἀντίφωνον Γ'.

Ἐπὶ τοῖς εἰρηκόσι μοι·* Εἰς τὰς αὐλὰς προσβῶμεν Κυρίου·* χαρᾶς πολλῆς πλησθεὶς* εὐχὰς ἀναπέμπω.

Ἐπὶ οἶκον Δαβὶδ* τὰ φοβερὰ τελεσιουργεῖται·* πῦρ γὰρ ἐκεῖ φλέγον* ἅπαντα αἰσχρὸν νοῦν.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* ζωαρχικὴ ἀξία,* ἐξ οὗ πᾶν ζῷον ἐμψυχοῦται,* ὡς ἐν Πατρὶ* ἅμα τε καὶ Λόγῳ.

Προκείμενον.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας.

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Κανὼν ἀναστάσιμος. Ποίημα Ἰωάννου μοναχοῦ.
Ἦχος πλ. α'. Ὠδὴ α'. Ὁ εἱρμός.

Ἵππον καὶ ἀναβάτην* εἰς θάλασσαν Ἐρυθρὰν* ὁ συντρίβων πολέμους* ἐν ὑψηλῷ βραχίονι* Χριστὸς ἐξετίναξεν,* Ἰσραὴλ δὲ ἔσωσεν* ἐπινίκιον ὕμνον ᾄδοντα.

Τροπάρια.

Σὲ ἡ ἀκανθηφόρος* Ἑβραίων συναγωγή,* οὐ στοργήν, εὐεργέτα,* πρὸς σὲ φυλάξασα μητρικήν,* Χριστέ, ἐστεφάνωσε,* τὸν γενάρχῃ λύοντα* τῆς ἀκάνθης τὸ ἐπιτίμιον.

Ἠγειράς με πεσόντα* τῷ βόθρῳ, ἐπικλιθείς,* ζωοδότα, ἀπτώτως·* καὶ τῆς ἐμῆς δυσώδους φθορᾶς,* Χριστέ, ἀνασχόμενος* ἀπειράστως, θείας* οὐσίας μύρῳ με εὐωδίασας.

Θεοτοκίον.

Λέλυται ἡ κατάρα,* ἡ λύπη πέπαυται·* ἡ γὰρ εὐλογημένη* καὶ κεχαριτωμένη πιστοῖς* χαρὰν ἐξανέτειλεν,* εὐλογίαν πᾶσιν* ἀνθηφοροῦσα Χριστὸν τοῖς πέρασι.

Ὠδὴ γ΄. Ὁ εἱρμός.

Ὁπῆξας* ἐπ᾽ οὐδενὸς τὴν γῆν τῇ προστάξει σου* καὶ μετεωρίσας ἀσχέτως βρίθουσαν,* ἐπὶ τὴν ἀσάλευτον, Χριστέ,* πέτραν τῶν ἐντολῶν σου* τὴν Ἐκκλησίαν σου στερέωσον,* μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Τροπάρια.

Χολὴν μὲν* οἱ ἐκ πέτρας τὸ μέλι θηλάσαντες* τῷ ἐν τῇ ἐρήμῳ τερατουργήσαντι* σοὶ προσενηνόχασι, Χριστέ·* ὄξος δ᾽ ἀντὶ τοῦ μάννα* εὐεργεσίαν σοι ἠμείψαντο* παῖδες Ἰσραὴλ οἱ ἀγνώμονες.

Οἱ πάλαι* φωτοειδεῖ νεφέλῃ σκεπόμενοι* τὴν ζωὴν ἐν τάφῳ Χριστὸν κατέθεντο·* ἀλλ᾽ αὐτεξουσίως ἀναστὰς* πᾶσι πιστοῖς παρέσχε* τῆν μυστικῶς ἐπισκιάζουσαν* ἄνωθεν τοῦ Πνεύματος ἔλλαμψιν.

Θεοτοκίον.

Σὺ Μήτηρ* Θεοῦ ἀσυνδυάστως γεγένησαι* τοῦ ἐξ ἀκηράτου Πατρὸς ἐκλάμψαντος* ἄνευθεν ὠδίνων μητρικῶν·* ὅθεν σε Θεοτόκον,* σεσαρκωμένον γὰρ ἐκύησας* Λόγον, ὀρθοδόξως κηρύττομεν.

Κοντάκιον. (Μιμητὴς ὑπάρχων).

Πρὸς τὸν ᾅδην, Σωτήρ μου,* συγκαταβέβηκας,* καὶ τὰς πύλας συντρίψας* ὡς παντοδύναμος* τοὺς θανόντας ὡς κτίστης* συνεξανέστησας* καὶ θανάτου τὸ κέντρον,* Χριστέ, συνέτριψας* καὶ Ἀδὰμ τῆς κατάρας* ἐρρύσω, φιλάνθρωπε·* διὸ πάντες σοι κράζομεν·* Σῶσον ἡμᾶς, Κύριε.

Ὁ οἶκος. (Τοῦ ἀναργύρου τὴν μνήμην).

Ἀκούσασαι αἱ γυναῖκες* τοῦ ἀγγέλου τὰ ῥήματα,* ἀπεβάλοντο τὸν θρῆνον,* προσχαρεῖς γενόμεναι,* καὶ σύντρομοι τὴν ἀνάστασιν ἔβλεπον·* καὶ ἰδοὺ Χριστὸς προσήγγισεν αὐταῖς,* λέγων τὸ Χαίρετε· θαρσεῖτε,* ἐγὼ τὸν κόσμον νενίκηκα* καὶ τοὺς δεσμίους ἐρρυσάμην·* σπουδάσατε οὖν πρὸς τοὺς μαθητὰς* ἀπαγγέλλουσαι αὐτοῖς,* ὅτι προάγω ὑμᾶς* ἐν τῇ πόλει Γαλιλαίᾳ τοῦ κηρῦξαι·* διὸ πάντες σοι κράζομεν·* Σῶσον ἡμᾶς, Κύριε.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα. Ἦχος πλ. α΄.

Κύριε,* ἐσφραγισμένου τοῦ τάφου* ὑπὸ τῶν παρανόμων,* προῆλθες ἐκ τοῦ μνήματος,* καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου·* οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης* οἱ ἀσώματοί σου ἄγγελοι·* οὐκ ἤσθοντο πότε ἀνέστης* οἱ φυλάσσοντές σε στρατιῶται·* ἀμφότερα γὰρ ἐσφράγισται* τοῖς ἐρευνῶσι,* πεφανέρωται δὲ τὰ θαύματα* τοῖς προσκυνοῦσιν* ἐν πίστει τὸ μυστήριον·* ὃ ἀνυμνοῦσιν* ἀπόδος ἡμῖν ἀγαλλίασιν* καὶ τὸ μέγα ἔλεος.

Κύριε,* τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας* καὶ δεσμὰ διαῤῥήξας* τοῦ μνήματος ἀνέστης,* καταλιπών σου τὰ ἐντάφια* εἰς μαρτύριον τῆς ἀληθοῦς* τριημέρου ταφῆς σου·* καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ* ὁ ἐν σπηλαίῳ τηρούμενος.* Μέγα σου τὸ ἔλεος,* ἀκατάληπτε Σωτήρ!* Ἐλέησον ἡμᾶς.

Κύριε,* αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα* τοῦ ἰδεῖν σε τὸν Χριστὸν* τὸν δι' ἡμᾶς παθόντα·* καὶ προσελθοῦσαι* εὗρον ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον* τῷ φόβῳ κυλι-

σθέντα,* καὶ πρὸς αὐτὰς ἐβόησε λέγων·* Ἀνέστη ὁ Κύριος·* εἶπατε τοῖς μαθηταῖς,* ὅτι ἀνέστη ἐκ νεκρῶν* ὁ σώζων τὰς ψυχὰς ὑμῶν.

Κύριε,* ὥσπερ ἐξῆλθες* ἐσφραγισμένου τοῦ τάφου,* οὕτως εἰσῆλθες* καὶ τῶν θυρῶν κεκλεισμένων* πρὸς τοὺς μαθητάς σου,* δεικνύων αὐτοῖς* τὰ τοῦ σώματος πάθη,* ἅπερ κατεδέξω,* Σωτήρ, μακροθυμήσας.* Ὡς ἐκ σπέρματος Δαβὶδ* μώλωπας ὑπήνεγκας,* ὡς Υἱὸς δὲ τοῦ Θεοῦ* κόσμον ἠλευθέρωσας.* Μέγα σου τὸ ἔλεος,* ἀκατάληπτε Σωτήρ!* Ἐλέησον ἡμᾶς.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Κύριε,* ὁ βασιλεὺς τῶν αἰώνων* καὶ ποιητὴς τῶν ἁπάντων,* ὁ δι' ἡμᾶς σταύρωσιν* καὶ ταφὴν σαρκὶ καταδεξάμενος,* ἵνα ἡμᾶς τοῦ ᾅδου* ἐλευθερώσῃ πάντας,* σὺ εἶ ὁ Θεὸς ἡμῶν·* ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Κύριε,* τὰ ὑπερλάμποντά σου θαύματα* τίς διηγήσεται;* ἢ τίς ἀναγγελεῖ* τὰ φρικτά σου μυστήρια;* ἐνανθρωπήσας γὰρ δι' ἡμᾶς,* ὡς αὐτὸς ἠθέλησας,* τὸ κράτος ἐφανέρωσας* τῆς δυνάμεώς σου·* ἐν γὰρ τῷ Σταυρῷ σου* τῷ λῃστῇ παράδεισον ἤνοιξας* καὶ ἐν τῇ ταφῇ σου* τοὺς μοχλοὺς τοῦ ᾅδου συνέτριψας* καὶ ἐν τῇ ἀναστάσει σου* τὰ σύμπαντα ἐπλούτισας.* Εὐσπλαγχνε, δόξα σοι.

Μυροφόροι γυναῖκες,* τὸν τάφον σου καταλαβοῦσαι* λίαν πρωΐ,* ἐπεζήτουν σε μυρίσαι* τὸν ἀθάνατον Λόγον καὶ Θεόν·* καὶ τοῦ ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι* ὑπέστρεφον ἐν χαρᾷ,* τοῖς ἀποστόλοις μηνύσαι ἐμφανῶς,* ὅτι ἀνέστης, ἡ ζωὴ τῶν ἁπάντων,* καὶ παρέχεις τῷ κόσμῳ ἱλασμὸν* καὶ τὸ μέγα ἔλεος.

Τοῦ θεοδέγμονος τάφου* πρὸς τοὺς Ἰουδαίους οἱ φύλακες ἔλεγον·* Ὦ τῆς ὑμῶν ματαιόφρονος συμβουλῆς!* φυλάττειν τὸν ἀπερίγραπτον δοκιμάσαντες,* μάτην ἐκοπιάσατε·* κρύψαι τὴν ἀνάστασιν* τοῦ σταυρωθέντος βουλόμενοι,* τρανῶς ἐφανερώσατε.* Ὦ τοῦ ὑμῶν ματαιόφρονος συνεδρίου!* Τί πάλιν κρύψαι συμβουλεύεσθε,* ὃ οὐ κρύπτε-

ται;* μᾶλλον δὲ παρ᾽ ἡμῶν ἀκούσατε* καὶ πιστεῦσαι θελήσατε* τῶν γενομένων τὴν ἀλήθειαν.* Ἄγγελος ἀστραπηφόρος* οὐρανόθεν κατελθὼν* τὸν λίθον ἀπεκύλισεν,* οὗ τῷ φόβῳ νεκρώσει συνεσχέθημεν·* καὶ φωνήσας ταῖς κραταιόφροσι μυροφόροις* ἔλεγε γυναιξίν·* Οὐχ ὁρᾶτε τῶν φυλάκων τὴν νέκρωσιν* καὶ τῶν σφραγίδων τὴν διάλυσιν,* τοῦ ᾅδου τε τὴν κένωσιν;* Τί τὸν τὸ νῖκος τοῦ ᾅδου καταργήσαντα* καὶ τοῦ θανάτου τὸ κέντρον συντρίψαντα* ὡς θνητὸν ἐπιζητεῖτε;* Εὐαγγελίσασθε δὲ* ταχὺ πορευθεῖσαι* τοῖς ἀποστόλοις τὴν ἀνάστασιν,* ἀφόβως κραυγάζουσαι·* Ὄντως ἀνέστη ὁ Κύριος,* ὁ ἔχων τὸ μέγα ἔλεος.

Δόξα. Τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις. Δοξολογία μεγάλη κ.τ.λ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοί.
Ἦχος πλ. α΄.

Ὁληστὴς ἐν τῷ Σταυρῷ,* Θεόν εἶναί σε πιστεύσας, Χριστέ,* ὡμολόγησέ σε* εἰλικρινῶς ἐκ καρδίας,* Μνήσθητί μου Κύριε, βοῶν,* ἐν τῇ βασιλείᾳ σου.

Τὸν ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ* ζωὴν ἀνθήσαντα τῷ γένει ἡμῶν* καὶ ξηράναντα* τὴν ἐκ τοῦ ξύλου κατάραν* ὡς Σωτῆρα καὶ δημιουργὸν* συμφώνως ὑμνήσωμεν.

Τῷ θανάτῳ σου, Χριστέ,* θανάτου ἔλυσας τὴν δύναμιν* καὶ συνήγειρας,* τοὺς ἀπ᾽ αἰῶνος θανόντας,* σὲ ὑμνοῦντας τὸν ἀληθινὸν* Θεὸν καὶ Σωτῆρα ἡμῶν.

Ἐπὶ τὸ μνῆμά σου, Χριστέ,* παραγενόμεναι γυναῖκες σεμναί,* ἐπεζήτουν σε,* ζωοδότα μυρίσαι,* καὶ ὤφθη ταύταις ἄγγελος βοῶν·* Ἀνέστη ὁ Κύριος.

Σταυρωθέντος σου, Χριστέ,* ἐν μέσῳ δύο καταδίκων λῃστῶν,* ὁ μὲν εἷς βλασφημῶν σε* κατεκρίθη δικαίως,* ὁ δὲ ἄλλος σε θεολογῶν* παρᾴδεισον ᾤκησε.

Τῶν ἀποστόλων τῷ χορῷ* παραγενόμεναι γυναῖκες σεμναὶ* ἀνεβόησαν˙* Ὁ Χριστὸς ἀνέστη˙* ὡς Δεσπότην καὶ δημιουργὸν* αὐτὸν προσκυνήσωμεν.

Δόξα. Τριαδικόν.

Τριὰς ἀμέριστε μονάς,* ἡ παντουργὸς καὶ παντοδύναμος,* ὁ Πατήρ, ὁ Υἱὸς* καὶ τὸ ἅγιον Πνεῦμα,* σὲ ὑμνοῦμεν τὸν ἀληθινὸν* Θεὸν καὶ Σωτῆρα ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, ἔμψυχε ναὲ* Θεοῦ καὶ πύλη ἀδιόδευτε˙* χαῖρε, ἄφλεκτε* καὶ πυρίμορφε θρόνε˙* χαῖρε, Μήτηρ τοῦ Ἐμμανουήλ,* Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

ΗΧΟΣ ΠΛ. Β΄.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ ἀναστάσιμα. Ἦχος πλ. β΄.

Νίκην ἔχων, Χριστέ,* τὴν κατὰ τοῦ ᾅδου,* ἐν τῷ Σταυρῷ ἀνῆλθες,* ἵνα τοὺς ἐν σκότει* θανάτου καθημένους* συναναστήσῃς σεαυτῷ,* ὁ ἐν νεκροῖς ἐλεύθερος,* ὁ πηγάζων ζωὴν* ἐξ οἰκείου φωτός.* Παντοδύναμε Σωτήρ,* ἐλέησον ἡμᾶς.

Σήμερον ὁ Χριστὸς* θάνατον πατήσας,* καθὼς εἶπεν, ἀνέστη,* καὶ τὴν ἀγαλλίασιν* τῷ κόσμῳ ἐδωρήσατο,* ἵνα πάντες κραυγάζοντες* τὸν ὕμνον οὕτως εἴπωμεν˙* Ἡ πηγὴ τῆς ζωῆς,* τὸ ἀπρόσιτον φῶς,* παντοδύναμε Σωτήρ,* ἐλέησον ἡμᾶς.

Σέ, Κύριε, τὸν ὄντα* ἐν πάσῃ τῇ κτίσει* ἁμαρτωλοὶ ποῦ φύγωμεν;* ἐν τῷ οὐρανῷ;* αὐτὸς κατοικεῖς˙* ἐν τῷ ᾅδῃ;* ἐπάτησας θάνατον˙* εἰς τὰ βάθη τὰ τῆς θαλάσσης;* ἐ-

κεῖ ἡ χείρ σου, Δέσποτα.* Πρὸς σὲ καταφεύγομεν·* σοὶ προσπίπτοντες ἱκετεύομεν·* Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* ἐλέησον ἡμᾶς.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Ἐν τῷ Σταυρῷ σου, Χριστέ, καυχώμεθα,* καὶ τὴν ἀνάστασίν σου* ὑμνοῦμεν καὶ δοξάζομεν·* σὺ γὰρ εἶ Θεὸς ἡμῶν,* ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον,* ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ·* Σταυρὸν γὰρ ὑπομείνας* θανάτῳ θάνατον ὤλεσε.

Δόξα τῇ δυνάμει σου, Κύριε,* ὅτι κατήργησας* τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου,* ἀνεκαίνισας ἡμᾶς διὰ τοῦ Σταυροῦ σου,* δωρούμενος ἡμῖν* ζωὴν καὶ ἀφθαρσίαν.

Ἡ ταφή σου, Κύριε,* τὰ δεσμὰ τοῦ ᾅδου* συντρίψασα διέρρηξεν·* ἡ ἐκ νεκρῶν ἀνάστασις* τὸν κόσμον ἐφώτισε.* Κύριε, δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε,* Παναγία Παρθένε;* τίς μὴ ἀνυμνήσει σου* τὸν ἀλόχευτον τόκον;* ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας* Υἱὸς μονογενής,* ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν* ἀφράστως σαρκωθείς,* φύσει Θεὸς ὑπάρχων,* καὶ φύσει γενόμενος* ἄνθρωπος δι' ἡμᾶς·* οὐκ εἰς δυάδα προσώπων τεμνόμενος,* ἀλλ' ἐν δυάδι φύσεων* ἀσυγχύτως γνωριζόμενος.* Αὐτὸν ἱκέτευε,* σεμνὴ παμμακάριστε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχα ἀναστάσιμα. Ἦχος πλ. β'.

Τὴν ἀνάστασίν σου, Χριστὲ Σωτήρ,* ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς·* καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον* ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.

Τὰ κατ' ἀλφάβητον.

Πύλας συντρίψας χαλκᾶς* καὶ μοχλοὺς τοῦ ᾅδου συνθλάσας* ὡς Θεὸς παντοδύναμος,* γένος ἀνθρώπων

πεπτωκὸς ἀνέστησας·* διὰ τοῦτο καὶ ἡμεῖς* ὑμνοῦντες βοῶμεν·* Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* Κύριε, δόξα σοι.

Ρεύσεως ἡμᾶς τῆς πάλαι* Χριστὸς ἐπανορθῶσαι θέλων,* Σταυρῷ προσπήγνυται* καὶ τάφῳ τέθειται·* ὃν μυροφόροι γυναῖκες* μετὰ δακρύων ζητοῦσαι,* θρηνοῦσαι ἔλεγον·* Οἴμοι, Σωτὴρ τῶν ἁπάντων!* πῶς κατεδέξω τάφῳ οἰκῆσαι;* οἰκήσας δὲ θέλων,* πῶς ἐκλάπης,* πῶς μετετέθης;* ποῖος δὲ τόπος* τὸ σὸν ζωηφόρον* κατέκρυψε σῶμα;* Ἀλλά, Δέσποτα,* ὡς ὑπέσχου, ἡμῖν ἐμφάνηθι,* καὶ παῦσον ἀφ' ἡμῶν* τὸν ὀδυρμὸν τῶν δακρύων.* Θρηνούσαις δὲ αὐταῖς* ἄγγελος πρὸς αὐτὰς ἀπεβόησε·* Τῶν θρήνων παυσάμεναι,* τοῖς ἀποστόλοις εἴπατε,* ὅτι ἀνέστη ὁ Κύριος,* τῷ κόσμῳ δωρούμενος ἱλασμὸν* καὶ τὸ μέγα ἔλεος.

Σταυρωθείς, ὡς ἠβουλήθης, Χριστέ,* καὶ τὸν θάνατον τῇ ταφῇ σου σκυλεύσας,* τριήμερος ἀνέστης* ὡς Θεὸς μετὰ δόξης·* τῷ κόσμῳ δωρούμενος* ἀτελεύτητον ζωὴν* καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ ποιητὴς καὶ λυτρωτής μου, πάναγνε,* Χριστὸς ὁ Κύριος* ἐκ τῆς σῆς νηδύος προελθών,* ἐμὲ ἐνδυσάμενος,* τῆς πρώην κατάρας* τὸν Ἀδὰμ ἠλευθέρωσε·* διό σοι, πάναγνε,* ὡς τοῦ Θεοῦ Μητρί τε* καὶ Παρθένῳ ἀληθῶς* βοῶμεν ἀσιγήτως* τὸ Χαῖρε τοῦ ἀγγέλου·* Χαῖρε, Δέσποινα,* προστασία καὶ σκέπη* καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον ἀναστάσιμον.

Ἀγγελικαὶ δυνάμεις* ἐπὶ τὸ μνῆμά σου,* καὶ οἱ φυλάσσοντες* ἀπενεκρώθησαν·* καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ,* ζητοῦσα τὸ ἄχραντόν σου σῶμα.* Ἐσκύλευσας τὸν ᾅδην,* μὴ πειρασθεὶς ὑπ' αὐτοῦ·* ὑπήντησας τῇ Παρθένῳ,* δωρούμενος τὴν ζωήν.* Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* Κύριε, δόξα σοι.

Θεοτοκίον.

Ὁ τὴν εὐλογημένην* καλέσας σου Μητέρα,* ἦλθες ἐπὶ τὸ πάθος* ἑκουσίᾳ βουλῇ,* λάμψας ἐν τῷ Σταυρῷ,* ἀναζητῆσαι θέλων τὸν Ἀδάμ,* λέγων τοῖς ἀγγέλοις·* Συγχάρητέ μοι,* ὅτι εὑρέθη ἡ ἀπολομένη δραχμή.* Ὁ πάντα σοφῶς οἰκονομήσας,* δόξα σοι.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανὼν τριαδικὸς ἔχων ἀκροστιχίδα·
Τὸν ἕκτον ὕμνον προσφέρω σοι, Θειότης.
Ποίημα Μητροφάνους Σμύρνης.

Ἦχος πλ. β'. Ὠδὴ α'. (Ὡς ἐν ἠπείρῳ πεζεύσας).

Τρεῖς ὑποστάσεις ὑμνοῦμεν* θεαρχικάς,* ἐνιαίας φύσεως* ἀπαράλλακτον μορφήν,* ἀγαθόν, φιλάνθρωπον Θεόν,* τῶν πταισμάτων ἱλασμὸν* ἡμῖν δωρούμενον.

Ὑπερούσιος μόνος* καὶ τριλαμπὴς* χαρακτῆρσι Κύριος* ἐν θεότητι μιᾷ* πεφυκώς, συνέτισον ἡμᾶς* καὶ ἀξίωσον τῆς σῆς* θείας ἐλλάμψεως.

Νυμφοστολήσας ὁ Παῦλος* τὴν ἐξ ἐθνῶν* Ἐκκλησίαν, ἕνα σε* τρισυπόστατον Θεὸν* προσκυνεῖν ἐδίδαξεν, ἐξ οὗ* καὶ δι' οὗ περ καὶ ἐν ᾧ* τὰ πάντα γέγονε.

Θεοτοκίον.

Ἐκ τῆς γαστρός σου προῆλθεν* ὁ νοητός,* Θεοτόκε, ἥλιος* καὶ κατηύγασεν ἡμᾶς* τριφαοῦς θεότητος αὐγαῖς·* ὃν ὑμνοῦντες εὐσεβῶς,* σὲ μακαρίζομεν.

Ὠδὴ γ'. (Οὐκ ἔστιν ἅγιος).

Κοσμήσας, τρίφωτε Θεέ,* τάξεις τὰς οὐρανίους,* κατεσκεύασας μέλπειν* τρισαγίαις σε φωναῖς·* δέξαι μεθ' ὧν καὶ ἡμᾶς* ἀνυμνοῦντας* σοῦ τὴν ἀγαθότητα.

Τὴν μόνην ἄτρεπτον τριττήν,* σύμμορφον, ἐνιαίαν* θεαρχίαν ὑμνοῦντες,* λιτάζομέν σε θερμῶς* ἁμαρτημάτων πολλῶν* καταπέμψαι* νῦν ἡμῖν συγχώρησιν.

Νοῦς ὁ ἄναρχος Πατήρ,* σύμμορφε Θεοῦ Λόγε* καὶ τὸ Πνεῦμα τὸ θεῖον,* τὸ ἀγαθὸν καὶ εὐθές,* τοὺς ἀνυμνοῦντας πιστῶς* τὸ σὸν κράτος* φρούρησον ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Νομὴν ἀνέστειλε φθορᾶς,* ἄνθρωπος κατ' οὐσίαν* γεγονὼς ὁ Θεός μου* ἐν τῇ μήτρᾳ σου, ἀγνή,* καὶ τοὺς γενάρχας τῆς πρὶν* καταδίκης* μόνος ἠλευθέρωσε.

Κάθισμα. (Τὴν ὑπὲρ ἡμῶν).

Δέσποτα Θεέ,* ἐπίβλεψον οὐρανόθεν·* ἴδε τὴν ἡμῶν* ταπείνωσιν ὡς οἰκτίρμων* καὶ σπλαγχνίσθητι,* φιλάνθρωπε πανάγαθε·* οὐδαμόθεν γὰρ ἐλπίζομεν* συγχωρήσεως τεύξασθαι* τῶν κακῶν, ὧν ἡμάρτομεν·* διὸ γενοῦ μεθ' ἡμῶν, καὶ οὐδεὶς καθ' ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Δέσποινα ἁγνή,* ἐπίβλεψον οὐρανόθεν·* ἴδε τῶν ἡμῶν* τραυμάτων τὰς ἀλγηδόνας* καὶ σπλαγχνίσθητι,* πανάχραντε, καὶ ἴασαι* τοῦ συνειδότος τὸν καύσωνα,* τῷ σῷ ἐλέει δροσίζουσα* καὶ βοῶσα τοῖς δούλοις σου* Ἐγώ εἰμι μεθ' ὑμῶν,* καὶ οὐδεὶς καθ' ὑμῶν.

Ὠδὴ δ'. (Χριστός μου δύναμις).

Ὑψοῦ διάνοιαν,* Μονὰς ἡ τρίφωτος,* καὶ ψυχὴν καὶ καρδίαν* σῶν ὑμνητῶν* θᾶττον ἀναβίβασον* καὶ τῆς ἐλλάμψεως τῆς σῆς* καὶ λαμπρότητος ἀξίωσον.

Μετασχημάτισον* καὶ μεταμόρφωσον* ἐκ κακίας με πάσης* πρὸς ἀρετήν,* μόνη ἀσχημάτιστε* καὶ ἀναλλοίωτε Τριάς,* καὶ σαῖς αἴγλαις καταλάμπρυνον.

Νοήσας πρότερον* σοφῶς ὑπέστησας* τῶν ἀγγέλων τὰς τάξεις* λειτουργικὰς* σοῦ τῆς ἀγαθότητος,* ἡ τρισυπόστατος Μονάς·* μεθ' ὧν δέξαι μου τὴν αἴνεσιν.

Θεοτοκίον.

Ο φύσει ἄκτιστος* Θεὸς ἀΐδιος,* τὴν κτιστὴν τῶν ἀνθρώπων* προσειληφὼς* φύσιν, ἀνεμόρφωσεν* ἐν τῇ ἁγίᾳ σου γαστρί,* Θεοτόκε ἀειπάρθενε.

Ὠδὴ ε΄. (Τῷ θείῳ φέγγει σου).

Νοοῦντες φύσιν θεαρχικήν,* προνοητικὴν καὶ σωστικὴν* πάντων ὑπάρχουσαν, Δέσποτα,* τρίφωτόν τε μίαν,* πρὸς σὲ ὀρθρίζομεν,* συγχώρησιν αἰτοῦντες* τῶν παραπτώσεων.

Πατὴρ ὁ ἄναρχος καὶ Θεὸς* καὶ ὁ συναΐδιος Υἱός,* Πνεῦμα τὸ ἅγιον, στήριξον,* μοναρχικωτάτη* Τριάς, τοὺς σοὺς ὑμνητὰς* καὶ πάσης ἐπηρείας* ῥῦσαι καὶ θλίψεως.

Ρυθμίζων λάμψεσι θεουργοῖς* καὶ πρὸς εὐαρέστησιν τῆς σῆς* τρισυποστάτου θεότητος,* ἥλιε τῆς δόξης,* καθοδηγῶν με ἀεί,* τῆς θείας βασιλείας* μέτοχον ποίησον.

Θεοτοκίον.

Ο πάντα φέρων καὶ συντηρῶν* τῇ παντοδυνάμῳ σου χειρί,* Λόγε Θεοῦ ἀναλλοίωτε,* φρούρει καὶ συντήρει* τοὺς σὲ δοξάζοντας* πρεσβείαις τῆς τεκούσης* σὲ Θεομήτορος.

Ὠδὴ ς΄. (Τοῦ βίου τὴν θάλασσαν).

Σοφίαν καὶ σύνεσιν,* θεαρχία τριφαής,* τοῖς ὑμνηταῖς σου δώρησαι* καὶ τοῦ κάλλους ἀκτῖσι τοῦ φωτουργοῦ* τῆς σῆς ἀγαθότητος* καταλάμπεσθαι πάντας καταξίωσον.

(Δίς)

Φῶς τὸ ἀδιαίρετον* κατ' οὐσίαν, τριλαμπές,* παντοκρατές, ἀπρόσιτον,* τὰς καρδίας καταύγασον τῶν πιστῶς* αἰνούντων τὸ κράτος σου* καὶ πρὸς θείαν ἀγάπην ἀναπτέρωσον.

Θεοτοκίον.

Εν σοὶ κατεσκήνωσεν,* ἀειπάρθενε, σαφῶς* ὁ συνοχεὺς καὶ Κύριος* τῶν ἁπάντων καὶ μίαν τρισσολαμπῆ* μορφὴν τῆς θεότητος* προσκυνεῖν τοὺς ἀνθρώπους εἰσηγήσατο.

Κάθισμα. (Τὴν ὑπὲρ ἡμῶν).

Πάτερ καὶ Υἱὲ* σὺν Πνεύματι τῷ ἁγίῳ* βλέψον εἰς ἡμᾶς* τοὺς πίστει σε προσκυνοῦντας* καὶ δοξάζοντας* τὸ κράτος σου, εὔσπλαγχνε,* σὺν τοῖς πυρίνοις οἱ πήλινοι·* ἄλλον γὰρ πλὴν σου οὐκ οἴδαμεν·* καὶ βόησον τοῖς ὑμνοῦσί σε·* Ἐγώ εἰμι μεθ' ὑμῶν,* καὶ οὐδεὶς καθ' ὑμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Βλέψον εἰς ἡμᾶς,* πανύμνητε Θεοτόκε,* λάμψον φωτισμὸν* καρδίαις ἐσκοτισμέναις* καὶ καταύγασον* τὴν ποίμνην σου, πανάχραντε·* ὅσα γὰρ θέλεις καὶ δύνασαι,* ὡς Μήτηρ οὖσα τοῦ κτίστου σου·* καὶ βόησον τοῖς αἰτοῦσί σε·* Ἐγώ εἰμι μεθ' ὑμῶν,* καὶ οὐδεὶς καθ' ὑμῶν.

Ὠδὴ ζ΄. (Δροσοβόλον μὲν τὴν κάμινον).

Ρωμαλέαν μοι διάνοιαν πρυτάνευσον,* τρίφωτε χαρακτῆρσι Μονάς,* τοῦ φυλάττειν σου* καὶ τηρεῖν τὰς θείας ἐντολὰς* καὶ πάντοτε ψάλλειν σοι πιστῶς·* Εὐλογητὸς εἶ, ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Ως ταὐτότητι τῆς φύσεως ὑμνούμενος* ἀφράστως ἐνιαῖος Θεός,* τοῖς προσώποις δὲ* τῆς Τριάδος φέρων ἀριθμόν,* συντήρησον ἅπαντας ἡμᾶς* ἀπὸ ποικίλων πειρασμῶν* καὶ περιστάσεων.

Συμφυῆ καὶ συναΐδιον δοξάζομεν* ἕνα σε κατ' οὐσίαν Θεόν,* ἰδιότησιν* ἀσυγχύτως ὑποστατικαῖς,* Τριάς, τὸ διάφορον ἁπλῶς* προβαλλομένην ἐν μορφῇ* ἀπαραλλάκτῳ σαφῶς.

Θεοτοκίον.

Ο Θεὸς ὁ ὑπερούσιος προσείληφεν,* ἄχραντε, ἐκ γαστρός σου ἁγνῆς* τὸ ἡμέτερον* φιλανθρώπως φύραμα

σαφῶς* καὶ πάντας ἐδίδαξε βοᾶν·* Εὐλογητὸς εἶ, ὁ Θεός,* ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η′. (Ἐκ φλογὸς τοῖς ὁσίοις).

Ἱλασμὸν τῶν πταισμάτων* θᾶττον παράσχου μοι* καὶ παθῶν πολυτρόπων* τὴν ἀπολύτρωσιν,* σύμμορφε Τριὰς* καὶ Μονὰς τρισυπόστατε,* ἵνα σε δοξάζω* εἰς πάντας τοὺς αἰῶνας.

Θελητὴς τοῦ ἐλέους* καταγγελλόμενος,* ὡς Θεὸς ἐλεήμων* πάντας ἐλέησον,* τρίφωτε Μονὰς* καὶ Τριὰς ὁμοούσιε,* τοὺς δοξολογοῦντας* τὴν σὴν μεγαλωσύνην.

Ἐκ φωτὸς ἀϊδίου* φῶς συναΐδιον,* τοῦ Πατρὸς γεννηθέντα* Λόγον, σὺν Πνεύματι* τῷ ἐκπορευτῷ* φωτὶ πίστει δοξάζομεν* καὶ ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἰατρὸν τοῖς ἀνθρώποις,* ἄχραντε, τέτοκας* παντοδύναμον Λόγον,* Χριστὸν τὸν Κύριον,* τῆς προγονικῆς* πληγῆς πάντας ἰώμενον* τοὺς ὑπερυψοῦντας* αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ′. (Θεὸν ἀνθρώποις ἰδεῖν).

Ὁρᾶν αἱ τάξεις Χερουβίμ, Δέσποτα,* κάλλους τοῦ σοῦ* τὴν δόξαν οὐ δυνάμεναι, πτέρυξι* κατακαλυπτόμεναι,* ἀπαύστως τριττὸν* ὕμνον ἀναβοῶσι,* τὸ τρισυπόστατον* τῆς σῆς θεαρχίας ἑνικῆς* κράτος δοξάζουσαι.

Τὰς σὰς ἐλλάμψεις, ἄδυτε ἥλιε,* σῶν οἰκετῶν* παράσχου ταῖς καρδίαις καὶ φώτισον* τὰς ψυχὰς καὶ λύτρωσαι* πταισμάτων πολλῶν,* μόνε παντελεῆμον* καὶ τρισυπόστατε,* καὶ τῆς ἀκηράτου σου ζωῆς* ἡμᾶς ἀξίωσον.

Ἡφῶς ὁμότιμον καὶ τρισήλιον* καὶ φωτουργόν,* Θεότης, πεφυκυῖα, καταύγασον* τοὺς πιστῶς σε μέλποντας* καὶ τῆς ζοφερᾶς* ῥῦσαι κακοπραγίας* καὶ καταξίωσον* τῶν φωτεινοτάτων σου σκηνῶν* ὡς ὑπεράγαθος.

Θεοτοκίον.

Σοφῶς τὸν ἄνθρωπον πρὶν διέπλασεν* ὁ σὸς Υἱός,* Παρθένε, καὶ φθαρέντα ἀνέπλασε* διὰ σοῦ, πανύμνητε,* καὶ θείου φωτὸς* αἴγλης τῆς ἀνεσπέρου* πάντας ἐπλήρωσε* τοὺς σὲ Θεοτόκον ἀληθῆ* ἀεὶ δοξάζοντας.

Τὸ Ἄξιόν ἐστιν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α′ στιχολογίαν, καθίσματα ἀναστάσιμα.
Ἦχος πλ. β′.

Τοῦ τάφου ἀνεῳγμένου,* τοῦ ᾅδου ὀδυρομένου,* ἡ Μαρία ἐβόα* πρὸς τοὺς κεκρυμμένους ἀποστόλους·* Ἐξέλθετε, οἱ τοῦ ἀμπελῶνος ἐργάται,* κηρύξατε τὸν τῆς ἀναστάσεως λόγον·* Ἀνέστη ὁ Κύριος,* παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα.

Κύριε,* παρίστατο τῷ τάφῳ σου* Μαρία ἡ Μαγδαληνὴ* καὶ ἔκλαιε βοῶσα* καὶ κηπουρόν σε νομίζουσα ἔλεγε·* Ποῦ ἔκρυψας τὴν αἰώνιον ζωήν;* ποῦ ἔθηκας τὸν ἐπὶ θρόνου Χερουβίμ;* οἱ γὰρ τοῦτον φυλάσσοντες* ἀπὸ τοῦ φόβου ἀπενεκρώθησαν·* ἢ τὸν Κύριόν μου δότε μοι,* ἢ σὺν ἐμοὶ κραυγάσατε·* Ὁ ἐν νεκροῖς καὶ τοὺς νεκροὺς* ἀναστήσας, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Προϊστορεῖ ὁ Γεδεὼν τὴν σύλληψιν* καὶ ἑρμηνεύει ὁ Δαβὶδ* τὸν τόκον σου, πανάμωμε* Θεοτόκε ἀγνή·* κατέβη γὰρ ὡς ὑετὸς ἐπὶ πόκον* ὁ Λόγος ἐν τῇ γαστρί σου* καὶ ἐβλάστησας ἄνευ σπορᾶς, γῆ ἁγία,* τοῦ κόσμου τὴν σωτηρίαν,* Χριστὸν τὸν Θεὸν ἡμῶν,* ἡ κεχαριτωμένη.

Μετὰ τὴν β′ στιχολογίαν, ἕτερα.

Ἡ ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο,* καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο·* ὡς βασιλέα ὑπνοῦντα* στρατιῶται ἐφύλαττον

Χριστόν·* καὶ τοὺς ἐχθροὺς αὐτοῦ* ἀορασίᾳ πατάξας,* ἀνέστη ὁ Κύριος.

Δόξα. (Προϊστορεῖ ὁ Γεδεών).

Προϊστορεῖ ὁ Ἰωνᾶς τὸν τάφον σου,* καὶ ἑρμηνεύει Συμεὼν* τὴν ἔγερσιν τὴν ἔνθεον,* ἀθάνατε Κύριε·* κατέβης γὰρ ὡσεὶ νεκρὸς ἐν τῷ τάφῳ,* ὁ λύσας ᾅδου τὰς πύλας·* ἀνέστης δὲ ἄνευ φθορᾶς ὡς Δεσπότης* τοῦ κόσμου εἰς σωτηρίαν,* Χριστὲ ὁ Θεὸς ἡμῶν,* φωτίσας τοὺς ἐν σκότει.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε,* ἱκέτευε τὸν Υἱόν σου,* τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ* καὶ ἀναστάντα ἐκ νεκρῶν* Χριστὸν τὸν Θεὸν ἡμῶν* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια, ἡ ὑπακοή.

Τῷ ἑκουσίῳ* καὶ ζωοποιῷ σου θανάτῳ, Χριστέ,* πύλας τοῦ ᾅδου συντρίψας ὡς Θεός,* ἤνοιξας ἡμῖν τὸν πάλαι παράδεισον·* καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν,* ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον Α'.

Ἐν τῷ οὐρανῷ* τοὺς ὀφθαλμούς μου αἴρω* πρὸς σέ, Λόγε·* οἰκτειρόν με,* ἵνα ζῶ σοι.

Ἐλέησον ἡμᾶς* τοὺς ἐξουθενημένους,* καταρτίζων εὔχρηστα* σκεύη σου, Λόγε.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* πανσωστικὴ αἰτία·* εἴ τινι τοῦτο κατ' ἀξίαν πνεύσει,* τάχει ἐξαίρει τῶν τῆς γῆς,* πτεροῖ, αὔξει, τάττει ἄνω.

Ἀντίφωνον Β'.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν,* οὐδεὶς ἡμῶν ἀντισχεῖν ἠδύνατο* ἐχθροῦ πάλαισμα·* οἱ νικῶντες γὰρ ἔνθεν ὑψοῦνται.

Τοῖς ὀδοῦσιν αὐτῶν* μή μου ληφθῆτω ἡ ψυχή* ὡς στρουθίον, Λόγε˙* οἴμοι! πῶς μέλλω* τῶν ἐχθρῶν ῥυσθῆναι* φιλαμαρτήμων ὑπάρχων;

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* ἐνθέωσις τοῖς πᾶσιν,* εὐδοκία, σύνεσις,* εἰρήνη καὶ ἡ εὐλογία˙* ἰσουργὸν γὰρ τῷ Πατρί ἐστι καὶ Λόγῳ.

Ἀντίφωνον Γ΄.

Οἱ πεποιθότες ἐπὶ Κύριον* ἐχθροῖς φοβεροὶ* καὶ πᾶσι θαυμαστικοί˙* ἄνω γὰρ ὁρῶσιν.

Εν ἀνομίαις χεῖρας αὐτῶν* ὁ τῶν δικαίων κλῆρος,* ἐπίκουρόν σε ἔχων,* Σῶτερ, οὐκ ἐκτείνει.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* τὸ κράτος ἐπὶ πάντων˙* ὅπερ αἱ ἄνω στρατηγίαι προσκυνοῦσι* σὺν πάσῃ πνοῇ τῶν κάτω.

Προκείμενον.

Κύριε, ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

Στίχ. Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν Ἰωσήφ.

Κανὼν ἀναστάσιμος. Ποίημα Ἰωάννου μοναχοῦ.

Ἦχος πλ. β΄. Ὠδὴ α΄. Ὁ εἱρμός.

Ὡς ἐν ἠπείρῳ πεζεύσας* ὁ Ἰσραὴλ* ἐν ἀβύσσῳ ἴχνεσι,* τὸν διώκτην Φαραὼ* καθορῶν ποντούμενον, Θεῷ* ἐπινίκιον ᾠδήν,* ἐβόα, ᾄσωμεν.

Τροπάρια.

Εκτεταμέναις παλάμαις* ἐπὶ Σταυροῦ* πατρικῆς ἐπλήρωσας* εὐδοκίας, ἀγαθὲ* Ἰησοῦ, τὰ σύμπαντα˙ διὸ* ἐπινίκιον ᾠδὴν* σοὶ πάντες ᾄσωμεν.

Φόβῳ σοι ὡς θεραπαινὶς* ἡ τελευτὴ* προσταχθεῖσα πρόσειμι,* τῷ Δεσπότῃ τῆς ζωῆς,* δι' αὐτῆς βραβεύοντι ἡμῖν* ἀτελεύτητον ζωὴν* καὶ τὴν ἀνάστασιν.

Θεοτοκίον.

Τὸν ἑαυτῆς δεξαμένη* δημιουργόν,* ὡς αὐτὸς ἠθέλησεν,* ἐξ ἀσπόρου σου γαστρὸς* ὑπὲρ νοῦν σαρκούμενον, ἀγνή,* τῶν κτισμάτων ἀληθῶς* ἐδείχθης Δέσποινα.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Οὐκ ἔστιν ἅγιος ὡς σύ,* Κύριε ὁ Θεός μου,* ὁ ὑψώσας τὸ κέρας* τῶν πιστῶν σου, ἀγαθέ,* καὶ στερεώσας ἡμᾶς* ἐν τῇ πέτρᾳ* τῆς ὁμολογίας σου.

Τροπάρια.

Θεὸν σταυρούμενον σαρκὶ* καθορῶσα ἡ κτίσις,* διελύετο φόβῳ·* ἀλλὰ τῇ συνεκτικῇ* παλάμῃ τοῦ δι' ἡμᾶς* σταυρωθέντος* κραταιῶς συνείχετο.

Θανάτῳ θάνατος λυθεὶς* κεῖται δείλαιος ἄπνους·* τῆς ζωῆς γὰρ μὴ φέρων* τὴν ἔνθεον προσβολὴν* νεκροῦται ὁ ἰσχυρός,* καὶ δωρεῖται* πᾶσιν ἡ ἀνάστασις.

Θεοτοκίον.

Τοῦ θείου τόκου σου, ἀγνή,* πᾶσαν φύσεως τάξιν* ὑπερβαίνει τὸ θαῦμα·* Θεὸν γὰρ ὑπερφυῶς* συνέλαβες ἐν γαστρὶ* καὶ τεκοῦσα* μένεις ἀειπάρθενος.

Κοντάκιον. (Τὴν ὑπὲρ ἡμῶν).

Τῇ ζωαρχικῇ* παλάμῃ τοὺς τεθνεῶτας* ἐκ τῶν ζοφερῶν* κευθμώνων ὁ ζωοδότης* ἀναστήσας ἅπαντας* Χριστὸς ὁ Θεός,* τὴν ἀνάστασιν ἐβράβευσε* τῷ βροτείῳ φυράματι·* ὑπάρχει γὰρ πάντων Σωτήρ,* ἀνάστασις καὶ ζωὴ* καὶ Θεὸς τοῦ παντός.

Ὁ οἶκος. (Τὰ τῆς γῆς).

Τὸν Σταυρὸν καὶ τὴν ταφήν σου,* ζωοδότα,* ἀνυμνοῦμεν οἱ πιστοὶ* καὶ προσκυνοῦμεν·* ὅτι τὸν ᾅδην ἔδησας, ἀθάνατε,* ὡς Θεὸς παντοδύναμος,* καὶ νεκροὺς συνανέστη-

σας* καὶ πύλας τοῦ ᾅδου συνέτριψας* καὶ κράτος τοῦ θανάτου* καθεῖλες ὡς Θεός.* Διὸ οἱ γηγενεῖς* δοξολογοῦμέν σε πόθῳ,* τὸν ἀναστάντα* καὶ καθελόντα* ἐχθροῦ τὸ κράτος τοῦ πανώλους* καὶ πάντας ἀναστήσαντα* τοὺς ἐπὶ σοὶ πιστεύσαντας* καὶ κόσμον λυτρωσάμενον* ἐκ τῶν βελῶν τοῦ ὄφεως* καὶ ὡς μόνον δυνατὸν* ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ* λυτρωσάμενον ἡμᾶς·* ὅθεν ἀνυμνοῦμεν εὐσεβῶς* τὴν ἀνάστασίν σου,* δι' ἧς ἔσωσας ἡμᾶς* ὡς Θεὸς τοῦ παντός.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα. Ἦχος πλ. β΄.

Ὁ Σταυρός σου, Κύριε,* ζωὴ καὶ ἀνάστασις* ὑπάρχει τῷ λαῷ σου·* καὶ ἐπ' αὐτῷ πεποιθότες* σὲ τὸν ἀναστάντα* Θεὸν ἡμῶν ὑμνοῦμεν·* ἐλέησον ἡμᾶς.

Ἡ ταφή σου, Δέσποτα,* παράδεισον ἤνοιξε* τῷ γένει τῶν ἀνθρώπων·* καὶ ἐκ φθορᾶς λυτρωθέντες* σὲ τὸν ἀναστάντα* Θεὸν ἡμῶν ὑμνοῦμεν·* ἐλέησον ἡμᾶς.

Σὺν Πατρὶ καὶ Πνεύματι* Χριστὸν ἀνυμνήσωμεν* τὸν ἀναστάντα ἐκ νεκρῶν* καὶ πρὸς αὐτὸν ἐκβοῶμεν·* Σὺ ζωὴ ὑπάρχεις* ἡμῶν καὶ ἀνάστασις·* ἐλέησον ἡμᾶς.

Τριήμερος ἀνέστης, Χριστέ,* ἐκ τάφου καθὼς γέγραπται,* συνεγείρας τὸν προπάτορα ἡμῶν·* διό σε καὶ δοξάζει* τὸ γένος τῶν ἀνθρώπων* καὶ ἀνυμνεῖ σου τὴν ἀνάστασιν.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Κύριε,* μέγα καὶ φοβερὸν ὑπάρχει* τῆς σῆς ἀναστάσεως τὸ μυστήριον·* οὕτω γὰρ προῆλθες ἐκ τοῦ τάφου,* ὡς νυμφίος ἐκ παστάδος,* θανάτῳ θάνατον λύσας,* ἵνα τὸν Ἀδὰμ ἐλευθερώσῃς·* ὅθεν ἐν οὐρανοῖς* ἄγγελοι χορεύουσι* καὶ ἐπὶ γῆς* ἄνθρωποι δοξάζουσι* τὴν εἰς ἡμᾶς γενομένην* εὐσπλαγχνίαν σου, φιλάνθρωπε.

Ὦ παράνομοι Ἰουδαῖοι,* ποῦ εἰσιν αἱ σφραγῖδες* καὶ τὰ ἀργύρια,* ἃ ἐδώκατε τοῖς στρατιώταις;* οὐκ ἐκλάπη ὁ θησαυρός,* ἀλλὰ ἀνέστη ὡς δυνατός·* αὐτοὶ δὲ κατῃσχύνθητε,* ἀρνησάμενοι Χριστὸν* τὸν Κύριον τῆς δόξης,* τὸν

παθόντα καὶ ταφέντα* καὶ ἀναστάντα ἐκ νεκρῶν·* αὐτὸν προσκυνήσωμεν.

Σφραγισθέντος τοῦ μνήματος,* πῶς ἐσυλήθητε, Ἰουδαῖοι,* φύλακας καταστήσαντες* καὶ σημεῖα θέντες;* τῶν θυρῶν κεκλεισμένων,* προῆλθεν ὁ βασιλεύς·* ἢ ὡς νεκρὸν παραστήσατε* ἢ ὡς Θεὸν προσκυνήσατε,* σὺν ἡμῖν μελῳδοῦντες·* Δόξα, Κύριε,* τῷ Σταυρῷ σου καὶ τῇ ἀναστάσει σου.

Τὸ ζωοδόχον σου μνῆμα* αἱ μυροφόροι γυναῖκες* ὀδυρόμεναι κατέλαβον, Κύριε·* καὶ μύρα βαστάζουσαι,* τὸ σῶμά σου τὸ ἄχραντον* μυρίσαι ἐπεζήτουν·* εὗρον δὲ φωτοφόρον ἄγγελον* ἐν τῷ λίθῳ καθήμενον* καὶ πρὸς αὐτὰς φθεγγόμενον καὶ λέγοντα·* Τί δακρύετε* τὸν ἐκ πλευρᾶς πηγάσαντα* τῷ κόσμῳ τὴν ζωήν;* τί ἐπιζητεῖτε* ὥσπερ θνητὸν* ἐν μνήματι τὸν ἀθάνατον;* δραμοῦσαι δὲ μᾶλλον* ἀπαγγείλατε τοῖς αὐτοῦ μαθηταῖς* τῆς αὐτοῦ ἐνδόξου ἀναστάσεως* τὴν παγκόσμιον χαρμονήν·* ἐν ᾗ καὶ ἡμᾶς, Σωτήρ, φωτίσας,* δώρησαι ἱλασμὸν* καὶ τὸ μέγα ἔλεος.

Δόξα. Τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη κ.τ.λ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοί.

Ἦχος πλ. β΄.

Μνήσθητί μου,* ὁ Θεὸς ὁ Σωτήρ μου,* ὅταν ἔλθῃς* ἐν τῇ βασιλείᾳ σου,* καὶ σῶσόν με* ὡς μόνος φιλάνθρωπος.

Διὰ ξύλου* τὸν Ἀδὰμ ἀπατηθέντα,* διὰ ξύλου* Σταυροῦ πάλιν ἔσωσας* λῃστὴν βοῶντα·* Μνήσθητί μου Κύριε.

Ἅδου πύλας* καὶ μοχλοὺς συντρίψας,* ζωοδότα,* ἀνέστησας ἅπαντας,* Σωτὴρ βοῶντας·* Δόξα τῇ ἐγέρσει σου.

Μνήσθητί μου,* ὁ τὸν θάνατον σκυλεύσας* τῇ ταφῇ σου,* καὶ τῇ ἀναστάσει σου* χαρᾶς τὰ πάντα* πληρώσας ὡς εὔσπλαγχνος.

Μυροφόροι,* ἐν τῷ μνήματι ἐλθοῦσαι,* τοῦ ἀγγέλου* κραυγάζοντος ἤκουον·* Χριστὸς ἀνέστη* φωτίσας τὰ σύμπαντα.

Τὸν ἐν ξύλῳ* τοῦ Σταυροῦ προσηλωθέντα* καὶ τὸν κόσμον* ἐκ πλάνης ῥυσάμενον* συμφώνως πάντες* Χριστὸν ἀνυμνήσωμεν.

Δόξα. Τριαδικόν.

Τὸν Πατέρα* καὶ Υἱὸν δοξολογοῦμεν* καὶ τὸ Πνεῦμα* τὸ ἅγιον, λέγοντες·* Τριὰς ἁγία,* σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ ἀῤῥήτως* ἐπ' ἐσχάτων συλλαβοῦσα* καὶ τεκοῦσα* τὸν κτίστην τὸν ἴδιον,* Παρθένε, σῷζε* τοὺς σὲ μεγαλύνοντας.

Ⓗ

ΗΧΟΣ ΒΑΡΥΣ

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ ἀναστάσιμα. Ἦχος βαρύς.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ,* τῷ συντρίψαντι* θανάτου τὸ κράτος* καὶ φωτίσαντι* ἀνθρώπων τὸ γένος,* μετὰ τῶν ἀσωμάτων κραυγάζοντες·* Δημιουργὲ καὶ Σωτὴρ ἡμῶν, δόξα σοι.

Σταυρὸν ὑπέμεινας, Σωτήρ,* καὶ ταφὴν δι' ἡμᾶς·* θανάτῳ δὲ ὡς Θεὸς* θάνατον ἐνέκρωσας·* διὸ προσκυνοῦμεν* τὴν τριήμερόν σου ἀνάστασιν.* Κύριε, δόξα σοι.

Ἀπόστολοι ἰδόντες* τὴν ἔγερσιν τοῦ δημιουργοῦ,* ἐθαύμασαν βοῶντες* τὴν αἴνεσιν τὴν ἀγγελικήν·* Αὕτη ἡ δόξα τῆς Ἐκκλησίας,* οὗτος ὁ πλοῦτος τῆς βασιλείας.* Ὁ παθὼν δι' ἡμᾶς,* Κύριε, δόξα σοι.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Κἂν συνελήφθης, Χριστέ,* ὑπὸ ἀνόμων ἀνδρῶν,* ἀλλὰ σύ μου εἶ Θεός,* καὶ οὐκ αἰσχύνομαι·* ἐμαστίχθης τὸν νῶτον,* οὐκ ἀρνοῦμαι·* Σταυρῷ προσηλώθης,* καὶ οὐ κρύπτω·* εἰς τὴν ἔγερσίν σου καυχῶμαι·* ὁ γὰρ θάνατός σου ζωή μου.* Παντοδύναμε καὶ φιλάνθρωπε* Κύριε, δόξα σοι.

Δαβιτικὴν προφητείαν ἐκπληρῶν,* Χριστὸς μεγαλειότητα* ἐν Σιὼν τὴν οἰκείαν* μαθηταῖς ἐξεκάλυψεν,* αἰνετὸν δεικνὺς ἑαυτὸν* καὶ δοξαζόμενον ἀεὶ* σὺν Πατρί τε καὶ Πνεύματι ἁγίῳ,* πρότερον μὲν* ἄσαρκον ὡς Λόγον,* ὕστερον δὲ* δι' ἡμᾶς σεσαρκωμένον,* καὶ νεκρωθέντα ὡς ἄνθρωπον* καὶ ἀναστάντα κατ' ἐξουσίαν ὡς φιλάνθρωπον.

Κατῆλθες ἐν τῷ ᾅδη,* Χριστέ, ὡς ἠβουλήθης,* ἐσκύλευσας τὸν θάνατον* ὡς Θεὸς καὶ Δεσπότης* καὶ ἀνέστης τριήμερος,* συναναστήσας τὸν Ἀδὰμ* ἐκ τῶν τοῦ ᾅδου δεσμῶν καὶ τῆς φθορᾶς* κραυγάζοντα καὶ λέγοντα·* Δόξα τῇ ἀναστάσει σου,* μόνε φιλάνθρωπε.

Ἐν τάφῳ κατετέθης* ὡς ὁ ὑπνῶν, Κύριε,* καὶ ἀνέστης τριήμερος* ὡς δυνατὸς ἐν ἰσχύϊ,* συναναστήσας τὸν Ἀδὰμ* ἐκ τῆς φθορᾶς τοῦ θανάτου* ὡς παντοδύναμος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μήτηρ μὲν ἐγνώσθης* ὑπὲρ φύσιν, Θεοτόκε,* ἔμεινας δὲ παρθένος* ὑπὲρ λόγον καὶ ἔννοιαν·* καὶ τὸ θαῦμα τοῦ τόκου σου* ἑρμηνεῦσαι γλῶσσα οὐ δύναται·* παραδόξου γὰρ οὔσης* τῆς συλλήψεως, ἁγνή,* ἀκατάληπτός ἐστιν* ὁ τρόπος τῆς κυήσεως·* ὅπου γὰρ βούλεται Θεός,* νικᾶται φύσεως τάξις.* Διό σε πάντες* Μητέρα τοῦ Θεοῦ γινώσκοντες,* δεόμεθά σου ἐκτενῶς·* Πρέσβευε* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχα ἀναστάσιμα.

Ἀνέστης ἐκ τοῦ τάφου,* Σωτὴρ τοῦ κόσμου,* καὶ συνήγειρας τοὺς ἀνθρώπους* σὺν τῇ σαρκί σου·* Κύριε, δόξα σοι.

Τὰ κατ' ἀλφάβητον.

Τὸν ἀναστάντα ἐκ νεκρῶν* καὶ φωτίσαντα πάντα,* δεῦτε προσκυνήσωμεν·* ἐκ τῆς τοῦ ᾅδου γὰρ τυραννίδος* ἡμᾶς ἠλευθέρωσε* διὰ τῆς αὐτοῦ τριημέρου ἐγέρσεως,* ζωὴν ἡμῖν δωρησάμενος* καὶ τὸ μέγα ἔλεος.

Ὑπὸ τὸν ᾅδην κατελθών, Χριστέ,* θάνατον ἐσκύλευσας·* καὶ τριήμερος ἀναστάς,* ἡμᾶς συνανέστησας* δοξάζοντας τὴν σὴν* παντοδύναμον ἔγερσιν,* Κύριε φιλάνθρωπε.

Φοβερὸς ὤφθης, Κύριε,* ἐν τάφῳ κείμενος ὡς ὁ ὑπνῶν·* ἀναστὰς δὲ τριήμερος ὡς δυνατός,* τὸν Ἀδὰμ συνανέστησας κραυγάζοντα·* Δόξα τῇ ἀναστάσει σου,* μόνε φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὑπὸ τὴν σήν, Δέσποινα, σκέπην* πάντες οἱ γηγενεῖς* προσπεφεύγότες βοῶμέν σοι·* Θεοτόκε, ἡ ἐλπὶς ἡμῶν,* ῥῦσαι ἡμᾶς ἐξ ἀμέτρων πταισμάτων* καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον·* ἠνέῳξας τῷ λῃστῇ τὸν παράδεισον·* τῶν μυροφόρων τὸν θρῆνον μετέβαλες·* καὶ τοῖς σοῖς ἀποστόλοις* κηρύττειν ἐπέταξας,* ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός,* παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Ὡς τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα,* τοὺς ἐπὶ σοὶ πεποιθότας, πανύμνητε,* ἐκ λάκκου καὶ βυθοῦ* πταισμάτων ἀνάγαγε·* σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ* ἐ-

σωσας, τεκοῦσα τὴν σωτηρίαν,* ἡ πρὸ τόκου παρθένος* καὶ ἐν τόκῳ παρθένος* καὶ μετὰ τόκον πάλιν οὖσα παρθένος.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανὼν τριαδικὸς ἔχων ἀκροστιχίδα.
Αἰνῶ, Τριάς, σὲ τὴν μοναρχικὴν φύσιν.
Ποίημα Μητροφάνους Σμύρνης.

Ἦχος βαρύς. Ὠδὴ α'. (Νεύσει σου πρὸς γεώδη).

Ἀνοιξόν μου τὸ στόμα* τὸ νοερὸν τῆς καρδίας* καὶ χείλη τὰ ἔνυλα* πρὸς αἴνεσίν σου, τρίφωτε,* μία θεότης ἀπάντων,* ἄδειν σοι ᾠδήν,* φωτουργέ, χαριστήριον.

Ἵνα τὸ ὑπερβάλλον* τῆς σῆς χρηστότητος δείξῃς,* διέπλασας ἄνθρωπον,* Τριὰς ἀπειροδύναμε,* μόνην εἰκόνα πηλίνην* σοῦ τῆς ἀρχικῆς,* πλαστουργέ, κυριότητος.

Νοῦς ὁ ἄναρχος, Λόγον* συναϊδίως γεννῆσας* καὶ Πνεῦμα συνάναρχον* ἐκλάμψας, κατηξίωσεν* ἕνα Θεὸν κατ' οὐσίαν* σύμμορφον ἡμᾶς* προσκυνεῖν τρισυπόστατον.

Θεοτοκίον.

Ὤφθης ἐπὶ τῆς βάτου* τῷ Μωϋσῇ, Θεοῦ Λόγε,* ὡς πῦρ καθαρτήριον,* μὴ φλέγον δὲ τὸ σύνολον,* τὴν ἐκ Παρθένου προτυπῶν σου* σάρκωσιν, δι' ἧς* τοὺς βροτοὺς ἀνεμόρφωσας.

Ὠδὴ γ'. (Ὁ κατ' ἀρχὰς τοὺς οὐρανούς).

Τὸν ἑνικὸν καὶ τριλαμπῆ* καὶ παντουργόν σε Δεσπότην* ἀνυμνοῦντες, τῶν ἁμαρτιῶν* καὶ τῶν πειρασμῶν αἰτοῦμεν λύτρωσιν,* ἀπειροδύναμε Θεέ* μὴ οὖν παρίδῃς τοὺς πίστει* σοῦ τὴν ἀγαθότητα δοξάζοντας.

Ῥάδαμνος ὤφθης ἐκ Πατρὸς* ὡς ἀπὸ ῥίζης ἀνάρχου* Θεὸς Λόγος καὶ ἰσοσθενὴς* σὺν τῷ συμφυεῖ καὶ θείῳ Πνεύ-

ματι'* καὶ διὰ τοῦτο οἱ πιστοὶ* τριαδικὴν τοῖς προσώποις* μίαν κυριότητα δοξάζομεν.

Ἰσοκλεῆ καὶ συμφυῆ* τὴν τρισυπόστατον φύσιν* ἀμερίστως καὶ διαιρετῶς* καὶ μοναρχικὴν Τριάδα πάντες σε* δοξολογοῦμεν οἱ πιστοὶ* καὶ προσκυνοῦντες αἰτοῦμεν* τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Θεοτοκίον.

Ἀναλλοιώτως τοῖς βροτοῖς* ὁμοιωθεὶς κατὰ πάντα,* Θεοῦ Λόγε, Κόρης ἐξ ἀγνῆς* προῆλθες σαφῶς καὶ πᾶσιν ἔδειξας* τὴν θεαρχίαν τριλαμπῆ* καὶ ἑνικὴν τῇ οὐσίᾳ* τῶν ἀπαραλλάκτων ὑποστάσεων.

Κάθισμα. (Ὁ δι' ἐμὲ ἀνασχόμενος).

Ἡμαρτηκότας ἐλέησον,* Τριὰς ἁγία, τοὺς δούλους σου'* οὓς δέξαι* μετανοοῦντάς σοι, εὔσπλαγχνε,* καὶ συγχωρήσεως ἀξίωσον.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὰς κακωθείσας ψυχὰς ἡμῶν,* ταῖς ἁμαρτίαις ἀγάθυνον,* πάναγνε Θεοτόκε* καὶ λύτρωσαι, πταισμάτων* τοὺς σὲ ὑμνοῦντας, Θεονύμφευτε.

Ὠδὴ δ'. (Ὁ πατρικοὺς κόλπους).

Συνεκτικὴ* τρίφωτε Μονάς,* θεαρχικὴ καὶ σωστικὴ* τῶν ὅλων, τοὺς σοὺς* ὑμνῳδοὺς νῦν περιφρούρησον* καὶ σῶσον ἐκ θλίψεων* καὶ παθῶν καὶ πάσης κακώσεως.

Σημαντικῶν* λέξεων τῆς σῆς* ἀκαταλήπτου τριφαοῦς* θεότητος* ἀποροῦντες, ἀνυμνοῦμέν σε,* φιλάνθρωπε Κύριε,* καὶ δοξάζομέν σου τὴν δύναμιν.

Ἐπὶ τῆς γῆς,* ὡς ἐν οὐρανοῖς,* σὺν ἀσωμάτων τοῖς χοροῖς,* Μονὰς καὶ Τριάς,* ἀμερίστως σε μερίζομεν* καὶ πίστει δοξάζομεν* ὡς τῶν ὄντων πάντων δεσπόζουσαν.

Θεοτοκίον.

Τῆς πατρικῆς* δόξης οὐκ ἐκστάς,* εἰς τὴν ἡμῶν ἐσχατιὰν* κατῆλθες ἐκών,* σαρκωθεὶς ὁ ὑπερούσιος,* καὶ πάντας ἀνύψωσας* πρὸς τὴν θείαν δόξαν ὡς εὔσπλαγχνος.

Ὠδὴ ε'. (Οἱ ὀρθρίζοντες).

Ἡ ἀρχίφωτος φύσις,* Τριὰς τοῖς χαρακτῆρσι,* καὶ Μονὰς ἐν βουλήσει* καὶ δόξῃ καὶ τιμῇ,* κραταίωσον ἡμᾶς* εἰς τὴν σὴν ἀγάπησιν. (Δὶς)

Νοῦν καὶ Λόγον καὶ Πνεῦμα,* τὴν μίαν θεαρχίαν* καὶ τρισήλιον φύσιν* δοξάζοντες, αἰτοῦμεν* ῥυσθῆναι πειρασμῶν* καὶ παντοίων θλίψεων.

Θεοτοκίον.

Μορφωθεὶς, Θεοῦ Λόγε,* τὴν φύσιν τῶν ἀνθρώπων* ἐξ ἁγίας Παρθένου,* Τριάδα ἐν μονάδι* ἐδίδαξας ὑμνεῖν,* σύμμορφον καὶ σύνθρονον.

Ὠδὴ ς'. (Ναυτιῶν τῷ σάλῳ).

Ὁμοδόξῳ κράτει* τὴν μοναρχικὴν θεαρχίαν,* τρισὶν ὑποστάσεσι πεφυκυῖαν* ἀπαραλλάκτως ἀλλήλαις, δοξάζομεν,* τὴν διαφορὰν ἐχούσαις μόνην* τῆς ὑπαρκτικῆς ἑκάστης ἰδιότητος. (Δὶς)

Νοεραί σε τάξεις* τῶν ἀγγελικῶν διακόσμων* αἰνοῦσι, τρισήλιε μοναρχία·* μεθ' ὧν καὶ ἡμεῖς ἐν πηλίνοις στόμασιν* ὡς ποιητικὴν ἁπάντων μόνην* ἀνυμνολογοῦμεν καὶ πιστῶς δοξάζομεν.

Θεοτοκίον.

Ἀπορρήτῳ λόγῳ,* Λόγος γεννηθεὶς ἐξ ἡλίου,* Πατρός, ἄλλος ἥλιος πρὸ αἰώνων,* ἐκ τῆς Παρθένου ἐσχάτως ἀνέτειλε* καὶ μοναδικὸν τρισὶ προσώποις* τὸν ἀπερινόητον Θεὸν ἐδίδαξε.

Κάθισμα. (Πυρὸς φωτεινότερον).

Τριὰς ὁμοούσιε,* Μονὰς τρισυπόστατε,* ἐλέησον οὓς ἔπλασας, ἀθάνατε,* καταφλέγουσα κακίας τῶν πταιόν-

των* καὶ φωτίζουσα καρδίας τῶν ὑμνούντων* τὴν εὐσπλαγχνίαν σου'* ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Πυρὸς φωτεινότερον,* φωτὸς ἐναργέστερον* τὸ ἔλεος τῆς χάριτός σου, Δέσποινα,* καταφλέγον ἁμαρτίας τῶν ἀνθρώπων* καὶ δροσίζον διανοίας τῶν ὑμνούντων* τὰ μεγαλεῖά σου,* Θεοτόκε πανάμωμε.

Ὠδὴ ζ'. (Οἱ ἐν καμίνῳ τοῦ πυρός).

Ρήσεσι θείων προφητῶν* πειθαρχοῦντες, ἕνα σε μόνον* Θεὸν τῶν ὅλων δοξάζομεν* ἐν τρισὶ χαρακτῆρσιν,* οὕτω βοῶντες'* Εὐλογητὸς εἶ Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν. (Δίς)

Χοϊκοῖς χείλεσιν ἡμεῖς* σὺν ἀΰλοις τάξεσιν ὕμνοις,* Τριὰς ἁγία, σὲ μέλπομεν* ἐν μονάδι οὐσίας,* ἀναβοῶντες'* Εὐλογητὸς εἶ Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἵνα ὁ πλάσας τὸν Ἀδὰμ* ἀναπλάσῃ, πάναγνε, πάλιν,* ἐκ σοῦ σαφῶς ἐνηνθρώπησε,* τοὺς ἀνθρώπους θεώσας* οὕτω βοῶντας'* Εὐλογημένος, πάναγνε,* ὁ καρπὸς τῆς κοιλίας σου.

Ὠδὴ η'. (Ἄφλεκτος πυρί).

Κρατεῖς τοῦ παντὸς* ἡ τριττὴ καὶ ἑνιαία* κυριαρχία, ἄναρχε,* καὶ διιθύνεις οὐρανὸν καὶ τὴν γῆν'* διὸ με φίλτρῳ τῷ σῷ* καταθελγόμενον ἀεὶ* φύλαξον ψάλλειν σοι'* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ἡλίου βολαῖς* τριλαμποῦς καταυγασθῆναι* φωτουργικαῖς ἀξίωσον* τῶν ὑμνῳδῶν σου τὰς καρδίας καὶ νοῦν,* ὁρᾶν δὲ κάλλος τὸ σόν,* Τριὰς μονάς, ὡς ἐφικτόν,* δώρησαι πάντοτε,* πᾶσι τοῖς πίστει πρεπούσῃ* τὴν σὴν μεγαλωσύνην* ἀνυμνολογοῦσιν* εἰς πάντας τοὺς αἰῶνας.

Ναόν με τῆς σῆς* τριφαοῦς ποίησον αἴγλης,* ἀγαθουργέ, φιλάνθρωπε,* καὶ μετουσίαις καὶ μεθέξεσι σαῖς,* ἀ-

πρόσιτον τοῖς ἐχθροῖς* τοῖς ἀοράτοις καὶ σαρκὸς* πάθεσι, Δέσποτα,* δεῖξον, μονάρχα Θεέ μου* καὶ Κύριε τῆς δόξης,* τοῦ ὑμνολογεῖν σε* εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Φῶς θεαρχικὸν* ἐκ γαστρός σου ἀνατεῖλαν,* παρθενομῆτορ ἄχραντε,* πάντα τὸν κόσμον τρισηλίῳ φωτὶ* κατηύγασε καὶ τὴν γῆν* καθάπερ ἄλλον οὐρανὸν* ἔδειξε ψάλλουσαν* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. (Μήτηρ Θεοῦ καὶ Παρθένος).

Ὑψηγορεῖν* καὶ ὑμνεῖν ἀξίως σε,* ὃν ἐν ὑψίστοις ἀπαύστως* Σεραφὶμ ἀνυμνοῦσιν,* οὐκ ἐξισχύομεν οἱ πήλινοι* πλὴν ὡς Δεσπότην τῶν ὅλων τολμῶντες* καὶ φιλανθρωπότατον Θεὸν μεγαλύνομεν.

Σωματικῆς* ἀλγηδόνος λύτρωσαι* καὶ ψυχικῆς ἐμπαθείας* τοὺς πιστοὺς ὑμνῳδούς σου,* μοναδικὴ Τριὰς ἀχώριστε* καὶ διαφυλάττεσθαι ἀτρώτους ἐκ πάντων* τῶν βιωτικῶν πειρατηρίων ἀξίωσον.

Ἰσοσθενὴς* θεαρχία τρίφωτε,* προϊσχομένη τὸ κράτος,* ἀπαράλλακτον κάλλος,* τῆς οὐσιώδους ἀγαθότητος,* δὸς τῶν πταισμάτων τὴν λύσιν σοῖς δούλοις* καὶ τῶν πειρασμῶν καὶ παθῶν ἀπολύτρωσιν.

Θεοτοκίον.

Νοῦν καὶ ψυχὴν* καὶ σαρκὸς τὸ φύραμα* προσειληφὼς, Θεοτόκε,* ἐκ σῆς μήτρας ἀχράντου* ὁ Θεὸς Λόγος, κατ᾽ ἀλήθειαν* ἄνθρωπος ὤφθη καὶ θείας οὐσίας* κοινωνὸν τὸν ἄνθρωπον σαφῶς ἐναπέφηνε.

Τὸ Ἄξιόν ἐστιν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα ἀναστάσιμα. Ἦχος βαρύς.

Ἡ ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο,* καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο·* ὡς βασιλέα ὑπνοῦντα* στρατιῶται ἐφύλαττον Χριστόν,* καὶ ἄγγελοι ἐδόξαζον* ὡς Θεὸν ἀθάνατον,* γυναῖκες δὲ ἐκραύγαζον·* Ἀνέστη ὁ Κύριος,* παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα.

Τῇ τριημέρῳ ταφῇ σου* σκυλεύσας τὸν θάνατον* καὶ φθαρέντα τὸν ἄνθρωπον* τῇ ζωηφόρῳ ἐγέρσει σου* ἀναστήσας, Χριστὲ ὁ Θεός,* ὡς φιλάνθρωπος δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν* καὶ ἀναστάντα Χριστὸν τὸν Θεὸν* καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος* ἀπαύστως ἱκέτευε,* Θεοτόκε Παρθένε,* ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β΄ στιχολογίαν, ἕτερα.

Ἐσφραγισμένου τοῦ μνήματος,* ἡ ζωὴ ἐκ τάφου* ἀνέτειλας, Χριστὲ ὁ Θεός,* καὶ τῶν θυρῶν κεκλεισμένων,* τοῖς μαθηταῖς ἐπέστης,* ἡ πάντων ἀνάστασις,* Πνεῦμα εὐθὲς δι᾽ αὐτῶν* ἐγκαινίζων ἡμῖν* κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα.

Ἐπὶ τὸ μνῆμα ἔδραμον γυναῖκες* μετὰ δακρύων μύρα φέρουσαι,* καὶ στρατιωτῶν φυλασσόντων σε* τὸν τῶν ὅλων βασιλέα,* ἔλεγον πρὸς ἑαυτάς·* Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον;* καὶ φωνῆς ἀσωμάτων* ἤκουον λεγούσης·* Ἀνέστη ὁ μεγάλης βουλῆς Ἄγγελος,* πατήσας τὸν θάνατον.* Παντοδύναμε καὶ ἀκατάληπτε* Κύριε, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, κεχαριτωμένη* Θεοτόκε Παρθένε,* λιμὴν καὶ προστασία* τοῦ γένους τῶν ἀνθρώπων·* ἐκ σοῦ γὰρ ἐ-

σαρκώθη* ὁ Λυτρωτὴς τοῦ κόσμου·* μόνη γὰρ ὑπάρχεις* Μήτηρ καὶ Παρθένος,* ἀεὶ εὐλογημένη* καὶ δεδοξασμένη·* πρέσβευε Χριστῷ τῷ Θεῷ* εἰρήνην δωρήσασθαι* πάσῃ τῇ οἰκουμένῃ.

Μετὰ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια, ἡ ὑπακοή.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβὼν* καὶ ὑπομείνας Σταυρὸν σωματικῶς,* σῶσόν με τῇ ἀναστάσει σου,* Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον Α'.

Τὴν αἰχμαλωσίαν Σιὼν* ἐκ πλάνης ἐπιστρέψας,* κἀμέ, Σωτήρ, ζώωσον* ἐξαίρων δουλοπαθείας.

Ἐν τῷ νότῳ ὁ σπείρων θλίψεις,* νηστείας μετὰ δακρύων,* οὗτος χαρᾶς δρέψεται* δράγματα ἀειζωοτροφίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* πηγὴ τῶν θείων θησαυρισμάτων,* ἐξ οὗ σοφία, σύνεσις, φόβος·* αὐτῷ αἴνεσις,* δόξα, τιμὴ καὶ κράτος.

Ἀντίφωνον Β'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ* οἶκον τὸν τῆς ψυχῆς,* μάτην κοπιῶμεν·* πλὴν γὰρ αὐτοῦ οὐ πρᾶξις,* οὐ λόγος τελεῖται.

Τοῦ καρποῦ τῆς γαστρὸς* οἱ ἅγιοι πνευματοκινήτως* ἀναβλαστοῦσι* πατρῷα δόγματα υἱοθεσίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* τὰ σύμπαντα τὸ εἶναι ἔχει·* πρὸ πάντων γὰρ Θεός,* τῶν ὅλων κυριότης,* φῶς ἀπρόσιτον,* ζωὴ τῶν πάντων.

Ἀντίφωνον Γ'.

Οἱ φοβούμενοι τὸν Κύριον* ὁδοὺς ζωῆς εὑρόντες,* νῦν καὶ ἀεὶ μακαριοῦνται* δόξῃ ἀκηράτῳ.

Κύκλῳ τῆς τραπέζης σου* ὡς στελέχη βλέπων τὰ ἔκγονά σου,* χαῖρε, εὐφραίνου,* προσάγων ταῦτα* τῷ Χριστῷ, ποιμενάρχα.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* βυθὸς χαρισμάτων,* πλοῦτος δόξης,* κριμάτων βάθος μέγα·* ὁμόδοξον Πατρὶ καὶ Υἱῷ,* λατρευτὸν γάρ.

Προκείμενον.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Κανὼν ἀναστάσιμος.

Ἦχος βαρύς. Ὠδὴ α΄. Ὁ εἱρμός.

Νεύσει σου πρὸς γεώδη* ἀντιτυπίαν μετήχθη* ἡ πρὶν εὐδιάχυτος* ὑδάτων φύσις, Κύριε·* ὅθεν ἀβρόχως πεζεύσας,* ᾄδει Ἰσραὴλ σοι* ᾠδὴν ἐπινίκιον.

Τροπάρια.

Κέκριται τοῦ θανάτου* ἡ τυραννὶς διὰ ξύλου,* ἀδίκῳ θανάτῳ σου* κατακριθέντος, Κύριε·* ὅθεν ὁ ἄρχων τοῦ σκότους* σοῦ μὴ κατισχύσας* δικαίως ἐκβέβληται.

Ἅδης σοι προσπελάσας* καὶ τοῖς ὀδοῦσι μὴ σθένων* συντρίψαι τὸ σῶμά σου,* τὰς σιαγόνας τέθλασται·* ὅθεν, Σωτήρ, τὰς ὀδύνας* λύσας τοῦ θανάτου,* ἀνέστης τριήμερος.

Θεοτοκίον.

Ἑλύνται αἱ ὠδῖνες,* αἱ τῆς προμήτορος Εὔας· ὠδῖνας λαθοῦσα γάρ,* ἀπειρογάμως τέτοκας·* ὅθεν σαφῶς Θεοτόκον,* πάναγνε, εἰδότες* σὲ πάντες δοξάζομεν.

Ὠδὴ γ΄. Ὁ εἱρμός.

Οκατ᾽ ἀρχὰς τοὺς οὐρανοὺς* παντοδυνάμῳ σου Λόγῳ* στερεώσας, Κύριε Σωτήρ,* καὶ τῷ παντουργῷ καὶ θείῳ Πνεύματι* πᾶσαν τὴν δύναμιν αὐτῶν,* ἐν ἀσαλεύτῳ με πέτρᾳ* τῆς ὁμολογίας σου στερέωσον.

Τροπάρια.

Σὺ ἀνελθὼν ἐπὶ ξύλου,* ὑπὲρ ἡμῶν ὀδυνᾶσαι* ἑκουσίως, εὔσπλαγχνε Σωτήρ,* καὶ φέρεις πληγὴν εἰρήνης πρόξενον* καὶ σωτηρίας τοῖς πιστοῖς,* δι᾽ ἧς τῷ σῷ, ἐλεῆμον,* πάντες κατηλλάγημεν γεννήτορι.

Σὺ με καθῆρας τῆς πληγῆς,* τὸν τῇ ψυχῇ τετρωμένον* δρακοντείῳ δήγματι, Χριστέ,* καὶ ἔδειξας φῶς ἐν σκότει πάλαι μοι* κατῳκισμένῳ καὶ φθορᾷ·* διὰ Σταυροῦ γὰρ εἰς ᾅδην* καταβεβηκώς με συνανέστησας.

Θεοτοκίον.

Τῆς ἀπειράνδρου σου Μητρὸς* ταῖς ἱκεσίαις τῷ κόσμῳ* τὴν εἰρήνην βράβευσον, Σωτήρ,* καὶ τῷ βασιλεῖ τὴν νίκην δώρησαι* κατὰ βαρβάρων δυσμενῶν* καὶ τῆς ἀφράστου σου δόξης* τοὺς δοξολογοῦντάς σε ἀξίωσον.

Κοντάκιον. (Οὐκέτι φλογίνη ῥομφαία).

Οὐκέτι τὸ κράτος τοῦ θανάτου* ἰσχύσει κατέχειν τοὺς βροτούς·* Χριστὸς γὰρ κατῆλθε, συντρίβων* καὶ λύων τὰς δυνάμεις αὐτοῦ·* δεσμεῖται ὁ ᾅδης,* προφῆται συμφώνως ἀγάλλονται,* Ἐπέστη, λέγοντες,* Σωτὴρ τοῖς ἐν σκότει·* ἐξέρχεσθε, οἱ πιστοί, εἰς τὴν ἀνάστασιν.

Ὁ οἶκος.

Ετρεμε κάτωθεν* τὰ καταχθόνια σήμερον,* ὁ ᾅδης καὶ ὁ θάνατος,* τὸν ἕνα τῆς Τριάδος·* ἡ γῆ ἐκλονεῖτο,* πυλωροὶ δὲ ᾅδου* ἰδόντες σε ἔπτηξαν·* ἡ κτίσις δὲ πᾶσα σὺν τοῖς προφήταις* χαίρουσα ψάλλει σοι* ἐπινίκιον ᾠδὴν* τῷ Λυτρωτῇ ἡμῶν Θεῷ,* τῷ καταλύσαντι νῦν* θανάτου τὴν δύναμιν.* Ἀλαλάξωμεν καὶ βοήσωμεν·* Τὸν Ἀδὰμ καὶ τοὺς

ἐξ Ἀδὰμ* ξύλον τοῦτο εἰσήγαγεν·* ἐξέρχεσθε, οἱ πιστοί, εἰς τὴν ἀνάστασιν.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα. Ἦχος βαρύς.

Ἀνέστη Χριστὸς ἐκ νεκρῶν,* λύσας θανάτου τὰ δεσμά·* εὐαγγελίζου, γῆ, χαρὰν μεγάλην·* αἰνεῖτε, οὐρανοί, Θεοῦ τὴν δόξαν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι,* προσκυνήσωμεν ἅγιον Κύριον,* Ἰησοῦν τὸν μόνον ἀναμάρτητον.

Χριστοῦ τὴν ἀνάστασιν* προσκυνοῦντες οὐ παυόμεθα·* αὐτὸς γὰρ ἡμᾶς ἔσωσεν* ἐκ τῶν ἀνομιῶν ἡμῶν·* ἅγιος Κύριος Ἰησοῦς,* ὁ δείξας τὴν ἀνάστασιν.

Τί ἀνταποδώσομεν τῷ Κυρίῳ* περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;* δι' ἡμᾶς Θεὸς ἐν ἀνθρώποις·* διὰ τὴν καταφθαρεῖσαν φύσιν* ὁ Λόγος σὰρξ ἐγένετο* καὶ ἐσκήνωσεν ἐν ἡμῖν·* πρὸς τοὺς ἀχαρίστους ὁ εὐεργέτης·* πρὸς τοὺς αἰχμαλώτους ὁ ἐλευθερωτής·* πρὸς τοὺς ἐν σκότει καθημένους* ὁ ἥλιος τῆς δικαιοσύνης·* ἐπὶ τὸν Σταυρὸν ὁ ἀπαθής·* ἐπὶ τὸν ᾅδην, τὸ φῶς·* ἐπὶ τὸν θάνατον ἡ ζωή·* ἡ ἀνάστασις διὰ τοὺς πεσόντας·* πρὸς ὃν βοήσωμεν·* Ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Πύλας ᾅδου συνέτριψας, Κύριε,* καὶ θανάτου τὸ κράτος κατήργησας* τῇ κραταιᾷ δυνάμει σου·* καὶ συνήγειρας νεκρούς,* τοὺς ἀπ' αἰῶνος ἐν σκότει καθεύδοντας,* τῇ θείᾳ καὶ ἐνδόξῳ ἀναστάσει σου,* ὡς βασιλεὺς τοῦ παντὸς* καὶ Θεὸς παντοδύναμος.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ* καὶ εὐφρανθῶμεν* ἐν τῇ ἀναστάσει αὐτοῦ·* ὅτι συνήγειρε νεκροὺς* ἐκ τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν* καὶ ἐδωρήσατο τῷ κόσμῳ ὡς Θεὸς* ζωὴν αἰώνιον* καὶ τὸ μέγα ἔλεος.

Ἐξαστράπτων ἄγγελος* ἐν τῷ λίθῳ ἐκάθητο* τοῦ ζωοδόχου μνήματος* καὶ γυναιξὶ μυροφόροις* εὐηγγελίζετο λέγων·* Ἀνέστη ὁ Κύριος,* καθὼς προεῖπεν ὑμῖν·* ἀπαγγεί-

λατε τοῖς μαθηταῖς αὐτοῦ,* ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν·* τῷ δὲ κόσμῳ παρέχει* ζωὴν αἰώνιον* καὶ τὸ μέγα ἔλεος.

Τί ἀπεδοκιμάσατε* τὸν λίθον τὸν ἀκρογωνιαῖον,* ὦ παράνομοι Ἰουδαῖοι;* οὗτός ἐστιν ὁ λίθος,* ὃν ἔθετο ὁ Θεὸς ἐν Σιών,* ὁ ἐκ πέτρας πηγάσας* ἐν ἐρήμῳ τὸ ὕδωρ,* καὶ ἡμῖν ἀναβλύζων* ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀθανασίαν·* οὗτός ἐστιν ὁ λίθος,* ὁ ἐξ ὄρους παρθενικοῦ ἀποτμηθεὶς* ἄνευ θελήματος ἀνδρός,* ὁ Υἱὸς τοῦ ἀνθρώπου,* ὁ ἐρχόμενος* ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ* πρὸς τὸν παλαιὸν τῶν ἡμερῶν,* καθὼς εἶπε Δανιήλ,* καὶ αἰώνιος αὐτοῦ ἡ βασιλεία.

Δόξα. Τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη κ.τ.λ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοί.
Ἦχος βαρύς.

Ὡραῖος ἦν καὶ καλὸς εἰς βρῶσιν* ὁ ἐμὲ θανατώσας καρπός·* Χριστός ἐστι τὸ ξύλον τῆς ζωῆς,* ἐξ οὗ φαγὼν οὐ θνήσκω,* ἀλλὰ βοᾷ σὺν τῷ ληστῇ·* Μνήσθητί μου, Κύριε,* ἐν τῇ βασιλείᾳ σου.

Ἐν τῷ Σταυρῷ ὑψωθείς, οἰκτίρμον,* τοῦ Ἀδὰμ τὸ χειρόγραφον* τῆς πάλαι ἁμαρτίας ἐξήλειψας* καὶ ἔσωσας ἐκ πλάνης* ἅπαν τὸ γένος τῶν βροτῶν·* ὅθεν ἀνυμνοῦμέν σε,* εὐεργέτα Κύριε.

Προσήλωσας ἐν Σταυρῷ, οἰκτίρμον,* τὰς ἡμῶν ἁμαρτίας, Χριστέ,* καὶ τῷ σῷ θανάτῳ τὸν θάνατον* ἐνέκρωσας, ἐγείρας* τοὺς τεθνεῶτας ἐκ νεκρῶν·* ὅθεν προσκυνοῦμέν σου* τὴν σεπτὴν ἀνάστασιν.

Ἐξέχεε τὸν ἰὸν ὁ ὄφις* ἀκοαῖς ταῖς τῆς Εὔας ποτέ·* Χριστὸς δὲ ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ* ἐπῆγασε τῷ κόσμῳ* τῆς ζωῆς τὸν γλυκασμόν.* Μνήσθητί μου, Κύριε,* ἐν τῇ βασιλείᾳ σου.

Ἐν μνήματι ὡς θνητὸς ἐτέθης,* ἡ ζωὴ τῶν ἁπάντων, Χριστέ,* καὶ ἔθλασας τοῦ ᾅδου τοὺς μοχλούς·* καὶ ἀναστὰς ἐν δόξῃ* τριήμερος ὡς δυνατός,* πάντας κατεφώτισας.* Δόξα τῇ ἐγέρσει σου.

Ὁ Κύριος ἀναστὰς τριήμερος* ἐκ νεκρῶν, ἐδωρήσατο* εἰρήνην τὴν ἰδίαν τοῖς μαθηταῖς·* καὶ τούτους εὐλογήσας,* ἐξαπέστειλεν εἰπών·* Πάντας προσαγάγετε* εἰς τὴν βασιλείαν μου.

Δόξα. Τριαδικόν.

Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱὸς καὶ Λόγος,* φῶς τὸ Πνεῦμα τὸ ἅγιον,* ἀλλ' ἓν φῶς τὰ τρία· εἷς γὰρ Θεός,* ἐν τρισὶ μὲν προσώποις,* μιᾷ δὲ φύσει καὶ ἀρχῇ,* ἄτμητος, ἀσύγχυτος* πέλων, προαιώνιος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκύησας τὸν Υἱὸν καὶ Λόγον* τοῦ Πατρὸς ἐν σαρκὶ ἐπὶ γῆς,* ὡς οἶδε, Θεοτόκε, μόνος αὐτός* διό, παρθενομῆτορ,* οἱ θεωθέντες διὰ σοῦ,* Χαῖρέ σοι κραυγάζομεν,* τῶν Χριστιανῶν ἡ ἐλπίς.

ΗΧΟΣ ΠΛ. Δ΄.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ ἀναστάσιμα. Ἦχος πλ. δ΄.

Ἑσπερινὸν ὕμνον* καὶ λογικὴν λατρείαν* σοί, Χριστέ, προσφέρομεν,* ὅτι ηὐδόκησας* τοῦ ἐλεῆσαι ἡμᾶς* διὰ τῆς ἀναστάσεως.

Κύριε, Κύριε,* μὴ ἀποβρίψῃς ἡμᾶς* ἀπὸ τοῦ προσώπου σου·* ἀλλὰ εὐδόκησον* τοῦ ἐλεῆσαι ἡμᾶς* διὰ τῆς ἀναστάσεως.

Χαῖρε, Σιὼν ἁγία,* Μήτηρ τῶν Ἐκκλησιῶν,* Θεοῦ κατοικητήριον·* σὺ γὰρ ἐδέξω πρώτη* ἄφεσιν ἁμαρτιῶν* διὰ τῆς ἀναστάσεως.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος* πρὸ τῶν αἰώνων γεννηθείς,* ἐπ' ἐσχάτων δὲ τῶν χρόνων* ὁ αὐτὸς ἐκ τῆς ἀπειρογάμου σαρκωθείς,* βουλήσει σταύρωσιν θανάτου ὑπέμεινε* καὶ τὸν πάλαι νεκρωθέντα* ἄνθρωπον ἔσωσε* διὰ τῆς ἑαυτοῦ ἀναστάσεως.

Τὴν ἐκ νεκρῶν σου ἀνάστασιν* δοξολογοῦμεν, Χριστέ,* δι' ἧς ἠλευθέρωσας* Ἀδαμιαῖον γένος* ἐκ τῆς τοῦ ᾅδου τυραννίδος* καὶ ἐδωρήσω τῷ κόσμῳ ὡς Θεὸς* ζωὴν αἰώνιον* καὶ τὸ μέγα ἔλεος.

Δόξα σοι, Χριστὲ Σωτήρ,* Υἱὲ Θεοῦ μονογενές,* ὁ προσπαγεὶς ἐν τῷ Σταυρῷ* καὶ ἀναστὰς ἐκ τάφου τριήμερος.

Σὲ δοξάζομεν, Κύριε,* τὸν ἑκουσίως δι' ἡμᾶς* Σταυρὸν ὑπομείναντα,* καὶ σὲ προσκυνοῦμεν,* παντοδύναμε Σωτήρ.* Μὴ ἀπορρίψῃς ἡμᾶς* ἀπὸ τοῦ προσώπου σου,* ἀλλ' ἐπάκουσον καὶ σῶσον ἡμᾶς* διὰ τῆς ἀναστάσεώς σου, φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ βασιλεὺς τῶν οὐρανῶν* διὰ φιλανθρωπίαν* ἐπὶ τῆς γῆς ὤφθη* καὶ τοῖς ἀνθρώποις συνανεστράφη·* ἐκ Παρθένου γὰρ ἁγνῆς* σάρκα προσλαβόμενος* καὶ ἐκ ταύτης προελθὼν* μετὰ τῆς προσλήψεως,* εἷς ἐστιν Υἱός,* διπλοῦς τὴν φύσιν,* ἀλλ' οὐ τὴν ὑπόστασιν·* διὸ τέλειον αὐτὸν Θεὸν* καὶ τέλειον ἄνθρωπον* ἀληθῶς κηρύττοντες,* ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν·* ὃν ἱκέτευε, Μῆτερ ἀνύμφευτε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχα ἀναστάσιμα. Ἦχος πλ. δ'.

Ἀνῆλθες ἐπὶ σταυροῦ, Ἰησοῦ,* ὁ καταβὰς ἐξ οὐρανοῦ·* ἦλθες ἐπὶ θάνατον,* ἡ ζωὴ ἡ ἀθάνατος·* πρὸς τοὺς ἐν σκότει,* τὸ φῶς τὸ ἀληθινόν·* πρὸς τοὺς πεσόντας,* ἡ πάν-

των ἀνάστασις.* Ὁ φωτισμὸς καὶ ὁ Σωτὴρ ἡμῶν,* δόξα σοι.

Τὰ κατ' ἀλφάβητον.

Χριστὸν δοξολογήσωμεν* τὸν ἀναστάντα ἐκ νεκρῶν* ψυχὴν καὶ σῶμα γὰρ ἀναλαβών,* τῷ πάθει ἀπ' ἀλλήλων διέτεμε* τῆς ἀχράντου μὲν ψυχῆς* ἐν ᾅδῃ κατελθούσης,* ὃν καὶ ἐσκύλευσε* τάφῳ δὲ διαφθορὰν* οὐκ εἶδε τὸ ἅγιον σῶμα* τοῦ Λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

Ψαλμοῖς καὶ ὕμνοις* δοξολογοῦμεν, Χριστέ,* τὴν ἐκ νεκρῶν σου ἀνάστασιν* δι' ἧς ἡμᾶς ἠλευθέρωσας* τῆς τυραννίδος τοῦ ᾅδου* καὶ ὡς Θεὸς ἐδωρήσω* ζωὴν αἰώνιον* καὶ τὸ μέγα ἔλεος.

Ὦ Δέσποτα τῶν ἁπάντων,* ἀκατάληπτε ποιητὰ* οὐρανοῦ καὶ γῆς,* διὰ Σταυροῦ παθών,* ἐμοὶ ἀπάθειαν ἐπήγασας* ταφὴν δὲ καταδεξάμενος* καὶ ἀναστὰς ἐν δόξῃ,* συνανέστησας τὸν Ἀδὰμ* χειρὶ παντοδυνάμῳ.* Δόξα τῇ σῇ τριημέρῳ ἐγέρσει,* δι' ἧς δεδώρησαι ἡμῖν* τὴν αἰώνιον ζωὴν* καὶ ἱλασμὸν ἁμαρτιῶν,* ὡς μόνος εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε,* ἡ τὸν Θεὸν ἀφράστως* συλλαβοῦσα σαρκί,* Μήτηρ Θεοῦ τοῦ ὑψίστου,* σῶν οἰκετῶν παρακλήσεις* δέχου, πανάμωμε* ἡ πᾶσι χορηγοῦσα* καθαρισμὸν τῶν πταισμάτων,* νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη,* δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Ἀπολυτίκιον ἀναστάσιμον.

Ἐξ ὕψους κατῆλθες, ὁ εὔσπλαγχνος,* ταφὴν κατεδέξω τριήμερον,* ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν* ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν,* Κύριε, δόξα σοι.

Θεοτοκίον.

Ὃν δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου* καὶ σταύρωσιν ὑπομείνας, ἀγαθέ,* ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας* καὶ ἔγερσιν δείξας ὡς Θεός,* μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου* δεῖξον τὴν φιλανθρωπίαν σου, ἐλεῆμον* δέξαι

τὴν τεκοῦσάν σε Θεοτόκον* πρεσβεύουσαν ὑπὲρ ἡμῶν* καὶ σῶσον, Σωτὴρ ἡμῶν,* λαὸν ἀπεγνωσμένον.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

Κανὼν τριαδικὸς ἔχων ἀκροστιχίδα·
Τριὰς Μονάς, σῶσόν με τὸν σὸν οἰκέτην.
Ποίημα Μητροφάνους Σμύρνης.

Ἦχος πλ. δ΄. Ὠδὴ α΄. (Ἁρματηλάτην Φαραώ).

Τῷ τρισηλίῳ βασιλεῖ καὶ πρύτανι* καὶ προμηθεῖ τοῦ παντὸς* καὶ ἀγαθῷ μόνῳ* φυσικῶς ὑπάρχοντι* καὶ ἐνιαίαν ἔχοντι* τῆς Θεότητος δόξαν,* Θεῷ μονάρχῃ προσπίπτομεν,* ὕμνον τὸν τρισάγιον ᾄδοντες.

Ρῆσεις τὰς θείας καὶ χρησμοὺς τοὺς ἄνωθεν* μεμυημένοι σαφῶς,* θεαρχικὴν φύσιν* ἑνικὴν δοξάζομεν,* ἀΐδιον, συνάναρχον,* ἐν τρισὶ τοῖς προσώποις,* Πατρί, Υἱῷ καὶ τῷ Πνεύματι,* δημιουργικήν, παντοδύναμον.

Ἱερομύστης Ἀβραὰμ γενόμενος,* ἱεροτύπως τὸ πρὶν* τὸν ποιητὴν πάντων* καὶ Θεὸν καὶ Κύριον* τρισὶ μὲν ὑποστάσεσιν* ὑπεδέξατο χαίρων,* τῶν δὲ τριῶν ὑποστάσεων* κράτος ἑνιαῖον ἐγνώρισεν.

Θεοτοκίον.

Ἀπειρογάμως τὸν Χριστὸν ἐκύησας,* τὸν καθ' ἡμᾶς δι' ἡμᾶς* εἰληφότα φύσιν,* πάναγνε, καὶ ἄτρεπτον* κατ' ἄμφω διαμείναντα·* ὃν δυσώπει ἀπαύστως* ἁμαρτιῶν μοι δωρήσασθαι* καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

Ὠδὴ γ΄. (Ὁ στερεώσας κατ' ἀρχάς).

Σὲ τὸν ἀπρόσιτον Θεὸν* καὶ βασιλέα τῆς δόξης* ἐπὶ θρόνου Ἡσαΐας κατεῖδεν* ὑψηλοῦ, καὶ Χερουβὶμ* καὶ Σεραφὶμ δοξάζοντα* ἀκαταπαύστοις ὕμνοις* μοναδικὸν, τρισυπόστατον.

Μόνον πατρόθεν ὡς ἐκ Νοῦ* γεγεννημένον τὸν Λόγον,* καὶ τὸ Πνεῦμα προελθὸν ἀπορρήτως,* καταλλήλοις λογισμοῖς* καὶ γραφικοῖς διδάγμασι* κατειληφότες, ἕνα* Θεὸν τρισήλιον σέβομεν.

Ὢν ἀγέννητος Πατὴρ* καὶ τῆς ἰδίας οὐσίας* τὸ ἀπαύγασμα γεννήσας ἀρρεύστως,* τὸν Υἱὸν φῶς ἐκ φωτός,* ἐκπορευτῶς προβάλλεται* συμφυὲς φῶς τὸ Πνεῦμα* τὸ παντουργὸν καὶ δμότιμον.

Θεοτοκίον.

Ναὸς ἐδείχθης καθαρός,* παρθενομῆτορ Μαρία,* τοῦ τὰ πάντα πανσθενῶς καὶ πανσόφως* ὑποστῆσαντος Χριστοῦ* καὶ τάξαντος καὶ φέροντος* ὃν ἐξιλέωσαί μοι* ταῖς μητρικαῖς σου δεήσεσι.

Κάθισμα. (Τὸ προσταχθὲν μυστικῶς).

Τῆς τρισηλίου καὶ σεπτῆς* τελεταρχίας* τὰς δυναστείας οἱ πιστοὶ* νῦν εὐφημοῦμεν·* ὅτι νεύματι μόνῳ* τὸ πᾶν συνέστησε* τὰς ἄνω χοροστασίας* ἀγγελικάς,* τὰς κάτω ἱεραρχίας* Ἐκκλησιῶν,* τοῦ κραυγάζειν τὸ Ἅγιος,* ἅγιος, ἅγιος εἶ,* Θεὲ ὑπεράγαθε·* δόξα, ὕμνος τῷ κράτει σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὸν ἀναλλοίωτον Θεὸν* ἡ τετοκυῖα,* ἀλλοιουμένην εἰς ἀεἰ* τῇ ἁμαρτίᾳ,* ταῖς προσβολαῖς τοῦ δολίου* καὶ τῇ ῥαθυμίᾳ,* στερέωσον τὴν καρδίαν μου,* ἀγαθή,* πρεσβείαις ταῖς μητρικαῖς σου,* ὅπως κἀγὼ* εὐχαρίστως κραυγάζω σοι·* Θεογεννῆτορ Μαριάμ,* ἐλέησον τὴν ποίμνην σου,* ἣν ἐκτήσω πανάμωμε.

Ὠδὴ δ΄. (Σὺ μου ἰσχύς, Κύριε).

Ἀνατολὴ* ἐπιφανεῖσα Θεότητος* τοῖς ἐν σκότει,* πᾶσαν διεσκέδασε* τὴν ἀφεγγῆ νύκτα τῶν παθῶν* καὶ δικαιοσύνης* τὸν ἥλιον ἐξανέτειλεν,* ἁπλοῦν μὲν κατ' οὐσίαν,* τριλαμπῆ δὲ προσώποις,* ὃν ὑμνοῦμεν ἀεὶ καὶ δοξάζομεν.

Σεραφικοῖς* στόμασι τὸν ἀνυμνούμενον,* τοῖς πηλίνοις* χείλεσι δοξάζομεν,* μοναδικὸν καὶ τριαδικὸν,* Κύριον

τῆς δόξης,* τῇ φύσει καὶ ὑποστάσει,* βοῶντες· Ὦ παντάναξ,* τοῖς σοῖς δούλοις παράσχου* τῶν ποικίλων πταισμάτων συγχώρησιν.

Συνεκτικὴ* πάντων τῶν ὄντων, ἀόρατε,* παντοικτίρμον,* εὔσπλαγχνε, φιλάνθρωπε,* Τριὰς σεπτὴ καὶ θεαρχική,* μή μου ἐπιλάθῃ* τοῦ σοῦ οἰκέτου τὸ σύνολον,* μηδὲ διασκεδάσῃς,* ἣν διέθου σοῖς δούλοις* διαθήκην δι' ἄφατον ἔλεος.

Θεοτοκίον.

Ὡραίαν σε,* πάναγνε, μόνην εὑράμενος,* ἐξ αἰῶνος,* Λόγος ὁ προάναρχος,* τὴν Ἰακώβ, Κόρη, καλλονήν,* καὶ ἐν σοὶ σκηνώσας,* δι' εὐσπλαγχνίαν ἀνέπλασε* τὴν φύσιν τῶν ἀνθρώπων·* ὃν δυσώπει ἀπαύστως* ἀπὸ πάσης ῥυσθῆναι με θλίψεως.

Ὠδὴ ε'. (Ἵνα τί με ἀπώσω).

Συναΐδια τρία* πρόσωπα δοξάζομεν,* ἕνα δὲ Κύριον,* σὲ τὴν θείαν φύσιν* διαιροῦντες ἁπλῶς καὶ συνάπτοντες,* καὶ πιστῶς βοῶμεν·* Θεαρχικὴ Τριὰς ἁγία,* τοὺς σοὺς δούλους ἐκ θλίψεως λύτρωσαι.

Ὁλοφύρομαι σφόδρα* διὰ τὴν ἀσθένειαν* τῆς διανοίας μου,* πῶς μὴ θέλων πάσχω* τὴν ἀβούλητον ὄντως ἀλλοίωσιν·* διὰ τοῦτο κράζω·* Ζωαρχικὴ Τριὰς ἁγία,* τῶν καλῶν ἐν τῇ στάσει με σύνταξον.

Νυσταγμῷ βαρυνθέντα* τῷ τῆς ἁμαρτίας με* καὶ συνωθούμενον* πρὸς θανάτου ὕπνον,* ὡς φιλάνθρωπος καὶ ὑπεράγαθος* καὶ παντελεήμων,* θεαρχικὴ Τριὰς ἁγία,* κατοικτείρησον καὶ διανάστησον.

Θεοτοκίον.

Μητροπάρθενε Κόρη,* πάναγνε, πανάμωμε,* θεοχαρίτωτε,* ταῖς σαῖς ἱκεσίαις* τὸν Υἱὸν καὶ Θεόν σου καὶ Κύριον* ἐξιλέωσαί μοι,* καὶ τῶν παθῶν καὶ τῶν πταισμάτων* τὸν σὸν δοῦλον ἐκλύτρωσαι τάχιον.

Ὠδὴ ς'. (Ἱλάσθητί μοι Σωτήρ).

Ἐπουρανίων νοῶν* ταξιαρχίας μιμούμενοι,* μοναρχικὴ τοῦ παντὸς* Τριὰς ὑπερούσιε,* τρισαγίοις ᾄσμασι* σὲ δοξολογοῦμεν* τοῖς πηλίνοις ἡμῶν στόμασι.

Τὸν κατ' εἰκόνα τὴν σὴν* τὸν ἄνθρωπον διαπλάσαντα,* καὶ ἐξ οὐκ ὄντων τὸ πᾶν* σοφῶς ὑποστήσαντα,* Θεὸν τρισυπόστατον,* προσκυνῶ καὶ σέβω* καὶ ὑμνῶ καὶ μεγαλύνω σε.

Ὁ παντοκράτωρ Θεὸς* καὶ μόνος ἀπερινόητος,* ἐνοίκησον ἐν ἐμοὶ* δι' ἄφατον ἔλεος,* τρισήλιε Δέσποτα,* καὶ καταύγασόν με* καὶ συνέτισον ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

Ναὸς ἐδείχθης Θεοῦ* τοῦ ἀχωρήτου, πανάχραντε·* ναὸν κἀμὲ τῆς αὐτοῦ* δεῖξον θείας χάριτος,* Παναγία Δέσποινα,* ταῖς σαῖς ἱκεσίαις* καὶ συντήρησον ἀλώβητον.

Κάθισμα. (Τὸ προσταχθέν).

Πατέρα ἄναρχον, πιστοί,* Υἱὸν συνάναρχον* καὶ Πνεῦμα θεῖον ἀληθῶς* ὑμνολογοῦμεν* ἀσυγχύτως, ἀτρέπτως* καὶ ἀναλλοιώτως,* Τριάδα ἁπλῆν, ἁγίαν* καὶ συμφυῆ,* βοῶντες σὺν τοῖς ἀγγέλοις·* Ἅγιος εἶ,* Πάτερ, Υἱὲ σὺν τῷ Πνεύματι* τῷ παναγίῳ καὶ σεπτῷ·* ἐλέησον οὓς ἔπλασας* κατ' εἰκόνα σου, Δέσποτα.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Εὐχαριστοῦμέν σοι ἀεί,* Θεοτόκε,* καὶ μεγαλύνομεν, ἀγνή,* καὶ προσκυνοῦμεν,* ἀνυμνοῦντες τὸν τόκον σου,* Κεχαριτωμένη,* βοῶντες ἀκαταπαύστως·* Σῶσον ἡμᾶς,* Παρθένε παντελεῆμον,* ὡς ἀγαθή,* καὶ δαιμόνων ἐξάρπασον* λογοθεσίου φοβεροῦ* ἐν ὥρᾳ τῆς ἐτάσεως* μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Ὠδὴ ζ'. (Θεοῦ συγκατάβασιν).

Σοφίᾳ ἀῤῥήτῳ σου* καὶ τῷ πελάγει* τῆς ἀγαθότητος* δωρεὰν τὸν σὸν δοῦλον* ἠλεημένον ἀνάδειξόν με καὶ

νῦν,* καθάπερ πάλαι,* καὶ ῥῦσαι κακώσεως,* Τριὰς Μονὰς ὁ Θεός,* ἁμαρτιῶν καὶ παθῶν. (Δὶς)

Ὁ νοῦς ὁ ἀγέννητος* Πατὴρ καὶ Λόγος* ὁ γεννηθεὶς ἐξ αὐτοῦ* καὶ τὸ Πνεῦμα τὸ θεῖον,* ἀκαταλήπτως ἐκπορευτὸν πεφυκός,* Θεὲ μονάρχα* τρισῆλιε, ψάλλω σοι* Εὐλογητὸς ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Νενέκρωμαι, πάναγνε,* τῆς ἁμαρτίας* πιῶν τὸ φάρμακον,* καὶ προστρέχω σοι πίστει* τῇ τετοκυίᾳ τὸν ἀρχηγὸν τῆς ζωῆς·* ταῖς σαῖς πρεσβείαις* τὸν δοῦλόν σου ζώωσον* καὶ πειρασμῶν καὶ παθῶν* λύτρωσαι, μόνη ἁγνή.

Ὠδὴ η'. (Ἑπταπλασίως κάμινον).

Ὁ φῶς ὑπάρχων ἄδυτον,* τριλαμπὲς καὶ τρισῆλιον* καὶ μοναρχικόν, μονοκρατές, ἁπλούστατον,* Θεὸς ἀκατάληπτος* καὶ μονοκράτωρ Κύριος,* νῦν τὴν σκοτεινὴν καὶ ζοφεράν μου καρδίαν* καταύγασον καὶ δεῖξον* φωταυγῆ καὶ φωσφόρον,* ὑμνεῖν σε καὶ δοξάζειν* εἰς πάντας τοὺς αἰῶνας.

Ἱερωτάταις πτέρυξι* Σεραφὶμ οἱ θειότατοι* πρόσωπα καὶ πόδας εὐλαβῶς καλύπτουσι,* τὴν δόξαν μὴ φέροντες* τοῦ ἀμηχάνου κάλλους σου,* ἀγαθαρχική, θεαρχικὴ μοναρχία,* Τριὰς ὑπεραγία·* πλὴν ἡμεῖς ἀνυμνεῖν σε* τολμῶμεν καὶ δοξάζειν* πιστῶς εἰς τοὺς αἰῶνας.

Κυριαρχίαν ἄναρχον,* πανσθενῆ καὶ πανάγαθον,* τελεταρχικήν, ἀγαθουργόν, ἀόριστον,* αἰτίαν ἀναίτιον,* ποιητικήν, ἀΐδιον,* προνοητικὴν καὶ σωστικὴν τῶν ἁπάντων,* Μονάδα κατ' οὐσίαν* καὶ Τριάδα προσώποις,* δοξάζω σε, Θεέ μου,* πιστῶς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐπὶ τῆς γῆς ἀνέτειλεν* ὁ ἑσπερος ἥλιος* διὰ τῆς ἐκ σοῦ παρθενικῆς γεννήσεως,* πανάχραντε Δέσποινα,* καὶ τοὺς βροτοὺς ἀπήλλαξε* τῆς εἰδωλικῆς καὶ ζοφερᾶς σκοτο-

μήνης΄* διὸ καὶ νῦν με μᾶλλον * τῆς αὐτοῦ θεαρχίας* καταύγασον ταῖς αἴγλαις* καὶ φρούρει τὸν σὸν δοῦλον.

Ὠδὴ θ΄. (Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός).

Τὴν πάντων βασιλίδα καὶ παντουργόν,* ὑπεράρχιον φύσιν, ὑπέρχρονον,* ζωαρχικήν,* εὐσπλαγχνον, φιλάνθρωπον, ἀγαθήν,* ἐναρχικὴν Τριάδα σε,* νῦν δοξολογοῦντες, ἁμαρτιῶν* συγχώρησιν αἰτοῦμεν,* τῷ κόσμῳ τὴν εἰρήνην* καὶ Ἐκκλησίαις τὴν ὁμόνοιαν. (Δὶς)

Ἡμία κυριότης καὶ τριλαμπής,* ἐνικὴ θεαρχία τρισήλιε,* τοὺς ὑμνητάς* πρόσδεξαι τοὺς σοὺς ἀγαθοπρεπῶς* καὶ τῶν πταισμάτων λύτρωσαι* καὶ τῶν πειρασμῶν καὶ τῶν δυσχερῶν,* καὶ θᾶττον τὴν εἰρήνην* παράσχου φιλανθρώπως* ταῖς Ἐκκλησίαις καὶ τὴν ἕνωσιν.

Θεοτοκίον.

Νηδύν, Χριστὲ Σωτήρ μου, παρθενικήν,* ἐνοικήσας, ἐφάνης τῷ κόσμῳ σου* θεανδρικῶς,* ἄτρεπτος, ἀσύγχυτος ἀληθῶς,* καὶ καθυπέσχου πάντοτε* μετὰ τῶν σῶν δούλων εἶναι σαφῶς΄* διὸ τῆς σὲ τεκούσης* πρεσβείαις τὴν εἰρήνην* πάσῃ τῇ ποίμνῃ σου πρυτάνευσον.

Τὸ Ἄξιόν ἐστιν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα ἀναστάσιμα.
Ἦχος πλ. δ΄. Αὐτόμελον.

Ἀνέστης ἐκ νεκρῶν,* ἡ ζωὴ τῶν ἁπάντων,* καὶ ἄγγελος φωτὸς* ταῖς γυναιξὶν ἐβόα΄* Παύσασθε τῶν δακρύων΄* τοῖς ἀποστόλοις εὐαγγελίσασθε΄* κράξατε ἀνυμνοῦσαι΄* ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος,* ὁ εὐδοκήσας σῶσαι ὡς Θεὸς* τὸ γένος τῶν ἀνθρώπων.

Δόξα. (Τὴν Σοφίαν καὶ Λόγον).

Ἀναστὰς ἐκ τοῦ τάφου ὡς ἀληθῶς, * ταῖς ὁσίαις προσέταξας γυναιξὶ* κηρῦξαι τὴν ἔγερσιν* ἀποστόλοις ὡς

γέγραπται·* καὶ δρομαῖος ὁ Πέτρος* ἐπέστη τῷ μνήματι* καὶ τὸ φῶς ἐν τῷ τάφῳ* ὁρῶν κατεπλήττετο·* ὅθεν καὶ κατεῖδε* τὰ ὀθόνια μόνα* χωρὶς τοῦ θείου σώματος* ἐν αὐτῷ κατακείμενα·* καὶ πιστεύσας ἐβόησε·* Δόξα σοι, Χριστέ, ὁ Θεός,* ὅτι σῴζεις ἅπαντας, Σωτὴρ ἡμῶν·* τοῦ Πατρὸς γὰρ ὑπάρχεις ἀπαύγασμα.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν,* τὸ πανάγιον ὄρος, τὴν φωταυγῆ* νεφέλην ὑμνήσωμεν,* τὴν οὐράνιον κλίμακα,* τὸν λογικὸν παράδεισον,* τῆς Εὔας τὴν λύτρωσιν,* τῆς οἰκουμένης πάσης* τὸ μέγα κειμήλιον·* ὅτι σωτηρία* ἐν αὐτῇ διεπράχθη* τῷ κόσμῳ καὶ ἄφεσις* τῶν ἀρχαίων ἐγκλημάτων·* διὰ τοῦτο βοῶμεν αὐτῇ·* Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς εὐσεβῶς προσκυνοῦσι* τὸν πανάγιον τόκον σου.

Μετὰ τὴν β΄ στιχολογίαν, ἕτερα.

Ἀνθρωποι τὸ μνῆμά σου,* Σωτῆρ, ἐσφραγίσαντο·* ἄγγελος τὸν λίθον* ἐκ τῆς θύρας ἀπεκύλισε·* γυναῖκες ἐθεάσαντο* ἐγηγερμένον ἐκ νεκρῶν,* καὶ αὗται εὐηγγελίσαντο* τοῖς μαθηταῖς σου ἐν Σιών·* ὅτι ἀνέστης, ἡ ζωὴ τῶν ἁπάντων,* καὶ διελύθη τὰ δεσμὰ τοῦ θανάτου.* Κύριε, δόξα σοι.

Δόξα. (Ἀνέστης ἐκ νεκρῶν).

Τὰ μύρα τῆς ταφῆς* αἱ γυναῖκες κομίσασαι,* φωνῆς ἀγγελικῆς* ἐκ τοῦ τάφου ἤκουον·* Παύσασθε τῶν δακρύων* καὶ ἀντὶ λύπης χαρὰν κομίσασθε·* κράξατε ἀνυμνοῦσαι,* ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος,* ὁ εὐδοκήσας σῶσαι ὡς Θεὸς* τὸ γένος τῶν ἀνθρώπων.

Καὶ νῦν. Θεοτοκίον.

Ἐπὶ σοὶ χαίρει,* Κεχαριτωμένη,* πᾶσα ἡ κτίσις,* ἀγγέλων τὸ σύστημα* καὶ ἀνθρώπων τὸ γένος,* ἡγιασμένε ναὲ* καὶ παράδεισε λογικέ,* παρθενικὸν καύχημα·* ἐξ ἧς Θεὸς ἐσαρκώθη* καὶ παιδίον γέγονεν* ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν.* Τὴν γὰρ σὴν μήτραν* θρόνον ἐποίησε* καὶ τὴν σὴν γαστέρα* πλατυτέραν οὐρανῶν ἀπειργάσατο.* Ἐπὶ σοὶ χαίρει,* Κεχαριτωμένη,* πᾶσα ἡ κτίσις·* δόξα σοι.

Μετὰ τὸν ἄμωμον καὶ τὰ εὐλογητάρια, ἡ ὑπακοή.

Αἱ μυροφόροι τοῦ ζωοδότου* ἐπιστᾶσαι τῷ μνήματι* τὸν Δεσπότην ἐζήτουν* ἐν νεκροῖς τὸν ἀθάνατον·* καὶ χαρᾶς εὐαγγέλια* ἐκ τοῦ ἀγγέλου δεξάμεναι,* τοῖς ἀποστόλοις ἐμήνυον·* Ὅτι ἀνέστη ὁ Κύριος,* παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ ἀναβαθμοί. Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου* ὁ ἐχθρός με πειράζει,* ταῖς ἡδοναῖς φλέγει με·* ἐγὼ δὲ πεποιθώς* ἐν σοί, Κύριε,* τροποῦμαι τοῦτον.

Οἱ μισοῦντες Σιὼν* γενηθήτωσαν δή,* πρὶν ἐκσπασθῆναι, ὡς χόρτος·* συγκόψει γὰρ Χριστὸς* αὐχένας αὐτῶν* τομῇ βασάνων.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* τὸ ζῆν τὰ πάντα,* φῶς ἐκ φωτός,* Θεὸς μέγας·* σὺν Πατρὶ ὑμνοῦμεν* αὐτὸ καὶ τῷ Λόγῳ.

Ἀντίφωνον Β΄.

Ἡ καρδία μου* τῷ φόβῳ σου σκεπέσθω* ταπεινοφρονοῦσα·* μὴ ὑψωθεῖσα ἀποπέσῃ* ἐκ σοῦ, πανοικτίρμον.

Ἐπὶ τὸν Κύριον* ὁ ἐσχηκὼς ἐλπίδα* οὐ δείσει τότε,* ὅτε πυρὶ τὰ πάντα* κρινεῖ καὶ κολάσει.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* πᾶς τις θεῖος βλέπει καὶ προλέγει,* τερατουργεῖ ὑψιστα,* ἐν τρισὶν ἕνα Θεὸν μέλπων·* εἰ γὰρ καὶ τριλαμπεῖ,* μοναρχεῖ τὸ Θεῖον.

Ἀντίφωνον Γ΄.

Ἐκέκραξά σοι, Κύριε,* πρόσχες,* κλῖνόν μοι τὸ οὖς σου βοῶντι* καὶ κάθαρον, πρὶν ἄρῃς με* ἀπὸ τῶν ἐνθένδε.

Ἐπὶ τὴν μητέρα αὐτοῦ γῆν* δύνων, πᾶς αὖθις ἀναλύσει* τοῦ λαβεῖν βασάνους* ἢ γέρα τῶν βεβιωμένων.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* θεολογία Μονὰς τρισαγία·* ὁ Πατὴρ γὰρ ἄναρχος,* ἐξ οὗ ἔφυ ὁ Υἱὸς ἀχρόνως* καὶ τὸ Πνεῦμα σύμμορφον, σύνθρονον,* ἐκ Πατρὸς συνεκλάμψαν.

Ἀντίφωνον Δ'.

Ἰδοὺ δὴ τί καλὸν* ἢ τί τερπνόν,* ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα;* ἐν τούτῳ γὰρ Κύριος* ἐπηγγείλατο ζωὴν αἰωνίαν.

Τοῦ ἐνδύματος αὐτοῦ* ὁ τὰ κρίνα τοῦ ἀγροῦ κοσμῶν* κελεύει μὴ δεῖν φροντίζειν.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι* ἐνοειδεῖ αἰτίᾳ* πάντα ἔχεται εἰρηνοβραβεύτως·* Θεὸς τοῦτο γάρ ἐστι* Πατρί τε καὶ Υἱῷ* ὁμοούσιον κυρίως.

Προκείμενον.

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Στίχ. Αἶνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Κανὼν ἀναστάσιμος. Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ. Ἦχος πλ. δ'. Ὠδὴ α'. Ὁ εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε* τερατουργοῦσα ποτὲ* Μωσαϊκὴ ῥάβδος,* σταυροτύπως πλήξασα* καὶ διελοῦσα θάλασσαν·* Ἰσραὴλ δὲ φυγάδα* πεζὸν ὁδίτην διέσωσεν,* ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τροπάρια.

Τὴν παντοδύναμον Χριστοῦ θεότητα* πῶς μὴ θαυμάσωμεν;* ἐκ μὲν παθῶν πᾶσι* τοῖς πιστοῖς ἀπάθειαν* καὶ ἀφθαρσίαν βλύζουσαν,* ἐκ πλευρᾶς δὲ ἁγίας* πηγὴν ἀθάνατον στάζουσαν* καὶ ζωὴν ἐκ τάφου ἄϊδιον.

Ὡς εὐπρεπὴς ταῖς γυναιξὶν ὁ ἄγγελος* νῦν ἐμπεφάνισται* καὶ τηλαυγῆ φέρων* τῆς ἐμφύτου σύμβολα* ἀῦλου καθαρότητος,* τῇ μορφῇ δὲ μηνύων* τὸ φέγγος τῆς ἀναστάσεως,* κράζει· Ἐξηγέρθη ὁ Κύριος.

Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται* ἐν γενεαῖς γενεῶν,* ἡ τὸν Θεὸν Λόγον* ἐν γαστρὶ χωρήσασα,* ἀγνὴ δὲ διαμείνασα,* Θεοτόκε Παρθένε·* διό σε πάντες γεραίρομεν,* τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Ὠδὴ γ΄. Ὁ εἱρμός.

Οστερεώσας κατ' ἀρχὰς* τοὺς οὐρανοὺς ἐν συνέσει* καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἐδράσας,* ἐν τῇ πέτρᾳ με, Χριστέ,* τῶν ἐντολῶν σου στήριξον,* ὅτι οὐκ ἔστι πλήν σου* ἅγιος, μόνε φιλάνθρωπε.

Τροπάρια.

Κατακριθέντα τὸν Ἀδὰμ* τῇ γεύσει τῆς ἁμαρτίας,* τῆς σαρκός σου τὸ σωτήριον πάθος* ἐδικαίωσε, Χριστέ·* αὐτὸς γὰρ οὐχ ὑπεύθυνος* τῇ τοῦ θανάτου πείρᾳ* πέφηνας, ὁ ἀναμάρτητος.

Τῆς ἀναστάσεως τὸ φῶς* ἐξέλαμψε τοῖς ἐν σκότει* τοῦ θανάτου καὶ σκιᾷ καθημένοις,* ὁ Θεός μου Ἰησοῦς,* καὶ τῇ αὐτοῦ Θεότητι* τὸν ἰσχυρὸν δεσμεύσας,* τούτου τὰ σκεύη διήρπασε.

Θεοτοκίον.

Τῶν Χερουβὶμ καὶ Σεραφὶμ* ἐδείχθης ὑψηλοτέρα,* Θεοτόκε· σὺ γὰρ μόνη ἐδέξω* τὸν ἀχώρητον Θεὸν* ἐν σῇ γαστρί, ἀμόλυντε·* διὸ πιστοί σε πάντες* ὕμνοις ἀεὶ μακαρίζομεν.

Κοντάκιον. (Ὡς ἀπαρχὰς τῆς φύσεως).

Ἐξαναστὰς τοῦ μνήματος,* τοὺς τεθνεῶτας ἤγειρας* καὶ τὸν Ἀδὰμ ἀνέστησας·* καὶ ἡ Εὔα χορεύει* ἐν τῇ σῇ ἀναστάσει,* καὶ κόσμου τὰ πέρατα πανηγυρίζουσι* τῇ ἐκ νεκρῶν ἐγέρσει σου, πολυέλεε.

Ὁ οἶκος. (Οἱ ἐν πάσῃ τῇ γῇ).

Τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια* καὶ νεκροὺς ἀναστήσας, μακρόθυμε,* γυναιξὶ μυροφόροις συνήντησας,* ἀντὶ λύπης χαρὰν κομισάμενος·* καὶ ἀποστόλοις σου ἐμήνυσας* τὰ τῆς νίκης σύμβολα,* Σωτὴρ μου ζωοδότα,* καὶ τὴν κτίσιν ἐφώτισας, φιλάνθρωπε·* διὰ τοῦτο καὶ κόσμος συγχαίρει* τῇ ἐκ νεκρῶν ἐγέρσει σου, πολυέλεε.

Εἰς τοὺς αἴνους. Στιχηρὰ ἀναστάσιμα. Ἦχος πλ. δ'.

Κύριε,* εἰ καὶ κριτηρίῳ παρέστης* ὑπὸ Πιλάτου κρινόμενος,* ἀλλ' οὐκ ἀπελείφθης τοῦ θρόνου,* τῷ Πατρὶ συγκαθεζόμενος·* καὶ ἀναστὰς ἐκ νεκρῶν* τὸν κόσμον ἠλευθέρωσας* ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου* ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

Κύριε,* εἰ καὶ ὡς θνητὸν ἐν μνημείῳ* Ἰουδαῖοί σε κατέθεντο,* ἀλλ' ὡς βασιλέα ὑπνοῦντα* στρατιῶται σε ἐφύλαττον* καὶ ὡς ζωῆς θησαυρὸν* σφραγῖδι ἐσφραγίσαντο·* ἀλλὰ ἀνέστης καὶ παρέσχες* ἀφθαρσίαν ταῖς ψυχαῖς ἡμῶν.

Κύριε,* ὅπλον κατὰ τοῦ διαβόλου* τὸν Σταυρόν σου ἡμῖν δέδωκας·* φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων* καθορᾶν αὐτοῦ τὴν δύναμιν·* ὅτι νεκροὺς ἀνιστᾷ* καὶ θάνατον κατήργησε·* διὰ τοῦτο προσκυνοῦμεν* τὴν ταφήν σου καὶ τὴν ἔγερσιν.

Ὁ ἄγγελός σου, Κύριε,* ὁ τὴν ἀνάστασιν κηρύξας τοὺς μὲν φύλακας ἐφόβησε,* τὰ δὲ γύναια ἐφώνησε λέγων·* Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;* ἀνέστη, Θεὸς ὤν,* καὶ τῇ οἰκουμένῃ ζωὴν ἐδωρήσατο.

Ἕτερα στιχηρὰ ἀνατολικά.

Ἔπαθες διὰ σταυροῦ,* ὁ ἀπαθὴς τῇ θεότητι·* ταφῆν κατεδέξω τριήμερον,* ἵνα ἡμᾶς ἐλευθερώσῃς* ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ* καὶ ἀθανατίσας* ζωοποιήσῃς ἡμᾶς, Χριστὲ ὁ Θεός,* διὰ τῆς ἀναστάσεώς σου, φιλάνθρωπε.

Προσκυνῶ καὶ δοξάζω* καὶ ἀνυμνῶ, Χριστέ,* τὴν σὴν ἐκ τάφου ἀνάστασιν* δι' ἧς ἠλευθέρωσας ἡμᾶς* ἐκ τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν* καὶ ἐδωρήσω τῷ κόσμῳ ὡς Θεὸς* ζωὴν αἰώνιον* καὶ τὸ μέγα ἔλεος.

Τὸ ζωοδόχον σου μνῆμα* φρουροῦντες παράνομοι* σὺν τῇ κουστωδίᾳ ἐσφραγίσαντο τοῦτο'* σὺ δὲ ὡς ἀθάνατος Θεὸς* καὶ παντοδύναμος* ἀνέστης τριήμερος.

Πορευθέντος σου* ἐν πύλαις ᾅδου, Κύριε,* καὶ ταύτας συντρίψαντος,* ὁ αἰχμάλωτος οὕτως ἐβόα'* Τίς ἐστιν οὗτος,* ὅτι οὐ καταδικάζεται* ἐν τοῖς κατωτάτοις τῆς γῆς,* ἀλλὰ καὶ ὡς σκηνὴν κατέλυσε* τοῦ θανάτου τὸ δεσμωτήριον;* ἐδεξάμην αὐτὸν ὡς θνητόν,* καὶ τρέμω ὡς Θεόν.* Παντοδύναμε Σωτήρ, ἐλέησον ἡμᾶς.

Δόξα. Τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις. Δοξολογία μεγάλη κ.τ.λ.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Οἱ Μακαρισμοί.
Ἦχος πλ. δ΄.

Μνήσθητι ἡμῶν,* Χριστὲ Σωτὴρ τοῦ κόσμου,* ὥσπερ τοῦ ληστοῦ* ἐμνήσθης ἐπὶ ξύλου,* καὶ καταξίωσον πάντας, μόνε οἰκτίρμον,* τῆς οὐρανίου βασιλείας σου.

Ἄκουε, Ἀδάμ,* καὶ χαῖρε σὺν τῇ Εὔᾳ,* ὅτι ὁ γυμνώσας* πρὶν τοὺς ἀμφοτέρους* καὶ δι' ἀπάτης λαβὼν ἡμᾶς αἰχμαλώτους* ἐν τῷ Σταυρῷ Χριστοῦ κατήργηται.

Ξύλῳ προσπαγείς,* Σωτὴρ ἡμῶν, βουλήσει,* ξύλου τὸν Ἀδὰμ* κατάρας ἐλυτρώσω,* ἀποδιδοὺς ὡς οἰκτίρμων τὸ κατ' εἰκόνα* καὶ παραδείσου τὴν κατοίκησιν.

Σήμερον Χριστὸς* ἀνέστη ἐκ τοῦ τάφου,* πᾶσι τοῖς πιστοῖς* παρέχων ἀφθαρσίαν,* καὶ τὴν χαρὰν ἐγκαινίζει ταῖς μυροφόροις* μετὰ τὸ πάθος καὶ τὴν ἔγερσιν.

Χαίρετε, σοφαὶ* γυναῖκες μυροφόροι,* πρῶται τὴν Χριστοῦ* ἀνάστασιν ἰδοῦσαι* καὶ τοῖς αὐτοῦ ἀπαγγείλασαι ἀποστόλοις* παντὸς τοῦ κόσμου τὴν ἀνάκλησιν.

Φίλοι τοῦ Χριστοῦ,* ἀπόστολοι, φανέντες,* σύνθρονοι αὐτοῦ* ἐσόμενοι τῇ δόξῃ,* ἐν παῤῥησίᾳ αὐτῷ ἡμᾶς παραστῆναι* ὡς μαθηταὶ αὐτοῦ πρεσβεύσατε.

Δόξα. Τριαδικόν.

Ἀναρχε Τριάς,* ἀμέριστε οὐσία,* σύνθρονε Μονάς,* ὁμότιμε τῇ δόξῃ,* ἡ ὑπεράρχιος φύσις καὶ βασιλεία,* σῷζε τοὺς πίστει ἀνυμνοῦντάς σε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, τοῦ Θεοῦ* εὐρύχωρον χωρίον·* Χαῖρε, κιβωτὲ* τῆς Νέας Διαθήκης·* Χαῖρε, ἡ ἔγχρυσος στάμνος, ἐξ ἧς τὸ μάννα* πᾶσιν ἐδόθη τὸ οὐράνιον.

Β΄.

ΣΤΙΧΗΡΑ ΚΑΤΑΝΥΚΤΙΚΑ

ΨΑΛΛΟΜΕΝΑ ΕΙΣ ΤΟΥΣ ΕΣΠΕΡΙΝΟΥΣ ΤΩΝ ΚΥΡΙΑΚΩΝ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

ΗΧΟΣ Α΄.

Οτι τὸ πέλαγος πολῦ* τῶν παραπτωμάτων μου, Σωτήρ,* καὶ δεινῶς βεβύθισμαι* ταῖς πλημμελείαις μου,* δός μοι χεῖρα, σῶσόν με,* ὡς τῷ Πέτρῳ, ὁ Θεός,* καὶ ἐλέησόν με.

Οτι ἐννοίαις πονηραῖς* καὶ ἔργοις καταδεδίκασμαι, Σωτήρ,* λογισμόν μοι δώρησαι* ἐπιστροφῆς, ὁ Θεός,* ἵνα κράζω· Σῶσόν με,* εὐεργέτα ἀγαθέ,* καὶ ἐλέησόν με.

Αλλος σε κόσμος, ψυχή, ἀναμένει,* καὶ κριτὴς* τά σὰ μέλλων δημοσιεύειν* κρυπτὰ καὶ δεινά·* μὴ οὖν ἐμμείνῃς τοῖς ὧδε,* ἀλλὰ πρόφθασον βοῶσα τῷ κριτῇ·* Ὁ Θεός, ἱλάσθητί μοι* καὶ σῶσόν με.

Μὴ ἀποδοκιμάσῃς με, Σωτήρ μου,* τῇ ῥαθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον·* διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν* καὶ τοῦ σοῦ ἀμπελῶνος* ἐργάτην δόκιμον ἀνάδειξόν με,* δωρούμενός μοι* τῆς ἑνδεκάτης ὥρας τὸν μισθὸν* καὶ τὸ μέγα ἔλεος.

ΗΧΟΣ Β΄.

Ἥμαρτον εἰς σέ, Σωτήρ,* ὡς ὁ ἄσωτος υἱός·* δέξαι με, Πάτερ,* μετανοοῦντα,* καὶ ἐλέησόν με, ὁ Θεός.

Κράζω σοι, Χριστὲ Σωτήρ,* τοῦ τελώνου τὴν φωνήν·* Ἱλάσθητί μοι* ὥσπερ ἐκείνῳ,* καὶ ἐλέησόν με, ὁ Θεός.

Τῶν πεπραγμένων μοι δεινῶν* ἐννοῶν τὰ ἄτοπα,* ἐπὶ τοὺς σοὺς καταφεύγω οἰκτιρμούς,* τελώνην μιμούμενος* καὶ πόρνην τὴν δακρύσασαν* καὶ τὸν ἔσωτον υἱόν·* διὸ καὶ προσπίπτω σοι, ἐλεῆμον·* Πρίν με καταδικάσῃς,* φεῖσαί μου, ὁ Θεός,* καὶ ἐλέησόν με.

Τὰς ἀνομίας μου πάριδε, Κύριε,* ὁ ἐκ Παρθένου τεχθείς,* καὶ τὴν καρδίαν μου καθάρισον,* ναὸν αὐτὴν ποιῶν* τοῦ ἁγίου σου Πνεύματος·* μή με ἐξουδενώσῃς* ἀπὸ τοῦ σοῦ προσώπου,* ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

ΗΧΟΣ Γ΄.

Ἐσπερινὸν ὕμνον* προσφέρομέν σοι, Χριστέ,* μετὰ θυμιάματος* καὶ ᾠδῶν πνευματικῶν·* ἐλέησον, Σωτήρ, τὰς ψυχὰς ἡμῶν.

Σῶσόν με, Κύριε ὁ Θεός μου·* σὺ γὰρ πάντων ἡ σωτηρία·* ὁ κλύδων με τῶν παθῶν ἐκταράττει* καὶ τὸ βάρος τῶν ἀνομιῶν με βυθίζει·* δός μοι χεῖρα βοηθείας* καὶ πρὸς φῶς ἀνάγαγέ με κατανύξεως* ὡς μόνος εὔσπλαγχνος* καὶ φιλάνθρωπος.

Τὸν διεσπαρμένον μου νοῦν* συνάγαγε, Κύριε,* καὶ τὴν χερσωθεῖσάν μου* καρδίαν καθάρισον,* ὡς τῷ Πέτρῳ διδούς μοι μετάνοιαν,* ὡς τῷ τελώνῃ στεναγμὸν* καὶ ὡς τῇ πόρνῃ δάκρυα,* ἵνα μεγάλῃ τῇ φωνῇ κραυγάζω σοι·* Ὁ Θεός, σῶσόν με,* ὡς μόνος εὔσπλαγχνος* καὶ φιλάνθρωπος.

Πολλάκις* τὴν ὑμνῳδίαν ἐκτελῶν,* εὑρέθην* τὴν ἁμαρτίαν ἐκπληρῶν,* τῇ μὲν γλώττῃ* ἄσματα φθεγγόμε-

νος,* τῇ δὲ ψυχῇ* ἄτοπα λογιζόμενος·* ἀλλ' ἑκάτερα διόρθωσον,* Χριστέ ὁ Θεός,* διὰ τῆς μετανοίας* καὶ σῶσόν με.

ΗΧΟΣ Δ'.

Ἠθελον δάκρυσιν ἐξαλεῖψαι* τῶν ἐμῶν πταισμάτων, Κύριε, τὸ χειρόγραφον,* καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου* διὰ μετανοίας εὐαρεστῆσαί σοι·* ἀλλ' ὁ ἐχθρὸς ἀπατᾷ με* καὶ πολεμεῖ τὴν ψυχήν μου.* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι,* σῶσόν με.

Τίς χειμαζόμενος καὶ προστρέχων* τῷ λιμένι τούτῳ οὐ διασῴζεται;* ἢ τίς ὀδυνώμενος καὶ προσπίπτων* τῷ ἰατρείῳ τούτῳ οὐ θεραπεύεται;* Δημιουργὲ τῶν ἁπάντων,* καὶ ἰατρὲ τῶν νοσούντων,* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι,* σῶσόν με.

Πλυνόν με τοῖς δάκρυσί μου, Σωτήρ,* ὅτι ῥερύπωμαι* ἐν πολλαῖς ἁμαρτίαις·* διὸ καὶ προσπίπτω σοι·* Ἥμαρτον· ἐλέησόν με, ὁ Θεός.

Πρόβατόν εἰμι τῆς λογικῆς σου ποίμνης* καὶ πρός σὲ καταφεύγω* τὸν ποιμένα τὸν καλόν·* ζήτησόν με τὸν πλανηθέντα,* ὁ Θεός, καὶ ἐλέησόν με.

ΗΧΟΣ ΠΛ. Α'.

Κύριε,* ἁμαρτάνων οὐ παύομαι·* φιλανθρωπίας ἀξιούμενος* οὐ γινώσκω·* νίκησόν μου τὴν πώρωσιν,* μόνε ἀγαθέ,* καὶ ἐλέησόν με.

Κύριε,* καὶ τὸν φόβον σου πτοοῦμαι,* καὶ τὸ πονηρὸν ποιῶν οὐ παύομαι·* τίς ἐν δικαστηρίῳ* τὸν δικαστὴν οὐ πτοεῖται;* ἢ τίς ἰαθῆναι βουλόμενος,* τὸν ἰατρὸν παροργίζει ὡς κἀγώ;* Μακρόθυμε Κύριε,* ἐπὶ τῇ ἀσθενείᾳ μου σπλαγχνίσθητι* καὶ ἐλέησόν με.

Οἴμοι!* τί ὡμοιώθην ἐγὼ* τῇ ἀκάρπῳ συκῇ* καὶ πτοοῦμαι τὴν κατάραν* σὺν τῇ ἐκκοπῇ;* ἀλλ' ἐπουράνιε γεωργέ,* Χριστὲ ὁ Θεός,* τὴν χερσωθεῖσάν μου ψυχὴν* καρποφόρον ἀνάδειξον* καὶ ὡς τὸν ἄσωτον υἱὸν* δέξαι με καὶ ἐλέησόν με.

Τὰ πλῆθη τῶν πταισμάτων μου* πάριδε, Κύριε,* ὁ ἐκ Παρθένου τεχθείς,* καὶ πάσας ἐξάλειψον* τὰς ἀνομίας μου,* λογισμόν μοι παρέχων ἐπιστροφῆς,* ὡς μόνος φιλάνθρωπος,* δέομαι, καὶ ἐλέησόν με.

ΗΧΟΣ ΠΛ. Β'.

Μετάνοιαν οὐ κέκτημαι,* ἀλλ' οὐδὲ πάλιν δάκρυα* διὰ τοῦτο* ἱκετεύω σε, Σωτήρ,* πρὸ τέλους ἐπιστρέψαι* καὶ δοῦναί μοι κατάνυξιν,* ὅπως ῥυσθῆσομαι τῆς κολάσεως.

Ἐν τῇ φρικτῇ παρουσίᾳ σου, Χριστέ,* μὴ ἀκούσωμεν* Οὐκ οἶδα ὑμᾶς* τὴν γὰρ ἐλπίδα* ἐπὶ σοὶ τῷ Σωτῆρι ἐθέμεθα,* εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν* διὰ τὴν ἀμέλειαν ἡμῶν* ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν, δεόμεθα.

Τὰ τῆς καρδίας μου τραύματα* ἐκ πολλῶν ἁμαρτημάτων φυέντα μοι* ἰάτρευσον, Σωτήρ,* ὁ τῶν ψυχῶν καὶ σωμάτων ἰατρός* ὁ παρέχων τοῖς αἰτοῦσι* πταισμάτων τὴν συγχώρησιν ἀεί,* παράσχου μοι δάκρυα μετανοίας,* διδούς μοι τὴν λύσιν τῶν ὀφλημάτων,* Κύριε, καὶ ἐλέησόν με.

Γυμνόν με εὑρὼν* τῶν ἀρετῶν, ὁ ἐχθρὸς* τῷ βέλει τῆς ἁμαρτίας ἔτρωσεν* ἀλλὰ σύ, ὡς ἰατρὸς* ψυχῶν τε καὶ σωμάτων,* τὰ τραύματα τῆς ψυχῆς μου* θεράπευσον, ὁ Θεός,* καὶ ἐλέησόν με.

ΗΧΟΣ ΒΑΡΥΣ

Ὡς ὁ ἄσωτος υἱὸς· ἦλθον κἀγώ, οἰκτίρμον·· δέξαι με προσπίπτοντα· ὡς ἕνα τῶν μισθίων σου,· ὁ Θεός, καὶ ἐλέησόν με.

Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστὰς· καὶ τετραυματισμένος,· οὕτω κἀγὼ περιέπεσα· ἐξ ἐμῶν ἁμαρτιῶν,· καὶ τετραυματισμένη· ὑπάρχει μου ἡ ψυχή.· Πρὸς τίνα καταφύγω· ὁ ὑπεύθυνος ἐγώ,· εἰ μὴ πρὸς σέ, τὸν εὔσπλαγχνον,· τῶν ψυχῶν τὸν ἰατρόν;· Ἐπίχεε ἐπ᾽ ἐμέ, ὁ Θεός,· τὸ μέγα σου ἔλεος.

Ὡς τὴν συκῆν τὴν ἄκαρπον· μὴ ἐκκόψῃς με, Σωτήρ, τὸν ἁμαρτωλόν,· ἀλλ᾽ ἐπὶ πολλῷ τῷ ἔτει· συγχώρησίν μοι δώρησαι,· ἀρδεύων μου τὴν ψυχὴν· τοῖς δάκρυσι τῆς μετανοίας,· ἵνα καρπὸν προσενέγκω σοι· ἐλεημοσύνης.

Ὡς ἥλιος ὑπάρχων δικαιοσύνης,· φωταγώγησον τὰς καρδίας· τῶν σοὶ βοώντων··· Κύριε, δόξα σοι.

ΗΧΟΣ ΠΛ. Δ᾽.

Σὲ τὸν βασιλέα καὶ Δεσπότην· ἄγγελοι ἀπαύστως ἀνυμνοῦσιν·· ἐγὼ δέ σοι προσπίπτω,· ὡς ὁ τελώνης κράζων·· Ὁ Θεός, ἱλάσθητί μοι,· καὶ σῶσόν με.

Ἀθάνατος ὑπάρχουσα, ψυχή μου,· τοῖς κύμασι τοῦ βίου μὴ καλύπτου·· ἀνάνηψον, βοῶσα· πρὸς τὸν σὸν εὐεργέτην·· Ὁ Θεός, ἱλάσθητί μοι,· καὶ σῶσόν με.

Δάκρυά μοι δός, ὁ Θεός,· ὡς ποτὲ τῇ γυναικὶ τῇ ἁμαρτωλῷ··· καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου,· τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ· τῆς πλάνης ἐλευθερώσαντας,· καὶ μύρον εὐωδίας σοι προσφέρειν,· βίον καθαρὸν· ἐν μετανοίᾳ μοι κτισθέντα·· ἵνα ἀκούσω κἀγώ· τῆς εὐκταίας σου φωνῆς··· Ἡ πίστις σου σέσωκέ σε,· πορεύου εἰς εἰρήνην.

Οἴμοι!* τί ὡμοιώθην ἐγὼ* τῇ ἀκάρπῳ συκῇ* καὶ πτοοῦμαι τὴν κατάραν* σὺν τῇ ἐκκοπῇ;* ἀλλ' ἐπουράνιε γεωργέ,* Χριστὲ ὁ Θεός,* τὴν χερσωθεῖσάν μου ψυχὴν* καρποφόρον ἀνάδειξον·* καὶ ὡς τὸν ἄσωτον υἱόν* δέξαι με καὶ ἐλέησόν με.

Τὰ πλήθη τῶν πταισμάτων μου* πάριδε, Κύριε,* ὁ ἐκ Παρθένου τεχθείς,* καὶ πάσας ἐξάλειψον* τὰς ἀνομίας μου,* λογισμόν μοι παρέχων ἐπιστροφῆς,* ὡς μόνος φιλάνθρωπος,* δέομαι, καὶ ἐλέησόν με.

ΗΧΟΣ ΠΛ. Β΄.

Μετάνοιαν οὐ κέκτημαι,* ἀλλ' οὐδὲ πάλιν δάκρυα·* διὰ τοῦτο* ἱκετεύω σε, Σωτήρ,* πρὸ τέλους ἐπιστρέψαι* καὶ δοῦναί μοι κατάνυξιν,* ὅπως ῥυσθήσομαι τῆς κολάσεως.

Ἐν τῇ φρικτῇ παρουσίᾳ σου, Χριστέ,* μὴ ἀκούσωμεν·* Οὐκ οἶδα ὑμᾶς·* τὴν γὰρ ἐλπίδα* ἐπὶ σοὶ τῷ Σωτῆρι ἐθέμεθα,* εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν* διὰ τὴν ἀμέλειαν ἡμῶν·* ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν, δεόμεθα.

Τὰ τῆς καρδίας μου τραύματα* ἐκ πολλῶν ἁμαρτημάτων φυέντα μοι* ἰάτρευσον, Σωτήρ,* ὁ τῶν ψυχῶν καὶ σωμάτων ἰατρός·* ὁ παρέχων τοῖς αἰτοῦσι* πταισμάτων τὴν συγχώρησιν ἀεί,* παράσχου μοι δάκρυα μετανοίας,* διδούς μοι τὴν λύσιν τῶν ὀφλημάτων,* Κύριε, καὶ ἐλέησόν με.

Γυμνόν με εὑρὼν* τῶν ἀρετῶν, ὁ ἐχθρὸς* τῷ βέλει τῆς ἁμαρτίας ἔτρωσεν·* ἀλλὰ σύ, ὡς ἰατρὸς* ψυχῶν τε καὶ σωμάτων,* τὰ τραύματα τῆς ψυχῆς μου* θεράπευσον, ὁ Θεός,* καὶ ἐλέησόν με.

ΗΧΟΣ ΒΑΡΥΣ

Ὡς ὁ ἄσωτος υἱὸς* ἦλθον κἀγώ, οἰκτίρμον·* δέξαι με προσπίπτοντα* ὡς ἕνα τῶν μισθίων σου,* ὁ Θεός, καὶ ἐλέησόν με.

Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστὰς* καὶ τετραυματισμένος,* οὕτω κἀγὼ περιέπεσα* ἐξ ἐμῶν ἁμαρτιῶν,* καὶ τετραυματισμένη* ὑπάρχει μου ἡ ψυχή.* Πρὸς τίνα καταφύγω* ὁ ὑπεύθυνος ἐγώ,* εἰ μὴ πρὸς σέ, τὸν εὔσπλαγχνον,* τῶν ψυχῶν τὸν ἰατρόν;* Ἐπίχεε ἐπ' ἐμέ, ὁ Θεός,* τὸ μέγα σου ἔλεος.

Ὡς τὴν συκῆν τὴν ἄκαρπον* μὴ ἐκκόψῃς με, Σωτήρ, τὸν ἁμαρτωλόν,* ἀλλ' ἐπὶ πολλῷ τῷ ἔτει* συγχώρησίν μοι δώρησαι,* ἀρδεύων μου τὴν ψυχὴν* τοῖς δάκρυσι τῆς μετανοίας,* ἵνα καρπὸν προσενέγκω σοι* ἐλεημοσύνης.

Ὡς ἥλιος ὑπάρχων δικαιοσύνης,* φωταγώγησον τὰς καρδίας* τῶν σοὶ βοώντων·* Κύριε, δόξα σοι.

ΗΧΟΣ ΠΛ. Δ'.

Σὲ τὸν βασιλέα καὶ Δεσπότην* ἄγγελοι ἀπαύστως ἀνυμνοῦσιν·* ἐγὼ δέ σοι προσπίπτω,* ὡς ὁ τελώνης κράζων·* Ὁ Θεός, ἱλάσθητί μοι,* καὶ σῶσόν με.

Ἀθάνατος ὑπάρχουσα, ψυχή μου,* τοῖς κύμασι τοῦ βίου μὴ καλύπτου·* ἀνάνηψον, βοῶσα* πρὸς τὸν σὸν εὐεργέτην·* Ὁ Θεός, ἱλάσθητί μοι,* καὶ σῶσόν με.

Δάκρυά μοι δός, ὁ Θεός,* ὡς ποτὲ τῇ γυναικὶ τῇ ἁμαρτωλῷ·* καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου,* τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ* τῆς πλάνης ἐλευθερώσαντας,* καὶ μύρον εὐωδίας σοι προσφέρειν,* βίον καθαρὸν* ἐν μετανοίᾳ μοι κτισθέντα·* ἵνα ἀκούσω κἀγώ* τῆς εὐκταίας σου φωνῆς·* Ἡ πίστις σου σέσωκέ σε,* πορεύου εἰς εἰρήνην.

Οταν λάβω κατὰ νοῦν* τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν,* καὶ εἰς ἔννοιαν ἔλθω* τῆς φοβερᾶς ἐκείνης ἐτάσεως,* τρόμῳ συνεχόμενος* πρὸς σὲ καταφεύγω,* τὸν φιλάνθρωπον Θεόν* διὸ μή με παρίδῃς,* ἱκετεύω σε,* μόνε ἀναμάρτητε* δώρησαι κατάνυξιν* τῇ ταπεινῇ μου ψυχῇ* πρὸ τελευτῆς, καὶ σῶσόν με.

Γ'.
ΣΤΙΧΗΡΑ ΚΑΙ ΚΑΘΙΣΜΑΤΑ ΜΑΡΤΥΡΙΚΑ ΚΑΙ ΝΕΚΡΩΣΙΜΑ

ΨΑΛΛΟΜΕΝΑ ΚΑΤΑ ΤΗΝ Μ. ΤΕΣΣΑΡΑΚΟΣΤΗΝ

ΗΧΟΣ Α'.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Εἰς τὸ Κύριε, ἐκέκραξα, μετὰ τὸ ἰδιόμελον τοῦ Τριῳδίου ψάλλομεν

Στιχηρὰ μαρτυρικά. Ἦχος α'.

Τῇ πρεσβείᾳ, Κύριε,* πάντων τῶν ἁγίων* καὶ τῆς Θεοτόκου,* τὴν σὴν εἰρήνην δὸς ἡμῖν* καὶ ἐλέησον ἡμᾶς* ὡς μόνος οἰκτίρμων.

Ἡ ἐν σταδίῳ ὑμῶν ὁμολογία, ἅγιοι,* τῶν δαιμόνων κατέπτηξε τὴν δύναμιν* καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἠλευθέρωσε·* διὸ καὶ τὰς κεφαλὰς* ἀποτεμνόμενοι ἐκράζετε·* Γενέσθω, Κύριε,* ἡ θυσία τῶν ψυχῶν ἡμῶν* εὐπρόσδεκτος ἐνώπιόν σου·* ὅτι σὲ ποθήσαντες,* κατεφρονήσαμεν τῆς προσκαίρου ζωῆς,* φιλάνθρωπε.

Ὢ τῆς καλῆς ὑμῶν* πραγματείας, ἅγιοι!* ὅτι αἵματα ἐδώκατε* καὶ οὐρανοὺς ἐκληρονομήσατε* καὶ πρὸς καιρὸν πειρασθέντες* αἰωνίως ἀγάλλεσθε.* Οὕτως καλὸν ὑμῶν τὸ ἐμπόρευμα!* φθαρτὰ γὰρ καταλιπόντες* τὰ ἄφθαρ-

τα ἀπελάβετε,* καὶ σὺν ἀγγέλοις χορεύοντες* ὑμνεῖτε ἀπαύστως* Τριάδα ὁμοούσιον.

Αὐτόμελον.

Πανεύφημοι μάρτυρες, ὑμᾶς* οὐχ ἡ γῆ κατέκρυψεν,* ἀλλ᾽ οὐρανὸς ὑπεδέξατο·* ἠνοίγησαν ἡμῖν* παραδείσου πύλαι,* καὶ ἐντὸς γενόμενοι* τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε.* Χριστῷ πρεσβεύσατε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Δόξα. Νεκρώσιμον.

Ποίημα Ἰωάννου μοναχοῦ. Ἦχος α΄.

Ποία τοῦ βίου τρυφὴ* διαμένει λύπης ἀμέτοχος;* ποία δόξα ἔστηκεν* ἐπὶ γῆς ἀμετάθετος;* πάντα σκιᾶς ἀσθενέστερα,* πάντα ὀνείρων ἀπατηλότερα·* μία ῥοπή,* καὶ ταῦτα πάντα θάνατος διαδέχεται.* Ἀλλ᾽ ἐν τῷ φωτί, Χριστέ, τοῦ προσώπου σου* καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος,* οὓς ἐξελέξω* ἀνάπαυσον ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον. Τοῦ αὐτοῦ.

Τὴν παγκόσμιον δόξαν,* τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν* καὶ τὸν Δεσπότην τεκοῦσαν,* τὴν ἐπουράνιον πύλην* ὑμνήσωμεν, Μαρίαν τὴν Παρθένον,* τῶν ἀσωμάτων τὸ ἅγιασμα,* καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα·* αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς* καὶ ναὸς τῆς Θεότητος·* αὕτη τὸ μεσότοιχον* τῆς ἔχθρας καθελοῦσα,* εἰρήνην ἀντεισῆξε* καὶ τὸ βασίλειον ἠνέῳξε.* Ταύτην οὖν κατέχοντες* τῆς πίστεως τὴν ἄγκυραν,* ὑπέρμαχον ἔχομεν* τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον.* Θαρσείτω τοίνυν,* θαρσείτω λαὸς τοῦ Θεοῦ·* καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς* ὡς παντοδύναμος.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα μαρτυρικά. Ἦχος α΄. (Τοῦ λίθου σφραγισθέντος).

Ὡς καλοὶ στρατιῶται* ὁμοφρόνως πιστεύσαντες,* τὰς ἀπειλὰς τῶν τυράννων* μὴ πτοούμενοι, ἅγιοι,* προσήλ-

θετε προθύμως τῷ Χριστῷ,* ἀράμενοι τὸν τίμιον Σταυρόν,* καὶ τελέσαντες τὸν δρόμον* ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξασθε.* Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς·* δόξα τῷ στεφανώσαντι·* δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν* πᾶσιν ἰάματα.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τὰς ἀλγηδόνας τῶν ἁγίων,* ἃς ὑπὲρ σοῦ ἔπαθον,* δυσωπήθητι, Κύριε,* καὶ πάσας ἡμῶν τὰς ὀδύνας* ἴασαι, φιλάνθρωπε, δεόμεθα.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

(Τὸν τάφον σου, Σωτήρ).

Τοὺς μάρτυρας Χριστοῦ* ἱκετεύσωμεν πάντες·* αὐτοὶ γὰρ τὴν ἡμῶν* σωτηρίαν αἰτοῦνται·* καὶ πάντες προσέλθωμεν* πρὸς αὐτοὺς μετὰ πίστεως·* οὗτοι βρύουσι* τῶν ἰαμάτων τὴν χάριν·* οὗτοι φάλαγγας* ἀποσοβοῦσι δαιμόνων,* ὡς φύλακες τῆς πίστεως.

Δόξα. Νεκρώσιμον, ὅμοιον.

Ὅσάρκα δι' ἡμᾶς* ἐκ Παρθένου ἀτρέπτως* φορέσας ἐκ Μητρὸς* ἐπ' ἐσχάτων τῶν χρόνων* καὶ γινώσκων, ὡς Κύριος,* τὸ καθ' ἡμᾶς, εὐόλισθον,* ἄνες, οἰκτειρον* τοὺς μεταστάντας τοῦ βίου·* σοὶ γάρ, Δέσποτα,* ψυχὰς ἀνέθεντο πίστει,* τῷ μόνῳ Θεῷ ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. (Τοῦ λίθου σφραγισθέντος).

Τοῦ Γαβριὴλ φθεγξαμένου* σοι, Παρθένε, τὸ Χαῖρε,* σὺν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης* ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα* τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου.* Δόξα τῷ ἐνοικήσαντι ἐν σοί·* δόξα τῷ προελθόντι ἐκ σοῦ·* δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διὰ τοῦ τόκου σου.

Εἰς τοὺς αἴνους, στιχηρὰ μαρτυρικά. Ἦχος α'.

Τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ* δεῦτε, λαοὶ ἅπαντες, τιμήσωμεν* ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς,* τοὺς φωστῆρας τοῦ κόσμου* καὶ κήρυκας τῆς πίστεως,* τὴν πηγὴν

τὴν ἀέναον,* ἐξ ἧς ἀναβλύζει* τοῖς πιστοῖς τὰ ἰάματα.* Αὐτῶν ταῖς ἱκεσίαις,* Χριστὲ ὁ Θεὸς ἡμῶν,* τὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Οὗτοι οἱ στρατιῶται* τοῦ βασιλέως τοῦ μεγάλου* ἀντέστησαν τοῖς δόγμασι τῶν τυράννων,* γενναίως κατεφρόνησαν τῶν βασάνων,* καὶ τὴν πλάνην πᾶσαν πατήσαντες,* ἀξίως στεφανωθέντες,* αἰτοῦνται παρὰ τοῦ Σωτῆρος εἰρήνην* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὑμᾶς, πανεύφημοι μάρτυρες,* οὐ θλῖψις, οὐ στενοχωρία,* οὐ λιμός, οὐ διωγμός,* οὐδὲ μάστιγες, οὐ θυμὸς θηρῶν,* οὐ ξίφος, οὐδὲ πῦρ ἀπειλοῦν* χωρίσαι Θεοῦ δεδύνηνται·* πόθῳ δὲ μᾶλλον τῷ πρὸς αὐτόν,* ὡς ἐν ἀλλοτρίοις* ἀγωνισάμενοι σώμασι,* τὴν φύσιν ἐλάθετε,* θανάτου καταφρονήσαντες·* ὅθεν καὶ ἐπαξίως* τὸν τῶν πόνων ὑμῶν* μισθὸν ἐκομίσασθε·* οὐρανῶν βασιλείας* κληρονόμοι γεγόνατε,* ἀπαύστως πρεσβεύοντες* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀγαλλιᾶσθε, μάρτυρες, ἐν Κυρίῳ,* ὅτι τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσασθε·* ἀντέστητε βασιλεῦσι* καὶ τυράννους ἐνικήσατε·* πῦρ καὶ ξίφος οὐκ ἐπτοήθητε·* θηρῶν ἀγρίων* κατεσθιόντων τὰ σώματα ὑμῶν,* Χριστῷ μετὰ ἀγγέλων* τὴν ὑμνῳδίαν ἀναπέμποντες,* τοὺς ἀπ' οὐρανῶν στεφάνους ἐκομίσασθε·* αἰτήσασθε δωρηθῆναι* εἰρήνην τῷ κόσμῳ* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα. Νεκρώσιμον. Ἰωάννου τοῦ Δαμασκηνοῦ.
Ἦχος α'. (Ποία τοῦ βίου τρυφή).

Ἔργῳ, Σωτήρ μου, δεικνύς,* ὅτι σὺ εἶ ἡ πάντων ἀνάστασις,* λόγῳ, Λόγε, Λάζαρον* ἐκ νεκρῶν ἐξανέστησας.* Τότε μοχλοὶ συνετρίβησαν,* πύλαι δὲ ᾅδου συνεταράχθησαν·* τότε ὕπνος* ὁ τῶν ἀνθρώπων θάνατος ἀπεδείκνυτο.* Ἀλλ' ὁ εἰς τὸ σῶσαί σου τὸ πλαστούργημα,* καὶ οὐκ εἰς τὸ κρῖναι παραγενόμενος,* οὓς ἐξελέξω* ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον. (Πανεύφημοι μάρτυρες).

Φαιδρύνεται, Κόρη, προφητῶν* ὁ χορὸς τῷ τόκῳ σου,* πατριαρχῶν θεῖος σύλλογος,* σεπτοὶ ἀπόστολοι,* καὶ ἀρχιερέων* καὶ μαρτύρων σύστημα,* ὁσίων καὶ δικαίων τὰ τάγματα,* καὶ σὲ γινώσκουσιν* ἀφορμὴν τῆς τούτων τάξεως* καὶ τιμῶσιν* ὡς Θεοῦ γεννήτριαν.

Ἀπόστιχα στιχηρὰ προσόμοια τοῦ Θεοφάνους ἔχοντα ἀκροστιχίδα μετὰ τῶν τοιούτων τῶν λοιπῶν ἦχον

Σούς, Χριστέ, δούλους γράψον ἐν ζώντων βίβλῳ.

Ἦχος α΄. (Πανεύφημοι μάρτυρες).

Σοῦ, Σῶτερ, δεόμεθα, τῆς σῆς* γλυκερᾶς μεθέξεως* τοὺς μεταστάντας ἀξίωσον* καὶ κατασκήνωσον* ἐν σκηναῖς δικαίων,* ἐν μοναῖς ἁγίων σου* καὶ ἐν ἐπουρανίοις σκηνώμασι,* τῇ εὐσπλαγχνίᾳ σου* παρορῶν τὰ παραπτώματα* καὶ παρέχων* αὐτοῖς τὴν ἀνάπαυσιν.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Οὐδεὶς ἀναμάρτητος, οὐδεὶς* τῶν ἀνθρώπων γέγονεν,* εἰ μὴ σύ, μόνε ἀθάνατε* διὸ τοὺς δούλους σου,* ὡς Θεὸς οἰκτίρμων,* ἐν φωτὶ κατάταξον* σὺν ταῖς χοροστασίαις ἀγγέλων σου,* τῇ εὐσπλαγχνίᾳ σου* ὑπερβαίνων ἀνομήματα* καὶ παρέχων* αὐτοῖς τὴν συγχώρησιν.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ὑπὲρ τὰ ὁρώμενα τὰ σά,* Σῶτερ, ἐπαγγέλματα,* ἃ ὀφθαλμὸς οὐ τεθέαται* καὶ οὓς οὐκ ἤκουσε* καὶ ἐπὶ καρδίαν* οὐκ ἀνέβη πώποτε* ὧν τῆς προσηνεστάτης μεθέξεως* τυχεῖν εὐδόκησον* τοὺς πρὸς σὲ μεταχωρήσαντας,* καὶ παράσχου* ζωὴν τὴν αἰώνιον.

Δόξα.

Σταυρῷ σου γηθόμενοι, Σταυρῷ* θαῤῥοῦντες οἱ δοῦλοί σου* πρὸς σὲ μετέστησαν, Κύριε* οἷς νῦν ἀντίλυτρον* τῶν αὐτῶν πταισμάτων* τὸν Σταυρόν σου δώρησαι* καὶ αἷμα τὸ χυθὲν ὑπὲρ κόσμου ζωῆς,* τῇ εὐσπλαγχνίᾳ σου* συγ-

χωρῶν τὰ πλημμελήματα* καὶ φωτίζων* φωτὶ τοῦ προσώπου σου.

Καὶ νῦν. Θεοτοκίον.

Χριστὸν ἐκδυσώπησον, τὸν σὸν* τόκον, Μητροπάρθενε,* τὴν τῶν πταισμάτων συγχώρησιν* δοῦναι τοῖς δούλοις σου,* τοῖς σὲ Θεοτόκον* εὐσεβῶς κηρύξασι* καὶ λόγῳ ἀληθεῖ δογματίσασι,* καὶ τῆς λαμπρότητος* τῶν ἁγίων καὶ φαιδρότητος* ἀξιῶσαι* ἐν τῇ βασιλείᾳ αὐτοῦ.

ΗΧΟΣ Β'.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ μαρτυρικά. Ἦχος β'.

Οἱ τὴν ἐπίγειον ἀπόλαυσιν* μὴ ποθήσαντες ἆθλοφόροι* οὐρανίων ἀγαθῶν ἠξιώθησαν* καὶ ἀγγέλων συμπολῖται γεγόνασι.* Κύριε, πρεσβείαις αὐτῶν* ἐλέησον καὶ σῶσον ἡμᾶς.

Τῶν ἁγίων μαρτύρων* πρεσβευόντων ὑπὲρ ἡμῶν* καὶ τὸν Χριστὸν ὑμνούντων,* πᾶσα πλάνη πέπαυται* καὶ τῶν ἀνθρώπων τὸ γένος* πίστει διασῴζεται.

Χοροὶ μαρτύρων ἀντέστησαν* τοῖς τυράννοις λέγοντες·* Ἡμεῖς στρατευόμεθα* τῷ βασιλεῖ τῶν δυνάμεων·* εἰ καὶ πυρὶ καὶ βασάνοις* ἀναλώσετε ἡμᾶς,* οὐκ ἀρνούμεθα τῆς Τριάδος τὴν δύναμιν.

Μεγάλη ἡ δόξα,* ἣν ἐκτήσασθε, ἅγιοι,* διὰ τῆς πίστεως·* οὐ μόνον γὰρ ἐν τῷ πάσχειν* τὸν ἐχθρὸν ἐνικήσατε,* ἀλλὰ καὶ μετὰ θάνατον* πνεύματα ἀπελαύνετε,* ἀσθενοῦντας θεραπεύετε,* ψυχῶν καὶ σωμάτων ἰατροί.* Πρεσβεύσατε πρὸς Κύριον* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

Οἴμοι,* οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ* χωριζομένη ἐκ τοῦ σώματος!* οἴμοι,* πόσα δακρύει τότε,* καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν!* πρὸς τοὺς ἀγγέλους* τὰ ὄμματα ῥέπουσα* ἅπρακτα θικετεύει·* πρὸς τοὺς ἀνθρώπους* τὰς χεῖρας ἐκτείνουσα* οὐκ ἔχει τὸν βοηθοῦντα.* Διό, ἀγαπητοί μου ἀδελφοί,* ἐννοήσαντες ἡμῶν* τὸ βραχὺ τῆς ζωῆς,* τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν* παρὰ Χριστοῦ αἰτησώμεθα* καὶ ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου,* τῆς χάριτος ἐλθούσης·* ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο* καταφλεγομένη,* οὕτω παρθένος ἔτεκες* καὶ παρθένος ἔμεινας·* ἀντὶ στύλου πυρὸς* δικαιοσύνης ἀνέτειλεν ἥλιος,* ἀντὶ Μωϋσέως Χριστός,* ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα μαρτυρικά.
Ἦχος β΄. (Ὁ σοφίσας ὑπὲρ ῥήτορας).

Ὁ φαιδρύνας τοὺς ἁγίους σου* ὑπὲρ χρυσὸν* καὶ δοξάσας τοὺς ὁσίους σου* ὡς ἀγαθός,* ὑπ᾽ αὐτῶν δυσωπούμενος, Χριστὲ ὁ Θεός,* τὴν ζωὴν ἡμῶν εἰρήνευσον* ὡς φιλάνθρωπος* καὶ τὴν εὐχὴν κατεύθυνον* ὡς θυμίαμα,* ὁ μόνος ἐν ἁγίοις ἀναπαυόμενος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἀθλοφόροι Κυρίου,* μακαρία ἡ γῆ* ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν,* καὶ ἅγιαι αἱ σκηναὶ* αἱ δεξάμεναι τὰ σώματα ὑμῶν·* ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε* καὶ Χριστὸν μετὰ παῤῥησίας ἐκηρύξατε·* αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε* σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἀπόστολοι, μάρτυρες καὶ προφῆται,* ἱεράρχαι, ὅσιοι καὶ δίκαιοι,* οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες* καὶ τὴν πίστιν τηρήσαντες,* παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα,* ὑπὲρ ἡμῶν αὐτὸν* ὡς ἀγαθὸν ἱκετεύσατε* σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον.

Μνήμη τῶν κεκοιμημένων, Κύριε,* εἰς μνείαν τῶν προσδοκωμένων ἄγει με,* καὶ καθορῶν μου τὴν κατάδικην,* προσφέρω τὴν ἐκ βασάνων φωνήν·* Ἐλεῆμον, ἐλέησόν με.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ ἁγία* ἡ τοῦ ἀφράστου φωτός,* ἀγγελικοῖς σε ὕμνοις τιμῶντες* εὐσεβῶς μεγαλύνομεν.

Εἰς τοὺς αἴνους, στιχηρὰ μαρτυρικά. Ἦχος β'.

Ὑπὲρ Χριστοῦ παθόντες μέχρι θανάτου,* ὦ ἀθλοφόροι μάρτυρες,* ψυχὰς μὲν ἔχετε εἰς οὐρανοὺς* ἐν χειρὶ Θεοῦ,* καὶ κατὰ κόσμον ὅλον* δορυφορεῖται ὑμῶν τὰ λείψανα·* ἱερεῖς καὶ βασιλεῖς προσκυνοῦσι,* καὶ λαοὶ πάντες ἐπαγαλλόμενοι* συνήθως βοῶμεν·* Ὕπνος τίμιος ἐναντίον Κυρίου* ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Τὸν Σταυρὸν τοῦ Χριστοῦ* λαβόντες οἱ ἅγιοι μάρτυρες* ὅπλον ἀκαταγώνιστον,* πᾶσαν τοῦ διαβόλου τὴν ἰσχὺν κατήργησαν·* καὶ λαβόντες στέφος οὐράνιον* τεῖχος ἡμῖν γεγόνασιν,* ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες.

Τῶν ἁγίων σου τὰ πλήθη* δυσωποῦσί σε, Χριστέ·* ἐλέησον, Σωτήρ, τὰς ψυχὰς ἡμῶν.

Πᾶσα πόλις καὶ χώρα* τιμᾷ ὑμῶν τὰ λείψανα,* ὦ ἀθλοφόροι μάρτυρες·* ὑμεῖς γὰρ νομίμως ἀθλήσαντες* στέφανον οὐράνιον ἐλάβετε·* καὶ διὰ τοῦτο* ἱερέων ἐστὲ τὸ καύχημα,* βασιλέων τὸ νῖκος,* Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Δόξα. Νεκρώσιμον. (Ὡς ἄνθος μαραίνεται).

Ἐκ γῆς πλαστουργήσας με,* εἰς γῆν πάλιν πορεύεσθαι* τῇ παραβάσει με κατέκρινας·* ἔστησας ἡμέραν ἐτάσεως,*

ἐν ᾗ τὰ κρυπτὰ* τῆς ἑκάστου πράξεως* φανερὰ παρίστανται ἐνώπιόν σου·* τότε φεῖσαί μου, ἀναμάρτητε,* καὶ τῶν ἐσφαλμένων μοι* συγχώρησιν διδούς,* τῆς βασιλείας σου μὴ χωρίσῃς με.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, Μαρία Θεοτόκε,* ὁ ναὸς ὁ ἀκατάλυτος,* μᾶλλον δὲ ὁ ἅγιος,* καθῶς βοᾷ ὁ προφήτης·* Ἅγιος ὁ ναός σου,* θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἀπόστιχα, τὰ νεκρώσιμα προσόμοια τοῦ Θεοφάνους.
Ἦχος β′. (Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν).

Ρύμην τοῦ θανάτου καὶ φθορὰν* σοῦ τῷ ζωηφόρῳ θανάτῳ* καθεῖλες, Δέσποτα,* πᾶσι δὲ ἐπήγασας* ζωὴν αἰώνιον* καὶ νεκρῶν ἐξανάστασιν* θνητοῖς ἐδωρήσω·* ὅθεν σου δεόμεθα,* Σῶτερ, ἀνάπαυσον* πίστει τοὺς πρὸς σὲ μεταστάντας* καὶ τῆς ἀκηράτου σου δόξης* τούτους καταξίωσον, φιλάνθρωπε.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς* θείας βασιλείας ἐργάσῃ,* σταυρὸν ὑπέμεινας,* θάνατον ἑκούσιον* καταδεξάμενος·* διὰ τοῦτο δεόμεθα·* Τῇ σῇ εὐσπλαγχνίᾳ μετόχους ἀνάδειξον* τῆς βασιλείας σου* πίστει τοὺς πρὸς σὲ μεταστάντας* καὶ τῆς ἀϊδίου σου δόξης* καὶ μακαριότητος ἀξίωσον.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Σῶσαι τὸ σὸν πλάσμα βουληθείς,* τῆς οἰκονομίας τὸ ὄντως* βαθὺ μυστήριον* χαίρων ἐξετέλεσας* ὡς ὑπεράγαθος* καὶ τιμῆς ἐξηγόρασας* τὸν σύμπαντα κόσμον* αἵματι τιμίῳ σου·* διὸ δεόμεθα·* Πίστει τοὺς πρὸς σὲ μεταστάντας* μετὰ τῶν ἁγίων ἁπάντων* τῆς ἀπολυτρώσεως ἀξίωσον.

Δόξα.

Τρόμῳ τῷ φρικτῷ καὶ φοβερῷ* βήματι τῷ σῷ παρεστῶτες* οἱ ἀπ' αἰῶνος νεκροί,* ψῆφον ἀναμένουσι* τὴν σὴν

δικαίαν, Σωτήρ,* καὶ τὴν θείαν ἐκδέχονται* δικαιοκρισίαν·* τότε φεῖσαι, Δέσποτα* Σῶτερ, τῶν δούλων σου* πίστει* τῶν πρὸς σὲ μεταστάντων* καὶ τῆς ἀϊδίου τρυφῆς σου* καὶ μακαριότητος ἀξίωσον.

Καὶ νῦν. Θεοτοκίον.

Εὖας τῆς προμήτορος, ἁγνή,* σὺ τὴν ὀφειλήν, συλλαβοῦσα* Θεόν, ἀπέτισας,* τὸν τὴν ἀφθαρσίαν τε* καὶ τὴν ἀνάστασιν* τοῖς πιστοῖς χαριζόμενον* καὶ τῇ ἀθανάτῳ* δόξῃ στεφανώσαντα* τοὺς σὲ δοξάζοντας· ὃν νῦν δυσωποῦσα μὴ παύσῃ* τούτους ἐν φωτὶ κατατάξαι* τῆς αὐτοῦ λαμπρότητος, Θεόνυμφε.

ΗΧΟΣ Γ'.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ μαρτυρικά.

Ἦχος γ'. (Μεγάλη τοῦ Σταυροῦ σου).

Μεγάλη* τῶν μαρτύρων σου, Χριστέ, ἡ δύναμις!* ἐν μνήμασι γὰρ κεῖνται* καὶ πνεύματα διώκουσι* καὶ κατήργησαν ἐχθροῦ τὴν ἐξουσίαν,* τῇ πίστει τῆς Τριάδος* ἀγωνισάμενοι* ὑπὲρ τῆς εὐσεβείας.

Ὅμοιον.

Προφῆται* καὶ ἀπόστολοι Χριστοῦ καὶ μάρτυρες* ἐδίδαξαν ὑμνεῖσθαι* Τριάδα ὁμοούσιον·* καὶ ἐφώτισαν τὰ ἔθνη τὰ πεπλανημένα* καὶ κοινωνοὺς ἀγγέλων* πίστει ἐποίησαν* τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Οἱ μάρτυρές σου, Κύριε,* πίστει στηριχθέντες,* ἐλπίδι βεβαιωθέντες,* τῇ ἀγάπῃ τοῦ Σταυροῦ σου* ψυχικῶς ἑνωθέντες,* τοῦ ἐχθροῦ τὴν τυραννίδα ἔλυσαν* καὶ τυχόντες τῶν στεφάνων* μετὰ τῶν ἀσωμάτων πρεσβεύουσιν* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Αὐτόμελον.

Μεγάλη* τοῦ Σταυροῦ σου, Κύριε, ἡ δύναμις!* ἐπάγη γὰρ ἐν τόπῳ* καὶ ἐνεργεῖ ἐν τῷ κόσμῳ* καὶ ἀνέδειξεν ἐξ ἁλιέων ἀποστόλους* καὶ ἐξ ἐθνῶν μάρτυρας,* ἵνα πρεσβεύωσιν* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Νεκρώσιμον τοῦ Δαμασκηνοῦ. Αὐτόμελον.

Πάντα ματαιότης τὰ ἀνθρώπινα,* ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον* οὐ παραμένει ὁ πλοῦτος,* οὐ συνοδεύει ἡ δόξα* ἐπελθὼν γὰρ ὁ θάνατος* ταῦτα πάντα ἐξηφάνισε.* Διὸ Χριστῷ* τῷ ἀθανάτῳ βασιλεῖ βοήσωμεν* Τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον,* ἔνθα πάντων ἐστὶν* εὐφραινομένων ἡ κατοικία.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς μὴ θαυμάσωμεν* τὸν θεανδρικόν σου τόκον, παρσεβάσμιε;* πεῖραν γὰρ ἀνδρὸς* μὴ δεξαμένη, πανάμωμε,* ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκί,* τὸν πρὸ αἰώνων ἐκ Πατρὸς* γεννηθέντα ἀμήτορα,* μηδαμῶς ὑπομείναντα τροπὴν* ἢ φυρμὸν ἢ διαίρεσιν,* ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα* σῶαν φυλάξαντα.* Διό, μητροπάρθενε Δέσποινα,* αὐτὸν ἱκέτευε σωθῆναι* τὰς ψυχὰς τῶν ὀρθοδόξως* Θεοτόκον ὁμολογούντων σε.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν, καθίσματα μαρτυρικά.

Οσοι φιλομάρτυρες,* εὐφράνθητε καὶ νῦν,* συμφώνως ἀναμέλποντες* τὴν ὑμνῳδίαν τῷ Χριστῷ* ὡς γὰρ φωστῆρας ἐν κόσμῳ* ἀνέτειλεν ἡμῖν* τὴν ἐτήσιον μνήμην* τῶν ἀθλοφόρων αὐτοῦ,* θαυμάτων χάριν ἐκπέμπουσαν* καὶ φωτίζουσαν τὸν νοῦν* καὶ τὰς ψυχὰς ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τὸ εὔψυχον τῆς καρτερίας ὑμῶν* ἐνίκησε τὰ μηχανήματα* τοῦ ἀρχεκάκου ἐχθροῦ,* ἀθλοφόροι πανεύφημοι* διὰ τοῦτο τῆς αἰωνίου* κατηξιώθητε μακαριότητος* ἀλλὰ

πρεσβεύσατε τῷ Κυρίῳ,* τοῦ φιλοχρίστου λαοῦ* σῶσαι τὸ ποίμνιον,* μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἐκλάμπετε διὰ τῆς πίστεως,* ὑπέρλαμπροι φωστῆρες, ἅγιοι,* θεοσεβείας ἰατροί,* ἀθλοφόροι πανεύφημοι* τῶν τυράννων γὰρ τὰς αἰκίσεις* μὴ δειλανδρήσαντες,* τῶν εἰδώλων τὰς δυσφημίας* κατηδαφίσατε,* τρόπαιον ἔχοντες ἀήττητον* τὸν Σταυρὸν τῆς ἀληθείας.

Δόξα. Νεκρώσιμον. (Τὴν ὡραιότητα).

Ὅτε τῷ λόγῳ σου* παραστησόμεθα* τῷ ἀδεκάστῳ σου* βήματι, Κύριε,* μὴ κατακρίνῃς τοὺς εἰς σέ,* Σωτὴρ ἡμῶν, πεπιστευκότας* πάντες γὰρ ἡμάρτομεν,* ἀλλὰ σοῦ οὐκ ἀπέστημεν* ὅθεν δυσωποῦμέν σε* ἐν σκηναῖς τῶν δικαίων σου,* Χριστέ, οὓς προσελάβου κατάταξον,* ὡς μόνος ὑπάρχων πολυέλεος.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν* τὴν σωτηρίαν τοῦ γένους ἡμῶν* ἀνυμνοῦμεν, Θεοτόκε Παρθένε* ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ* ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν,* τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος,* ἐλυτρώσατο ἡμᾶς* ἐκ φθορᾶς, ὡς φιλάνθρωπος.

Εἰς τοὺς αἴνους, στιχηρὰ μαρτυρικά. Ἦχος γ'.

Τῶν ἁγίων ἀθλοφόρων τὴν μνήμην,* δεῦτε, λαοὶ ἅπαντες, τιμήσωμεν,* ὅτι θέατρον γενόμενοι* ἀγγέλοις καὶ ἀνθρώποις,* τὸν τῆς νίκης στέφανον* παρὰ Χριστοῦ ἐκομίσαντο* καὶ πρεσβεύουσιν* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Αὐτόμελον.

Βασιλέων καὶ τυράννων* τὸν φόβον ἀπώσαντο* οἱ Χριστοῦ στρατιῶται* καὶ εὐθαρσῶς καὶ ἀνδρείως* αὐτὸν ὡμολόγησαν* τῶν ἁπάντων Κύριον,* Θεὸν καὶ βασιλέα ἡμῶν,* καὶ πρεσβεύουσιν* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὅμοιον.

Αἱ δυνάμεις τῶν ἁγίων* ἀγγέλων ἐθαύμασαν* τῶν μαρτύρων τοὺς ἄθλους·* ὅτι σῶμα περικείμενοι* βασάνων κατεφρόνησαν,* μιμηταὶ γενόμενοι* τοῦ πάθους τοῦ Σωτῆρος Χριστοῦ,* καὶ πρεσβεύουσιν* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὡς φωστῆρες ἐν κόσμῳ λάμπετε* καὶ μετὰ θάνατον, ἅγιοι μάρτυρες,* τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενοι·* διὸ ἔχοντες παῤῥησίαν,* Χριστὸν τὸν Θεὸν ἱκετεύσατε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον. (Πάντα ματαιότης).

Ἄνθρωποι, τί μάτην ταραττόμεθα;* ὁ δρόμος βραχύς ἐστιν, ὃν τρέχομεν·* καπνὸς ὑπάρχει ὁ βίος,* ἀτμὶς καὶ τέφρα καὶ κόνις,* πρὸς ὀλίγον φαινόμενος* καὶ ταχέως ἀχρειούμενος·* διὸ Χριστῷ* τῷ ἀθανάτῳ βασιλεῖ βοήσωμεν·* Τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον,* ἔνθα πάντων ἐστὶν* εὐφραινομένων ἡ κατοικία.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, ἡ προστασία* πάντων τῶν δεομένων,* εἰς σὲ θαῤῥοῦμεν,* εἰς σὲ καυχώμεθα,* ἐν σοὶ πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστι·* πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι* ὑπὲρ ἀχρείων δούλων σου.

Ἀπόστιχα, τὰ νεκρώσιμα προσόμοια τοῦ Θεοφάνους.
Ἦχος γ΄. (Τῷ τύπῳ τοῦ Σταυροῦ).

Δοξάζω τὸν Σταυρόν σου τὸν τίμιον,* δι' οὗ ζωὴ δεδώρηται* καὶ τρυφῆς ἡ ἀπόλαυσις* τοῖς ἐν πίστει καὶ πόθῳ* σὲ ὑμνοῦσι, μόνε πολυέλεε·* διὸ βοῶμέν σοι, Χριστὲ ὁ Θεός·* Τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον,* ἔνθα πάντων ἐστὶν* εὐφραινομένων ἡ κατοικία ἐν σοί,* δοξάζειν σου τὴν Θεότητα.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ὁμόνος ἐλεήμων καὶ εὔσπλαγχνος,* ὁ ἔχων ἀκατάληπτον* ἀγαθότητος πέλαγος,* ὁ γινώσκων τὴν φύσιν* τῶν ἀνθρώπων, ἣν ἐδημιούργησας,* σὲ ἱκετεύομεν, Χριστὲ

ὁ Θεός·* Τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον,* ἔνθα πάντων ἐστὶν* εὐφραινομένων ἡ κατοικία ἐν σοί,* δοξάζειν σου τὴν Θεότητα.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ὑπνώσας ἐν τῷ τάφῳ ὡς ἄνθρωπος,* δυνάμει ἀῤῥήτῳ σου* ὡς Θεὸς ἐξανέστησας* τοὺς ἐν τάφοις ὑπνοῦντας,* ἀσιγήτως ὕμνον σοι προσφέροντας·* διὸ βοῶμέν σοι, Χριστὲ ὁ Θεός·* Τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον,* ἔνθα πάντων ἐστὶν* εὐφραινομένων ἡ κατοικία ἐν σοί,* δοξάζειν σου τὴν Θεότητα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Λαμπάδα νοητὴν σε βαστάζουσαν* τὸ φέγγος τῆς Θεότητος,* ὁμιλῆσαν παχύτητι* τῆς ἀνθρώπων οὐσίας,* Θεοτόκε, πάντες ἐπιστάμεθα·* τὸν σὸν δυσώπησον Υἱὸν καὶ Θεόν,* τοὺς μεταστάντας ἐξ ἡμῶν αὐλίζεσθαι* ἔνθα πάντων ἐστὶν* εὐφραινομένων ἡ κατοικία, ἁγνή,* δοξάζειν σε τὴν πανάμωμον.

ΗΧΟΣ Δ'.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ μαρτυρικά. Ἦχος δ'.

Ὁ ἐνδοξαζόμενος* ἐν ταῖς μνείαις τῶν ἁγίων σου,* Χριστὲ ὁ Θεός,* ὑπ' αὐτῶν δυσωπούμενος,* κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ τῶν ἁγίων μαρτύρων* δεξάμενος τὴν ὑπομονήν,* καὶ παρ' ἡμῶν δέχου* τὴν ὑμνῳδίαν, φιλάνθρωπε,* δωρούμενος ἡμῖν* ταῖς αὐτῶν ἱκεσίαις* τὸ μέγα ἔλεος.

Ἔχοντες παῤῥησίαν* πρὸς τὸν Σωτῆρα, ἅγιοι,* πρεσβεύσατε ἀπαύστως* ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν,* ἄφεσιν

πταισμάτων αἰτούμενοι* καὶ ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Ἱερεῖα ἔμψυχα,* ὁλοκαυτώματα λογικά,* μάρτυρες Κυρίου,* θύματα τέλεια Θεοῦ,* Θεὸν γινώσκοντα* καὶ Θεῷ γινωσκόμενα πρόβατα,* ὧν ἡ μάνδρα* λύκοις ἀνεπίβατος,* πρεσβεύσατε* καὶ ἡμᾶς συμποιμανθῆναι ὑμῖν* ἐπὶ ὕδατος ἀναπαύσεως.

Δόξα. Νεκρώσιμον, τοῦ Δαμασκηνοῦ.

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια;* ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία;* ποῦ ἐστιν ὁ χρυσὸς καὶ ὁ ἄργυρος;* ποῦ ἐστι τῶν οἰκετῶν* ἡ πλημμύρα καὶ ὁ θόρυβος;* πάντα τέφρα,* πάντα κόνις,* πάντα σκιά.* Ἀλλὰ δεῦτε, βοήσωμεν* τῷ ἀθανάτῳ βασιλεῖ* Κύριε, τῶν αἰωνίων σου ἀγαθῶν* ἀξίωσον τοὺς μεταστάντας ἐξ ἡμῶν* καὶ ἀνάπαυσον αὐτοὺς* ἐν τῇ ἀγήρῳ μακαριότητι.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ θεοπάτωρ* προφήτης Δαβὶδ* μελῳδικῶς περὶ σοῦ προανεφώνησε* τῷ μεγαλεῖά σοι ποιήσαντι·* Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.* Σὲ γὰρ μητέρα* πρόξενον ζωῆς ἀνέδειξεν* ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπήσαι* εὐδοκήσας Θεός,* ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα* φθαρεῖσαν τοῖς πάθεσι,* καὶ τὸ πλανηθὲν* ὀρειάλωτον εὑρὼν* πρόβατον, τοῖς ὤμοις ἀναλαβών,* τῷ Πατρὶ προσαγάγῃ* καὶ τῷ ἰδίῳ θελήματι* ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι* καὶ σώσῃ, Θεοτόκε, τὸν κόσμον* Χριστός, ὁ ἔχων* τὸ μέγα καὶ πλούσιον ἔλεος.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α′ στιχολογίαν, καθίσματα μαρτυρικά.
Ἦχος δ′. (Ταχὺ προκατάλαβε).

Οἱ μάρτυρές σου, Κύριε,* ἐν τῇ ἀθλήσει αὐτῶν* στεφάνους ἐκομίσαντο* τῆς ἀφθαρσίας* ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν·* ἔχοντες τὴν ἰσχύν σου,* τοὺς τυράννους καθεῖλον·* ἔ-

θραυσαν καὶ δαιμόνων* τὰ ἀνίσχυρα θράση.* Αὐτῶν ταῖς ἱκεσίαις* σῶσον τὰς ψυχὰς ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου* ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα* ἡ Ἐκκλησία σου στολισαμένη,* δι' αὐτῶν βοᾷ σοι, Χριστὲ ὁ Θεός·* Τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον·* εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι* καὶ ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

(Ταχὺ προκατάλαβε).

Σταυρῷ ὁπλισάμενοι,* οἱ ἀθλοφόροι σου* ἐνίκησαν τὰ μηχανήματα* τοῦ ἀρχεκάκου ἐχθροῦ,* Χριστὲ ὁ Θεὸς ἡμῶν·* ἔλαμψαν ὡς φωστῆρες,* τοὺς βροτοὺς ὁδηγοῦντες·* νέμουσι τὰς ἰάσεις* τοῖς ἐν πίστει αἰτοῦσιν.* Αὐτῶν ταῖς ἱκεσίαις* σῶσον τὸν κόσμον σου.

Δόξα. Νεκρώσιμον. Ὅμοιον.

Ψυχάς, ἃς μετέστησας* ἐκ τῶν προσκαίρων πρὸς σὲ* ἀνάπαυσον, ὡς εὔσπλαγχνος* καὶ παντοδύναμος,* Χριστὲ ὁ Θεὸς ἡμῶν·* συγχώρησον, ὡς οἰκτίρμων,* τὰ αὐτοῖς πεπραγμένα·* ἐλέησον, ἐλεῆμον,* τῶν χειρῶν σου τὰ ἔργα,* πρεσβείαις τῆς Θεοτόκου,* μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον* καὶ ἀγγέλοις ἄγνωστον μυστήριον* διὰ σοῦ, Θεοτόκε,* τοῖς ἐπὶ γῆς πεφανέρωται,* Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος* καὶ Σταυρὸν ἑκουσίως* ὑπὲρ ἡμῶν καταδεξάμενος·* δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον,* ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Εἰς τοὺς αἴνους, στιχηρὰ μαρτυρικά. Ἦχος δ'.

Τίς οὐκ ἐξίσταται ὁρῶν,* ἅγιοι μάρτυρες,* τὸν ἀγῶνα τὸν καλόν,* ὃν ἠγωνίσασθε;* πῶς ἐν σώματι ὄντες,* τὸν ἀσώματον ἐχθρὸν ἐνικήσατε,* Χριστὸν ὁμολογήσαντες* καὶ

Σταυρῷ ὁπλισάμενοι;* ὅθεν ἐπαξίως ἀνεδείχθητε* δαιμόνων φυγαδευταὶ* καὶ βαρβάρων πολέμιοι.* Ἀπαύστως πρεσβεύσατε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀγγέλων συμμέτοχοι γεγόνατε,* ἅγιοι μάρτυρες,* ἐν σταδίῳ τὸν Χριστὸν* ἀνδρείως κηρύξαντες* πάντα γὰρ τὰ ἐν κόσμῳ* κατελίπετε τερπνὰ ὡς ἀνύπαρκτα,* τὴν πίστιν δὲ ὡς ἄγκυραν* ἀσφαλῆ ἐκρατήσατε* ὅθεν καὶ τὴν πλάνην ἀπελάσαντες,* πηγάζετε τοῖς πιστοῖς* ἰαμάτων χαρίσματα.* Ἀπαύστως πρεσβεύσατε* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Πῶς ὑμῶν μὴ θαυμάσωμεν* τοὺς ἀγῶνας, ἅγιοι μάρτυρες,* ὅτι σῶμα θνητὸν περικείμενοι,* τοὺς ἀσωμάτους ἐχθροὺς ἐτροπώσασθε;* οὐκ ἐφόβησαν ὑμᾶς* τῶν τυράννων αἱ ἀπειλαί* οὐ κατέπτηξαν ὑμᾶς* τῶν βασάνων αἱ προσβολαί* ὅθεν ἀξίως* παρὰ Χριστοῦ ἐδοξάσθητε,* τοῦ παρέχοντος ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Τίμιος ὁ θάνατος* τῶν ἁγίων σου, Κύριε* ξίφεσι γὰρ καὶ πυρὶ* καὶ ψύχει συντετριμμένοι,* ἐξέχεαν τὸ αἷμα αὐτῶν,* ἐλπίδα ἔχοντες εἰς σὲ* ἀπολαβεῖν τοῦ καμάτου τὸν μισθόν* ὑπέμειναν καὶ ἔλαβον* παρὰ σοῦ, Σωτήρ, τὸ μέγα ἔλεος.

Δόξα. Νεκρώσιμον.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε,* ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται,* ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν δούλων σου,* ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐχοντές σε, Θεοτόκε,* ἐλπίδα καὶ προστασίαν,* ἐχθρῶν ἐπιβουλὰς οὐ πτοούμεθα,* ὅτι σκέπεις τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχα, τὰ νεκρώσιμα προσόμοια τοῦ Θεοφάνους.
Ἦχος δ΄. (Ἔδωκας σημείωσιν).

Ὄντως φοβερώτατον* τὸ τοῦ θανάτου μυστήριον!* πῶς ψυχὴ ἐκ τοῦ σώματος* βιαίως χωρίζεται* ἐκ τῆς ἁρμονίας* καὶ τῆς συμφυΐας* ὁ φυσικώτατος δεσμὸς* θείῳ βουλήματι ἀποτέμνεται;* Διό σε ἱκετεύομεν* Τοὺς μεταστάν-

τας ἀνάπαυσον* ἐν σκηναῖς τῶν ἁγίων σου,* ζωοδότα φιλάνθρωπε.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Υπνος ἀναδέδεικται* τῶν πιστευόντων ὁ θάνατος,* σοῦ τεθέντος ἐν μνήματι,* τοῦ πάντων δεσπόζοντος,* καὶ τὸ τοῦ θανάτου* κράτος λελυκότος* καὶ καταργήσαντος αὐτοῦ* τὴν δυναστείαν τὴν πολυχρόνιον.* Διό σε ἱκετεύομεν·* Τοὺς μεταστάντας ἀνάπαυσον* ἐν σκηναῖς τῶν ἁγίων σου,* ζωοδότα φιλάνθρωπε.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Σὺ δικαιοσύνη τε* ἁγιασμὸς ἡμῖν γέγονας* καὶ ψυχῶν ἀπολύτρωσις·* Πατρὶ γὰρ προσήγαγες* δεδικαιωμένους* καὶ λελυτρωμένους,* ἀναδεξάμενος ἡμῶν* τὸ ὀφειλόμενον ἐπιτίμιον·* καὶ νῦν ἐκδυσωποῦμέν σε·* Τοὺς μεταστάντας ἀνάπαυσον* ἐν χαρᾷ καὶ φαιδρότητι,* εὐεργέτα Σωτὴρ ἡμῶν.

Δόξα.

Γένος τὸ ἀνθρώπινον* πρὸς ἀφθαρσίαν ἀνώλεθρον* ἐκ φθορᾶς ἀνακέκληται,* λουσάμενον αἵματι* τῷ ἐκ τῆς πλευρᾶς σου,* Σῶτερ, κενωθέντι·* ἐν ᾧ ἀπέπλυνας ἡμᾶς* τῆς παραβάσεως τοῦ προπάτορος.* Διό σε ἱκετεύομεν·* Τοὺς μεταστάντας ἀνάπαυσον* ἐν σκηναῖς αἰωνίοις σου,* ἐν χοροῖς τῶν μαρτύρων σου.

Καὶ νῦν. Θεοτοκίον.

Ρήσεσιν ἑπόμενοι* τῶν θεηγόρων, πανάμωμε,* Θεοτόκον φρονοῦμέν σε·* Θεὸν γὰρ ἐγέννησας* σεσωματωμένον* ἀπερινοήτως,* τὸν λυτρωσάμενον ἡμᾶς* τοὺς αἰχμαλώτους τοῖς παραπτώμασιν·* ὃν καὶ νῦν ἐκδυσώπησον,* τοὺς μεταστάντας οἰκέτας σου* ταῖς οἰκείαις ἐλλάμψεσι* καταυγάσαι, πανάχραντε.

ΗΧΟΣ ΠΛ. Α΄.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ μαρτυρικά. Ἦχος πλ. α΄.

Τῶν ἐπιγείων ἁπάντων* καταφρονήσαντες* καὶ τῶν βασάνων ἀνδρείως* κατατολμήσαντες,* τῶν μακαρίων ἐλπίδων* οὐκ ἠστοχήσατε,* ἀλλ᾽ οὐρανῶν βασιλείας* κληρονόμοι γεγόνατε,* πανεύφημοι μάρτυρες.* Ἔχοντες παρρησίαν* πρὸς τὸν φιλάνθρωπον Θεόν,* τῷ κόσμῳ τὴν εἰρήνην αἰτήσασθε* καὶ ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Τὸν θυρεὸν τῆς πίστεως* περιβαλόμενοι* καὶ τῷ τύπῳ τοῦ Σταυροῦ* ἑαυτοὺς διαναστήσαντες,* πρὸς τὰς βασάνους ἀνδρείως* ἀπηυτομόλησαν* καὶ διαβόλου τὴν πλάνην* καὶ τὸ θράσος κατήργησαν* οἱ ἅγιοί σου, Κύριε.* Αὐτῶν ταῖς ἱκεσίαις,* ὡς παντοδύναμος Θεός,* τῷ κόσμῳ τὴν εἰρήνην κατάπεμψον* καὶ ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Πρεσβεύσατε ὑπὲρ ἡμῶν,* ἅγιοι μάρτυρες,* ἵνα ῥυσθῶμεν* τῶν ἀνομιῶν ἡμῶν·* ὑμῖν γὰρ ἐδόθη χάρις* πρεσβεύειν ὑπὲρ ἡμῶν.

Ακορέστῳ διαθέσει ψυχῆς* Χριστὸν οὐκ ἀρνησάμενοι,* ἅγιοι μάρτυρες, * οἵτινες διαφόρους αἰκισμοὺς* παθημάτων ὑπομείναντες,* τῶν τυράννων τὰ θράση κατηδαφίσατε·* ἀκλινῆ καὶ ἄτρωτον* τὴν πίστιν φυλάξαντες,* εἰς οὐρανοὺς μετέστητε·* ὅθεν καὶ παῤῥησίας* τυχόντες πρὸς αὐτόν,* αἰτήσασθε δωρηθῆναι* ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

Εμνήσθην τοῦ προφήτου βοῶντος·* Ἐγώ εἰμι γῆ καὶ σποδός·* καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι* καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα* καὶ εἶπον· Ἆρα τίς ἐστι;* βασιλεὺς ἢ στρατιώτης,* ἢ πλούσιος ἢ πένης,* ἢ δίκαιος ἢ ἁμαρτωλός;* Ἀλλὰ ἀνάπαυσον, Κύριε,* μετὰ δικαίων τοὺς δούλους σου* ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ* τῆς ἀπειρογάμου νύμφης* εἰκὼν διεγράφη ποτέ.* Ἐκεῖ Μωϋσῆς* διαιρέτης τοῦ ὕδατος,* ἐνθάδε Γαβριὴλ* ὑπηρέτης τοῦ θαύματος·* τότε τὸν βυθὸν* ἐπέζευσεν ἀβρόχως Ἰσραήλ,* νῦν δὲ τὸν Χριστὸν* ἐγέννησεν ἀσπόρως ἡ Παρθένος·* ἡ θάλασσα* μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ* ἔμεινεν ἄβατος·* ἡ ἄμεμπτος* μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ* ἔμεινεν ἄφθορος.* Ὁ ὢν καὶ προών* καὶ φανεὶς ὡς ἄνθρωπος Θεός,* ἐλέησον ἡμᾶς.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα μαρτυρικά.

Κύριε,* τὸ ποτήριον τοῦ πάθους σου* οἱ ἀθλοφόροι σου ζηλώσαντες,* κατέλιπον τὴν τοῦ βίου τερπνότητα* καὶ γεγόνασι τῶν ἀγγέλων συμμέτοχοι.* Αὐτῶν ταῖς παρακλήσεσι* παράσχου ταῖς ψυχαῖς ἡμῶν* ἱλασμὸν ἁμαρτιῶν* καὶ τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων* τεῖχος ἀκαταμάχητον* ἡμῖν δωρησάμενος,* Χριστὲ ὁ Θεός,* ταῖς αὐτῶν ἱκεσίαις* βουλὰς ἐθνῶν διασκέδασον·* τῆς βασιλείας τὰ σκῆπτρα κραταίωσον* ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Διωγμοὺς καὶ κινδύνους ὑπεριδόντες* καὶ τυράννων τὰ θράση μὴ πτοηθέντες,* παῤῥησίᾳ τὸν Χριστὸν ἀνεκήρυττον,* καὶ βασάνων αἰκισμοὺς* ὑπομείναντες στερῥῶς,* εἰδώλων πλάνην καθεῖλον* καὶ κράτος τοῦ διαβόλου* οἱ ἀθλοφόροι,* σαφῶς νικήσαντες.

Δόξα. Νεκρώσιμον.

Ἀνάπαυσον, Σωτὴρ ἡμῶν,* μετὰ δικαίων τοὺς δούλους σου* καὶ τούτους κατασκήνωσον* ἐν ταῖς αὐλαῖς σου,

καθὼς γέγραπται,* παρορῶν ὡς ἀγαθός* τὰ πλημμελήματα αὐτῶν* τὰ ἑκούσια καὶ τὰ ἀκούσια* καὶ πάντα τὰ ἐν ἀγνοίᾳ* καὶ γνώσει, φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ Παρθένου* ἀνατείλας τῷ κόσμῳ,* Χριστὲ ὁ Θεός,* υἱοὺς φωτὸς* δι' αὐτῆς ἀναδείξας,* ἐλέησον ἡμᾶς.

Εἰς τοὺς αἴνους, στιχηρὰ μαρτυρικά. Ἦχος πλ. α'.

Εὐλογημένος ὁ στρατὸς* τοῦ βασιλέως τῶν οὐρανῶν·* εἰ γὰρ καὶ γηγενεῖς* ὑπῆρχον οἱ ἀθλοφόροι,* ἀλλὰ ἀγγελικὴν* ἀξίαν ἔσπευδον φθάσαι,* τῶν σωμάτων καταφρονήσαντες* καὶ διὰ τῶν παθημάτων* τῆς τῶν ἀσωμάτων ἀξιωθέντες τιμῆς.* Εὐχαῖς αὐτῶν, Κύριε,* σῶσον τὰς ψυχὰς ἡμῶν.

Οἱ ἀθλοφόροι σου, Κύριε,* τὰς τάξεις τῶν ἀγγέλων μιμησάμενοι,* ὡς ἀσώματοι* ταῖς βασάνοις ἐνεκαρτέρησαν,* μονολόγιστον ἐλπίδα ἔχοντες,* τῶν ἐπηγγελμένων ἀγαθῶν* τὴν ἀπόλαυσιν·* ταῖς αὐτῶν πρεσβείαις,* Χριστὲ ὁ Θεὸς ἡμῶν,* τὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου* καὶ ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Οἱ ἅγιοι μάρτυρες* ἐπὶ τῆς γῆς ἠγωνίσαντο,* τῷ ἀέρι ἐνεκαρτέρησαν,* τῷ πυρὶ παρεδόθησαν,* τὸ ὕδωρ αὐτοὺς ὑπεδέξατο·* ἐκείνων ἐστὶν ἡ φωνή·* Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος,* καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.* Ταῖς πρεσβείαις αὐτῶν, ὁ Θεός,* ἐλέησον ἡμᾶς.

Ἐν ταῖς βασάνοις ὄντες οἱ ἅγιοι,* ἀγαλλόμενοι ἀνεβόων·* Συναλλάγματα ἡμῖν ἐστι* ταῦτα πρὸς τὸν Δεσπότην·* ἀντὶ τῶν ἐπανισταμένων* μωλώπων τῷ σώματι,* φωτεινὸν ἔνδυμα* ἐν τῇ ἀναστάσει ἐπανθήσει ἡμῖν·* ἀντὶ τῆς ἀτιμίας,* οἱ στέφανοι·* ἀντὶ δεσμωτηρίων,* ὁ παράδεισος,* καὶ ἀντὶ τῆς μετὰ τῶν κακούργων καταδίκης,* ἡ μετ' ἀγγέλων διαγωγή.* Διὸ εὐχαῖς αὐτῶν, Κύριε,* σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον.

Σὺ ἔπλασάς με, Κύριε,* καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου* καὶ ἐνετείλω καὶ εἶπας·* Εἰς γῆν πάλιν πορεύσῃ.* Ὁδήγησόν με* εἰς εὐθεῖαν ὁδόν σου* συγχώρησόν μοι* τὰ πλημμελήματά μου,* καὶ σῶσόν με, δέομαι, φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε,* Θεοτόκε Παρθένε,* ὅτι ἐκ σοῦ ἀνέτειλεν* ὁ ἥλιος τῆς δικαιοσύνης,* Χριστὸς ὁ ἔχων* τὸ μέγα ἔλεος.

Ἀπόστιχα, τὰ νεκρώσιμα προσόμοια τοῦ Θεοφάνους. Ἦχος πλ. α'. (Χαίροις, ἀσκητικῶν).

Ἄϋλῃ τοῦ σοῦ προσώπου, Χριστέ,* τοὺς μεταστάντας, ὡς οἰκτίρμων, κατάταξον,* σκηνώσας εἰς τόπον χλόης,* ἐπὶ ὑδάτων τῆς σῆς* ἀκραιφνοῦς καὶ θείας ἀναπαύσεως,* ἐν τοῖς ὀρεκτοῖς κόλποις* Ἀβραὰμ τοῦ προπάτορος·* ἔνθα τὸ φῶς σου* καθαρὸν ἐπιφαίνεται* καὶ προχέουσιν* αἱ πηγαὶ τῆς χρηστότητος·* ἔνθα περιχορεύουσι* τρανῶς ἀγαλλόμεναι* αἱ τῶν ἁγίων χορεῖαι* περὶ τὴν σὴν ἀγαθότητα·* μεθ' ὧν κατατάξας* τοὺς οἰκέτας σου, παράσχου* τὸ μέγα ἔλεος.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ψάλλειν παναρμονίῳ φωνῇ,* δοξολογοῦντας τὸ σὸν κράτος εὐδόκησον,* οἰκτίρμον, τοὺς μεταστάντας* ἐκ τῶν προσκαίρων πρὸς σέ,* τὸν Δεσπότην πάντων καὶ φιλάνθρωπον,* διδοὺς ὡραιότητος* τοῦ σοῦ κάλλους ἐλλάμπεσθαι* καὶ τῆς γλυκείας* καὶ τερπνῆς μετουσίας σου* ἀπολαύειν τε* καὶ τρυφᾶν καθαρώτερον·* ἔνθα περὶ τὸν θρόνον σου* χορεύουσιν ἄγγελοι,* καὶ τῶν ἁγίων οἱ δῆμοι* χαρμονικῶς περιέπουσι·* μεθ' ὧν τοῖς σοῖς δούλοις* τὴν ἀνάπαυσιν παράσχου* καὶ μέγα ἔλεος.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Οπου τῶν προφητῶν ὁ χορός,* τῶν ἀποστόλων καὶ μαρτύρων τὰ τάγματα* καὶ πάντες οἱ ἀπ' αἰῶνος* δικαιω-

θέντες τῷ σῷ* σωτηρίῳ πάθει καὶ τῷ αἵματι,* δι' οὗ ἐξηγόρασας* τὸν αἰχμάλωτον ἄνθρωπον,* ἐκεῖ τοὺς πίστει* κοιμηθέντας ἀνάπαυσον,* ὡς φιλάνθρωπος,* συγχωρῶν καὶ τὰ πταίσματα·* μόνος γὰρ ἀναμάρτητος* ἐν γῇ πεπολίτευσαι,* ἅγιος μόνος, καὶ μόνος* ἐν τεθνεῶσιν ἐλεύθερος.* Διὸ τοῖς σοῖς δούλοις* τὴν ἀνάπαυσιν παράσχου* καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς* δεδουλωμένους ἠλευθέρωσας, πάναγνε,* ἐν μήτρᾳ τὸν νομοδότην* καὶ βασιλέα Θεὸν* συλλαβοῦσα, μόνη μητροπάρθενε·* δι' οὗ δικαιούμεθα* δωρεᾷ τε καὶ χάριτι·* ὃν νῦν δυσώπει* τὰς ψυχὰς τῶν ὑμνούντων σε* Θεομήτορα* κατατάξαι ἐν βίβλῳ ζωῆς,* ὅπως τῇ μεσιτείᾳ σου* σωθέντες, πανάμωμε,* τῆς τοῦ Υἱοῦ σου εὐκταίας* ἀπολυτρώσεως τύχοιμεν,* αὐτὸν προσκυνοῦντες,* τὸν παρέχοντα τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

ΗΧΟΣ ΠΛ. Β΄.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ μαρτυρικά. Ἦχος πλ. β΄.

Οἱ μάρτυρές σου, Κύριε,* οὐκ ἠρνήσαντό σε,* οὐκ ἀπέστησαν* ἀπὸ τῶν ἐντολῶν σου.* Ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Οἱ μαρτυρήσαντες διὰ σέ, Χριστέ,* πολλὰς βασάνους ὑπέμειναν·* πρεσβείαις, Κύριε,* καὶ εὐχαῖς αὐτῶν* πάντας ἡμᾶς διαφύλαξον.

Οἱ ἀθλοφόροι μάρτυρες* καὶ οὐρανοπολῖται* ἐπὶ γῆς ἀθλήσαντες,* πολλὰς βασάνους ὑπέμειναν* καὶ τέλειον ἀπέλαβον* τὸν στέφανον ἐν οὐρανοῖς,* ἵνα πρεσβεύωσιν* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ο Σταυρός σου, Κύριε,* τοῖς μάρτυσι γέγονεν* ὅπλον ἀ-ήττητον·* ἔβλεπον γὰρ* τὸν προκείμενον θάνατον,* καὶ προβλέποντες τὴν μέλλουσαν ζωήν,* τῇ ἐλπίδι τῇ εἰς σὲ ἐνεδυναμοῦντο.* Αὐτῶν ταῖς παρακλήσεσιν* ἐλέησον ἡμᾶς.

Δόξα. Νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

Ἀρχή μοι καὶ ὑπόστασις* τὸ πλαστουργόν σου γέγονε πρόσταγμα·* βουληθεὶς γὰρ ἐξ ἀοράτου τε* καὶ ὁρατῆς με ζῷον* συμπῆξαι φύσεως,* γῆθέν μου τὸ σῶμα διέπλασας·* δέδωκας δέ μοι ψυχὴν* τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει.* Διό, Σωτήρ, τοὺς δούλους σου* ἐν χώρᾳ ζώντων,* ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε,* Παναγία Παρθένε;* τίς μὴ ἀνυμνήσει σου* τὸν ἀλόχευτον τόκον;* ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας* Υἱὸς μονογενής,* ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν* ἀφράστως σαρκωθείς,* φύσει Θεὸς ὑπάρχων* καὶ φύσει γενόμενος* ἄνθρωπος δι' ἡμᾶς·* οὐκ εἰς δυάδα προσώπων τεμνόμενος,* ἀλλ' ἐν δυάδι φύσεων* ἀσυγχύτως γνωριζόμενος.* Αὐτὸν ἱκέτευε,* σεμνὴ παμμακάριστε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν, καθίσματα μαρτυρικά.

Ἀθλητικὸν ἀγῶνα* ὑπομείναντες οἱ ἅγιοι* καὶ τὰ βραβεῖα τῆς νίκης* παρὰ σοῦ κομισάμενοι,* κατήργησαν τὰς ἐπινοίας τῶν παρανόμων,* ἐδέξαντο στεφάνους τῆς ἀφθαρσίας.* Δι' αὐτῶν, ὁ Θεός,* δώρησαι ἡμῖν* τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

(Ἀγγελικαὶ δυνάμεις).

Ἀθλητικαὶ ἐνστάσεις* ἐπὶ τῷ σκάμματι,* τυραννικαὶ αἰκίσεις* ἐπὶ τοὺς μάρτυρας·* καὶ ἵσταντο χοροὶ τῶν ἀσωμάτων,* βραβεῖα κατέχοντες τῆς νίκης·* ἐξέστησαν τυ-

ράννους* καὶ βασιλεῖς οἱ σοφοί·* καθεῖλον τὸν Βελίαρ* ὁμολογίᾳ Χριστοῦ.* Ὁ ἐνισχύσας αὐτούς,* Κύριε, δόξα σοι.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Τῶν ἁγίων σου ἡ μνήμη, Κύριε,* ἀνεδείχθη ὡς παράδεισος ὁ ἐν Ἐδέμ·* ἐν αὐτῇ γὰρ ἀγάλλεται πᾶσα ἡ κτίσις·* διὸ παράσχου ἡμῖν* τῇ αὐτῶν παρακλήσει* εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δόξα. Νεκρώσιμον.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα,* ὁ δὲ βίος σκιὰ καὶ ἐνύπνιον·* καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενής,* ὡς εἶπεν ἡ Γραφή·* ὅτε τὸν κόσμον κερδήσομεν,* τότε τῷ τάφῳ οἰκήσομεν,* ὅπου ὁμοῦ βασιλεῖς καὶ πτωχοί.* Διό, Χριστὲ ὁ Θεός,* τοὺς μεταστάντας ἀνάπαυσον* ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐλπὶς τοῦ κόσμου ἀγαθή,* Θεοτόκε Παρθένε,* τὴν σὴν καὶ μόνην φοβερὰν* προστασίαν αἰτοῦμεν· σπλαγχνίσθητι εἰς εὐπερίστατον λαόν·* δυσώπησον τὸν ἐλεήμονα Θεόν,* ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν* ἐκ πάσης ἀπειλῆς,* μόνη εὐλογημένη.

Εἰς τοὺς αἴνους, στιχηρὰ μαρτυρικά. Ἦχος πλ. β΄.

Κύριε,* ἐν τῇ μνήμῃ τῶν ἁγίων σου* πᾶσα ἡ κτίσις ἑορτάζει·* οἱ οὐρανοὶ ἀγάλλονται* σὺν τοῖς ἀγγέλοις,* καὶ ἡ γῆ εὐφραίνεται* σὺν τοῖς ἀνθρώποις·* αὐτῶν ταῖς παρακλήσεσιν* ἐλέησον ἡμᾶς.

Κύριε,* εἰ μὴ τοὺς ἁγίους σου* εἴχομεν πρεσβευτάς,* καὶ τὴν ἀγαθότητά σου* συμπαθοῦσαν ἡμῖν,* πῶς ἐτολμῶμεν, Σωτήρ, ὑμνῆσαί σε,* ὃν εὐλογοῦσιν ἀπαύστως ἄγγελοι;* Καρδιογνῶστα,* φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Μνήμη μαρτύρων ἀγαλλίαμα* τοῖς φοβουμένοις τὸν Κύριον·* ἀθλήσαντες γὰρ διὰ Χριστόν,* στεφάνους παρ' αὐτοῦ ἐκομίσαντο,* καὶ νῦν ἐν παῤῥησίᾳ πρεσβεύουσιν* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοὺς ἐκλεκτοὺς ἐθαυμάστωσε* καὶ ἁγίους ὁ Θεὸς ἡμῶν·* ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε,* πάντες οἱ δοῦλοι αὐτοῦ·* ὑμῖν γὰρ ἡτοίμασε τὸν στέφανον* καὶ τὴν βασιλείαν αὐτοῦ.* Ἀλλ' αἰτοῦμεν,* καὶ ἡμῶν μὴ ἐπιλάθησθε.

Δόξα. Νεκρώσιμον.

Ἅλγος τῷ Ἀδὰμ ἐχρημάτισε* ἡ τοῦ ξύλου ἀπόγευσις* πάλαι ἐν Ἐδέμ,* ὅτε ὄφις ἰὸν ἐξηρεύξατο·* δι' αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος,* παγγενῆ κατεσθίων τὸν ἄνθρωπον·* ἀλλ' ἐλθὼν ὁ Δεσπότης* καθεῖλε τὸν δράκοντα* καὶ ἀνάστασιν ἡμῖν ἐδωρήσατο.* Πρὸς αὐτὸν οὖν βοήσωμεν·* Φεῖσαι, Σωτήρ,* καὶ οὓς προσελάβου* ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον. (Τριήμερος ἀνέστης).

Πρεσβείαις τῆς τεκούσης σε,* Χριστέ, καὶ τῶν μαρτύρων σου,* ἀποστόλων, προφητῶν, ἱεραρχῶν,* ὁσίων καὶ δικαίων* καὶ πάντων τῶν ἁγίων,* τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Ἀπόστιχα, τὰ νεκρώσιμα προσόμοια τοῦ Θεοφάνους.
Ἦχος πλ. β'. (Ὅλην ἀποθέμενοι).

Ἔχων ἀκατάληπτον* τὴν εἰς ἡμᾶς εὐσπλαγχνίαν* καὶ πηγὴν ἀκένωτον* θεϊκῆς χρηστότητος,* πολυέλεε,* τοὺς πρὸς σέ, Δέσποτα,* μεταβεβηκότας* ἐν γῇ ζώντων κατασκήνωσον,* εἰς τὰ σκηνώματα* τὰ ἀγαπητὰ καὶ ποθούμενα,* κατάσχεσιν δωρούμενος* τὴν διηνεκῶς διαμένουσαν·* σὺ γὰρ ὑπὲρ πάντων* ἐξέχεας τὸ αἷμά σου, Χριστέ,* καὶ ζωηφόρῳ τιμήματι* κόσμον ἐξηγόρασας.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Νέκρωσιν ὑπέμεινας* ζωοποιὸν ἑκουσίως* καὶ ζωὴν ἐπήγασας* καὶ τρυφὴν ἀΐδιον* πιστοῖς δέδωκας·* ἐν ᾗ κατάταξον* τοὺς κεκοιμημένους* ἐπ' ἐλπίδι ἀναστάσεως,* τὰ τούτων πταίσματα* πάντα συγχωρῶν ἀγαθότητι,* ὡς μόνος ἀναμάρτητος,* μόνος ἀγαθὸς καὶ φιλάνθρωπος,* ἵνα διὰ πάντων* ὑμνῆταί σου τὸ ὄνομα, Χριστέ,* καὶ σεσωσμένοι δοξάζωμεν* τὴν φιλανθρωπίαν σου.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ζώντων κυριεῦοντα* θεαρχικῇ ἐξουσίᾳ* καὶ νεκρῶν δεσπόζοντα* σέ, Χριστέ, γινώσκοντες* ἱκετεύομεν.* Τοὺς πιστοὺς δούλους σου,* τοὺς πρὸς σὲ τὸν μόνον* εὐεργέτην ἐκδημήσαντας* αὐτὸς ἀνάπαυσον* σὺν τοῖς ἐκλεκτοῖς σου, φιλάνθρωπε,* ἐν τόποις ἀναψύξεως,* ἐν ταῖς τῶν ἁγίων λαμπρότησι·* θελητὴς ἐλέους* ὑπάρχεις γάρ, καὶ σῴζεις ὡς Θεὸς* οὓς κατ' εἰκόνα σου ἔπλασας,* μόνε πολυέλεε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὠφθης ἐνδιαίτημα* θεοπρεπές, Παναγία,* καὶ Θεὸν ἐχώρησας* καὶ Θεὸν ἐγέννησας,* ἀπειρόγαμε,* ἐν δυσὶ φύσεσιν,* ἐν δυσὶν οὐσίαις,* ἐν μιᾷ τῇ ὑποστάσει δέ.* Αὐτὸν ἱκέτευε,* τὸν μονογενῆ καὶ πρωτότοκον,* τὸν σὲ Παρθένον ἄμωμον* καὶ μετὰ τὸν τόκον φυλάξαντα,* ψυχὰς ἀναπαῦσαι* τῶν πίστει κοιμηθέντων εὐσεβῶς* ἐν ἀκηράτῳ φαιδρότητι* καὶ μακαριότητι.

Ω

ΗΧΟΣ ΒΑΡΥΣ

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ μαρτυρικά. Ἦχος βαρύς.

Δόξα σοι, Χριστὲ ὁ Θεός,* ἀποστόλων καύχημα,* μαρτύρων ἀγαλλίαμα,* ὧν τὸ κήρυγμα* Τριὰς ἡ ὁμοούσιος.

Ἅγιοι μάρτυρες,* οἱ καλῶς ἀθλήσαντες* καὶ στεφανωθέντες,* πρεσβεύσατε πρὸς Κύριον* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Αὐτόμελον.

Καταφρονήσαντες πάντων* τῶν ἐπὶ γῆς, ἅγιοι μάρτυρες* καὶ ἐν σταδίῳ τὸν Χριστὸν* ἀνδρείως κηρύξαντες,* ἀ-

μοιβὰς τῶν βασάνων* παρ᾽ αὐτοῦ ἐκομίσασθε·* ἀλλ᾽ ὡς ἔχοντες παῤῥησίαν,* αὐτὸν ἱκετεύσατε* ὡς Θεὸν παντοδύναμον* τὰς ψυχὰς ἡμῶν σῶσαι* τῶν εἰς ὑμᾶς προστρεχόντων, δεόμεθα.

Πανεύφημοι μάρτυρες,* θρέμματα πνευματικά,* ὁλοκαυτώματα λογικά,* θυσία δεκτή,* εὐάρεστος τῷ Χριστῷ,* ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν,* ἀλλ᾽ οὐρανὸς ὑπεδέξατο·* ἀγγέλων συμμέτοχοι γεγόνατε·* μεθ᾽ ὧν ἱκετεύσατε, δεόμεθα,* τὸν Σωτῆρα καὶ Θεὸν ἡμῶν* εἰρηνεῦσαι τὸν κόσμον* καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

Ἀνάπαυσον, Σωτῆρ ἡμῶν ζωοδότα,* οὓς μετέστησας ἀδελφοὺς ἡμῶν* ἐκ τῶν προσκαίρων* κράζοντας· Δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ μὲν ἐγνώσθης* ὑπὲρ φύσιν Θεοτόκε,* ἔμεινας δὲ παρθένος* ὑπὲρ λόγον καὶ ἔννοιαν·* καὶ τὸ θαῦμα τοῦ τόκου σου* ἑρμηνεῦσαι γλῶσσα οὐ δύναται·* παραδόξου γὰρ οὔσης* τῆς συλλήψεως, ἀγνή,* ἀκατάληπτός ἐστιν* ὁ τρόπος τῆς κυήσεως·* ὅπου γὰρ βούλεται Θεός,* νικᾶται φύσεως τάξις.* Διό σε πάντες* Μητέρα τοῦ Θεοῦ γινώσκοντες,* δεόμεθά σου ἐκτενῶς·* Πρέσβευε* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα μαρτυρικά.

Ἀγαλλιᾶσθε, δίκαιοι·* εὐφραινέσθω τὰ οὐράνια·* ἐπὶ γῆς γὰρ οἱ μάρτυρες ἀγωνισάμενοι,* τὸν ἐχθρὸν κατεπάτησαν* καὶ τῶν εἰδώλων τὴν πλάνην κατήργησαν·* σκιρτάτω ἡ Ἐκκλησία,* τὰ νικητήρια ἑορτάζουσα* τῷ ἀθλοθέτῃ καὶ μόνῳ νικοποιῷ Χριστῷ τῷ Θεῷ,* τῷ παρέχοντι τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τῆς ἀθεότητος τῶν τυράννων* καταφρονήσαντες,* καὶ τῶν βασάνων τὸ ἄλγος* παραβλεψάμενοι, ἅγιοι,* τὴν πίστιν τὴν εἰς Χριστὸν οὐκ ἠρνήσασθε* διὸ ἱκετεύσατε* τὸν φιλάνθρωπον Θεὸν* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἅγιοι, πρεσβεύσατε* ἄφεσιν δοθῆναι ἡμῖν* τῶν πλημμελημάτων ἡμῶν* καὶ τῶν προσδοκωμένων δεινῶν* ῥυσθῆναι ἡμᾶς* καὶ πικροῦ θανάτου, δεόμεθα.

Δόξα. Νεκρώσιμον.

Ἐν χώρᾳ ζώντων, Κύριε,* καὶ ἐν σκηναῖς τῶν δικαίων σου* ἀνάπαυσον τοὺς δούλους σου,* ὧν τελοῦμεν τὴν μνήμην, φιλάνθρωπε* καὶ εἴ τι ἐπλημμέλησαν* ἐν τῷ βίῳ ὑπάρχοντες,* ὡς ἐλεήμων συγχώρησον* καὶ εὐδιάλλακτος Θεός,* παρέχων τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα,* τοὺς ἐπὶ σοὶ πεποιθότας, πανύμνητε,* ἐκ λάκκου καὶ βυθοῦ* πταισμάτων ἀνάγαγε* σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ* ἔσωσας, τεκοῦσα τὴν σωτηρίαν,* ἡ πρὸ τόκου παρθένος* καὶ ἐν τόκῳ παρθένος* καὶ μετὰ τόκον πάλιν οὖσα παρθένος.

Εἰς τοὺς αἴνους, στιχηρὰ μαρτυρικά.
Ἦχος βαρύς. (Οὐκέτι κωλυόμεθα).

Τὴν μνήμην τῶν ἁγίων σου ἀθλοφόρων* ἑορτάζοντες, σὲ ἀνυμνοῦμεν,* Χριστέ, βοῶντες* Κύριε, δόξα σοι.

Ἐν μέσῳ τοῦ σταδίου τῶν παρανόμων* ἀγαλλόμενοι ἀνεβόων* οἱ ἀθλοφόροι* Κύριε, δόξα σοι.

Φωστῆρες ἀνεδείχθησαν οἰκουμένης* οἱ πανεύφημοι ἀθλοφόροι,* Χριστῷ βοῶντες* Κύριε, δόξα σοι.

Εν πνέοντες,* πρὸς ἓν βλέποντες* οἱ ἀθλοφόροι μάρτυρες,* μίαν ὁδὸν ζωῆς εὑράμενοι,* τὸν ὑπὲρ Χριστοῦ θάνατον,* ζηλοτυποῦντες ἀλλήλων τὴν τελευτήν,* ὢ τοῦ θαύματος!* ὥσπερ θησαυροὺς* τὰς βασάνους προαρπάζοντες,* πρὸς ἀλλήλους ἔλεγον·* Ὅτι κἂν μὴ νῦν ἀποθάνωμεν,* τεθνηξόμεθα πάντως* καὶ τῇ γεννήσει τὰ ὀφειλόμενα* λειτουργήσομεν·* ποιήσωμεν τὴν ἀνάγκην φιλοτιμίαν·* τὸ κοινὸν ἴδιον ἡγησώμεθα,* θανάτῳ ζωὴν ὠνησάμενοι.* Ταῖς πρεσβείαις αὐτῶν, ὁ Θεός,* ἐλέησον ἡμᾶς.

Δόξα. Νεκρώσιμον. (Οὐκέτι κωλυόμεθα).

Ψυχὰς ἃς προσελάβου, Σωτὴρ τοῦ κόσμου,* ἐν σκηναῖς τῶν δικαίων* καὶ ἐκλεκτῶν σου* ἀνάπαυσον, Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ Χαῖρέ σοι κραυγάζομεν* σὺν τῷ ἀγγέλῳ, Θεόνυμφε,* παστάδα καὶ πύλην* καὶ θρόνον πύρινον ἀποκαλοῦντές σε* καὶ ἀλατόμητον ὄρος* καὶ βάτον ἀκατάφλεκτον.

Ἀπόστιχα, τὰ νεκρώσιμα προσόμοια τοῦ Θεοφάνους.
Ἦχος βαρύς. (Καταφρονήσαντες).

Νενεκρωμένος ὡράθης* ἐπὶ Σταυροῦ, μόνε ἀθάνατε,* καὶ ἐν τάφῳ ὡς θνητὸς* ἐτέθης, νεκρώσεως* καὶ φθορᾶς καὶ θανάτου* τοὺς ἀνθρώπους λυτρούμενος·* ἀλλ' ὡς πέλαγος εὐσπλαγχνίας* ὑπάρχων ἀκένωτον* καὶ πηγὴ ἀγαθότητος,* τὰς ψυχὰς τῶν σῶν δούλων,* τῶν ἐξ ἡμῶν μεταστάντων, ἀνάπαυσον.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Τῷ ἀκηράτῳ σου κάλλει* καὶ γλυκασμῷ τῆς ὡραιότητος* καὶ ταῖς τοῦ θείου σου φωτὸς* ἀκτῖσιν ἐλλάμπεσθαι* τοὺς πρὸς σὲ μεταστάντας,* ἀγαθέ, καταξίωσον,* ἐν ἀΰλῳ φωτοχυσίᾳ* τῆς φωτοφανείας σου,* σὺν ἀγγέλοις χορεύοντας* περὶ σὲ τὸν Δεσπότην* καὶ βασιλέα τῆς δόξης καὶ Κύριον.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ὡς ἀδαπάνητον ἔχων* τὴν δωρεῶν μεγαλοπρέπειαν,* ὡς θησαυρὸς ἀνελλιπὴς* πλουσίας χρηστότητος,* τοὺς πρὸς σὲ μεταστάντας,* ὡς Θεός, κατασκήνωσον* ἐν χώρᾳ τῶν ἐκλεκτῶν σου,* ἐν τόπῳ ἀνέσεως,* ἐν τῷ οἴκῳ τῆς δόξης σου,* ἐν τρυφῇ παραδείσου,* ἐν τῷ παρθένων νυμφῶνι, ὡς εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Νόμου τὸ πλήρωμα τίκτεις,* τὸν Λυτρωτήν, σάρκα γενόμενον·* οὐ γὰρ ἐγένετο τοῖς πρὶν* ἐν νόμῳ δικαίωσις·* ἀλλ᾽ ἡμᾶς ὁ Χριστὸς νῦν* σταυρωθεὶς ἐδικαίωσεν.* Ὡς οὖν ἔχουσα παῤῥησίαν* ὡς Μήτηρ, ἱκέτευε* τὸν Υἱόν σου τὸν εὔσπλαγχνον,* τὰς ψυχὰς ἀναπαῦσαι* τῶν εὐσεβῶς μεταστάντων, πανύμνητε.

ΗΧΟΣ ΠΛ. Δ΄.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν

Στιχηρὰ μαρτυρικά. Ἦχος πλ. δ΄.

Μάρτυρες Κυρίου,* πάντα τόπον ἁγιάζετε* καὶ πᾶσαν νόσον θεραπεύετε·* καὶ νῦν πρεσβεύσατε* ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ* τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

Μάρτυρες Κυρίου,* ἱκετεύσατε τὸν Θεὸν ἡμῶν* καὶ αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν* πλῆθος οἰκτιρμῶν* καὶ τὸν ἱλασμὸν* τῶν πολλῶν παραπτωμάτων, δεόμεθα.

Οἱ μάρτυρές σου, Κύριε,* ἐπιλαθόμενοι τῶν ἐν τῷ βίῳ,* καταφρονήσαντες καὶ τῶν βασάνων* διὰ τὴν μέλλουσαν ζωήν,* ταύτης κληρονόμοι ἀνεδείχθησαν·* ὅθεν καὶ ἀγγέλοις συναγάλλονται.* Αὐτῶν ταῖς ἱκεσίαις* δώρησαι τῷ λαῷ σου* τὸ μέγα ἔλεος.

Εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος,* πρέπει τοῖς ἁγίοις·* ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας* διὰ σὲ τὸν κλίναντα οὐρανοὺς* καὶ καταβάντα·* ἐξέχεαν τὸ αἷμα αὐτῶν* διὰ σὲ τὸν κενώσαντα ἑαυτὸν* καὶ μορφὴν δούλου λαβόντα·* ἐταπεινώθησαν ἕως θανάτου,* τὴν πτωχείαν σου μιμούμενοι·* ὧν ταῖς εὐχαῖς,* κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου,* ὁ Θεός, ἐλέησον ἡμᾶς.

Δόξα. Νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

Θρηνῶ καὶ ὀδύρομαι,* ὅταν ἐννοήσω τὸν θάνατον* καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην* τὴν κατ᾽ εἰκόνα Θεοῦ* πλασθεῖσαν ἡμῖν ὡραιότητα,* ἄμορφον, ἄδοξον,* μὴ ἔχουσαν εἶδος·* ὢ τοῦ θαύματος!* τί τὸ περὶ ἡμᾶς* τοῦτο γέγονε μυστήριον;* πῶς παρεδόθημεν τῇ φθορᾷ;* πῶς συνεζεύχθημεν τῷ θανάτῳ;* ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται,* τοῦ παρέχοντος* τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Καὶ νῦν. Θεοτοκίον.

Ο βασιλεὺς τῶν οὐρανῶν* διὰ φιλανθρωπίαν* ἐπὶ τῆς γῆς ὤφθη* καὶ τοῖς ἀνθρώποις συνανεστράφη·* ἐκ Παρθένου γὰρ ἁγνῆς* σάρκα προσλαβόμενος* καὶ ἐκ ταύτης προελθὼν* μετὰ τῆς προσλήψεως,* εἷς ἐστιν Υἱός,* διπλοῦς τὴν φύσιν,* ἀλλ᾽ οὐ τὴν ὑπόστασιν·* διὸ τέλειον αὐτὸν Θεὸν* καὶ τέλειον ἄνθρωπον* ἀληθῶς κηρύττοντες,* ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν·* ὃν ἱκέτευε,* Μῆτερ ἀνύμφευτε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα μαρτυρικά.

Φωστῆρες νοεροὶ* ἀνεδείχθητε, ἅγιοι μάρτυρες·* τὴν γὰρ ἀχλὺν τῆς πλάνης* κατηργήσατε διὰ τῆς πίστεως,* τὰς ψυχικὰς ὑμῶν λαμπάδας ἐφαιδρύνατε,* καὶ τῷ νυμφίῳ μετὰ δόξης συνεισήλθετε* εἰς τὸν οὐράνιον νυμφῶνα·* καὶ νῦν ἱκετεύσατε* σωθῆναι, δεδμεθα, τὰς ψυχὰς ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

(Τὴν Σοφίαν καὶ Λόγον).

Οἰκουμένης φωστῆρες ἀειλαμπεῖς* ἀνεδείχθητε πίστει μαρτυρικῇ,* ὅλην ἀναθέμενοι* τὴν ἐλπίδα πρὸς Κύριον,* καὶ νοητῷ ἐλαίῳ* τοῦ Πνεύματος, ἅγιοι,* τὰς ψυχικὰς λαμπάδας* ὑμῶν ἐφαιδρύνατε* ὅθεν καὶ κρατῆρες* νοητοὶ τοῖς ἀνθρώποις* προχέοντες τὰ αἵματα* ὥσπερ νάματα ὠφθητε.* Ἀθλοφόροι πανεύφημοι,* πρεσβεύσατε Χριστῷ τῷ Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην ὑμῶν.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

(Τὸ προσταχθὲν μυστικῶς).

Δι' ἐγκρατείας τῶν παθῶν* τὰς πυριφλέκτους* ἀπονεκρώσαντες ὁρμὰς* καὶ τὰς κινήσεις,* τοῦ Χριστοῦ οἱ μάρτυρες* ἔλαβον τὴν χάριν* τὰς νόσους ἀποδιώκειν* τῶν ἀσθενῶν,* καὶ ζῶντες καὶ μετὰ τέλος* θαυματουργεῖν* ὄντως θαῦμα παράδοξον!* ὅτι ὀστέα γυμνὰ* ἐκβλύζουσιν ἰάματα.* Δόξα τῷ μόνῳ Θεῷ ἡμῶν.

Δόξα. Νεκρώσιμον.

Οβάθει σοφίας* φιλανθρώπως πάντα οἰκονομῶν* καὶ τὸ συμφέρον πᾶσιν* ἀπονέμων, μόνε δημιουργέ,* ἀνάπαυσον, Κύριε,* τὰς ψυχὰς τῶν δούλων σου* ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο,* τῷ ποιητῇ καὶ πλάστῃ* καὶ Θεῷ ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν* καὶ πρέσβιν εὐπρόσδεκτον* πρὸς ὃν ἔτεκες Θεόν,* Θεοτόκε ἀνύμφευτε,* τῶν πιστῶν ἡ σωτηρία.

Εἰς τοὺς αἴνους, στιχηρὰ μαρτυρικά.
Ἦχος πλ. δ'. Αὐτόμελον.

Τί ὑμᾶς καλέσωμεν, ἅγιοι;* Χερουβίμ; ὅτι ὑμῖν* ἐπανεπαύσατο Χριστός* Σεραφίμ; ὅτι ἀπαύστως* ἐδοξάσατε αὐτόν* ἀγγέλους;* τὸ γὰρ σῶμα ἀπεστράφητε* δυνάμεις;* ἐνεργεῖτε ἐν τοῖς θαύμασι.* Πολλὰ ὑμῶν τὰ ὀνόμα-

τα* καὶ μείζονα τὰ χαρίσματα·* πρεσβεύσατε* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὅμοιον.

Μεγάλως ἠγωνίσασθε, ἅγιοι,* τὰς βασάνους τῶν ἀνόμων* ὑπομείναντες γενναίως* καὶ Χριστὸν ὁμολογοῦντες* ἐναντίον βασιλέων·* καὶ πάλιν* μεταστάντες ἐκ τοῦ βίου,* δυνάμεις* ἐνεργεῖτε ἐν τῷ κόσμῳ* καὶ ἀσθενεῖς θεραπεύετε* ἐκ τῶν παθῶν αὐτῶν, ἅγιοι·* πρεσβεύσατε* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὅμοιον.

Μάρτυρες Χριστοῦ οἱ ἀήττητοι,* οἱ νικήσαντες τὴν πλάνην* τῇ δυνάμει τοῦ Σταυροῦ,* ἀπολαύετε τὴν χάριν* αἰωνίως τῆς ζωῆς·* τυράννων* ἀπειλὰς οὐκ ἐπτοήθητε·* βασάνοις* αἰκιζόμενοι εὐφραίνεσθε·* τὰ αἵματα ὑμῶν γέγομεν* ἰάματα ταῖς ψυχαῖς ἡμῶν·* πρεσβεύσατε* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸν θώρακα τῆς πίστεως* ἐνδυσάμενοι καλῶς* καὶ τῷ τύπῳ τοῦ Σταυροῦ* καθοπλίσαντες ἑαυτούς,* στρατιῶται εὐσθενεῖς ἀνεδείχθητε,* τοῖς τυράννοις* ἀνδρείως ἀντικατέστητε* καὶ διαβόλου* τὴν πλάνην κατηδαφίσατε·* νικηταὶ γενόμενοι,* τῶν στεφάνων ἠξιώθητε·* πρεσβεύσατε ἀεὶ ὑπὲρ ἡμῶν* εἰς τὸ σωθῆναι ἡμᾶς.

Δόξα. Νεκρώσιμον.

Ὁ θάνατός σου, Κύριε,* ἀθανασίας γέγονε πρόξενος·* εἰ μὴ γὰρ ἐν μνήματι κατετέθης,* οὐκ ἂν ὁ παράδεισος ἠνέῳκτο.* Διὸ τοὺς μεταστάντας* ἀνάπαυσον ὡς εὔσπλαγχνος.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ σκέπη σου, Θεοτόκε Παρθένε,* ἰατρεῖον ὑπάρχει πνευματικόν·* ἐν αὐτῇ γὰρ καταφεύγοντες,* ψυχικῶν νοσημάτων λυτρούμεθα.

Ἀπόστιχα, τὰ νεκρώσιμα προσόμοια τοῦ Θεοφάνους.
Ἦχος πλ. δ΄. (Ὦ τοῦ παραδόξου θαύματος).

Βασιλικῶς μοι ὑπέγραψας* ἐλευθερίαν βαφαῖς* ἐρυθραῖς, τοὺς δακτύλους σου* αἱματώσας, Δέσποτα,* καὶ φοινί-

ξας σῷ αἵματι·* καὶ νῦν ἐν πίστει καθικετεύω σε·* Τοῖς πρωτοτόκοις σου συναρίθμησον* καὶ τῶν δικαίων σου* τῆς χαρᾶς ἀξίωσον* ἐπιτυχεῖν* τοὺς μεταφοιτήσαντας* πρὸς σὲ τὸν εὔσπλαγχνον.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ἱεραρχήσας ὡς ἄνθρωπος,* σφαγιασθεὶς ὡς ἀμνός,* προσφορὰν προσενήνοχας* τῷ Πατρί, τὸν ἄνθρωπον* τῆς φθορᾶς ἐξωνούμενος·* τοὺς μεταστάντας οὖν ὡς φιλάνθρωπος* ἐν τῇ τῶν ζώντων χώρᾳ κατάταξον,* ἔνθα οἱ χείμαῤῥοι* τῆς τρυφῆς προχέονται,* ἔνθα πηγαὶ* τῆς ἀϊδιότητος* ἀναβλυστάνουσιν.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Βάθει σοφίας ἀῤῥήτου σου* ὁροθετεῖς τὴν ζωῆν* καὶ προβλέπεις τὰ μέλλοντα* καὶ πρὸς βίον ἕτερον* μετοικίζεις τοὺς δούλους σου·* οὓς προσελάβου τοίνυν κατάταξον* ἐπὶ ὑδάτων τῆς ἀναπαύσεως,* ἐν τῇ λαμπρότητι* τῶν ἁγίων, Κύριε·* ἔνθα φωνὴ* τῆς ἀγαλλιάσεως* καὶ τῆς αἰνέσεως.

Δόξα.

Λόγος ὑπάρχων ἀόρατος,* ὁμοφυὴς τῷ Πατρὶ* καὶ τῷ Πνεύματι σύνθρονος,* δι' ἐμὲ τὸν ἄνθρωπον* ἐν σαρκὶ πεφανέρωσαι·* ὡς ἐλεήμων οὖν καὶ φιλάνθρωπος,* τοὺς ἐκ τοῦ βίου μεταφοιτήσαντας* τῆς εὐπρεπείας σου* καὶ τῆς ὡραιότητος* ταῖς καλλοναῖς* τούτους καταλάμπρυνον,* ζωαρχικώτατε.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς συλλαβοῦσα τὸν ἄναρχον* Λόγον Θεοῦ καὶ Πατρός,* μητρικῇ παῤῥησίᾳ σου* ἐκτενῶς ἱκέτευε,* κατατάξαι τοὺς δούλους σου* ἔνθα χορεία ἡ ἀκατάλυτος* εὐφραινομένων καὶ εὐφημούντων σε,* ἔνθα λαμπρότητες* αἱ διαιωνίζουσαι* καὶ ὁ γλυκὺς* ἦχος ἑορτάζοντος,* Θεογεννήτρια.

ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ

ΜΗΝΟΛΟΓΙΟΝ

ΠΕΡΙΕΧΟΝ

ΤΑΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΑΚΙΝΗΤΩΝ ΕΟΡΤΩΝ
ΤΩΝ ΜΗΝΩΝ
ΙΑΝΟΥΑΡΙΟΥ - ΜΑΡΤΙΟΥ

«Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν
οἱ φίλοι σου, ὁ Θεός».
(Ψαλμ. ρλη΄ 17)

«Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος». (Ψαλμ. ιε΄ 3).

ΜΗΝ ΙΑΝΟΥΑΡΙΟΣ

ΤΗ Α' ΙΑΝΟΥΑΡΙΟΥ

Ἡ κατὰ σάρκα περιτομὴ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) [καὶ τὴν στάσιν τοῦ Μακάριος ἀνήρ, σ. 217-218] εἰς τὸ Κύριε ἐκέκραξα, ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς γ' καὶ τοῦ ἁγίου προσόμοια γ'.

Στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς. Ἦχος πλ. δ'.

Συγκαταβαίνων ὁ Σωτὴρ* τῷ γένει τῶν ἀνθρώπων* κατεδέξατο σπαργάνων περιβολήν·* οὐκ ἐβδελύξατο σαρκὸς τὴν περιτομήν·* ὁ ὀκταήμερος κατὰ τὴν Μητέρα,* ὁ ἄναρχος κατὰ τὸν Πατέρα.* Αὐτῷ, πιστοί, βοήσωμεν·* Σὺ εἶ ὁ Θεὸς ἡμῶν,* ἐλέησον ἡμᾶς.

Οὐκ ἐπῃσχύνθη ὁ πανάγαθος Θεὸς* τῆς σαρκὸς τὴν περιτομὴν ἀποτμηθῆναι,* ἀλλ' ἔδωκεν ἑαυτὸν* τύπον καὶ ὑπογραμμὸν* πᾶσι πρὸς σωτηρίαν·* ὁ γὰρ τοῦ νόμου ποιητὴς* τὰ τοῦ νόμου ἐκπληροῖ* καὶ τῶν προφητῶν τὰ κηρυχθέντα περὶ αὐτοῦ·* Ὁ πάντα περιέχων δρακὶ* καὶ ἐν σπαργάνοις εἱλιθείς,* Κύριε, δόξα σοι.

Στιχηρὰ προσόμοια τοῦ ἁγίου.

Ἦχος δ΄. (Ὁ ἐξ ὑψίστου κληθείς).

Ὁ ἐπωνύμως κληθεὶς τῆς βασιλείας,* ὅτε τὸ βασίλειον* σὺ ἱεράτευμα,* τὸ τοῦ Χριστοῦ ἔθνος ἅγιον,* φιλοσοφίᾳ* καὶ ἐπιστήμῃ, πάτερ, ἐποίμανας,* τότε διαδήματι* σὲ κατεκόσμησε* τῆς βασιλείας, Βασίλειε,* βασιλευόντων* ὁ βασιλεύων καὶ πάντων Κύριος,* ὁ τῷ τεκόντι συννοούμενος* ἀϊδίως Υἱὸς καὶ συνάναρχος·* ὃν ἱκέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ἱεραρχίας στολαῖς ἠγλαϊσμένος,* χαίρων ἀνεκήρυξας* τὸ Εὐαγγέλιον* τῆς βασιλείας, Βασίλειε,* ὀρθοδοξίας* τῇ Ἐκκλησίᾳ βλύσας διδάγματα·* οἷς νῦν φωτιζόμενοι,* μίαν Θεότητα,* τὴν ἐν Πατρὶ παντοκράτορι,* μονογενεῖ τε* τοῦ Θεοῦ Λόγῳ καὶ θείῳ Πνεύματι* θεολογοῦμεν καὶ δοξάζομεν* ἐν προσώποις τρισὶν ἀδιαίρετον·* ἣν ἱκέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Οὐρανίαις συνὼν χοροστασίαις* καὶ συναυλιζόμενος,* πάτερ Βασίλειε,* ὧν καὶ τὸν βίον ἐζήλωσας* τῇ λαμπροτάτῃ* εἰλικρινείᾳ τῆς πολιτείας σου,* ἔτι μετὰ σώματος* ἀναστρεφόμενος* τοῖς ἐπὶ γῆς ὥς τις ἄσαρκος,* τοὺς ἐντρυφῶντας* τῆς θεοπνεύστου διδασκαλίας σου* ἐκ τῶν κινδύνων καὶ τοῦ σκότους* τῆς ἀγνωσίας Χριστὸν τὸν Θεὸν ἡμῶν* καθικέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Τοῦ ἁγίου. Ἦχος πλ. δ΄. Ἀνατολίου.

Σοφίας ἐραστὴς γενόμενος, ὅσιε,* καὶ πάντων τῶν ὄντων* τὴν πρὸς Θεὸν προκρίνας συμβίωσιν,* μελέτην θανάτου* εἰκότως τῷ βίῳ κατέλιπες·* τὰ γὰρ σαρκὸς πάθη* ἐγκρατείας πόνοις* σεαυτοῦ περιελόμενος,* καὶ θείου μελέτῃ νόμου* ἀδούλωτον τῆς ψυχῆς* τηρήσας τὸ ἀξίωμα,* ἀρετῆς περιουσίᾳ* ὅλον τῆς σαρκὸς τὸ φρόνημα* καθυπέταξας τῷ πνεύματι·* διὸ* σάρκα μισήσας* καὶ κόσμον καὶ κοσμοκράτορα,* παριστάμενος τῷ Χριστῷ* αἴτησαι ταῖς ψυχαῖς ἡμῶν* τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ὁ αὐτός.

Συγκαταβαίνων ὁ Σωτήρ... (σ. 543).

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Α΄. Γενέσεως τὸ ἀνάγνωσμα (ιζ΄ 1-12, 14).

Ὤφθη Κύριος τῷ Ἄβραμ καὶ εἶπεν αὐτῷ· Ἐγώ εἰμι ὁ Θεός σου· εὐαρέστει ἐναντίον ἐμοῦ καὶ γίνου ἄμεμπτος. Καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ καὶ πληθυνῶ σε σφόδρα· καὶ ἔσῃ πατὴρ πλήθους ἐθνῶν. Καὶ οὐ κληθήσεται τὸ ὄνομά σου Ἄβραμ, ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ· ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. Καὶ αὐξανῶ σε σφόδρα σφόδρα καὶ θήσω σε εἰς ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. Καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον, καὶ ἔσομαι αὐτοῖς Θεός. Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ καὶ προσεκύνησε τῷ Κυρίῳ.

Καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἀβραάμ· Σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. Καὶ αὕτη ἡ διαθήκη, ἣν διατηρήσεις ἀναμέσον ἐμοῦ, καὶ ἀναμέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. Περιτμηθήσεται ὑμῖν πᾶν ἀρσενικόν· καὶ περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀναμέσον ἐμοῦ καὶ ὑμῶν. Καὶ παιδίον ὀκτὼ ἡμερῶν, περιτμηθήσεται ὑμῖν πᾶν ἀρσενικὸν εἰς τὰς γενεὰς ὑμῶν. Καὶ ἀπερίτμητον ἄρσεν, ὃ οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς· ὅτι τὴν διαθήκην μου διεσκέδασεν.

Β΄. Παροιμιῶν τὸ ἀνάγνωσμα (η΄ 22-30).

Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. Κύριος ἐποίησε χώρας καὶ ἀοικήτους καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν. Ἡνίκα ἡτοίμαζε

τὸν οὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ᾽ ἀνέμων, ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ᾽ οὐρανόν. Ἐν τῷ τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, καὶ ὕδατα οὐ παρελεύσεται στόμα αὐτοῦ, καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἥμην παρ᾽ αὐτῷ ἁρμόζουσα. Ἐγὼ ἥμην, ᾗ προσέχαιρε, καθ᾽ ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία.

Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην καὶ ἐξεζήτησα ἐκ νεότητός μου καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι

ἀθανασία ἐστὶν ἐν αὐτῇ καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς.

Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ καὶ ἐδεήθην αὐτοῦ καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ πατέρων καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί, καὶ ὁδηγήσει με ἐν γνώσει καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Ἀπόστιχα στιχηρὰ ἰδιόμελα. Ἦχος α΄. Βύζαντος.

Ὦ θεία καὶ ἱερὰ* τῆς Χριστοῦ Ἐκκλησίας μέλισσα,* Βασίλειε παμμακάριστε·* σὺ γὰρ τοῦ θείου πόθου τῷ κέντρῳ* σεαυτὸν καθοπλίσας,* τῶν θεοστυγῶν αἱρέσεων* τὰς βλασφημίας κατέτρωσας·* καὶ ταῖς ψυχαῖς τῶν πιστῶν* εὐσεβείας τὸν γλυκασμὸν ἐθησαύρισας·* καὶ νῦν τοὺς θείους λειμῶνας* τῆς ἀκηράτου διερχόμενος νομῆς,* μνημόνευε καὶ ἡμῶν* παρεστὼς τὴν Τριάδα τὴν ὁμοούσιον.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Βασιλείου μοναχοῦ. Ὁ αὐτός.

Πάντων τῶν ἁγίων* ἀνεμάξω τὰς ἀρετάς,* πατὴρ ἡμῶν Βασίλειε·* Μωϋσέως τὸ πρᾶον·* Ἠλιοὺ τὸν ζῆλον·* Πέτρου τὴν ὁμολογίαν·* Ἰωάννου τὴν θεολογίαν·* ὡς Παῦλος ἐκβοῶν οὐκ ἐπαύσω·* Τίς ἀσθενεῖ,* καὶ οὐκ ἀσθενῶ;* τίς σκανδαλίζεται,* καὶ οὐκ ἐγὼ πυροῦμαι;* Ὅθεν σὺν αὐτοῖς αὐλιζόμενος,* ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στιχ. Στόμα δικαίου μελετήσει σοφίαν καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Ἰωάννου μοναχοῦ. Ἦχος β'.

Τῶν ὄντων ἐκμελετήσας τὴν φύσιν* καὶ πάντων περισκοπήσας τὸ ἄστατον,* μόνον εὗρες ἀκίνητον* τὸν ὑπερουσίως ὄντα* δημιουργὸν τοῦ παντός·* ᾧ καὶ μᾶλλον προσθέμενος,* τῶν οὐκ ὄντων τὸν πόθον ἀπέρριψας.* Πρέσβευε καὶ ἡμᾶς* τοῦ θείου πόθου τυχεῖν,* ἱεροφάντα Βασίλειε.

Δόξα. Τοῦ ἁγίου. Ἦχος πλ. β'.

Οτὴν χάριν τῶν θαυμάτων* οὐρανόθεν κομισάμενος* καὶ τὴν πλάνην τῶν εἰδώλων* στηλιτεύσας ἐν τοῖς δόγμασιν,* ἀρχιερέων ὑπάρχεις* δόξα καὶ ἐδραίωμα,* παμμακάριστε Βασίλειε,* καὶ πάντων τῶν πατέρων* διδασκαλίας ὑπόδειγμα.* Παῤῥησίαν ἔχων πρὸς Χριστόν,* αὐτὸν ἱκέτευε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος πλ. δ'.

Οὐκ ἐπησχύνθη ὁ πανάγαθος Θεός... (σ. 543).

Ἀπολυτίκιον τοῦ ἁγίου. Ἦχος α'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου,* ὡς δεξαμένην τὸν λόγον σου·* δι' οὗ θεοπρεπῶς ἐδογμάτισας,* τὴν φύσιν τῶν ὄντων ἐτράνωσας,* τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας.* Βασίλειον ἱεράτευμα,* πάτερ ὅσιε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρῆσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον τῆς ἑορτῆς, ὁ αὐτός. (Τοῦ λίθου σφραγισθέντος).

Μορφὴν ἀναλλοιώτως* ἀνθρωπίνην προσέλαβες,* Θεὸς ὢν κατ' οὐσίαν,* πολυεύσπλαγχνε Κύριε·* καὶ νόμον ἐκπληρῶν, περιτομὴν* θελήσει καταδέχῃ σαρκικήν,* ὅπως παύσῃς τὰ σκιώδη* καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν.* Δόξα τῇ ἀγαθότητι τῇ σῇ·* δόξα τῇ εὐσπλαγχνίᾳ σου·* δόξα τῇ ἀνεκφράστῳ, Λόγε,* συγκαταβάσει σου.

Ἀπόλυσις.

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμε-

νος διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀνωτέρω ἀπολυτίκια.
|Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος|.

Μετὰ τὴν α' στιχολογίαν, κάθισμα.
Ἦχος πλ. α'. (Τὸν συνάναρχον Λόγον).

Ὡς βασίλειον κόσμον* τῆς Ἐκκλησίας Χριστοῦ* τὸν Βασίλειον πάντες* ἀνευφημήσωμεν,* τῶν δογμάτων θησαυρὸν* τὸν ἀνέκλειπτον'* διὰ τούτων γὰρ αὐτὸς* ἐξεπαίδευσεν ἡμᾶς* Τριάδα σέβειν ἁγίαν,* ἡνωμένην μὲν τῇ οὐσίᾳ,* διαιρετὴν δὲ ταῖς ὑποστάσεσι.

Δόξα. Ἦχος α'. (Τὸν τάφον σου, Σωτήρ).

Βασίλειε σοφέ,* παρεστὼς τῇ Τριάδι,* ἱκέτευε λαβεῖν* ἐν ἡμέρᾳ τῆς δίκης* ἡμᾶς τοὺς ὑμνοῦντάς σε* καὶ τιμῶντας τὴν μνήμην σου* χάριν, ἔλεος* καὶ ἱλασμὸν τῶν πταισμάτων'* ὅπως στόματι* δοξάζωμεν καὶ καρδίᾳ* τὸν μόνον φιλάνθρωπον.

Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.

Ὁ πάντων ποιητὴς* καὶ Δεσπότης τοῦ κόσμου,* ὁ ὢν σὺν τῷ Πατρὶ* καὶ τῷ Πνεύματι ἄνω,* ὡς βρέφος περιτέμνεται* ἐπὶ γῆς ὀκταήμερος.* Ὄντως θεῖά τε* καὶ θαυμαστά σου τὰ ἔργα!* σὺ γάρ, Δέσποτα,* ὑπὲρ ἡμῶν περιτέμνῃ,* ὡς ὢν νόμου πλήρωμα.

Μετὰ τὴν β' στιχολογίαν, κάθισμα.
Ἦχος πλ. δ'. (Τὴν Σοφίαν καὶ Λόγον).

Τῆς ἀῤῥήτου σοφίας θεοπτικῶς* ἐξαντλήσας τὸν πλοῦτον τὸν μυστικόν,* πᾶσιν ἐθησαύρισας* ὀρθοδοξίας τὰ νάματα,* τῶν μὲν πιστῶν καρδίας* ἐνθέως εὐφραίνοντα,* τῶν δὲ ἀπίστων ἀξίως* βυθίζοντα δόγματα.* Ὅθεν δι' ἀμφοτέρων* εὐσεβείας ἱδρῶσιν* ἐδείχθης ἀήττητος* τῆς

Τριάδος ὑπέρμαχος,* ἱεράρχα Βασίλειε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ'. (Ἐπεφάνης).

Ὡς ὑπάρχων ἄβυσσος* φιλανθρωπίας,* ἐνεδύσω, Δέσποτα,* μορφὴν τοῦ δούλου, καὶ σαρκὶ* περιετμήθης, δωρούμενος* ἀνθρώποις πᾶσι* τὸ μέγα σου ἔλεος.

Μετὰ τῶν πολυέλεον, καθίσματα.

Ἦχος τὰ δ'. (Τὴν Σοφίαν καὶ Λόγον).

Τῇ δυνάμει τῶν λόγων τῶν θεϊκῶν* καθελὼν τὰς αἱρέσεις τὰς ζοφερὰς,* πάντα τὰ φρυάγματα* τοῦ Ἀρείου ἐβύθισας* τοῖς γὰρ βροτοῖς τὸ Πνεῦμα* Θεὸν ἀνεκήρυξας* καὶ τῶν χειρῶν ἐκτάσει* ἐχθροὺς ἐθανάτωσας,* πᾶσαν ἐκδιώξας* Σαβελλίου λατρείαν,* καὶ πάντα φρονήματα* Νεστορίου κατήργησας,* ἱεράρχα Βασίλειε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.

Ἡ τῶν λόγων σου χάρις τῶν θεϊκῶν* καὶ δογμάτων τὸ ὕψος τὸ μυστικὸν* θείας ἡμῖν γέγονεν* ἀναβάσεως κλῖμαξ* πνευματικὴν γάρ, πάτερ,* κτησάμενος σάλπιγγα,* ἐν αὐτῇ ἐκήρυξας* τὰ θεῖα διδάγματα.* Ὅθεν καὶ εἰς τόπον* κατεσκήνωσας χλόης,* μισθοὺς τῶν ἀγώνων σου* κομισάμενος, ὅσιε.* Ἱεράρχα Βασίλειε,* πρέσβευε Χριστῷ τῷ Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὁ τῶν ὅλων Δεσπότης καὶ ποιητὴς* ἐξ ἀχράντου σου μήτρας σάρκα λαβών,* προστάτιν σε ἔδειξε* τῶν ἀνθρώπων, πανάμωμε* διὰ τοῦτο πάντες* πρὸς σὲ καταφεύγομεν,* ἵλασμὸν πταισμάτων* αἰτούμενοι, Δέσποινα,* καὶ αἰωνιζούσης* λυτρωθῆναι βασάνου* καὶ πάσης κακώσεως*

τοῦ δεινοῦ κοσμοκράτορος* διὰ τοῦτο βοῶμέν σοι* Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς προσκυνοῦσιν ἐν πίστει* τὸν πανάγιον τόκον σου.

Τὸ α' ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ' ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ'.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ι' 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

Ὁ Ν' Ψαλμός. Δόξα. Ταῖς τοῦ ἱεράρχου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος. Ἐλέησόν με, ὁ Θεός...

Εἶτα τὸ ἰδιόμελον. Ἦχος πλ. β΄.

Ἐξεχύθη ἡ χάρις* ἐν χείλεσί σου,* ὅσιε πάτερ,* καὶ γέγονας ποιμὴν* τῆς τοῦ Χριστοῦ Ἐκκλησίας,* διδάσκων τὰ λογικὰ πρόβατα* πιστεύειν εἰς Τριάδα ὁμοούσιον* ἐν μιᾷ Θεότητι.

Ὁ ἱερεύς. Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Ὁ κανὼν τῆς ἑορτῆς. Ποίημα Στεφάνου. Ἦχος β΄.

Ὠδὴ α΄. Ὁ εἱρμός.

Δεῦτε, λαοί,* ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ* τῷ διελόντι θάλασσαν* καὶ ὁδηγήσαντι* τὸν λαὸν ὃν ἀνῆκε* δουλείας Αἰγυπτίων,* ὅτι δεδόξασται.

Τροπάρια.

Ἡ ὀγδοάς,* φέρουσα τύπον τοῦ μέλλοντος,* τῇ σῇ, Χριστέ, λαμπρύνεται* καὶ ἁγιάζεται* ἐκουσίῳ πτωχείᾳ* ἐν ταύτῃ γὰρ νομίμως* περιετμήθης σαρκί.

Περιτομὴν* δέχεται τῇ ὀγδοάδι Χριστὸς* τῆς ἑαυτοῦ γεννήσεως* καὶ ταύτης σήμερον* τὴν σκιὰν καταστέλλει,* τὸ φῶς ἐξανατέλλων* τῆς νέας χάριτος.

Κανὼν τοῦ ἁγίου. Ὁ αὐτός.
Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Σοῦ τὴν φωνὴν* ἔδει παρεῖναι, Βασίλειε,* τοῖς ἐγχειρεῖν ἐθέλουσι* τοῖς ἐγκωμίοις σου* ἀλλά, πάτερ, συγγνώμων* γινόμενος, τὴν χάριν* νέμοις ἀφθόνως ἡμῖν.

Τὸ ἐμπαθὲς* σκίρτημα τῆς τυραννούσης σαρκὸς* φιλοσοφίας ἔρωτι* ἐπαιδαγώγησας* διὸ ἐν ἀκηράτοις* αὐλίζῃ βασιλείοις,* πάτερ Βασίλειε.

Τῶν ἀρετῶν* σὺ τὴν τραχεῖαν βαδίσας ὁδόν,* ἐπὶ τὴν λείαν ἔφθασας* καὶ ἀστασίαστον* τὴν οὐράνιον βάσιν,* καὶ πᾶσιν ἀνεδείχθης* τύπος, Βασίλειε.

Τὰ τῆς ψυχῆς* πάθη χρησίμως, Βασίλειε,* ἅμα δὲ καὶ τοῦ σώματος* ἐν τῷ τοῦ Πνεύματος* περιέτεμες ξίφει* σαυτὸν δὲ τῷ Δεσπότῃ* θῦμα προσήνεγκας.

Σὺ γεγονὼς* μύστης ἀῤῥήτων, Βασίλειε,* τὸ τοῦ Χριστοῦ βασίλειον* ἐμυσταγώγησας* ἱεράτευμα, πάτερ,* σαφῶς τὸ τῆς Τριάδος* φῶς ἀπαστράψας ἡμῖν.

Θεοτοκίον.

Τίς ἐξειπεῖν* σοῦ κατ' ἀξίαν δυνήσεται* τὴν ὑπὲρ λόγον σύλληψιν;* Θεὸν γὰρ τέτοκας* ἐν σαρκί, Παναγία,* ἡμῖν ἐπιφανέντα,* Σωτῆρα πάντων ἡμῶν.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε,* ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν'* καὶ τὸν φόβον σου ἐμφύτευσον* εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Τροπάρια.

Ὁ Λόγος σαρκωθεὶς ὁ ὑπερούσιος* εἰς λῆξιν τοῦ νόμου περιετμήθη'* ἀπαρχὰς δὲ θείας χάριτος* καὶ ζωῆς ἀκηράτου ἡμῖν δέδωκεν.

Τοῦ νόμου πληρωτής, ὡς οὐκ ἀντίθεος* ὑπάρχων, Χριστὸς ὁ σεσαρκωμένος* ἀνεδείχθη καὶ ἠξίωσεν* ἑκὼν περιτμηθῆναι ὀκταήμερος.

Τοῦ ἁγίου. Ὁ αὐτός.

Παιδείας γεγονὼς ἀπάσης ἔμπλεως,* οὐ μόνον τῆς κάτω καὶ πατουμένης,* πολλῷ μᾶλλον δὲ τῆς κρείττονος,* ἀνεδείχθης τῷ κόσμῳ φῶς, Βασίλειε.

Τῷ φόβῳ τοῦ Κυρίου στοιχειούμενος'* ἀρχὴ γὰρ σοφίας οὗτος ὑπάρχει'* τῇ φιλίᾳ τῆς ἀμείνονος* ἐπτερώθης σοφίας, ὦ Βασίλειε.

Βασίλειε, σοφῶς ἐπέβης πράξεως,* καὶ πρᾶξιν ἐπίβασιν θεωρίας* θειοτέρας ἐπιδέδειξαι,* καὶ τῶν ὄντων τὴν γνῶσιν ἐμυήθης σαφῶς.

Συνέδραμε Χριστοῦ καὶ συνεξέλαμψεν* ἡ μνήμη σου, πάτερ, τοῖς γενεθλίοις,* ὧν τὸ ἄφραστον μυστήριον* ταῖς σαῖς διδασκαλίαις ἐφανέρωσας.

Θεοτοκίον.

Ἀσπόρως ἐν γαστρὶ Θεὸν συνέλαβες* καὶ τίκτεις ἀφράστως σεσαρκωμένον,* εἰς ὃν βλέπειν οὐ τολμῶσιν, ἀγνή,* οὐρανῶν αἱ δυνάμεις ἀειπάρθενε.

Καθίσματα. Ἦχος πλ. δ'. (Τὴν Σοφίαν καὶ Λόγον).

Ἐξανοίξας τὸ στόμα λόγῳ Θεοῦ* ἐξηρεύξω σοφίαν, κῆρυξ φωτός,* καὶ φρόνημα ἔνθεον* τῇ οἰκουμένῃ κατέσπειρας·* τῶν γὰρ πατέρων ὄντως* κυρώσας τὰ δόγματα,* κατὰ Παῦλον ὤφθης* τῆς πίστεως πρόμαχος·* ὅθεν καὶ ἀγγέλων* συμπολίτης ὑπάρχεις* καὶ τούτων συνόμιλος* ἀνεδείχθης, μακάριε.* Θεοφάντορ Βασίλειε,* πρέσβευε Χριστῷ τῷ Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος γ'. (Θείας πίστεως).

Πᾶσαν ἤρδευσας τὴν οἰκουμένην* ὥσπερ ὕδασι ταῖς διδαχαῖς σου,* τῆς εὐσεβείας ἐνσπείρας τὰ δόγματα·* ἡ τῆς ζωῆς γὰρ πηγὴ ὁ Χριστὸς ἐν σοὶ* ἐπανεπαύσατο ὄντως, Βασίλειε·* ὃν ἱκέτευε,* ὡς παῤῥησίαν κεκτημένος, θεόπνευστε,* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος γ'. (Ἡ Παρθένος).

Οτῶν ὅλων Κύριος* περιτομὴν ὑπομένει* καὶ βροτῶν τὰ πταίσματα* ὡς ἀγαθὸς διατέμνει·* δίδωσι τὴν σωτηρίαν* σήμερον κόσμῳ·* χαίρει δὲ ἐν τοῖς ὑψίστοις* καὶ ὁ τοῦ κτίστου* ἱεράρχης καὶ φωσφόρος,* ὁ θεῖος μύστης* Χριστοῦ Βασίλειος.

Κοντάκιον τοῦ ἁγίου. Ἦχος δ'. (Ἐπεφάνης σήμερον).

Ὤφθης βάσις ἄσειστος* τῇ Ἐκκλησίᾳ,* νέμων πᾶσιν ἄσυλον* τὴν κυριότητα βροτοῖς,* ἐπισφραγίζων σοῖς δόγμασιν,* οὐρανοφάντορ* Βασίλειε ὅσιε.

Ὁ οἶκος. (Τῇ Γαλιλαίᾳ).

Τῆς σωφροσύνης ὁ κρατήρ,* τὸ στόμα τῆς σοφίας* καὶ βάσις τῶν δογμάτων,* Βασίλειος ὁ μέγας,* πᾶσιν ἀ-

στράπτει νοερῶς.* Δεῦτε οὖν καὶ στῶμεν* ἐν τῷ οἴκῳ τοῦ Θεοῦ* θερμῶς ἐνατενίζοντες,* τοῖς θαύμασι τοῖς τούτου τερπόμενοι* καὶ ὥσπερ λαμπηδόνι* ἀστραφθέντες τῷ φωτὶ αὐτῶν,* θαλφθῶμεν τῷ τοῦ βίου* καθαρτικῷ πνεύματι,* μιμούμενοι αὐτοῦ* τὴν πίστιν, τὴν ζέσιν,* τὴν ταπείνωσιν, δι' ὧν* οἶκος ἐδείχθη* τοῦ ὄντως Θεοῦ* πρὸς ὃν βοῶντες ὑμνοῦμεν* οὐρανοφάντορ* Βασίλειε ὅσιε.

Συναξάριον.

Μὴν Ἰανουάριος, ἔχων ἡμέρας λα'.
Ἡ ἡμέρα ἔχει ὥρας ι' καὶ ἡ νὺξ ὥρας ιδ'.

Τῇ Α' τοῦ αὐτοῦ μηνὸς ἑορτάζομεν τὴν κατὰ σάρκα περιτομὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στίχοι.

Χριστοῦ περιτμηθέντος ἐτμήθη νόμος·
καὶ τοῦ νόμου τμηθέντος εἰσήχθη χάρις.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, τοῦ Μεγάλου.

Στίχοι.

Ζῇ Βασίλειος, καὶ θανὼν ἐν Κυρίῳ·
ζῇ καὶ παρ' ἡμῖν ὡς λαλῶν ἐκ τῶν βίβλων.

Ἰανουαρίοιο θάνες, Βασίλειε, πρώτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος μάρτυς Θεόδοτος ξίφει τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Γρηγόριος, ὁ πατὴρ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἐν εἰρήνῃ τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι διπλαῖ· Βυθοῦ ἀνεκάλυψε πυθμένα καὶ Στείβει θαλάσσης (Ζήτει αὐτὰς εἰς τὴν ἑορτὴν τῶν Θεοφανείων, σ. 614).

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Μεγάλυνον, ψυχή μου,* τὴν τιμιωτέραν* τῶν ἄνω στρατευμάτων.

Ἣ τὸν πρὸ ἡλίου* φωστῆρα τὸν Θεὸν ἐξανατείλαντα,* σωματικῶς ἡμῖν ἐπιδημήσαντα,* ἐκ λαγόνων παρθενικῶν* ἀφράστως σωματωθσασα,* εὐλογημένη πάναγνε* σέ, Θεοτόκε, μεγαλύνομεν.

Μεγάλυνον, ψυχή μου,* τὸν κατὰ τὸν νόμον* σαρκὶ περιτμηθέντα.

Ἣ τὸν πρὸ ἡλίου* φωστῆρα...

Μεγάλυνον, ψυχή μου,* τὸν ἐν τῇ ὀγδόῃ* περιτομὴν λαβόντα.

Ὑπερβὰς τοὺς ὅρους* Χριστὸς τῆς ἀνθρωπίνης ὅλης φύσεως,* ὑπερφυῶς Παρθένου ἀποτίκτεται,* καὶ τὸ γράμμα τὸ νομικὸν* καθὼς διακελεύεται,* τὴν σάρκα περιτέμνεται* καὶ πληρωτὴς τοῦ νόμου δείκνυται.

Σήμερον ὁ Δεσπότης* σαρκὶ περιετμήθη* καὶ Ἰησοῦς ἐκλήθη.

Δεῦτε τοῦ Δεσπότου* τὰ ἔνδοξα Χριστοῦ ὀνομαστήρια* ἐν ἁγιότητι πανηγυρίσωμεν·* Ἰησοῦς γὰρ θεοπρεπῶς* ἀνηγόρευται σήμερον·* σὺν τούτοις καὶ τὴν μνήμην δὲ* τοῦ ἱεράρχου μεγαλύνωμεν.

Τοῦ ἁγίου. Ὁ αὐτός.

Μεγάλυνον, ψυχή μου,* τὸν ἐν ἱεράρχαις* Βασίλειον τὸν Μέγαν.

Τοῦ ἀρχιποιμένος* ὡς πρόβατον πιστὸν Χριστοῦ, Βασίλειε,* τοῖς ζωηφόροις ἴχνεσιν ἐπηκολούθησας·* τῷ τυράννῳ γὰρ τὴν σαυτοῦ* ψυχήν, πάτερ, προδέδωκας,* προκινδυνεύων ἄριστα* τῆς Ἐκκλησίας, παμμακάριστε.

Μεγάλυνον, ψυχή μου,* τὸν ἐκ Καισαρείας* Βασίλειον τὸν Μέγαν.

Τὸ τῆς Ἐκκλησίας* πανίερον Χριστοῦ κατιδὼν σύστημα* ὑπὸ τῆς σῆς κοσμούμενον ἱεραρχίας, σοφέ,* ὁ πανώλης ἐμβροντηθεὶς* καταπέπτωκε τύραννος* τὴν γὰρ ἐν σοὶ τοῦ Πνεύματος* αἴγλην οὐκ ἤνεγκε, Βασίλειε.

Δόξα.

Μεγάλυνον, ψυχή μου,* τῆς τρισυποστάτου* καὶ ἀδιαιρέτου* Θεότητος τὸ κράτος.

Τῆς τῶν ἀποστόλων* καθέδρας καὶ χορείας ἀθλοφόρων Χριστοῦ,* πατριαρχῶν σκηνῆς καὶ τῶν δικαίων τρυφῆς,* τῆς χαρᾶς τε τῶν προφητῶν* ἠξιώθης, Βασίλειε* τῆς Θεοτόκου μύστης γὰρ* καὶ τῆς Τριάδος λάτρις γέγονας.

Καὶ νῦν. Θεοτοκίον.

Μεγάλυνον, ψυχή μου,* τὴν λυτρωσαμένην* ἡμᾶς ἐκ τῆς κατάρας.

Ὃτὰ ὑπερῷα* ἐν ὕδασι στεγάζων μόνος Κύριος,* ἀναχαιτίζων θάλασσαν, ἀβύσσους τε* ὁ ξηραίνων, ἐκ σοῦ, ἁγνή,* τὴν σάρκα προσλαβόμενος,* ἐκ Βηθλεὲμ ἐπείγεται* πρὸς Ἰορδάνην βαπτισθῆναι σαρκί.

Καταβασίαι

Ἀπορεῖ πᾶσα γλῶσσα... (σ. 616)

Ὦ τῶν ὑπὲρ νοῦν... (σ. 617)

Ἐξαποστειλάριον. (Ἐν πνεύματι τῷ ἱερῷ).

Φιλοσοφίας ἔρωτι* περιέτεμες, πάτερ,* τὸ τῆς ψυχῆς σου κάλυμμα,* καὶ τῷ κόσμῳ ἐδείχθης* ὡς ἥλιος τοῖς θαύμασι,* καὶ πιστῶν κατηύγασας* τὰς διανοίας, θεόφρον,* τῆς Τριάδος ὁ λάτρις,* ὦ Βασίλειε σοφέ,* καὶ μύστης τῆς Θεοτόκου.

Τῆς ἑορτῆς, ὅμοιον.

Τὴν σάρκα περιτέμνεται* ὁ τὸν νόμον πληρώσας* ὡς βρέφος ὀκταήμερον,* τῶν αἰώνων ὁ κτίστης* καὶ σπάργανα εἱλίσσεται* ὡς βροτός, καὶ γάλακτι* ἐκτρέφεται ὁ τὰ πάντα* τῇ ἀπείρῳ ἰσχύϊ* ὡς Θεὸς διακρατῶν* καὶ τῇ ῥοπῇ διεξάγων.

Εἰς τοὺς αἴνους, ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ. α΄. (Χαίροις, ἀσκητικῶν).

Φέρει περιτομὴν ἐν σαρκὶ* ὁ ἐκ Πατρὸς ἄνευ τομῆς τε καὶ ῥεύσεως* ἀφράστως τεχθεὶς ὡς Λόγος,* καὶ ὡς Θεὸς ἐκ Θεοῦ* ἐν ἀτρέπτῳ μένων τῇ Θεότητι·* διὸ κατὰ νόμον* ὁ ὑπὲρ νόμον γενόμενος,* κατάρας νόμου* ἐκλυτροῦται τοὺς ἅπαντας* καὶ τὴν ἄνωθεν* εὐλογίαν δεδώρηται.* Ὅθεν τὴν ὑπεράγαθον* αὐτοῦ συγκατάβασιν* ἀνευφημοῦντες, ὑμνοῦμεν* καὶ εὐχαρίστως δοξάζομεν* αὐτόν, δυσωποῦντες* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Θέσει υἱὸς Θεοῦ γεγονὼς* ἀναγεννήσει τῇ τοῦ θείου βαπτίσματος,* τὸν φύσει καὶ ἀληθείᾳ* καὶ πρὸ αἰώνων Υἱὸν* τοῦ Θεοῦ καὶ Λόγον ὁμοούσιον* Πατρὶ καὶ συνάναρχον* ὡμολόγησας, ὅσιε·* αἱρετικῶν δὲ* τὰ ἀπύλωτα στόματα* τῇ λαμπρότητι* τῶν σῶν λόγων ἐνέφραξας.* Ὅθεν καὶ τὰ βασίλεια* τὰ ἄνω κατῴκησας,* συμβασιλεύων τῷ μόνῳ* καὶ φυσικῶς βασιλεύοντι* Χριστῷ, τῷ πλουσίως* διανέμοντι τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Ἔνδον ἐπουρανίου ναοῦ* ὡς ἱεράρχης ἱερὸς προσεχώρησας,* τὴν πρᾶξιν καὶ θεωρίαν,* τὰς τῆς σοφίας ἀρχάς,* ὡς στολὴν ἁγίαν περικείμενος·* καὶ νῦν εἰς τὸ ἄνω* θυσιαστήριον, ὅσιε,* ἱερατεύων,* καὶ Θεῷ παριστάμενος* καὶ τὴν ἄϋλον* λειτουργίαν τελούμενος,* μέμνησο, συμπαθέστατε* παμμάκαρ Βασίλειε,* τῶν ἐκτελούντων τὴν μνήμην* τὴν ἱεράν σου καὶ πάντιμον,* Χριστὸν ἱκετεύων,* τὸν παρέχοντα τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Ὅλος ἱερωμένος Θεῷ* καὶ ὁλοτρόπως ἐκ παιδὸς ἀνακείμενος,* σοφίας τῆς ὑπερσόφου* καταυγασθεὶς ταῖς αὐγαῖς,* τὴν τῶν ὄντων γνῶσιν διετράνωσας,* λαμπρῶς ἐξηγούμενος* καὶ σοφῶς διηγούμενος,* τὴν ἐν τοῖς οὖσιν* εὐταξίαν ποιούμενος* ἐπιγνώσεως* θειοτέρας ὑπόθεσιν.* Ὅθεν σε θεορρήμονα* καὶ θεῖον διδάσκαλον* καὶ φωτοφόρον φωστῆρα* τῆς Ἐκκλησίας κηρύττομεν,* Χριστὸν ἀνυμνοῦντες,* τὸν παρέχοντα τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Δόξα. Τοῦ ἁγίου. Ἦχος πλ. β΄.
Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου... (σ. 552)

Καὶ νῦν. Τῆς ἑορτῆς.
Συγκαταβαίνων ὁ Σωτὴρ... (σ. 543).

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς Μορφὴν ἀναλλοιώτως (σ. 548).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Μ. Βασιλείου, σ. 287-298, 320-342).

Ψάλλομεν τὰ παρόντα ἀντίφωνα.

Ἀντίφωνον Α΄. Ἦχος β΄.

Στίχ. α΄. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β΄. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.

Στίχ. γ΄. Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.

Στίχ. δ΄. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου.

Δόξα, καὶ νῦν.

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. α΄. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ψάλλοντάς σοι· Ἀλληλούια.

Στίχ. β΄. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Στίχ. γ΄. Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.

Στίχ. δ΄. Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν.

Δόξα, καὶ νῦν.

Ὁ μονογενὴς Υἱός... (σ. 293).

Ἀντίφωνον Γ'. Ἦχος α'.

Στίχ. α'. Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι. Μορφὴν ἀναλλοιώτως... (σ. 548).

Στίχ. β'. Ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.

Στίχ. γ'. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.

Εἰσοδικόν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ· Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τὰ ἀπολυτίκια Μορφὴν ἀναλλοιώτως (σ. 548) καὶ Εἰς πᾶσαν τὴν γῆν (σ. 548), τὸ τοῦ ἁγίου τοῦ ναοῦ καὶ κοντάκιον Ὁ τῶν ὅλων Κύριος (σ. 554).

Προκείμενον. Ἦχος α'. (Ψαλμὸς μη').

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κολασσαεῖς ἐπιστολὴν Παύλου (β' 8-12).

Ἀδελφοί, βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (β΄ 20-21, 40-52).

Τῷ καιρῷ ἐκείνῳ, ὑπέστρεψαν οἱ ποιμένες δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον καθὼς ἐλαλήθη πρὸς αὐτούς.

Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό.

Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ. Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες αὐτὸν ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες αὐτόν. Καὶ ἐγένετο μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς· ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. Καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν, καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; Ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. Καὶ εἶπε πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. Καὶ κατέβη μετ' αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς· καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου (σ. 320-342).

Εἰς τὸ Ἐξαιρέτως τὸ Ἐπὶ σοὶ χαίρει... (σ. 331), εἰς δὲ τὰ δίπτυχα τὸ μεγαλυνάριον τοῦ ἁγίου.

Τὸν οὐρανοφάντορα τοῦ Χριστοῦ,* μύστην τοῦ Δεσπότου,* τὸν φωστῆρα τὸν φαεινόν,* τὸν ἐκ Καισαρείας* καὶ Καππαδόκων χώρας,* Βασίλειον τὸν μέγαν* πάντες τιμήσωμεν.

Κοινωνικόν.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

Ἀντὶ τοῦ Εἴδομεν τὸ φῶς τὸ ἀπολυτίκιον Μορφὴν ἀναλλοιώτως (σ. 548).

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου δ΄ καὶ προεόρτια προσόμοια δ΄.

Ἦχος δ΄. (Ὡς γενναῖον ἐν μάρτυσιν).

Προεόρτια ἅσματα* εὐσεβῶς προηχῆσωμεν* τοῦ σεπτοῦ βαπτίσματος* τοῦ Θεοῦ ἡμῶν·* ἰδοὺ γὰρ μέλλει ὡς ἄνθρωπος* σαρκὶ παραγίνεσθαι* πρὸς τὸν Πρόδρομον αὐτοῦ* καὶ αἰτεῖσθαι τὸ βάπτισμα* τὸ σωτήριον* εἰς ἀνάπλασιν πάντων* τῶν ἐν πίστει* ἱερῶς φωτιζομένων* καὶ μετεχόντων τοῦ Πνεύματος. (Δὶς)

Ο Χριστὸς ἀναδείκνυται·* ὁ Θεὸς ἐπιφαίνεται·* ὁ Δαβὶδ προέγραψεν* ἐμφανέστατα·* καὶ πρὸς τὸν δοῦλον τὸ βάπτισμα* αἰτούμενος ἔρχεται.* Ἰορδάνη ποταμέ,* εὐφροσύνης πληρώθητι.* Γῆ καὶ θάλασσα,* οἱ βουνοὶ καὶ τὰ ὄρη,* καὶ ἀνθρώπων* νῦν σκιρτήσατε καρδίαι,* φῶς νοητὸν εἰσδεχόμεναι.

Ποταμὸν τῆς εἰρήνης σε* καὶ χειμάρρουν, ὡς γέγραπται,* τῆς τρυφῆς ὑπάρχοντα,* παντοδύναμε,* πῶς σε ποτάμια ρεύματα* εἰσδέξονται, Κύριε,* ἐπιβαίνοντα γυμνόν,* οὐρανοὺς τὸν τοῖς νέφεσι* περιβάλλοντα* καὶ γυμνώσαντα πᾶσαν* τὴν κακίαν* τοῦ ἐχθροῦ, καὶ ἀφθαρσίαν* τοὺς γηγενεῖς ἐπενδύσαντα;

Δόξα. Ἦχος πλ. β΄.

Ερχεται πρὸς Ἰορδάνην* Χριστός, ἡ ἀλήθεια,* τοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου,* καὶ φησὶ πρὸς αὐτόν* Ἐγὼ χρείαν ἔχω* ὑπὸ σοῦ βαπτισθῆναι,* καὶ σὺ ἔρχῃ πρός με;* οὐ τολμῶ ὁ χόρτος* προσψαῦσαι τῷ πυρί* σύ με ἁγίασον, Δέσποτα,* τῇ θείᾳ ἐπιφανείᾳ σου.

Καὶ νῦν. Τὸ α΄ θεοτοκίον τοῦ ἤχου.

Εἰς τὰ ἀπόστιχα τὰ ἀναστάσιμα στιχηρά.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄. Ἀνατολίου.

Ἰωάννη Βαπτιστά,* ὁ ἐν μήτρᾳ γνωρίσας με τὸν Ἀμνόν,* ἐν ποταμῷ μοι διακόνησον,* μετ' ἀγγέλων μοι λειτούργησον* ἐκτείνας ἅψαι τῇ παλάμῃ* τῆς κορυφῆς μου τῆς ἀχράντου* καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα* καὶ τὸν Ἰορδάνην ἐπαναστραφέντα,* σὺν τούτοις βόησον* Ὁ σαρκωθεὶς ἐκ Παρθένου* εἰς ἡμῶν σωτηρίαν,* Κύριε, δόξα σοι.

Ἐὰν δὲ τύχῃ τῇ Ε΄ τοῦ μηνός, τὸ ἑξῆς·

Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Εν Ἰορδάνῃ ποταμῷ* Χριστὸς ὁ Θεὸς ἡμῶν* μολεῖ πρὸς τὸ βάπτισμα,* καθᾶραι θέλων ἡμᾶς* ἐκ τῶν ἀνομιῶν ἡμῶν* τῇ αὐτοῦ ἐπιφανείᾳ,* ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἀπολυτίκια· τὸ ἀναστάσιμον καὶ τὸ προεόρτιον· τῇ μὲν Β΄, Γ΄ καὶ Δ΄ τοῦ μηνός·

Ἦχος δ΄. (Κατεπλάγη Ἰωσήφ).

Ετοιμάζου, Ζαβουλών,* καὶ εὐτρεπίζου, Νεφθαλείμ.* Ἰορδάνη ποταμέ,* στῆθι, ὑπόδεξαι σκιρτῶν* τοῦ βα-

πτισθηναι ἐρχόμενον τὸν Δεσπότην.* Ἀγάλλου, ὁ Ἀδὰμ* σὺν τῇ προμήτορι·* μὴ κρύπτετε ἑαυτοὺς* ὡς ἐν παραδείσῳ τὸ πρίν·* καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν* ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν.* Χριστὸς ἐφάνη* τὴν πᾶσαν κτίσιν* θέλων ἀνακαινίσαι.

Τῇ δὲ Ε΄ τοῦ μηνός·

Ἦχος δ΄. (Κατεπλάγη Ἰωσήφ).

Ἀπεστρέφετο ποτὲ* ὁ Ἰορδάνης ποταμὸς* τῇ μηλωτῇ Ἐλισσαιέ,* ἀναληφθέντος Ἠλιού,* καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν·* καὶ γέγονεν αὐτῷ* ξηρὰ ὁδὸς ἡ ὑγρὰ* εἰς τύπον ἀληθῶς* τοῦ βαπτίσματος,* δι' οὗ ἡμεῖς τὴν ῥέουσαν τοῦ βίου* διαπερῶμεν διάβασιν.* Χριστὸς ἐφάνη* ἐν Ἰορδάνῃ* ἁγιάσαι τὰ ὕδατα.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ΄

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ.

Τὰ ἀναστάσιμα καθίσματα τοῦ ἤχου, τὰ εὐλογητάρια (σ. 100), ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου.

Κανόνες· ὁ ἀναστάσιμος καὶ ὁ προεόρτιος τῆς ἡμέρας.

Μετὰ τὴν γ΄ ᾠδὴν κάθισμα προεόρτιον· τῇ μὲν Β΄, Γ΄ καὶ Δ΄ τοῦ μηνός·

Ἦχος πλ. δ΄. (Ἀνέστης ἐκ νεκρῶν).

Ἀόρατε Θεέ,* ἀκατάληπτε Λόγε,* ἐτέχθης ἐκ Πατρὸς* ὑπὲρ φύσιν καὶ λόγον·* πάλιν δὲ ἐπ' ἐσχάτων* ἐκ τῆς Παρθένου, οὐκ ἀλλοιώσας ὃ ἦς,* ἔρχῃ καὶ ἐν τοῖς ῥείθροις* τοῦ Ἰορδάνου νῦν βαπτισθῆναι σαρκὶ* ὁ εὐδοκήσας σῶσαι ὡς Θεὸς* τὸ γένος τῶν ἀνθρώπων.

Τῇ δὲ Ε΄ τοῦ μηνός·

Ἦχος α΄. (Τὸν τάφον σου, Σωτήρ).

Ὁ μέγας ὑετὸς* πρὸς ποτάμια ῥεῖθρα* προέρχεται, σαρκὶ* βαπτισθῆναι θελήσας·* πρὸς ὃν ὁ θεῖος Πρόδρομος* ἐκθαμβούμενος ἔλεγε·* Πῶς βαπτίσω σε,* ῥύπον μὴ ἔχοντα ὅλως;* πῶς ἐκτείνω μου* τὴν δεξιὰν ἐπὶ κάραν,* ἣν τρέμει τὰ σύμπαντα;

Μετὰ τὴν ς' ᾠδὴν τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου καὶ τὸ συναξάριον τῆς ἡμέρας. Τῇ δὲ Ε' τοῦ μηνὸς τὸ προεόρτιον.

Κοντάκιον προεόρτιον. Ἦχος δ'. (Ἐπεφάνης σήμερον).

Ἐν τοῖς ῥείθροις σήμερον* τοῦ Ἰορδάνου* γεγονὼς ὁ Κύριος,* τῷ Ἰωάννῃ ἐκβοᾷ·* Μὴ δειλιάσῃς βαπτίσαι με·* σῶσαι γὰρ ἦκω* Ἀδὰμ τὸν πρωτόπλαστον.

Ὁ οἶκος. (Τῇ Γαλιλαίᾳ).

Οὐκ ἀπαιτῶ σε, Βαπτιστά,* τοὺς ὅρους ὑπερβῆναι·* οὐ λέγω σοι· Εἰπέ μοι* ἃ λέγεις τοῖς ἀνόμοις,* καὶ παραινεῖς ἁμαρτωλοῖς·* μόνον βάπτισόν με,* σιωπῶν καὶ προσδοκῶν* τὰ ἀπὸ τοῦ βαπτίσματος·* ἔξεις γὰρ διὰ τοῦτο* ἀξίωμα,* ὅπερ οὐχ ὑπῆρξε* τοῖς ἀγγέλοις·* καὶ γὰρ πάντων* τῶν προφητῶν μείζονά σε ποιήσω·* ἐκείνων μὲν οὐδείς* σαφῶς με κατεῖδεν,* ἀλλ' ἐν τύποις καὶ σκιαῖς* καὶ ἐνυπνίοις·* σὺ δὲ ἐπὶ σοῦ* ἱστάμενον κατὰ γνώμην·* σῶσαι γὰρ ἦκω* Ἀδὰμ τὸν πρωτόπλαστον.

Καὶ τὸ συναξάριον τῆς ἡμέρας.

Καταβασίαι Βυθοῦ ἀνεκάλυψε πυθμένα, μόναν αἱ πεζαὶ (σ. 614).

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου, ἡ Τιμιωτέρα καὶ ἡ καταβασία Ἀπορεῖ πᾶσα γλῶσσα (σ. 616).

Ἐξαποστειλάρια· τὸ ἀναστάσιμον (σ. 121-125) καὶ τὸ προεόρτιον.

Ἦχος β'. (Γυναῖκες ἀκουτίσθητε).

Πῶς ῥεῖθρά σε ποτάμια* εἰσδέξονται, φιλάνθρωπε,* τὸν ποταμοὺς καὶ θαλάσσας* ποιήσαντα ἐκ μὴ ὄντων;*

πῶς κορυφὴν τὴν ἄχραντον* τὴν σὴν τολμήσει Πρόδρομος* χειροθετῆσαι, Δέσποτα;* ὑμνοῦμεν φρίττοντες, Λόγε,* τῆς σῆς πτωχείας τὸ ὕψος.

Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου δ΄ καὶ προεόρτια δ΄.

Ἦχος πλ. β΄. (Αἱ ἀγγελικαί).

Αἱ ἀγγελικαὶ* προπορεύεσθε δυνάμεις* ἐκ τῆς Βηθλεὲμ* πρὸς τὰ ῥεῖθρα Ἰορδάνου.* Προέρχου Ἰωάννη,* καταλείψας τὴν ἔρημον.* Χαῖρε, ποταμέ, καὶ εὐτρεπίζου.* Πᾶσα δὲ γῆ ἀγαλλιάσθω.* Χριστὸς ἔρχεται* τὴν ἁμαρτίαν τοῦ Ἀδὰμ* καθᾶραι ὡς εὔσπλαγχνος.

Στόμασιν ἁγνοῖς* καὶ ψυχαῖς κεκαθαρμέναις* δεῦτε μυστικῶς* Βηθλεὲμ μεταχωροῦντες* καὶ πρὸς τὸν Ἰορδάνην* σὺν Χριστῷ ἐπειγόμενοι,* ᾄσωμεν αὐτῷ μετ᾽ εὐφροσύνης* αἱ πατριαὶ τῆς γῆς νῦν πᾶσαι,* πιστῶς λέγουσαι·* Εὐλογημένος ὁ ἐλθὼν* Θεὸς ἡμῶν δόξα σοι.

Μέγα καὶ φρικτὸν* τὸ μυστήριον ὑπάρχει!* ὅτι ὁ Θεὸς* τοῖς ἀνθρώποις ὡμοιώθη,* καὶ ἁμαρτίαν ὅλως* μὴ εἰδὼς ὁ ἀνεύθυνος,* ὑπὸ Ἰωάννου βαπτισθῆναι* ἐν ποταμῷ τῷ Ἰορδάνῃ* αἰτεῖ σήμερον.* Εὐλογημένος ὁ φανεὶς* Θεὸς ἡμῶν δόξα σοι.

Ἄνθος ἐκ Δαβὶδ* ἀνατείλας τῆς Παρθένου,* ἦλθεν ὁ Χριστὸς* πρὸς τὰ ῥεῖθρα Ἰορδάνου* τὰς ἁμαρτίας πλῦναι* τοῦ προπάτορος ὕδασι.* Χόρευσον, Ἀδάμ· εὐφραίνου, Εὔα·* ὁ οὐρανὸς ἀγαλλιάσθω·* λαοὶ εἴπωμεν·* Εὐλογημένος ὁ ἐλθὼν* Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Τὸ ἑωθινόν. (σ. 128-132).
Καὶ νῦν. Ὑπερευλογημένη (σ. 132).

Τῇ δὲ Ε΄ τοῦ μηνὸς ἀντὶ τῶν ἀνωτέρω προεορτίων τὰ ἑξῆς·

Ἦχος β΄. (Οἶκος τοῦ Ἐφραθᾶ).

Ἰδε ὁ βασιλεύς,* ἰδοὺ ἡ προσδοκία* τοῦ Ἰσραὴλ ἐπέστη.* Λαοί, ἀγαλλιᾶσθε·* τὸ φῶς γὰρ ἐπιφαίνεται.

Στίχ. Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ.

Ὤπται τοῖς ἐπὶ γῆς* μετὰ σαρκὸς τὸ Θεῖον* νῦν φῶς τοῖς ἐν τῷ σκότει* ἐπέφανε, καὶ πᾶσιν* ἡ χάρις ἐξανέτειλεν.

Στίχ. Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν.

Ὁλύχνος τῷ φωτί,* ἡ αὐγὴ τῷ ἡλίῳ,* ὁ Πρόδρομος τῷ Λόγῳ,* ὁ φίλος τῷ νυμφίῳ,* προφῆτα, καθυπούργησον.

Δόξα. Ἰωάννη βαπτιστά. (σ. 563).

Καὶ νῦν. Ὑπερευλογημένη (σ. 132).

Δοξολογία μεγάλη καὶ τροπάριον ἀναστάσιμον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἡ συνήθης ἀκολουθία (σ. 287-319).

Προκείμενον. Ἦχος πλ. β'. (Ψαλμὸς κζ').

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Τιμόθεον Β' ἐπιστολῆς Παύλου (δ' 5-8).

Τέκνον Τιμόθεε, νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον. Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (α΄ 1-8).

Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, Υἱοῦ τοῦ Θεοῦ. Ὡς γέγραπται ἐν τοῖς προφήταις, «ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ», ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. Καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ Ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον. Καὶ ἐκήρυσσε λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299 κ.ἑ.).

ΤΗ Ε΄ ΙΑΝΟΥΑΡΙΟΥ

Παραμονὴ τῶν ἁγίων Θεοφανείων καὶ μνήμη τῶν ἁγίων μαρτύρων Θεοπέμπτου καὶ Θεωνᾶ καὶ τῆς ὁσίας μητρὸς ἡμῶν Συγκλητικῆς.

Τὸ πρωῒ μετὰ τὴν ἀκολουθίαν τοῦ Ὄρθρου τελεῖται ἡ

ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΜΕΓΑΛΩΝ ΩΡΩΝ(*)

ΩΡΑ ΠΡΩΤΗ

Μετὰ τὸν Εὐλογητόν, Δόξα σοι ὁ Θεός. Βασιλεῦ οὐράνιε. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε, ἐλέησον, ιβ΄. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν, γ΄ καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ Ε΄ (5).

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε... (σ. 178).

ΨΑΛΜΟΣ ΚΒ΄ (22).

Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει.

Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν, ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν.

Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.

Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν.

Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με.

Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον.

Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν.

(*) Ἐὰν ἡ παραμονὴ τύχῃ ἐν Σαββάτῳ ἢ Κυριακῇ, ἡ ἀκολουθία τῶν Μεγάλων Ὡρῶν τελεῖται τῇ Παρασκευῇ, καὶ λέγομεν τροπάριον Ἑτοιμάζου Ζαβουλὼν (σ. 563) ἀντὶ τοῦ Ἀπεστράφετο ποτέ.

ΨΑΛΜΟΣ ΚΣ΄ (26).

Κύριος φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;

Ἐν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.

Ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.

Μίαν ἠτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ.

Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ, ἐν πέτρᾳ ὕψωσέ με.

Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ᾽ ἐχθρούς μου.

Ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ· ᾄσομαι καὶ ψαλῶ τῷ Κυρίῳ.

Εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα· ἐλέησόν με καὶ εἰσάκουσόν μου.

Σοὶ εἶπεν ἡ καρδία μου· Κύριον ζητήσω· ἐξεζήτησέ σε τὸ πρόσωπόν μου· τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου.

Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεὸς ὁ σωτήρ μου.

Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με.

Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.

Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.

Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.

Ὑπόμεινον τὸν Κύριον· ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (Τρίς). Κύριε, ἐλέησον γ'.

Δόξα Πατρί. Ἦχος δ'. (Κατεπλάγη Ἰωσήφ).

Ἀπεστρέφετο ποτὲ* ὁ Ἰορδάνης ποταμὸς* τῇ μηλωτῇ Ἐλισσαιέ,* ἀναληφθέντος Ἠλιού,* καὶ διηρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν·* καὶ γέγονεν αὐτῷ* ξηρὰ ὁδὸς ἡ ὑγρὰ* εἰς τύπον ἀληθῶς* τοῦ βαπτίσματος,* δι' οὗ ἡμεῖς τὴν ῥέουσαν τοῦ βίου* διαπερῶμεν διάβασιν.* Χριστὸς ἐφάνη* ἐν Ἰορδάνῃ* ἁγιάσαι τὰ ὕδατα.

Καὶ νῦν. Θεοτοκίον.

Τί σε καλέσωμεν, ὦ κεχαριτωμένη;* Οὐρανόν·* ὅτι ἀνέτειλας τὸν ἥλιον τῆς δικαιοσύνης.* Παράδεισον·* ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας.* Παρθένον·* ὅτι ἔμεινας ἄφθορος.* Ἀγνὴν Μητέρα·* ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις Υἱόν,* τὸν πάντων Θεόν.* Αὐτὸν ἱκέτευε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα ψάλλομεν τὰ παρόντα ἰδιόμελα. Ἦχος πλ. δ'.
Ποίημα Σωφρονίου πατριάρχου Ἱεροσολύμων.

Σήμερον τῶν ὑδάτων* ἁγιάζεται ἡ φύσις·* καὶ ῥήγνυται ὁ Ἰορδάνης,* καὶ τῶν ἰδίων ναμάτων* ἐπέχει τὸ ῥεῦμα,* Δεσπότην ὁρῶν ῥυπτόμενον.

Στίχ. Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ.

Ὡς ἄνθρωπος ἐν ποταμῷ* ἦλθες, Χριστὲ βασιλεῦ·* καὶ δουλικὸν βάπτισμα* λαβεῖν σπεύδεις, ἀγαθέ,* ὑπὸ τῶν τοῦ Προδρόμου χειρῶν* διὰ τὰς ἁμαρτίας ἡμῶν, φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος* ἐν τῇ ἐρήμῳ,* Ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου,* ἦλθες, Κύριε,* μορφὴν

δούλου λαβών,* βάπτισμα αἰτῶν,* ὁ μὴ γνοὺς ἁμαρτίαν.* Εἴδοσάν σε ὕδατα* καὶ ἐφοβήθησαν* σύντρομος γέγονεν ὁ Πρόδρομος,* καὶ ἐβόησε λέγων* Πῶς φωτίσει ὁ λύχνος τὸ φῶς;* πῶς χειροθετήσει* ὁ δοῦλος τὸν Δεσπότην;* Ἁγίασον ἐμὲ* καὶ τὰ ὕδατα, Σωτήρ,* ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν.

Ὁ ἀναγνώστης

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς κη΄.

Ἐβρόντησε Κύριος ἐπὶ ὑδάτων πολλῶν.

Στίχ. Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (λε΄ 1-10).

Τάδε λέγει Κύριος· Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον. Καὶ ἐξανθήσει καὶ ὑλοχαρήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου· καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου καὶ τὸ ὕψος τοῦ Θεοῦ. Ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα. Παρακαλέσατε καὶ εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ· Ἰσχύσατε καὶ μὴ φοβεῖσθε· ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς.

Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων, ὅτι ἐῤῥάγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ. Καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται· ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, ἐπαύλεις σειρήνων καὶ καλάμη καὶ ἕλη. Καὶ ἔσται ἐκεῖ ὁδὸς καθαρὰ καὶ ὁδὸς ἁγία κληθήσεται· οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος· οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐπ᾽ αὐτῆς καὶ οὐ μὴ πλανηθῶσι. Καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν πονηρῶν θηρίων οὐ μὴ ἀναβῇ εἰς αὐτὴν, οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ· ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι καὶ συνηγμένοι διὰ Κύριον. Καὶ ἀποστραφή-

σονται καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης καὶ ἀγαλλ
σεως, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν· ἐπὶ γ
τῆς κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύ
καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμό

Ο ΑΠΟΣΤΟΛΟΣ

Πράξεων τῶν ἀποστόλων (ιγ' 25-32).

Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου ὁ Ἰωάννης τὸ
δρόμον, ἔλεγε· Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ
ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμέ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶ
ποδῶν λῦσαι.

Ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραὰμ καὶ οἱ ἐν ὑμῖ
φοβούμενοι τὸν Θεόν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀ
πεστάλη. Οἱ γὰρ κατοικοῦντες ἐν Ἰερουσαλὴμ καὶ οἱ ἄρ
χοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προ
φητῶν τὰς κατὰ πᾶν Σάββατον ἀναγινωσκομένας κρίναν
τες ἐπλήρωσαν. Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες ἠτή
σαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν. Ὡς δὲ ἐτέλεσαν ἅπαντα
τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου ἔθη
καν εἰς μνημεῖον. Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· ὃς ὤ
φθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γα
λιλαίας εἰς Ἰερουσαλήμ, οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς
τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πα
τέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρω
κε τοῖς τέκνοις αὐτῶν, ἡμῖν, ἀναστήσας Ἰησοῦν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (γ' 1-6).

Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται Ἰωάννης ὁ βαπτιστής,
κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας καὶ λέγων· Με
τανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. Οὗτος γάρ ἐ
στιν ὁ ῥηθεὶς διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· «Φωνὴ
βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας
ποιεῖτε τὰς τρίβους αὐτοῦ». Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔν
δυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ

τὴν ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου· καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

Καὶ εὐθὺς ὁ ἀναγνώστης·

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Τὸ τρισάγιον κ.τ.λ., καὶ τὸ κοντάκιον. Ἦχος δ'.

Ἐν τοῖς ῥείθροις σήμερον* τοῦ Ἰορδάνου* γεγονὼς ὁ Κύριος,* τῷ Ἰωάννῃ ἐκβοᾷ·* Μὴ δειλιάσῃς βαπτίσαι με·* σῶσαι γὰρ ἦκω* Ἀδὰμ τὸν πρωτόπλαστον.

Τὸ Κύριε, ἐλέησον, μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Καὶ ἡ Εὐχή· Χριστέ, τὸ φῶς τὸ ἀληθινὸν (σελ. 184).

ΩΡΑ ΤΡΙΤΗ

Δεῦτε προσκυνήσωμεν ἐκ γ' καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ ΚΗ' (28).

Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν.

Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε, Κύριος ἐπὶ ὑδάτων πολλῶν.

Φωνὴ Κυρίου ἐν ἰσχύϊ, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ.

Φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου, καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον, καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.

Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρὸς, φωνὴ Κυρίου συσσείοντος ἔρημον, καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης.

Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς, καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.

Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

ΨΑΛΜΟΣ ΜΑ' (41).

Ον τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.

Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;

Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;

Ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἦχου ἑορτάζοντος.

Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη· διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ.

Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνῆν τῶν καταρρακτῶν σου.

Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ αὐτῷ παρ' ἐμοί, προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.

Ἐρῶ τῷ Θεῷ· Ἀντιλήπτωρ μου εἶ· διά τί μου ἐπελάθου; καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;

Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου ὠνείδιζόν με οἱ ἐχθροί μου, ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;

Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;

Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.

ΨΑΛΜΟΣ Ν' (50).

Ἐλέησόν με, ὁ Θεός... (σ. 186).

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (Τρίς). Κύριε, ἐλέησον γ'.

Δόξα Πατρί.

Ἀπεστρέφετο ποτέ... (σ. 571).

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς.* Σὲ ἱκετεύομεν,* πρέσβευε, Δέσποινα,* μετὰ τῶν ἀποστόλων* καὶ πάντων τῶν ἁγίων,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα ψάλλομεν τὰ παρόντα ἰδιόμελα. Ἦχος πλ. δ'.

Ἡτοῦ Προδρόμου καὶ βαπτιστοῦ,* τοῦ προφήτου, καὶ ὑπὲρ πάντας* τιμηθέντος τοὺς προφήτας* ἐτρόμαξε νῦν χεὶρ δεξιά,* ὅτε ἐθεάσατό σε τὸν Ἀμνὸν* τοῦ Θεοῦ τὸν καθαίροντα* κόσμου ἁμαρτήματα,* καὶ ἀγωνίᾳ συσχεθεὶς

ἐβόα˙* Οὐ τολμῶ προσψαῦσαι, Λόγε,* τῆς κορυφῆς σου* αὐτὸς ἁγίασόν με* καὶ φώτισον, οἰκτίρμον˙* αὐτὸς γὰρ εἶ ἡ ζωὴ καὶ τὸ φῶς* καὶ ἡ εἰρήνη τοῦ κόσμου.

Στίχ. Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ.

Ἦχος δ΄.

Ἡ Τριάς, ὁ Θεὸς ἡμῶν,* ἑαυτὴν ἡμῖν σήμερον* ἀδιαιρέτως πεφανέρωκεν˙* ὁ μὲν γὰρ Πατὴρ* ἐναργῆ μαρτυρίαν* τῷ συγγενεῖ ἐπεφώνησε˙* τὸ Πνεῦμα περιστερᾶς ἐν εἰκόνι* κατέπτη οὐρανόθεν˙* ὁ Υἱὸς τὴν ἀχραντον κορυφὴν* τῷ Προδρόμῳ ὑπέκλινε˙* καὶ βαπτισθείς,* τὸ ἀνθρώπινον ἐκ δουλείας ἐῤῥύσατο* ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Ἐρχόμενος μετὰ σαρκὸς* πρὸς Ἰορδάνην, Κύριε,* βαπτισθῆναι θέλων* ἐν σχήματι ἀνθρώπου, ζωοδότα,* ἵνα τοὺς πλανηθέντας ἡμᾶς, ὡς εὔσπλαγχνος,* πάσης μηχανῆς καὶ παγίδος τοῦ δράκοντος* ῥυσάμενος, φωτίσῃς,* ἐκ Πατρὸς μεμαρτύρησαι˙* τὸ δὲ θεῖον Πνεῦμα* περιστερᾶς ἐν εἴδει σοι ἐπέστη.* Ἀλλ᾽ οἰκισον ψυχαῖς ἡμετέραις* σαυτόν, φιλάνθρωπε.

Ὁ ἀναγνώστης˙

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ος΄.

Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν.

Στίχ. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (α΄ 16-20).

Τάδε λέγει Κύριος˙ Λούσασθε, καὶ καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ καὶ δικαιῶσατε χήραν˙ καὶ δεῦτε καὶ

διαλεχθῶμεν, λέγει Κύριος. Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. Καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πράξεων τῶν ἀποστόλων (ιθ' 1-8).

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρὼν μαθητάς τινας εἶπε πρὸς αὐτούς· Εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν· Ἀλλ' οὐδὲ εἰ Πνεῦμα ἅγιόν ἐστιν ἠκούσαμεν. Εἶπέ τε πρὸς αὐτούς· Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον· Εἰς τὸ Ἰωάννου βάπτισμα. Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν εἰς τὸν Χριστὸν Ἰησοῦν. Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον. Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαῤῥησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον... (α' 1-8).

Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ... (σ. 568).

Εἶτα ὁ ἀναγνώστης·

Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν.

Τὸ τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον. Ἦχος δ'.

Ἐν τοῖς ῥείθροις σήμερον* τοῦ Ἰορδάνου* γεγονὼς ὁ Κύριος,* τῷ Ἰωάννῃ ἐκβοᾷ* Μὴ δειλιάσῃς βαπτίσαι με* σῶσαι γὰρ ἦκω* Ἀδὰμ τὸν πρωτόπλαστον.

Τὸ Κύριε, ἐλέησον, μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Καὶ ἡ Εὐχή· Δέσποτα Θεέ, πάτερ παντοκράτορ (σελ. 191).

ΩΡΑ ΕΚΤΗ

Δεῦτε προσκυνήσωμεν γ', καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ ΟΓ' (73).

Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;

Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς· ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.

Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.

Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα καὶ οὐκ ἔγνωσαν.

Ὡς εἰς τὴν ἔξοδον ὑπεράνω, ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέῤῥαξαν αὐτήν.

Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.

Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό· Δεῦτε καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.

Τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.

Ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;

Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;

Ὁ δὲ Θεός, βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.

Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι.

Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους, σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.

Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.

Σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς· θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά.

Μνήσθητι ταύτης· ἐχθρὸς ὠνείδισε τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου.

Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι· τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.

Ἐπίβλεψον εἰς τὴν διαθήκην σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.

Μὴ ἀποστραφήτω τεταπεινωμένος καὶ κατῃσχυμμένος· πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου.

Ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου· μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.

Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου· ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντός.

ΨΑΛΜΟΣ ΟΣ' (76).

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι.

Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα, ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην.

Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχῆ μου· ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην· ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου.

Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου, ἐταράχθην καὶ οὐκ ἐλάλησα.

Διελογισάμην ἡμέρας ἀρχαίας, καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα.

Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἐσκάλλε τὸ πνεῦμά μου.

Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;

Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν;

Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;

Καὶ εἶπα· Νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Ἐμνήσθην τῶν ἔργων Κυρίου· ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχῆσω.

Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια, ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.

Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν, ἐταράχθησαν ἄβυσσοι.

Πλῆθος ἠχοῦς ὑδάτων, φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γὰρ τὰ βέλη σου διαπορεύονται.

Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ, ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.

Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.

Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.

ΨΑΛΜΟΣ ϛ (90).

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου... (σ. 193).

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (Τρίς). Κύριε, ἐλέησον γ'.

Δόξα Πατρί.

Ἀπεστρέφετο ποτέ... (σ. 571).

Καὶ νῦν. Θεοτοκίον.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν* διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα,* σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον,* Θεοτόκε Παρθένε·* πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς* πρὸς εὐμένειαν Δεσπότου.* Μὴ παρίδῃς* ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος,* ὅτι ἐλεήμων ἐστί* καὶ σῴζειν δυνάμενος,* ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Εἶτα ψάλλομεν τὰ παρόντα ἰδιόμελα. Ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος πρὸς Ἰωάννην·* Προφῆτα, δεῦρο βάπτισόν με,* τὸν σὲ δημιουργήσαντα,* τὸν φωτίζοντα χάριτι* καὶ καθαίροντα ἅπαντας·* ἆψαι θείας κορυφῆς μου* καὶ μὴ διστάσῃς.* Προφῆτα, ἄφες ἄρτι·* καὶ γὰρ πληρῶσαι παραγέγονα* δικαιοσύνην πᾶσαν.* Σὺ οὖν μὴ διστάσῃς ὅλως·* καὶ γὰρ τὸν κεκρυμμένον* τοῖς ὕδασι πολέμιον,* τὸν ἄρχοντα τοῦ σκότους,* ἐπείγομαι ὀλέσαι,* λυτρούμενος τὸν κόσμον* ἐκ τῶν αὐτοῦ παγίδων νῦν,* παρέχων ὡς φιλάνθρωπος* ζωὴν τὴν αἰώνιον.

Στίχ. Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ.

Ἦχος πλ. β'.

Σήμερον ἡ ψαλμικὴ προφητεία* πέρας λαβεῖν ἐπείγεται·* ἡ θάλασσα γάρ, φησίν,* εἶδε καὶ ἔφυγεν·* ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω* ἀπὸ προσώπου Κυρίου,* ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ,* ἐλθόντος ὑπὸ δούλου δέξασθαι βάπτισμα,* ἵνα ἡμεῖς,* εἰδωλικῆς ἀκαθαρσίας ἐκπλυνθέντες,* φωτισθῶμεν τὰς ψυχὰς δι' αὐτοῦ.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α'.

Τί ἀναχαιτίζεις σου τὰ ὕδατα,* ὦ Ἰορδάνη;* τί ἀναποδίζεις τὸ ῥεῖθρον* καὶ οὐ προβαίνεις* τὴν κατὰ φύσιν πορείαν;* Οὐ δύναμαι φέρειν, φησί,* πῦρ καταναλίσκον·* ἐξίσταμαι καὶ φρίττω* τὴν ἄκραν συγκατάβασιν·* ὅτι οὐκ

εἴωθα τὸν καθαρὸν ἀποπλύνειν,* οὐκ ἔμαθον τὸν ἀναμάρτητον ἀποσμήχειν,* ἀλλὰ τὰ ῥερυπωμένα σκεύη ἐκκαθαίρειν.* Ἀκάνθας φλέγειν με ἁμαρτημάτων διδάσκει* ὁ ἐν ἐμοὶ βαπτιζόμενος Χριστός·* ὁ Ἰωάννης συμμαρτυρεῖ μοι,* ἡ Φωνὴ τοῦ Λόγου βοᾷ·* Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ,* ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.* Αὐτῷ, πιστοί, βοήσωμεν·* Ὁ ἐπιφανεὶς Θεὸς* εἰς τὴν ἡμῶν σωτηρίαν, δόξα σοι.

Ὁ ἀναγνώστης·

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς κη΄.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ιβ΄ 3-6).

Τάδε λέγει Κύριος· Ἀντλήσατε ὕδωρ μετ᾽ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε τὸν Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ, μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες Σιών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου (ς΄ 3-11).

Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα, τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· ὁ γὰρ ἀ-

ποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ, εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτούς, νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (α΄ 9-11).

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος εἶδε σχιζομένους τοὺς οὐρανοὺς καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν· καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

Εἶτα ὁ ἀναγνώστης.

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Κύριε, ῥῦσαι ἡμᾶς καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Τὸ τρισάγιον, κ.τ.λ. καὶ τὸ κοντάκιον. Ἦχος δ΄.

Ἐν τοῖς ῥείθροις σήμερον* τοῦ Ἰορδάνου* γεγονὼς ὁ Κύριος,* τῷ Ἰωάννῃ ἐκβοᾷ·* Μὴ δειλιάσῃς βαπτίσαι με·* σῶσαι γὰρ ἥκω* Ἀδὰμ τὸν πρωτόπλαστον.

Τὸ Κύριε, ἐλέησον, μ΄. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον, γ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Καὶ ἡ Εὐχή· Θεέ, καὶ Κύριε τῶν δυνάμεων (σελ. 197).

ΩΡΑ ΕΝΑΤΗ

Δεῦτε προσκυνήσωμεν, γ΄ καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ ϟΒ′ (92).

Ο Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.

Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

ΨΑΛΜΟΣ ΡΙΓ′ (113).

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.

Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.

Τί σοί ἐστι θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων;

Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακὼβ τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.

Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, μήποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· πάντα ὅσα ἠθέλησεν, ἐποίησε.

Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.

Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται.

Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται.

Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν.

Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.

Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν.

Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι.

Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς.

Εὐλόγησε τὸν οἶκον Ἰσραήλ, εὐλόγησε τὸν οἶκον Ἀαρών.

Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων.

Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν.

Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου·

Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

ΨΑΛΜΟΣ ΠΕ' (85).

Κλῖνον, Κύριε, τὸ οὖς σου... (σ. 201).

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (Τρίς). Κύριε, ἐλέησον γ'.

Δόξα Πατρί.

Ἀπεστρέφετο ποτέ... (σ. 571).

Καὶ νῦν. Θεοτοκίον.

Ὅδι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου* καὶ σταύρωσιν ὑπομείνας, ἀγαθέ,* ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας* καὶ ἔγερσιν δείξας ὡς Θεός,* μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου·* δεῖξον τὴν φιλανθρωπίαν σου, ἐλεῆμον·* δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον* πρεσβεύουσαν ὑπὲρ ἡμῶν* καὶ σῶσον, Σωτὴρ ἡμῶν,* λαὸν ἀπεγνωσμένον.

Εἶτα ψάλλομεν τὰ παρόντα ἰδιόμελα. Ἦχος βαρύς.

Θάμβος ἦν κατιδεῖν* τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν* ἐν ποταμῷ γυμνωθέντα,* βάπτισμα ὑπὸ δούλου* εἰς ἡμῶν σωτηρίαν* δεχόμενον ὡς δοῦλον·* καὶ χοροὶ ἀγγέλων ἐξεπλήττοντο* φόβῳ καὶ χαρᾷ.* Μεθ' ὧν προσκυνοῦμέν σε,* σῶσον ἡμᾶς, Κύριε.

Στίχ. Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ.

Ἦχος β'.

Ὅτε πρὸς αὐτὸν* ἐρχόμενον ὁ Πρόδρομος* τὸν Κύριον τῆς δόξης,* ἐβόα, θεωρῶν·* Ἴδε ὁ λυτρούμενος* τὸν κόσμον παραγέγονεν* ἐκ φθορᾶς·* ἴδε ῥύεται ἡμᾶς ἐκ θλίψεως·* ἰδοὺ ὁ ἁμαρτημάτων ἄφεσιν* χαριζόμενος ἐπὶ γῆς* ἐκ Παρθένου ἁγνῆς* ἐλήλυθε δι' ἔλεον·* καὶ ἀντὶ δούλων* υἱοὺς Θεοῦ ἐργάζεται·* ἀντὶ δὲ σκότους* φωτίζει τὸ ἀνθρώπινον* διὰ τοῦ ὕδατος* τοῦ θείου βαπτισμοῦ αὐτοῦ.* Λοιπὸν δεῦτε, συμφώνως* αὐτὸν δοξολογήσωμεν* σὺν Πατρὶ* καὶ ἁγίῳ Πνεύματι.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Ἰστέον, ὅτι τὸ παρὸν ἰδιόμελον ἀναγινώσκεται πρότερον εὐλαβῶς καὶ μεγαλοφώνως παρὰ τοῦ κανονάρχου ἐν τῷ μέσῳ τοῦ ναοῦ εἶτα ψάλλεται μελῳδικῶς ὑπὸ τῶν δύο χορῶν.

Τὴν χεῖρά σου τὴν ἀψαμένην* τὴν ἀκήρατον κορυφὴν τοῦ Δεσπότου (ἐκ γ΄),* μεθ' ἧς* καὶ δακτύλῳ αὐτὸν ἡμῖν καθυπέδειξας,* ἔπαρον ὑπὲρ ἡμῶν πρὸς αὐτόν, Βαπτιστά,* ὡς παῤῥησίαν ἔχων πολλήν* καὶ γὰρ μείζων τῶν προφητῶν ἁπάντων* ὑπ' αὐτοῦ μεμαρτύρησαι.* Τοὺς ὀφθαλμούς σου πάλιν δέ,* τοὺς τὸ πανάγιον Πνεῦμα κατιδόντας* ὡς ἐν εἴδει περιστερᾶς κατελθόν,* ἀναπέτασον πρὸς αὐτόν, Βαπτιστά,* ἵλεων ἡμῖν ἀπεργασάμενος.* Καὶ δεῦρο στῆθι μεθ' ἡμῶν (ἐκ γ΄),* ἐπισφραγίζων τὸν ὕμνον* καὶ προεξάρχων τῆς πανηγύρεως.

Ὁ ἀναγνώστης·

Προκείμενον. Ἦχος γ΄. Ψαλμὸς κς΄.

Κύριος φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι;

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (μθ΄ 8-15).

Τάδε λέγει Κύριος· Καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι καὶ ἔπλασά σε καὶ ἔδωκά σε καὶ ἔθηκά σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν καὶ κατακληρονομῆσαι κληρονομίας ἐρήμους, λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύπτεσθε. Ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν· οὐ πεινάσουσιν οὐδὲ διψῆσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ ἥλιος, ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει αὐτοὺς καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς. Καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. Ἰδοὺ οὗτοι πόῤῥωθεν ἥξουσιν, οὗτοι ἀπὸ βοῤῥᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. Εὐφραι-

νέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτω τὰ ὄρη εὐφροσύνην καὶ οἱ βουνοὶ δικαιοσύνην, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν. Εἶπε δὲ Σιών· Ἐγκατέλιπέ με Κύριος, καὶ ὁ Κύριος ἐπελάθετό μου. Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος παντοκράτωρ.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Τίτον ἐπιστολῆς Παύλου (β' 11-14, γ' 4-7).

Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (γ' 1-18).

Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπ' ἀρχιερέως Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐ-

πὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ, καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου λέγοντος· «Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ».

Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες· Τί οὖν ποιήσομεν; Ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω. Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι ὑπ' αὐτοῦ, καὶ εἶπον πρὸς αὐτόν· Διδάσκαλε τί ποιήσομεν; Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες· Καὶ ἡμεῖς τί ποιήσομεν; Καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.

Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός, ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι λέγων· Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν.

Εἶτα ὁ ἀναγνώστης.

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἁγιόν σου.

Τὸ τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον. Ἦχος δ'.

Ἐν τοῖς ῥείθροις σἠμερον* τοῦ Ἰορδάνου* γεγονὼς ὁ Κύριος,* τῷ Ἰωάννῃ ἐκβοᾷ·* Μὴ δειλιάσῃς βαπτίσαι με·* σῶσαι γὰρ ἦκω* Ἀδὰμ τὸν πρωτόπλαστον.

Κύριε, ἐλέησον, μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Τὸ Κύριε, ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς. Καὶ ἡ Εὐχή. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ (σελ. 204).

Καὶ ἀπόλυσις.

ΤΗ ς' ΙΑΝΟΥΑΡΙΟΥ

Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ἰδιόμελα·

Ἰωάννου μοναχοῦ. Ἦχος β'.

Τὸν φωτισμὸν ἡμῶν* τὸν φωτίσαντα πάντα ἄνθρωπον* ἰδὼν ὁ Πρόδρομος* βαπτισθῆναι παραγενόμενον,* χαίρει τῇ ψυχῇ* καὶ τρέμει τῇ χειρί* δείκνυσιν αὐτὸν* καὶ λέγει τοῖς λαοῖς·* Ἴδε ὁ λυτρούμενος τὸν Ἰσραήλ,* ὁ ἐλευθερῶν ἡμᾶς ἐκ τῆς φθορᾶς.* Ὦ ἀναμάρτητε* Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοῦ Λυτρωτοῦ ἡμῶν* ὑπὸ δούλου βαπτιζομένου* καὶ τῇ τοῦ Πνεύματος* παρουσίᾳ μαρτυρουμένου,* ἔφριξαν ὁρῶσαι* ἀγγέλων στρατιαί* φωνὴ δὲ οὐρανόθεν* ἠνέχθη ἐκ Πατρός* Οὗτος, ὃν ὁ Πρόδρομος χειροθετεῖ,* Υἱός μου ὑπάρχει ὁ ἀγαπητός,* ἐν ᾧ ηὐδόκησα.* Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι. (Δὶς)

Τὰ Ἰορδάνεια ῥεῖθρα* σὲ τὴν πηγὴν ἐδέξατο,* καὶ ὁ Παράκλητος ἐν εἴδει* περιστερᾶς κατήρχετο* κλίνει κορυφὴν* ὁ κλίνας οὐρανούς* κράζει καὶ βοᾷ* πηλὸς τῷ πλαστουργῷ* Τί μοι ἐπιτάττεις τὰ ὑπὲρ ἐμέ;* ἐγὼ χρείαν ἔχω τοῦ σοῦ βαπτισμοῦ.* Ὦ ἀναμάρτητε* Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σῶσαι βουλόμενος* τὸν πλανηθέντα ἄνθρωπον,* οὐκ ἀπηξίωσας* δούλου μορφὴν ἐνδύσασθαι* ἔπρεπε γὰρ σοὶ* τῷ Δεσπότῃ καὶ Θεῷ* ἀναδέξασθαι* τὰ ἡμῶν ὑπὲρ ἡμῶν* σὺ γὰρ βαπτισθεὶς σαρκί, Λυτρωτά,* τῆς ἀφέσεως ἠξίωσας ἡμᾶς* διὸ βοῶμέν σοι* Εὐεργέτα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δόξα, καὶ νῦν. Ὁ αὐτός. Βύζαντος.

Υπέκλινας κάραν τῷ Προδρόμῳ,* συνέθλασας κάρας τῶν δρακόντων,* ἐπέστης ἐν τοῖς ῥείθροις,* ἐφώτισας τὰ σύμπαντα* τοῦ δοξάζειν σε, Σωτήρ,* τὸν φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, Φῶς ἱλαρόν. Εἶτα τὰ ἀναγνώσματα.

Α΄. Γενέσεως τὸ ἀνάγνωσμα (α΄ 1-13).

Εν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω φῶς· καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία.

Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος· καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα.

Καὶ εἶπεν ὁ Θεός· Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά· καὶ ἐγένετο οὕτω. Καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν.

Καὶ εἶπεν ὁ Θεός· Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτω. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

Τροπάριον. Ἦχος πλ. α'.

Ἐπεφάνης ἐν τῷ κόσμῳ* ὁ τὸν κόσμον ποιήσας,* Ἵνα φωτίσῃς τοὺς ἐν σκότει καθημένους.* Φιλάνθρωπε, δόξα σοι.

Εἶτα ὁ μὲν κανονάρχης ἀπαγγέλλει τοὺς ἑπομένους στίχους, οἱ δὲ χοροὶ ἐπαναλαμβάνουσιν ἐναλλὰξ τὸ τέλος τοῦ τροπαρίου Ἵνα φωτίσῃς κ.τ.λ.

Στίχ. α'. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.

Στίχ. β'. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Στίχ. γ'. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες· γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.

Στίχ. δ'. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Δόξα, καὶ νῦν.

Καὶ πάλιν ὁλόκληρον τὸ τροπάριον Ἐπεφάνης ἐν τῷ κόσμῳ κ.τ.λ.

Β'. Βασιλειῶν Δ' τὸ ἀνάγνωσμα (β' 6-14).

Εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ· Κάθου δὴ ἐνταῦθα, ὅτι Κύριος ἀπέσταλκέ με ἕως τοῦ Ἰορδάνου. Καὶ εἶπεν Ἐλισσαιέ· Ζῇ Κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἐπορεύθησαν ἀμφότεροι. Καὶ πεντήκοντα ἄνδρες ἀπὸ τῶν υἱῶν τῶν προφητῶν ἦλθον καὶ ἔστησαν ἐξ ἐναντίας μακρόθεν· ἀμφότεροι δὲ ἔστησαν ἐπὶ τοῦ Ἰορδάνου. Καὶ ἔλαβεν Ἠλίας τὴν μηλωτὴν αὐτοῦ καὶ εἵλησεν αὐτὴν καὶ ἐπάταξεν ἐν αὐτῇ τὰ ὕδατα, καὶ διηρέθη τὸ ὕδωρ ἔνθεν καὶ ἔνθεν, καὶ διέβησαν ἀμφότεροι διὰ ξηρᾶς. Καὶ ἐγένετο ὡς διῆλθον, εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ· Αἴτησαι τί ποιήσω σοι πρὶν ἢ ἀναληφθῆναί με ἀπὸ σοῦ. Καὶ εἶπεν Ἐλισσαιέ· Γενηθήτω δὴ τὸ πνεῦμα τὸ ἐπὶ σοὶ δισσῶς ἐπ' ἐμοί. Καὶ εἶπεν Ἠλίας· Ἐσκλήρυνας τοῦ αἰτήσασθαι· πλὴν ἐὰν ἴδῃς με ἀναλαμβανόμενον ἀπὸ σοῦ, ἔσται σοι οὕτως· ἐὰν δὲ μὴ ἴδῃς, οὐ μὴ γένηται.

Καὶ ἐγένετο αὐτῶν πορευομένων καὶ λαλούντων, καὶ ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρός, καὶ διεχώρισεν ἀναμέσον ἀμφοτέρων, καὶ ἀνελήφθη Ἠλίας ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν. Καὶ Ἐλισσαιὲ ἑώρα καὶ αὐτὸς ἐβόα· Πάτερ, πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ. Καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι. Καὶ ἐκράτησεν Ἐλισσαιὲ τοῦ ἱματίου αὐτοῦ καὶ διέρρηξεν αὐτὸ εἰς δύο. Καὶ ἀνείλετο τὴν μηλωτὴν Ἠλιοὺ Ἐλισσαιὲ τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ. Καὶ ἐπέστρεψεν Ἐλισσαιὲ καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ Ἰορδάνου· καὶ ἔλαβεν Ἐλισσαιὲ τὴν μηλωτὴν Ἠλιοὺ τὴν πεσοῦσαν ἐπάνωθεν

αὐτοῦ καὶ ἐπάταξε τὰ ὕδατα, καὶ οὐ διηρέθη. Καὶ εἶπεν Ἐλισσαιέ· Ποῦ ἐστιν ὁ Θεὸς Ἠλιοῦ ἀπφώ; Καὶ ἐπάταξεν Ἐλισσαιὲ τὰ ὕδατα ἐκ δευτέρου, καὶ διηρέθη τὰ ὕδατα, καὶ διῆλθε διὰ ξηρᾶς.

Τροπάριον. Ἦχος πλ. β'.

Ἁμαρτωλοῖς καὶ τελώναις* διά πλήθους ἐλέους σου* ἐπεφάνης, Σωτὴρ ἡμῶν.* Ποῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι,* εἰ μὴ τοῖς ἐν σκότει καθημένοις;* δόξα σοι.

Εἶτα ὁ κανονάρχης τοὺς στίχους, οἱ δὲ χοροὶ ἐναλλὰξ τὸ τέλος Ποῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι κ.τ.λ.

Στίχ. α'. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Στίχ. β'. Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.

Στίχ. γ'. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης· θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος.

Στίχ. δ'. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Δόξα, καὶ νῦν.

Καὶ πάλιν ὁλόκληρον τὸ τροπάριον Ἁμαρτωλοῖς καὶ τελώναις κ.τ.λ.

Γ'. Βασιλειῶν Δ' τὸ ἀνάγνωσμα (ε 9-14).

Παρεγένετο Νεεμάν, ἄρχων βασιλέως Ἀσσυρίων, σὺν τοῖς ἅρμασιν αὐτοῦ καὶ ἵπποις αὐτοῦ καὶ ἔστη ἐπὶ τῆς θύρας τοῦ οἴκου Ἐλισσαιέ. Καὶ ἀπέστειλεν Ἐλισσαιὲ ἄγγελον πρὸς αὐτὸν λέγων· Πορευθεὶς λοῦσαι ἐν τῷ Ἰορδάνῃ ἑπτάκις, καὶ ἐπιστρέψει ἡ σάρξ σου ἐπί σοί, καὶ καθαρισθήσῃ. Καὶ ἐθυμώθη Νεεμὰν καὶ ἀπῆλθε καὶ εἶπεν· Ἰδοὺ δὴ ἔλεγον, ὅτι ἐξελεύσεται πρός με καὶ ἐπικαλέσεται ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ αὐτοῦ καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ λεπρὸν καὶ ἀποσυνάξει αὐτὸ ἀπὸ τῆς σαρκός μου. Οὐκ ἀγαθὸς Ἀβανὰ καὶ Φαρφάρ, ποταμοὶ Δαμασκοῦ, ὑπὲρ τὸν

Ἰορδάνην καὶ ὑπὲρ πάντα τὰ ὕδατα Ἰσραήλ; οὐχὶ πορευθεὶς λούσομαι ἐν αὐτοῖς καὶ καθαρισθήσομαι; Καὶ ἀπέστρεψε καὶ ἀπῆλθεν ἐν θυμῷ. Καὶ προσῆλθον οἱ παῖδες αὐτοῦ καὶ εἶπον πρὸς αὐτόν· Πάτερ, εἰ μέγαν λόγον ἐλάλησε πρὸς σὲ ὁ προφήτης, οὐκ ἂν ἐποίησας; καὶ ὅτι εἶπε πρὸς σέ, λοῦσαι καὶ καθαρίσθητι. Καὶ κατέβη Νεεμὰν καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις κατὰ τὸ ῥῆμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ, καὶ ἐπέστρεψεν ἡ σὰρξ αὐτοῦ ἐπ' αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν...
Καὶ ψάλλεται ὁ τρισάγιος ὕμνος.

Προκείμενον. Ἦχος γ'.

Κύριος φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι;

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους Α' ἐπιστολῆς Παύλου (θ' 19-27).

Ἀδελφοί, ἐλεύθερος ὢν ἐκ πάντων πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω· καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος (μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ), ἵνα κερδήσω ἀνόμους· ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. Τοῦτο δὲ ποιῶ διὰ τὸ Εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; Οὕτω τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. Ἐγὼ τοίνυν οὕτω τρέ-

χω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων, ἀλλ' ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (γ' 1-18).

Ἐν ἔτει πεντεκαιδεκάτῳ... (σ. 589).

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου (σ. 320-334). Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν τελεῖται ἡ

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΓΙΑΣΜΟΥ

Προπορευομένου τοῦ ἱερέως μετὰ λαμπάδων καὶ θυμιατοῦ ἐξερχόμεθα ἐν τῇ κολυμβήθρᾳ ψάλλοντες τὰ παρόντα ἰδιόμελα·

Σωφρονίου Ἱεροσολύμων. Ἦχος πλ. δ'.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων* βοᾷ λέγουσα·* Δεῦτε λάβετε πάντες* Πνεῦμα σοφίας,* Πνεῦμα συνέσεως,* Πνεῦμα φόβου Θεοῦ,* τοῦ ἐπιφανέντος Χριστοῦ.

Σήμερον τῶν ὑδάτων ἁγιάζεται ἡ φύσις...
Ὡς ἄνθρωπος ἐν ποταμῷ...
Δόξα, καὶ νῦν.
Πρὸς τὴν φωνὴν τοῦ βοῶντος...
(Ζήτει αὐτὰ εἰς τὴν Α' Ὥραν, σ. 571).

Εἶτα τὰ ἀναγνώσματα.

Α'. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (λε' 1-10).

Τάδε λέγει Κύριος· Εὐφράνθητι ἔρημος διψῶσα... (σ. 572).

Β'. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (νε' 1-13).

Τάδε λέγει Κύριος· Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ φάγεσθε καὶ πίεσθε ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ

στέαρ. Ἵνα τί τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις, καὶ ὁ μόχθος ὑμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατέ μου καὶ φάγεσθε ἀγαθά, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Προσέχετε τοῖς ὠσὶν ὑμῶν καὶ ἐπακολουθεῖτε ταῖς ὁδοῖς μου· εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν· καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἰδοὺ μαρτύριον ἐν ἔθνεσιν ἔδωκα αὐτόν, ἄρχοντα καὶ προστάσσοντα ἐν ἔθνεσιν. Ἰδοὺ ἔθνη, ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε, καὶ λαοί, οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου καὶ τοῦ ἁγίου Ἰσραήλ, ὅτι ἐδόξασέ σε.

Ζητήσατε τὸν Κύριον καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε· ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ· καὶ ἐπιστράφητε πρὸς Κύριον, καὶ ἐλεηθήσεσθε καὶ κράξεσθε, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. Οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδ' ὥσπερ αἱ ὁδοὶ ὑμῶν αἱ ὁδοί μου, λέγει Κύριος. Ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. Ὡς γὰρ ἂν καταβῇ ὑετὸς ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ καὶ οὐ μὴ ἀποστραφῇ, ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ καὶ ἐκβλαστήσῃ καὶ δῷ σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν, οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρός με κενόν, ἕως ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα, καὶ εὐοδώσω τὰς ὁδούς μου καὶ τὰ ἐντάλματά μου. Ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε καὶ ἐν χαρᾷ διδαχθήσεσθε· τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται, προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις. Καὶ ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη· καὶ ἔσται Κυρίῳ εἰς ὄνομα καὶ εἰς σημεῖον αἰώνιον καὶ οὐκ ἐκλείψει.

Γ'. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ιβ' 3-6).

Τάδε λέγει Κύριος· Ἀντλήσατε ὕδωρ... (σ. 583).

Προκείμενον. Ἦχος γ'.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.
Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους α΄ ἐπιστολὴς Παύλου (ι΄ 1-4).

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (α΄ 9-11).

Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ... (σ. 584).

Εἶτα ὁ διάκονος τὰ εἰρηνικά.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεινος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων βασιλέων ἡμῶν...

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας Μονῆς) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως καὶ εὐσεβείας διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενηθῆναι τὸ ὕδωρ τοῦτο ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, εἰς ἴασιν ψυχῆς καὶ σώματος καὶ πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ ὕδωρ ἁλλόμενον εἰς ζωὴν αἰώνιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸ ἀποτρόπαιον πάσης ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἀντλούντων καὶ ἀρυομένων εἰς ἁγιασμὸν οἴκων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων πᾶσι τοῖς ἀρυομένοις πίστει καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς ἐμπλησθῆναι ἁγιασμοῦ διὰ τῆς τῶν ὑδάτων τούτων μεταλήψεως τῇ ἀοράτῳ ἐπιφανείᾳ τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐν ὅσῳ δὲ λέγει ὁ διάκονος τὰ εἰρηνικά, ὁ ἱερεὺς ἀναγινώσκει τὴν εὐχὴν ταύτην μυστικῶς.

Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς Θεός, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ φῶς τὸ ἐκ φωτός, ὁ ἐλθὼν εἰς τὸν κόσμον τοῦ φωτίσαι αὐτόν, καταύγασον ἡμῶν τὴν διάνοιαν τῷ ἁγίῳ σου Πνεύματι καὶ πρόσδεξαι ἡμᾶς μεγαλωσύνην καὶ εὐχαριστίαν σοι προσάγοντας ἐπὶ τοῖς ἀπ' αἰῶνος θαυμαστοῖς σου μεγαλουργήμασι καὶ τῇ ἐπ' ἐσχάτων τῶν αἰώνων σωτηρίῳ σου οἰκονομίᾳ· ἐν ᾗ τὸ ἀσθενὲς ἡμῶν καὶ πτωχὸν περιβαλόμενος φύραμα καὶ τοῖς τῆς δουλείας μέτροις συγκατιών ὁ τῶν ἁπάντων βασιλεύς, ἔτι καὶ δουλικῇ χειρὶ ἐν τῷ Ἰορδάνῃ βαπτισθῆναι κατεδέξω, ἵνα, τὴν τῶν ὑδάτων φύσιν ἁγιάσας ὁ ἀναμάρτητος, ὁδοποιήσῃς ἡμῖν τὴν δι' ὕδατος καὶ Πνεύματος ἀναγέννησιν καὶ πρὸς τὴν πρώτην ἡμᾶς ἀποκαταστήσῃς ἐλευθερίαν. Οὗ τινος θείου μυστηρίου τὴν ἀνάμνησιν ἑορτάζοντες, δεόμεθά σου, φιλάνθρωπε Δέσποτα· Ῥῶσον ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου κατὰ τὴν θείαν σου ἐπαγγελίαν ὕδωρ καθάρσιον, τῆς σῆς εὐσπλαγχνίας τὴν δωρεάν, εἰς τὸ τὴν ἐπὶ τῷ ὕδατι τούτῳ αἴτησιν ἡμῶν τῶν ἁμαρτωλῶν εὐπρόσδεκτον γενέσθαι τῇ σῇ ἀγαθότητι καὶ τὴν εὐλογίαν σου δι' αὐτοῦ ἡμῖν τε καὶ παντὶ τῷ πιστῷ σου χαρισθῆναι λαῷ εἰς δόξαν τοῦ ἁγίου καὶ προσκυνητοῦ σου ὀνόματος. Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς συναπτῆς λέγει μεγαλοφώνως τὴν εὐχὴν ταύτην.(*)

Ποίημα Σωφρονίου πατριάρχου Ἱεροσολύμων.

Τριὰς ὑπερούσιε, ὑπεράγαθε, ὑπέρθεε, παντοδύναμε, παντεπίσκοπε, ἀόρατε, ἀκατάληπτε, δημιουργὲ τῶν νοερῶν οὐσιῶν καὶ τῶν λογικῶν φύσεων, ἡ ἐμφυτος ἀγαθότης, τὸ φῶς τὸ ἀπρόσιτον, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, λάμψον κἀμοὶ τῷ ἀναξίῳ δούλῳ σου· φώτισόν μου τῆς διανοίας τὰ ὄμματα, ὅπως ἀνυμνῆσαι τολμήσω τὴν ἄμετρον εὐεργεσίαν καὶ δύναμιν. Εὐπρόσδεκτος γενέσθω ἡ παρ' ἐμοῦ δέησις διὰ τὸν παρεστῶτα λαόν, ὅπως τὰ πλημμελήματά μου μὴ κωλύσωσιν ἐνθάδε παραγενέσθαι τὸ ἅγιόν σου Πνεῦμα· ἀλλὰ συγχώρησόν μοι ἀκατακρίτως βοᾶν σοι καὶ λέγειν καὶ νῦν, ὑπεράγαθε· Δοξάζομέν σε, Δέσποτα φιλάνθρωπε, παντοκράτορ, προαιώνιε βασιλεῦ. Δοξάζομέν σε τὸν κτίστην καὶ δημιουργὸν τοῦ παντός. Δοξάζομέν σε, Υἱὲ τοῦ Θεοῦ μονογενές, τὸν ἀπάτορα ἐκ Μητρὸς καὶ ἀμήτορα ἐκ Πατρός· ἐν γὰρ τῇ προλαβούσῃ ἑορτῇ νηπιόν σε εἴδομεν, ἐν δὲ τῇ παρούσῃ τέλειόν σε ὁρῶμεν, τὸν ἐκ τελείου τέλειον ἐπιφανέντα Θεὸν ἡμῶν. Σήμερον γὰρ ὁ τῆς ἑορτῆς ἡμῖν ἐπέστη καιρός, καὶ χορὸς ἁγίων ἐκκλησιάζει ἡμῖν, καὶ ἄγγελοι μετὰ ἀνθρώπων συνεορτάζουσι. Σήμερον ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἐν εἴδει περιστερᾶς τοῖς ὕδασιν ἐπεφοίτησε. Σήμερον ὁ ἄδυτος ἥλιος ἀνέτειλε, καὶ ὁ κόσμος τῷ φωτὶ Κυρίου καταυγάζεται. Σήμερον ἡ σελήνη λαμπραῖς ταῖς ἀκτῖσι τῷ κόσμῳ συνεκλαμπρύνεται. Σῆμερον οἱ φωτοειδεῖς ἀστέρες τῇ φαιδρότητι τῆς λάμψεως τὴν οἰκουμένην καλλωπίζουσι. Σήμερον αἱ νεφέλαι ὑετὸν δικαιοσύνης τῇ ἀνθρωπότητι οὐρανόθεν δροσίζουσι. Σήμερον ὁ ἄκτιστος ὑπὸ τοῦ ἰδίου πλάσματος βουλῇ χειροθετεῖται.

(*) Ἡ εὐχὴ αὕτη εἴθισται νὰ λέγηται μεγαλοφώνως μόνον κατὰ τὴν κυρίαν ἡμέραν τῆς ἑορτῆς, ἐνῷ κατὰ τὴν παραμονὴν λέγεται μυστικῶς μετὰ τῆς προηγουμένης.

Σήμερον ὁ προφήτης καὶ Πρόδρομος τῷ Δεσπότῃ προσέρχεται, ἀλλὰ τρόμῳ παρίσταται, ὁρῶν Θεοῦ πρὸς ἡμᾶς συγκατάβασιν. Σήμερον τὰ τοῦ Ἰορδάνου νάματα εἰς ἰάματα μεταποιεῖται τῇ τοῦ Κυρίου παρουσίᾳ. Σήμερον ῥείθροις μυστικοῖς πᾶσα ἡ κτίσις ἀρδεύεται. Σήμερον τὰ τῶν ἀνθρώπων πταίσματα τοῖς ὕδασι τοῦ Ἰορδάνου ἀπαλείφονται. Σήμερον ὁ παράδεισος ἠνέῳκται τοῖς ἀνθρώποις καὶ ὁ τῆς δικαιοσύνης ἥλιος καταυγάζει ἡμῖν. Σήμερον τὸ πικρὸν ὕδωρ τὸ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτητα μεταποιεῖται τῇ τοῦ Κυρίου παρουσίᾳ. Σήμερον τοῦ παλαιοῦ θρήνου ἀπηλλάγημεν καὶ ὡς νέος Ἰσραὴλ διεσώθημεν. Σήμερον τοῦ σκότους ἐλυτρώθημεν καὶ τῷ φωτὶ τῆς θεογνωσίας καταυγαζόμεθα. Σήμερον ἡ ἄχλὺς τοῦ κόσμου καθαίρεται τῇ ἐπιφανείᾳ τοῦ Θεοῦ ἡμῶν. Σήμερον λαμπαδοφεγγεῖ πᾶσα ἡ κτίσις ἄνωθεν. Σήμερον ἡ πλάνη κατήργηται, καὶ ὁδὸν ἡμῖν σωτηρίας ἐργάζεται ἡ τοῦ Δεσπότου ἐπέλευσις. Σήμερον τὰ ἄνω τοῖς κάτω συνεορτάζει καὶ τὰ κάτω τοῖς ἄνω συνομιλεῖ. Σήμερον ἡ ἱερὰ καὶ μεγαλόφωνος τῶν ὀρθοδόξων πανήγυρις ἀγάλλεται. Σήμερον ὁ Δεσπότης πρὸς τὸ βάπτισμα ἐπείγεται, ἵνα ἀναβιβάσῃ πρὸς ὕψος τὸ ἀνθρώπινον. Σήμερον ὁ ἀκλινὴς τῷ ἰδίῳ οἰκέτῃ ὑποκλίνεται, ἵνα ἡμᾶς ἐκ τῆς δουλείας ἐλευθερώσῃ. Σήμερον βασιλείαν οὐρανῶν ὠνησάμεθα· τῆς γὰρ βασιλείας τοῦ Κυρίου οὐκ ἔσται τέλος. Σήμερον γῆ καὶ θάλασσα τὴν τοῦ κόσμου χαρὰν ἐμερίσαντο, καὶ ὁ κόσμος εὐφροσύνης πεπλήρωται. Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, θεασάμενος τὸ πῦρ τῆς Θεότητος σωματικῶς κατερχόμενον καὶ εἰσερχόμενον ἐπ' αὐτόν. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, θεωρῶν τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς κατερχόμενον καὶ περιπτάμενόν σοι. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ὁρῶν τὸν ἀόρατον ὁραθέντα, τὸν κτίστην σαρκωθέντα, τὸν Δεσπότην ἐν δούλου μορφῇ. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, καὶ τὰ ὄρη ἐσκίρτησαν Θεὸν ἐν σαρκὶ καθορῶντα, καὶ νεφέλαι φωνὴν ἔδωκαν, θαυμάζουσαι τὸν παραγενόμενον, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, δεσποτικὴν πανήγυριν σήμερον ἐν τῷ

Ἰορδάνῃ ὁρῶντες, αὐτὸν δὲ τὸν τῆς παρακοῆς θάνατον καὶ τὸ τῆς πλάνης κέντρον καὶ τὸν τοῦ ᾅδου σύνδεσμον ἐν τῷ Ἰορδάνῃ βυθίσαντα καὶ βάπτισμα σωτηρίας τῷ κόσμῳ δωρησάμενον. Ὅθεν κἀγὼ ὁ ἁμαρτωλὸς καὶ ἀνάξιος δοῦλός σου, τὰ μεγαλεῖα τῶν θαυμάτων σου διηγούμενος, συνεχόμενος φόβῳ, ἐν κατανύξει βοῶ σοι.

Μετὰ δὲ τὴν συμπλήρωσιν λέγει γεγωνοτέρᾳ φωνῇ.

Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου (ἐκ γ').

Σὺ γὰρ βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, τῷ σῷ κράτει συνέχεις τὴν κτίσιν, καὶ τῇ σῇ προνοίᾳ διοικεῖς τὸν κόσμον. Σὺ ἐκ τεσσάρων στοιχείων τὴν κτίσιν συναρμόσας, τέτταρσι καιροῖς τὸν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας. Σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι δυνάμεις· σὲ ὑμνεῖ ἥλιος, σὲ δοξάζει σελήνη, σοὶ ἐντυγχάνει τὰ ἄστρα, σοὶ ὑπακούει τὸ φῶς, σὲ φρίττουσιν ἄβυσσοι, σοὶ δουλεύουσιν αἱ πηγαί. Σὺ ἐξέτεινας τὸν οὐρανὸν ὡσεὶ δέρριν· σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων· σὺ περιετείχισας τὴν θάλασσαν ψάμμῳ· σὺ πρὸς ἀναπνοὰς τὸν ἀέρα ἐξέχεας. Ἀγγελικαὶ δυνάμεις σοὶ λειτουργοῦσιν· οἱ τῶν ἀρχαγγέλων χοροὶ σὲ προσκυνοῦσι· τὰ πολυόμματα Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ, κύκλῳ ἱστάμενα καὶ περιῒπτάμενα, φόβῳ τῆς ἀπροσίτου σου δόξης κατακαλύπτεται. Σὺ γάρ, Θεὸς ὢν ἀπερίγραπτος, ἄναρχός τε καὶ ἀνέκφραστος, ἦλθες ἐπὶ τῆς γῆς μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· οὐ γὰρ ἔφερες, Δέσποτα, διὰ σπλάγχνα ἐλέους σου θεᾶσθαι ὑπὸ τοῦ διαβόλου τυραννούμενον τὸ γένος τῶν ἀνθρώπων, ἀλλ' ἦλθες καὶ ἔσωσας ἡμᾶς. Ὁμολογοῦμεν τὴν χάριν, κηρύττομεν τὸν ἔλεον, οὐ κρύπτομεν τὴν εὐεργεσίαν· τὰς τῆς φύσεως ἡμῶν γονὰς ἠλευθέρωσας· παρθενικὴν ἡγίασας μήτραν τῷ τόκῳ σου· πᾶσα ἡ κτίσις ὕμνησέ σε ἐπιφανέντα. Σὺ γὰρ ὁ Θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθης καὶ τοῖς ἀνθρώποις συνανεστράφης. Σὺ καὶ τὰ Ἰορδάνεια ῥεῖθρα ἡγίασας, οὐρανόθεν καταπέμψας τὸ πανάγιόν σου Πνεῦμα, καὶ

τὰς κεφαλὰς τῶν ἐκεῖσε ἐμφωλευόντων συνέτριψας δρακόντων.

Αὐτὸς οὖν, φιλάνθρωπε βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο (ἐκ γ').

Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου. Ποίησον αὐτὸ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, ἀγγελικῆς ἰσχύος πεπληρωμένον. Ἵνα πάντες οἱ ἀρυόμενοι καὶ μεταλαμβάνοντες ἔχοιεν αὐτὸ πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἰατρείαν παθῶν, πρὸς ἁγιασμὸν οἴκων, πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν ὁ δι' ὕδατος καὶ Πνεύματος ἀνακαινίσας τὴν παλαιωθεῖσαν φύσιν ὑπὸ τῆς ἁμαρτίας. Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ δι' ὕδατος κατακλύσας ἐπὶ τοῦ Νῶε τὴν ἁμαρτίαν. Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ διὰ θαλάσσης ἐλευθερώσας ἐκ τῆς δουλείας Φαραὼ διὰ Μωϋσέως τὸ γένος τῶν Ἑβραίων. Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ διαῤῥήξας πέτραν ἐν ἐρήμῳ, καὶ ἐῤῥύησαν ὕδατα καὶ χείμαῤῥοι κατεκλύσθησαν, καὶ διψῶντα τὸν λαόν σου κορέσας. Σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ δι' ὕδατος καὶ πυρὸς διὰ τοῦ Ἠλιοὺ ἀπαλλάξας τὸν Ἰσραὴλ ἐκ τῆς πλάνης τοῦ Βάαλ.

Αὐτὸς καὶ νῦν, Δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο, τῷ Πνεύματί σου τῷ ἁγίῳ (ἐκ γ').

Δὸς πᾶσι, τοῖς τε ἁπτομένοις, τοῖς τε χριομένοις, τοῖς τε μεταλαμβάνουσι, τὸν ἁγιασμόν, τὴν εὐλογίαν, τὴν κάθαρσιν, τὴν ὑγείαν. [Καὶ σῶσον, Κύριε, τοὺς δούλους σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν (ἐκ γ'). Καὶ φύλαξον αὐτοὺς ὑπὸ τὴν σκέπην σου ἐν εἰρήνῃ· ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον· χάρισαι αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον]. Μνήσθητι Κύριε τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος καὶ τοῦ περιεστῶτος λαοῦ καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς κα-

τὰ τὸ μέγα σου ἔλεος. Ἵνα καὶ διὰ στοιχείων καὶ δι' ἀγγέλων καὶ δι' ἀνθρώπων καὶ διὰ ὁρωμένων καὶ δι' ἀοράτων, δοξάζηταί σου τὸ πανάγιον ὄνομα σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Καὶ λέγει τὴν εὐχήν.

Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα· καὶ εὐλόγησον πάντας ἡμᾶς τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ· καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς καὶ σώματος.

Ἐκφώνως.

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθὺς εὐλογῶν τὰ ὕδατα σταυροειδῶς, βαπτίζει τὸν τίμιον Σταυρόν, ὀρθιον αὐτὸν κατάγων ἐν τῷ ὕδατι καὶ ἀνάγων, ψάλλων καὶ τὸ παρὸν τροπάριον.

Ἦχος α'.

Ἐν Ἰορδάνῃ* βαπτιζομένου σου, Κύριε,* ἡ τῆς Τριάδος* ἐφανερώθη προσκύνησις·* τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ* προσεμαρτύρει σοι,* ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα·* καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς* ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές.* Ὁ ἐπιφανείς, Χριστὲ ὁ Θεός,* καὶ τὸν κόσμον φωτίσας, δόξα σοι. (Τρις)

Καὶ ῥαντίζων σταυροειδῶς τὸν λαὸν ψάλλει·

Ἦχος δ΄.

Ἐπεφάνης σήμερον* τῇ οἰκουμένῃ* καὶ τὸ φῶς σου, Κύριε,* ἐσημειώθη ἐφ' ἡμᾶς* ἐν ἐπιγνώσει ὑμνοῦντάς σε* Ἦλθες, ἐφάνης,* τὸ φῶς τὸ ἀπρόσιτον.

Καὶ ραντίζει πάντα τὸν λαὸν ἐκ τοῦ ὕδατος.

Εἰσερχόμενοι δὲ ἐν τῷ ναῷ ψάλλομεν τὸ παρὸν ἰδιόμελον.

Ἦχος πλ. β΄.

Ἀνυμνήσωμεν οἱ πιστοὶ* τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ* οἰκονομίας τὸ μέγεθος·* ἐν γὰρ τῷ ἡμῶν παραπτώματι* γενόμενος ἄνθρωπος* τὴν ἡμῶν κάθαρσιν καθαίρεται* ἐν τῷ Ἰορδάνῃ* ὁ μόνος καθαρὸς καὶ ἀκήρατος,* ἁγιάζων ἐμὲ καὶ τὰ ὕδατα* καὶ τὰς κεφαλὰς τῶν δρακόντων* συντρίβων ἐπὶ τοῦ ὕδατος.* Ἀντλήσωμεν οὖν ὕδωρ* μετ' εὐφροσύνης, ἀδελφοί·* ἡ γὰρ χάρις τοῦ Πνεύματος* τοῖς πιστῶς ἀντλοῦσιν* ἀοράτως ἐπιδίδοται* παρὰ Χριστοῦ τοῦ Θεοῦ* καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ γίνεται ἀπόλυσις οὕτως·

Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

* * *

Ἐὰν δὲ ἡ παραμονὴ τύχῃ ἐν Σαββάτῳ ἢ Κυριακῇ, τὸ πρωῒ τελεῖται ὁ Ὄρθρος καὶ ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου καὶ μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν ἡ ἀκολουθία τοῦ Ἁγιασμοῦ ὡς ἀνωτέρω. Τὴν δὲ ἑσπέραν τελεῖται ὁ Μέγας Ἑσπερινός, ὡς διετάχθη ἀνωτέρω (σ. 591 κ.ἑ.). Ἀλλὰ μετὰ τὸ γ΄ ἀνάγνωσμα λέγεται εὐθύς, ἄνευ τρισαγίου, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἶτα ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231). Καὶ ψάλλονται τὰ ἀπόστιχα.

Ἀνατολίου. Ἦχος β΄.

Ἐν Ἰορδάνῃ ποταμῷ* ἰδών σε ὁ Ἰωάννης* πρὸς αὐτὸν ἐρχόμενον* ἔλεγε, Χριστὲ ὁ Θεός.* Τί πρὸς τὸν δοῦλον παραγέγονας* ῥύπον μὴ ἔχων, Κύριε;* εἰς ὄνομα δὲ τίνος σε βαπτίσω;* Πατρός;* ἀλλὰ τοῦτον φέρεις ἐν ἑαυτῷ.* Υἱοῦ;* ἀλλ' αὐτὸς ὑπάρχεις ὁ σαρκωθείς.* Πνεύματος ἁγίου;* καὶ τοῦτο οἶδας διδόναι* τοῖς πιστοῖς διὰ στόματος.* Ὁ ἐπιφανεὶς Θεός,* ἐλέησον ἡμᾶς.

Στίχ. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

Εἶδοσάν σε ὕδατα, ὁ Θεός,* εἶδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν·* πρὸς τὴν σὴν γὰρ δόξαν* ἀντοφθαλμῆσαι τὰ Χερουβὶμ οὐ δύνανται,* οὐδὲ ἀτενίσαι τὰ Σεραφίμ·* ἀλλὰ φόβῳ παριστάμενα,* τὰ μὲν βαστάζουσι,* τὰ δὲ δοξάζουσι* τὴν δύναμίν σου.* Μεθ' ὧν, οἰκτίρμον,* ἀναγγέλλομεν τὴν αἴνεσίν σου λέγοντες·* Ὁ ἐπιφανεὶς Θεός,* ἐλέησον ἡμᾶς.

Στίχ. Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

Σήμερον ὁ οὐρανοῦ καὶ γῆς ποιητὴς* παραγίνεται σαρκὶ ἐν Ἰορδάνῃ,* βάπτισμα αἰτῶν ὁ ἀναμάρτητος,* ἵνα καθάρῃ τὸν κόσμον* ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ·* καὶ βαπτίζεται ὑπὸ δούλου* ὁ Δεσπότης τῶν ἁπάντων·* καὶ καθαρισμὸν δι' ὕδατος* τῷ γένει τῶν ἀνθρώπων δωρεῖται.* Αὐτῷ βοήσωμεν·* Ὁ ἐπιφανεὶς Θεὸς ἡμῶν,* δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄. Θεοφάνους.

Τὸν ἐκ Παρθένου ἥλιον* βλέπων ὁ ἐκ στείρας λύχνος φαεινὸς* ἐν Ἰορδάνῃ αἰτούμενον βάπτισμα,* ἐν δειλίᾳ καὶ χαρᾷ ἐβόα πρὸς αὐτόν·* Σύ με ἁγίασον, Δέσποτα,* τῇ θείᾳ ἐπιφανείᾳ σου.

Τὸ Νῦν ἀπολύεις καὶ τὸ τρισάγιον. Τὸ ἀπολυτίκιον Ἐν Ἰορδάνῃ (σ. 606) ἐκ γ΄, καὶ ἀπόλυσις Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου (σ. 607).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν σ. 83-137).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ (σ. 83-99) εἰς τὸ Θεὸς Κύριος ψάλλομεν τὸ ἀπολυτίκιον Ἐν Ἰορδάνῃ (σ. 606) ἐκ γ'.

[Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος]

Μετὰ τὴν α' στιχολογίαν, κάθισμα.
Ἦχος γ'. (Τὴν ὡραιότητα).

Ἐπιφανέντος σου* ἐν Ἰορδάνῃ, Σωτήρ,* καὶ βαπτισθέντος σου* ὑπὸ Προδρόμου, Χριστέ,* ἠγαπημένος Υἱός* ἐμαρτυρήθης'* ὅθεν καὶ συνάναρχος* τῷ Πατρὶ πεφανέρωσαι'* Πνεῦμα δὲ τὸ ἅγιον* ἐπὶ σὲ κατεγίνετο'* ἐν ᾧ καὶ φωτισθέντες βοῶμεν'* Δόξα Θεῷ τῷ ἐν Τριάδι.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὴν β' στιχολογίαν, κάθισμα.
Ἦχος δ'. (Κατεπλάγη Ἰωσήφ).

Ἰορδάνη ποταμέ,* τί ἐθαμβήθης θεωρῶν;* Τὸν ἀθεώρητον γυμνὸν* εἶδον καὶ ἔφριξα, φησί'* καὶ πῶς γὰρ τοῦτον οὐκ ἔμελλον φρῖξαι καὶ δῦναι;* Οἱ ἄγγελοι αὐτὸν* ὁρῶντες ἔφριξαν'* ἐξέστη οὐρανός,* καὶ γῆ ἐτρόμαξε* καὶ συνεστάλη θάλασσα καὶ πάντα* τὰ ὁρατὰ καὶ ἀόρατα.* Χριστὸς ἐφάνη* ἐν Ἰορδάνῃ* ἁγιάσαι τὰ ὕδατα.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὸν πολυέλεον, κάθισμα.
Ἦχος δ'. (Ταχὺ προκατάλαβε).

Τὰ ῥεῖθρα ἡγίασας* τὰ Ἰορδάνεια'* τὸ κράτος συνέτριψας* τῆς ἁμαρτίας,* Χριστὲ ὁ Θεὸς ἡμῶν* ὑπέκλινας τῇ παλάμῃ* σεαυτὸν τοῦ Προδρόμου* καὶ ἔσωσας ἐκ τῆς πλάνης* τῶν ἀνθρώπων τὸ γένος'* διό σε ἱκετεύομεν'* Σῶσον τὸν κόσμον σου.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Τὸ α' ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ' ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ'.

Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

Στίχ. Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (α' 9-11).

Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ... (σ. 584).

Ὁ Ν' Ψαλμός (σ. 103). Εἶτα Δόξα. Ἦχος β'.

Τὰ σύμπαντα σήμερον ἀγαλλιάσθω·* Χριστὸς ἐφάνη ἐν Ἰορδάνῃ.

Καὶ νῦν. Τὸ αὐτό.

Στίχ. Ἐλέησόν με, ὁ Θεός...
Καὶ τὰ ἰδιόμελον. Ἦχος πλ. β'.

Θεὸς Λόγος ἐπεφάνη ἐν σαρκὶ* τῷ γένει τῶν ἀνθρώπων·* ἵστατο βαπτισθῆναι ἐν Ἰορδάνῃ,* καὶ ἔλεγε πρὸς αὐτὸν ὁ Πρόδρομος·* Πῶς ἐκτείνω χεῖρα* καὶ ἅψωμαι κορυφῆς* κρατούσης τὰ σύμπαντα;* Εἰ καὶ ἐκ Μαρίας ὑπάρχεις βρέφος,* ἀλλ' οἶδά σε Θεὸν προαιώνιον·* ἐπὶ γῆς βαδίζεις,* ὁ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ·* καὶ δοῦλος Δεσπότην* βαπτίζειν οὐ μεμάθηκα.* Ἀκατάληπτε Κύριε,* δόξα σοι.

Ὁ Ἱερεύς: Σῶσον, ὁ Θεός, τὸν λαόν σου. (σ. 104).

Καὶ ψάλλονται οἱ κανόνες.

Κανὼν α'. Ποίημα Κοσμᾶ. Ἦχος β'.

Ὠδὴ α'. Ὁ εἱρμός.

Βυθοῦ ἀνεκάλυψε πυθμένα,* καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει,* ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους,* ὁ κραταιὸς ἐν πολέμοις Κύριος·* ὅτι δεδόξασται.

Τροπάρια.

Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει* ῥείθροις Ἰορδάνου, καὶ δρακόντων* κεφαλὰς ἐμφωλευόντων διαθλάττει,* ὁ βασιλεὺς τῶν αἰώνων Κύριος* ὅτι δεδόξασται.

Πυρὶ τῆς Θεότητος ἀΰλῳ* σάρκα ὑλικὴν ἡμφιεσμένος,* Ἰορδάνου περιβάλλεται τὸ νᾶμα* ὁ σαρκωθεὶς ἐκ Παρθένου Κύριος* ὅτι δεδόξασται.

Τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων,* τούτοις καθαρθεὶς ἐν Ἰορδάνῃ,* οἷς θελήσας ὡμοιώθη, ὃ ἦν μείνας,* τοὺς ἐν τῷ σκότει φωτίζει Κύριος* ὅτι δεδόξασται.

Κανὼν β', ἰαμβικός.
Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.
Ἦχος β'. Ὠδὴ α'. Ὁ εἱρμός.

Στείβει θαλάσσης* κυματούμενον σάλον,
Ἥπειρον αὐθις,* Ἰσραήλ, δεδειγμένον.
Μέλας δὲ πόντος* τριστάτας Αἰγυπτίων
Ἔκρυψεν ἄρδην,* ὑδατόστρωτος τάφος,
Ῥώμῃ κραταιᾷ* δεξιᾶς τοῦ Δεσπότου.

Τροπάρια.

Ὀρθρου φανέντος* τοῖς βροτοῖς σελασφόρου
Νῦν ἐξ ἐρήμου* πρὸς ροὰς Ἰορδάνου,
Ἄναξ, ὑπέσχες* ἡλίου σὸν αὐχένα
Χώρου ζοφώδους* τὸν γενάρχην ἁρπάσαι,
Ῥύπου τε παντὸς* ἐκκαθᾶραι τὴν κτίσιν.

Ἀναρχε, ῥείθροις* συνταφέντα σοι, Λόγε,
Νέον περαίνεις* τὸν φθαρέντα τῇ πλάνῃ,
Ταύτην ἀφράστως* πατρόθεν δεδεγμένος
Ὅπα κρατίστην* Οὗτος ἠγαπημένος,
Ἴσος τέ μοι Παῖς* χρηματίζει τὴν φύσιν.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Ἰσχὺν ὁ διδοὺς* τοῖς βασιλεῦσιν ἡμῶν Κύριος* καὶ κέρας χριστῶν αὐτοῦ ὑψῶν,* Παρθένου ἀποτίκτεται* μολεῖ

δὲ πρὸς τὸ βάπτισμα* διό, πιστοί, βοήσωμεν* Οὐκ ἔστιν ἅγιος* ὡς ὁ Θεὸς ἡμῶν* καὶ οὐκ ἔστι δίκαιος* πλήν σου, Κύριε.

Τροπάρια.

Στειρεύουσα πρίν,* ἠτεκνωμένη δεινῶς, σήμερον* εὐφραίνου, Χριστοῦ ἡ Ἐκκλησία* δι' ὕδατος καὶ Πνεύματος* υἱοὶ γάρ σοι γεγέννηνται,* ἐν πίστει ἀνακράζοντες* Οὐκ ἔστιν ἅγιος* ὡς ὁ Θεὸς ἡμῶν* καὶ οὐκ ἔστι δίκαιος* πλήν σου, Κύριε.

Μεγάλῃ φωνῇ* ἐν τῇ ἐρήμῳ βοᾷ Πρόδρομος* Χριστοῦ ἑτοιμάσατε ὁδοὺς* καὶ τρίβους τοῦ Θεοῦ ἡμῶν* εὐθείας ἀπεργάσασθε,* ἐν πίστει ἀνακράζοντες* Οὐκ ἔστιν ἅγιος* ὡς ὁ Θεὸς ἡμῶν* καὶ οὐκ ἔστι δίκαιος* πλήν σου, Κύριε.

Εἱρμὸς ἄλλος.

Οσοι παλαιῶν* ἐκλελύμεθα βρόχων,
Βορῶν λεόντων* συντεθλασμένων μύλας,
Ἀγαλλιῶμεν* καὶ πλατύνωμεν στόμα,
Λόγῳ πλέκοντες* ἐκ λόγων μελῳδίαν,
Ὦ τῶν πρὸς ἡμᾶς* ἥδεται δωρημάτων.

Τροπάρια.

Νέκρωσιν ὁ πρὶν* ἐμφυτεύσας τῇ κτίσει,
Θηρὸς κακούργου* σχηματισθεὶς εἰς φύσιν,
Ἐπισκοτεῖται* σαρκικῇ παρουσίᾳ,
Ὀρθρῳ φάναντι* προσβαλὼν τῷ Δεσπότῃ
Φλᾶν τὴν ἑαυτοῦ* δυσμενεστάτην κάραν.

Ελκει πρὸς αὐτὸν* τὴν θεόδμητον φύσιν,
Γαστρὸς τυράννου* συγκεχωσμένην ὅροις·
Γεννᾷ τε αὖθις* γηγενῶν ἀναπλάσει
Ἔργον φέριστον* ἐκτελῶν ὁ Δεσπότης·
Ἵκται γὰρ αὐτὴν* ἐξαλεξῆσαι θέλων.

Ἡ ὑπακοή. Ἦχος πλ. α΄.

Ὅτε τῇ ἐπιφανείᾳ σου* ἐφώτισας τὰ σύμπαντα,* τότε ἡ ἁλμυρὰ* τῆς ἀπιστίας θάλασσα ἔφυγε* καὶ ὁ Ἰορδάνης κάτω ῥέων ἐστράφη* πρὸς οὐρανὸν ἀνυψῶν ἡμᾶς* ἀλλὰ τῷ ὕψει τῶν θείων ἐντολῶν σου* συντήρησον, Χριστὲ ὁ Θεός,* πρεσβείαις τῆς Θεοτόκου,* καὶ ἐλέησον ἡμᾶς.

Κοντάκιον. Ἦχος δ΄.
Ποίημα Ῥωμανοῦ τοῦ μελῳδοῦ.

Ἐπεφάνης σήμερον* τῇ οἰκουμένῃ,* καὶ τὸ φῶς σου, Κύριε,* ἐσημειώθη ἐφ' ἡμᾶς* ἐν ἐπιγνώσει ὑμνοῦντάς σε* Ἦλθες, ἐφάνης,* τὸ φῶς τὸ ἀπρόσιτον.

Ὁ οἶκος.

Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν,* τῇ τοῦ Ζαβουλὼν χώρᾳ,* καὶ τοῦ Νεφθαλεὶμ γαίᾳ,* ὡς εἶπεν ὁ προφήτης,* φῶς μέγα ἔλαμψε Χριστός·* τοῖς ἐσκοτισμένοις* φαεινὴ ὤφθη αὐγή* ἐκ Βηθλεὲμ ἀστράπτουσα·* μᾶλλον δὲ ἐκ Μαρίας ὁ Κύριος,* πάσῃ τῇ οἰκουμένῃ* ἀνατέλλει τὰς ἀκτῖνας,* ὁ ἥλιος τῆς δικαιοσύνης.* Διὸ οἱ ἐξ Ἀδὰμ* γυμνοί, δεῦτε πάντες,* ὑποδύωμεν αὐτόν,* ἵνα θαλφθῶμεν·* σκέπη γὰρ γυμνῶν* καὶ αἴγλη ἐσκοτισμένων* ἦλθες, ἐφάνης,* τὸ φῶς τὸ ἀπρόσιτον.

Συναξάριον.

Τῇ ς΄ τοῦ αὐτοῦ μηνός, τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στίχοι.

Τοὺς οὐρανοὺς βάπτισμα τοῦ Χριστοῦ σχίσαν
τοὺς αὐτὸ μὴ χραίνοντας ἔνδον εἰσάγει.
Βάπτισεν ἐν ποταμῷ Χριστὸν Πρόδρομος κατὰ
ἕκτην.

Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αἱ καταβασίαι διπλαῖ.

Ὠδὴ α΄.

Βυθοῦ ἀνεκάλυψε πυθμένα... (σ. 610).

Ἰαμβική.

Στείβει θαλάσσης κυματούμενον... (σ. 611).

Ὠδὴ γ΄.

Ἰσχὺν ὁ διδοὺς τοῖς βασιλεῦσιν... (σ. 611)

Ἰαμβική.

Ὅσοι παλαιῶν ἐκλελύμεθα... (σ. 612).

Ὠδὴ δ΄.

Ἀκήκοε, Κύριε, φωνῆς σου,* ὃν εἶπας· Φωνὴ βοῶντος ἐν ἐρήμῳ,* ὅτε ἐβρόντησας* πολλῶν ἐπὶ ὑδάτων,* τῷ σῷ μαρτυρούμενος Υἱῷ* ὅλος γεγονὼς τοῦ παρόντος* Πνεύματος δὲ ἐβόησε·* Σὺ εἶ Χριστός,* Θεοῦ σοφία καὶ δύναμις.

Ἰαμβική.

Πυρσῷ καθαρθεὶς* μυστικῆς θεωρίας,
Ὑμνῶν προφήτης* τὴν βροτῶν καινουργίαν,
Ῥήγνυσι γῆρυν* Πνεύματι κροτουμένην,
Σάρκωσιν ἐμφαίνουσαν* ἀῤῥήτου Λόγου,
Ὦ τῶν δυναστῶν* τὰ κράτη συνετρίβη.

Ὠδὴ ε΄.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγὸς* λῦσαι τὸ κατάκριμα ἦκει* Ἀδὰμ τοῦ πρωτοπλάστου·* καθαρσίων δὲ ὡς Θεὸς μὴ δεόμενος,* τῷ πεσόντι καθαίρεται* ἐν τῷ Ἰορδάνῃ,* ἐν ᾧ τὴν ἔχθραν κτείνας,* ὑπερέχουσαν πάντα νοῦν* εἰρήνην χαρίζεται.

Ἰαμβική.

Ἐχθροῦ ζοφώδους* καὶ βεβορβορωμένου
Ἰὸν καθάρσει* Πνεύματος λελουμένοι.
Νέαν προσωρμίσθημεν* ἁπλανῆ τρίβον

Ἄγουσαν ἀπρόσιτον* εἰς θυμηδίαν,
Μόνοις προσιτὴν* οἷς Θεὸς κατηλλάγη.

Ὠδὴ ς'.

Ἡ φωνὴ τοῦ Λόγου,* ὁ λύχνος τοῦ φωτός,* ὁ ἑωσφόρος,* ὁ τοῦ ἡλίου Πρόδρομος* ἐν τῇ ἐρήμῳ,* Μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς,* καὶ προκαθαίρεσθε* ἰδοὺ γὰρ πάρεστι Χριστὸς* ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

Ἰαμβική.

Ἰμερτὸν ἐξέφηνε* σὺν πανολβίῳ
Ἦχῳ Πατήρ,* ὃν γαστρὸς ἐξηρεύξατο.
Ναί, φησίν, Οὗτος* συμφυῆς γόνος πέλων,
Φώταυγος ἐξώρουσεν* ἀνθρώπων γένους,
Λόγος τέ μου ζῶν* καὶ βροτὸς προμηθείᾳ.

Ὠδὴ ζ'.

Νέους εὐσεβεῖς* καμίνῳ πυρὸς προσομιλήσαντας* διασυρίζον πνεῦμα δρόσου* ἀβλαβεῖς διεφύλαξε* καὶ θείου ἀγγέλου συγκατάβασις* ὅθεν ἐν φλογὶ δροσιζόμενοι* εὐχαρίστως ἀνέμελπον* Ὑπερύμνητε,* ὁ τῶν πατέρων Κύριος* καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἰαμβική.

Ἔφλεξε ῥείθρῳ* τῶν δρακόντων τὰς κάρας
Ὁ τῆς καμίνου* τὴν μετάρσιον φλόγα
Νέους φέρουσαν* εὐσεβεῖς κατευνάσας
Τὴν δυσκάθεκτον* ἀχλὺν ἐξ ἁμαρτίας
Ὅλην πλύνει δὲ* τῇ δρόσῳ τοῦ Πνεύματος.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η'.

Μυστήριον παράδοξον* ἡ Βαβυλῶνος ἔδειξε κάμινος* πηγάσασα δρόσον* ὅτι ῥείθροις ἐμέλλεν* ἄϋλον πῦρ εἰσδέχεσθαι* ὁ Ἰορδάνης, καὶ στέγειν* σαρκὶ βαπτιζόμενον τὸν κτίστην* ὃν εὐλογοῦσι λαοὶ* καὶ ὑπερυψοῦσιν* εἰς πάντας τοὺς αἰῶνας.

Ἰαμβική.

Ἐλευθέρα μὲν* ἡ κτίσις γνωρίζεται,
Υἱοὶ δὲ φωτὸς* οἱ πρὶν ἐσκοτισμένοι.
Μόνος στενάζει* τοῦ σκότους ὁ προστάτης·
Νῦν εὐλογείτω* συντόνως τὸν αἴτιον
Ἡ πρὶν τάλαινα* τῶν ἐθνῶν παγκληρία.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Μεγάλυνον, ψυχή μου,* τὴν τιμιωτέραν* τῶν ἄνω στρατευμάτων.

Ἀπορεῖ πᾶσα* γλῶσσα εὐφημεῖν πρὸς ἀξίαν·* ἰλιγγιᾷ δὲ* νοῦς καὶ ὑπερκόσμιος ὑμνεῖν σε, Θεοτόκε·* ὅμως ἀγαθὴ ὑπάρχουσα* τὴν πίστιν δέχου·* καὶ γὰρ τὸν πόθον οἶδας τὸν ἔνθεον ἡμῶν·* σὺ γὰρ Χριστιανῶν εἶ προστάτις,* σὲ μεγαλύνομεν.

Μεγάλυνον, ψυχή μου,* τὸν ἐν Ἰορδάνῃ* ἐλθόντα βαπτισθῆναι.

Δαβίδ, πάρεσο* πνεύματι τοῖς φωτιζομένοις·* Νῦν προσέλθετε,* ἄδε, πρὸς Θεὸν ἐν πίστει, λέγων, φωτίσθητε·* οὗτος ὁ πτωχὸς ἐκέκραξεν* Ἀδὰμ ἐν πτώσει·* καὶ γὰρ αὐτοῦ εἰσήκουσε Κύριος ἐλθών,* ῥείθροις τοῦ Ἰορδάνου φθαρέντα* δὲ ἀνεκαίνισεν.

Μεγάλυνον, ψυχή μου,* τὸν ὑπὸ Προδρόμου* τὸ βάπτισμα λαβόντα.

Ὁ Ἡσαΐας,* Λούσασθε, καθάρθητε, φάσκει·* τὰς πονηρίας* ἔναντι ἀφέλεσθε Κυρίου· οἱ διψῶντες,* ὕδωρ ἐπὶ ζῶν πορεύεσθε·* ῥανεῖ γὰρ ὕδωρ* καινοποιὸν Χριστὸς τοῖς προστρέχουσιν αὐτῷ* πίστει, καὶ πρὸς ζωὴν τὴν ἀγήρω* βαπτίζει Πνεύματι.

Μεγάλυνον, ψυχή μου,* τὸν ἐκ τῆς πατρῴας* φωνῆς μαρτυρηθέντα.

Συντηρῶμεθα* χάριτι, πιστοί, καὶ σφραγῖδι·* ὡς γὰρ ὀλεθρον* ἔφυγον, φλιᾶς Ἑβραῖοι πάλαι αἱμαχθείσης,* οὕτω καὶ ἡμῖν ἐξόδιον* τὸ θεῖον τοῦτο* τῆς παλιγγενεσίας

λουτήριον ἔσται* ἔνθεν καὶ τῆς Τριάδος ὀψόμεθα* φῶς τὸ ἄδυτον.

Ἰαμβικός. Ὁ εἱρμός.

Σήμερον ὁ Δεσπότης* κλίνει τὸν αὐχένα* χειρὶ τῇ τοῦ Προδρόμου.

Ὧ τῶν ὑπὲρ νοῦν* τοῦ τόκου σου θαυμάτων!
Νύμφη πάναγνε,* Μῆτερ εὐλογημένη,
Δι' ἧς τυχόντες* παντελοῦς σωτηρίας,
Ἐπάξιον κροτοῦμεν* ὡς εὐεργέτῃ,
Δῶρον φέροντες* ὕμνον εὐχαριστίας.

Σήμερον Ἰωάννης* βαπτίζει τὸν Δεσπότην* ἐν ῥείθροις Ἰορδάνου.

Ὦ τῶν ὑπὲρ νοῦν τοῦ τόκου σου...

Δόξα.

Μεγάλυνον, ψυχή μου,* τῆς τρισυποστάτου* καὶ ἀδιαιρέτου* Θεότητος τὸ κράτος.

Ἴδμεν τὰ Μωσεῖ* τῇ βάτῳ δεδειγμένα,
Δεῦρο ξένοις* θεσμοῖσιν ἐξειργασμένα·
Ὡς γὰρ σέσωσται* πυρφοροῦσα Παρθένος
Σελασφόρον τεκοῦσα* τὸν εὐεργέτην,
Ἰορδάνου τε* ῥεῖθρα προσδεδεγμένα.

Καὶ νῦν.

Μεγάλυνον, ψυχή μου,* τὴν λυτρωσαμένην* ἡμᾶς ἐκ τῆς κατάρας.

Χρίεις τελειῶν* τὴν βρότειον οὐσίαν,
Ἄναξ ἄναρχε,* Πνεύματος κοινωνίᾳ,
Ῥοαῖς ἀχράντοις* ἐκκαθάρας, καὶ σκότους
Ἰσχὺν θριαμβεύσας τε* τὴν ἐπηρμένην,
Νῦν εἰς ἀληκτον* ἐξαμείβεαι βίον.

Καταβασίαι.

Μεγάλυνον ψυχή μου... Ἀπορεῖ πᾶσα γλῶσσα... (σ. 616).

Ὦ τῶν ὑπὲρ νοῦν... (σ. 617).

Ἐξαποστειλάριον. (Ἐπεσκέψατο ἡμᾶς).

Ἐπεφάνη ὁ Σωτήρ,* ἡ χάρις, ἡ ἀλήθεια,* ἐν ῥείθροις τοῦ Ἰορδάνου,* καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ* καθεύδοντας ἐφώτισε·* καὶ γὰρ ἦλθεν, ἐφάνη,* τὸ φῶς τὸ ἀπρόσιτον.

(Τρις)

Εἰς τοὺς αἴνους ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Ἦχος α΄. Γερμανοῦ πατριάρχου.

Φῶς ἐκ φωτὸς* ἔλαμψε τῷ κόσμῳ* Χριστὸς ὁ Θεὸς ἡμῶν,* ὁ ἐπιφανεὶς Θεός·* τοῦτον, λαοί, προσκυνήσωμεν. (Δις)

Πῶς σε, Χριστέ,* δοῦλοι τὸν Δεσπότην* ἀξίως τιμήσωμεν;* ὅτι ἐν τοῖς ὕδασι* πάντας ἡμᾶς ἀνεκαίνισας.

Σὺ ἐν Ἰορδάνῃ βαπτισθείς,* ὁ Σωτὴρ ἡμῶν,* τὰ ῥεῖθρα ἡγίασας,* τῇ παλάμῃ τοῦ δούλου χειροθετούμενος,* καὶ τὰ πάθη τοῦ κόσμου ἰώμενος.* Μέγα τὸ μυστήριον* τῆς οἰκονομίας σου!* φιλάνθρωπε Κύριε, δόξα σοι.

Τὸ ἀληθινὸν φῶς ἐπεφάνη* καὶ πᾶσι τὸν φωτισμὸν δωρεῖται.* Βαπτίζεται Χριστὸς μεθ᾽ ἡμῶν,* ὁ πάσης ἐπέκεινα καθαρότητος·* ἐνίησι τὸν ἁγιασμὸν τῷ ὕδατι,* καὶ ψυχῶν τοῦτο καθάρσιον γίνεται·* ἐπίγειον τὸ φαινόμενον,* καὶ ὑπὲρ τοὺς οὐρανοὺς τὸ νοούμενον·* διὰ λουτροῦ σωτηρία,* δι᾽ ὕδατος τὸ Πνεῦμα,* διὰ καταδύσεως* ἡ πρὸς Θεὸν ἡμῶν ἄνοδος γίνεται.* Θαυμάσια τὰ ἔργα σου,* Κύριε! δόξα σοι.

Ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις* ῥεῖθρα περιβάλλεται σήμερον τὰ Ἰορδάνεια·* καὶ τὴν ἐμὴν καθαίρεται κάθαρσιν* ὁ τοῦ κόσμου αἴρων τὴν ἁμαρτίαν·* καὶ ὑπὸ τοῦ συγγενοῦς* ἄνωθεν μαρτυρεῖται Πνεύματος,* Υἱὸς μονογενὴς* ὑπάρχων τοῦ ὑψίστου Πατρός·* πρὸς ὃν βοήσωμεν·* Ὁ ἐπιφανεὶς καὶ σώσας ἡμᾶς,* Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δόξα. Ἦχος πλ. β΄. Ἀνατολίου.

Νάματα Ἰορδάνεια* περιεβάλου, Σωτήρ,* ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον* καὶ ἔκλινας κορυφὴν τῷ Προδρόμῳ,* ὁ τὸν οὐρανὸν μετρήσας σπιθαμῇ* ἵνα ἐπιστρέψῃς κόσμον ἐκ πλάνης* καὶ σώσῃς τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος β΄. Ἀνατολίου.

(Σήμερον ὁ Χριστὸς ἐν Βηθλεέμ).

Σήμερον ὁ Χριστὸς* ἐν Ἰορδάνῃ ἤλθε βαπτισθῆναι* Σήμερον Ἰωάννης ἅπτεται* κορυφῆς τοῦ Δεσπότου.* Αἱ δυνάμεις τῶν οὐρανῶν ἐξέστησαν,* τὸ παράδοξον ὁρῶσαι μυστήριον.* Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν* ὁ Ἰορδάνης ἰδὼν ἀνεστρέφετο.* Ἡμεῖς δὲ οἱ φωτισθέντες βοῶμεν* Δόξα τῷ φανέντι Θεῷ* καὶ ἐπὶ γῆς ὀφθέντι* καὶ φωτίσαντι τὸν κόσμον.

Δοξολογία μεγάλη (σ. 133)(*) καὶ τὸ ἀπολυτίκιον Ἐν Ἰορδάνῃ (σ. 606).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319)

Ψάλλομεν τὰ παρόντα ἀντίφωνα.

Ἀντίφωνον Α΄. Ἦχος β΄.

Στίχ. α΄. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β΄. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ.

Στίχ. γ΄. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.

(*) Κατὰ τὴν ἐν τῷ Μηναίῳ τάξιν μετὰ τὴν δοξολογίαν τελεῖται ἡ ἀκολουθία τοῦ Μεγάλου Ἁγιασμοῦ καὶ μετ' αὐτὴν ψάλλεται τὸ ἀπολυτίκιον καὶ ἄρχεται ἡ Θ. Λειτουργία. Σήμερον ὅμως γενικῶς ὁ Ἁγιασμὸς τελεῖται μετὰ τὴν Θ. Λειτουργίαν, ὅπως καὶ κατὰ τὴν παραμονήν.

Στίχ. δ'. Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

Δόξα, καὶ νῦν.

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. α'. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχ. β'. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

Στίχ. γ'. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσάν με.

Στίχ. δ'. Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

Δόξα, καὶ νῦν.

Ὁ μονογενὴς Υἱός... (σ. 293).

Ἀντίφωνον Γ'. Ἦχος α'.

Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου... (σ. 606).

Στίχ. β'. Εἰπάτω δὴ οἶκος Ἰσραὴλ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. γ'. Εἰπάτω δὴ οἶκος Ἀαρὼν ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. δ'. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τὸ ἀπολυτίκιον Ἐν Ἰορδάνῃ (σ. 606) καὶ τὸ κοντάκιον Ἐπεφάνης σήμερον (σ. 613).

Ἀντὶ τοῦ τρισαγίου τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Προκείμενον. Ἦχος δ΄.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Τίτον ἐπιστολῆς Παύλου (β΄ 11-14, γ΄ 4-8).

Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ... (σ. 589).

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (γ΄ 13-17).

Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Ἄφες ἄρτι οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. Τότε ἀφίησιν αὐτόν· καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν καὶ ἐρχόμενον ἐπ' αὐτόν. Καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299 κ.ἑ.). (Ἐὰν δὲ ἡ ἑορτὴ τύχῃ ἐν Κυριακῇ ἢ Δευτέρα, τελεῖται ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου, σ. 320 κ.ἑ.).

Εἰς τὸ Ἐξαιρέτως ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς· Μεγάλυνον, ψυχή μου... Ἀπορεῖ πᾶσα γλῶσσα (σ. 616).

Ἐὰν δὲ τελῆται ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, ψάλλεται τὸ Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη (σ. 331).

Κοινωνικόν.

Δόξα τῇ παρουσίᾳ σου, Χριστέ·* δόξα τῇ βασιλείᾳ σου·* δόξα τῇ οἰκονομίᾳ σου,* μόνε φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὴν β′ στιχολογίαν ἕτερον.
Ἦχος δ′. (Ἐπεφάνης σήμερον).

Ἐν τοῖς ῥείθροις βλέψας σε* τοῦ Ἰορδάνου* βαπτισθῆναι θέλοντα* ὁ μέγας Πρόδρομος, Χριστέ,* ἐν εὐφροσύνῃ ἐκραύγαζεν·* Ἦλθες, ἐφάνης,* τὸ φῶς τὸ ἀπρόσιτον.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ὁ Ν′ Ψαλμὸς (σ. 103) καὶ οἱ κανόνες, ὁ τῆς ἑορτῆς Βυθοῦ ἀνεκάλυψε πυθμένα (σ. 610) καὶ ὁ τοῦ ἁγίου.

Ποίημα Θεοφάνους. Ἦχος β′.

Ὠδὴ α′. (Τῷ τὴν ἄβατον).

Βαπτιζόμενον* τῷ τῶν παθῶν μου κλύδωνι,* Πρόδρομε, ταῖς πρεσβείαις σου* φθάσας διάσωσον·* ἀπαθείας γὰρ αὐτὸς* γέγονας δοχεῖον* σεπτὸν καὶ καθαρώτατον,* Κυρίῳ ἄνωθεν* ἐκ βρέφους ἀνακείμενος.

Ἀγαλλόμενος* ὁ Θεῷ παριστάμενος* ἄγγελος τὸν ἰσάγγελον* εὐηγγελίσατο* Ζαχαρίᾳ τῷ σεπτῷ* σοῦ ἱεραρχοῦντι* πατρί σε, παμμακάριστε,* Κυρίου Πρόδρομον* καὶ φίλον γενησόμενον.

Πλήρης γέγονας* τοῦ παναγίου Πνεύματος,* ἔτι κοιλίᾳ σῆς μητρὸς* ἔνδον φερόμενος·* καὶ σκιρτήματι τερπνῷ* τὸν τῆς παρθενίας* καρπὸν χαίρων ἐμήνυσας* καὶ προσεκύνησας,* προφῆτα πανσεβάσμιε.

Τὸν τὴν ἄβατον* πᾶσιν ἀνθρώποις πρότερον,* ξένην ὁδὸν βιώσεως* ἀποτεμόμενον* καὶ βαπτίσαντα Χριστὸν* ἐν ταῖς Ἰορδάνου* ῥοαῖς, ἀνευφημήσωμεν* Κυρίου Πρόδρομον* τὸν θεῖον καὶ θεόφρονα.

Θεοτοκίον.

Ἱερώτατον* τῆς παρθενίας τέμενος,* ἡ ἐν γαστρὶ Θεὸν Λόγον* κυοφορήσασα,* τοὺς προστρέχοντας εἰς σὲ*

καὶ προσκαλουμένους,* ἁγνή, σῴζε πρεσβείαις σου,* κινδύνων λύουσα* τὴν ἔφοδον, πανάμωμε.

Ὠδὴ γ'. (Ἐν πέτρᾳ με τῆς πίστεως).

Στειρώσεως τὸ ὄνειδος διαλύσας,* ἐπέγνως τῆς παρθένου τὸν θεῖον τόκον,* σκιρτήσας ἀγαλλόμενος ἐν κοιλίᾳ* μητρός, πανεύφημε,* ἀγγέλων σύσκηνε,* τοῦ Κυρίου Πρόδρομε,* μύστα τῆς χάριτος.

Τὰς τρίβους προητοίμασας τοῦ Κυρίου,* βαδίσας πρὸ προσώπου αὐτοῦ, προφῆτα·* ὡς λύχνος πᾶσι φαίνων γὰρ τὸ τῆς δόξης* Πατρὸς ἀπαύγασμα,* φανὲν ἐν σώματι,* δι' ὕδατος ὑπέδειξας,* πάντων πρόκριτε.

Ἀνέτειλας ὡς ὄρθρος δικαιοσύνης,* τὸν ἥλιον μηνύων τοῖς ἐν τῷ σκότει·* τῆς πάντων σωτηρίας σὺ γὰρ ἐγένου* κῆρυξ καὶ Πρόδρομος* καὶ πᾶσιν ἔλεγες·* Τῷ Χριστῷ προσέλθετε* πίστει καὶ σῴζεσθε.

Θεοτοκίον.

Χαρὰν τὴν ἀνεκλάλητον δεξαμένη,* συνέλαβες ἀσπόρως τὸν σὸν Δεσπότην,* τὸν πᾶσαν τὴν ὑφήλιον, Θεομῆτορ,* ἀνακαλούμενον·* ᾧ καὶ κραυγάζομεν·* Ὡς οὐκ ἔστιν ἅγιος,* πλὴν σοῦ Κύριε.

Κάθισμα. Ἦχος α'. (Τὸν τάφον σου Σωτήρ).

Ὁ μέγας ὑετὸς* πρὸς ποτάμια ῥεῖθρα* προέρχεται, σαρκὶ* βαπτισθῆναι θελήσας·* πρὸς ὃν ὁ θεῖος Πρόδρομος* ἐκθαμβούμενος ἔλεγε·* Πῶς βαπτίσω σε* ῥύπον μὴ ἔχοντα ὅλως;* Πῶς ἐκτείνω μου* τὴν δεξιὰν ἐπὶ κάραν,* ἣν τρέμει τὰ σύμπαντα;

Δόξα, καὶ νῦν. Ἦχος δ'. (Κατεπλάγη Ἰωσήφ).

Ἐκὼν προῆλθεν ἐπὶ γῆς* καὶ ἐσαρκώθη δι' ἡμᾶς,* ὡς ηὐδόκησεν αὐτός,* ὁ ἀκατάληπτος Θεός,* καὶ βαπτισθῆναι ἠνέσχετο ὁ φωτισμὸς ἡμῶν·* ὅθεν πρὸς αὐτὸν* ἀπεφθέγγετο* ὁ Πρόδρομος βοῶν·* Οὐ τολμῶ σου, Σωτήρ,* τῆς κορυφῆς ἐφάψασθαι, ὁρῶν σου* τὸ ἀκατάληπτον, Κύ-

ριε.* Ὁ πάντα, Λόγε,* πρὸς τὸ συμφέρον* οἰκονομήσας, δόξα σοι.

Κοντάκιον αὐτόμελον. Ρωμανοῦ. Ἦχος πλ. β΄.

Τὴν σωματικήν σου παρουσίαν* δεδοικὼς ὁ Ἰορδάνης,* τρόμῳ ὑπεστρέφετο·* τὴν πνευματικὴν δὲ λειτουργίαν* ἐκπληρῶν ὁ Ἰωάννης,* φόβῳ ὑπεστέλλετο·* τῶν ἀγγέλων αἱ τάξεις ἐξεπλήττοντο,* ὁρῶσαί σε ἐν ῥείθροις* σαρκὶ βαπτιζόμενον·* καὶ πάντες οἱ ἐν τῷ σκότει* κατηυγάζοντο, ἀνυμνοῦντές σε* τὸν φανέντα καὶ φωτίσαντα τὰ πάντα.

Ὁ οἶκος.

Τῷ τυφλωθέντι Ἀδὰμ ἐν Ἐδὲμ* ἐφάνη ἥλιος ἐκ Βηθλεὲμ* καὶ ἤνοιξεν αὐτοῦ τὰς κόρας,* ἀποπλύνας αὐτὰς* Ἰορδάνου τοῖς ὕδασι·* τῷ μεμελανωμένῳ* καὶ συνεσκοτισμένῳ* φῶς ἀνέτειλεν ἄσβεστον·* οὐκέτι αὐτῷ νύξ,* ἀλλὰ πάντα ἡμέρα·* τὸ πρὸς πρωΐ, πρωΐ* δι' αὐτὸν ἐγενήθη·* δειλινὸν γὰρ ἐκρύβη, ὡς γέγραπται·* εὗρεν αὐγὴν ἐγείρουσαν αὐτὸν* ὁ πρὸς ἑσπέραν πεσών·* ἀπηλλάγη τοῦ γνόφου* καὶ ἔφθασε πρὸς ὄρθρον* τὸν φανέντα καὶ φωτίσαντα τὰ πάντα.

Συναξάριον.

Τῇ Ζ΄ τοῦ αὐτοῦ μηνὸς ἡ σύναξις τοῦ ἁγίου προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου. Συνέδραμε δὲ καὶ ἡ τῆς παντίμου καὶ ἁγίας αὐτοῦ χειρὸς πρὸς τὴν βασιλεύουσαν μετένεξις.

Στίχοι.

Ἐμή σε γλῶσσα, κῆρυξ, πῶς ἂν αἰνέσῃ,
ὃν γλῶσσα Χριστοῦ γηγενῶν μείζω λέγει;

Μνήμη ἑβδομάτῃ Προδρόμου λάχεν αἰδοίοιο.

Ταῖς τοῦ σοῦ Προδρόμου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Καταβασίαι οἱ ἰαμβικοὶ Στείβει θαλάσσης (σ. 614).

Ἡ θ' ᾠδὴ τῆς ἑορτῆς (σ. 616) καὶ ἡ τοῦ ἁγίου.

(Ἡ τὸν πρὸ ἡλίου φωστῆρα).

Ἐκ τῆς ἐρημίας* ἡ πρόδρομος φωνὴ τὸν Λόγον δείκνυσι,* σωματικῶς ἡμῖν ἐπιδημήσαντα·* καὶ παρόντα περιχαρῶς* βαπτίζειν εὐτρεπίζεται* τὸν τὰς ψυχὰς καθαίροντα* τῆς ἁμαρτίας διὰ πίστεως.

Χάρις τε καὶ νόμος* μεσίτην σε σεπτὸν σαφῶς προβάλλεται,* τὸν μὲν σφραγίζοντα, τῆς δὲ ἀρχόμενον,* τὸν ἁπάντων τῶν προφητῶν* τῷ Λόγῳ προτιμώμενον,* τὸν ὑπὲρ τὰ ὁρώμενα* νῦν βεβηκότα, πανσεβάσμιε.

Οἷς ἀσωμάτοις* ἐφάμιλλον ζωὴν ἐπιδειξάμενος* ἀγγελικαῖς χορείαις συνευφραίνεται* καὶ τῷ θρόνῳ παρεστηκὼς* τοῦ Δεσπότου ἀγάλλεται,* τοῖς εὐφημοῦσιν ἄφεσιν* καὶ σωτηρίαν ἐξαιτούμενος.

Θεοτοκίον.

Ὑπὲρ εὐσπλαγχνίαν* ὁ πάντων Λυτρωτὴς ἄνθρωπος γίνεται·* καὶ σαρκικὴν καταδέχεται γέννησιν* φιλανθρώπως ὑπὲρ ἀνθρώπων* ὁ φύσει ὢν φιλάνθρωπος* παρθενικῆς ἐκ μήτρας σου,* Θεογεννῆτορ παμμακάριστε.

Καταβασία.

Μεγάλυνον, ψυχή μου... Ὦ τῶν ὑπὲρ νοῦν... (σ. 617).

Ἐξαποστειλάριον. (Γυναῖκες, ἀκουτίσθητε).

Προφήτην σε προέφησε* τῶν προφητῶν ὑπέρτερον,* ἐν γεννητοῖς, ὁ Δεσπότης,* γυναικῶν μείζονα πάντων·* ὃν γὰρ προφῆται ἅπαντες* καὶ νόμος προκατήγγειλαν* Χριστὸν σαρκὶ ἑώρακας·* ὃν καὶ βαπτίσας ἐδείχθης* σεβασμιώτερος πάντων.

Καὶ τῆς ἑορτῆς· Ἐπεφάνη ὁ Σωτὴρ... (σ. 618).

Εἰς τοὺς αἴνους τὰ ἰδιόμελα τῆς ἑορτῆς Φῶς ἐκ φωτὸς κ.τ.λ. (σ. 618).

Δόξα. Τοῦ Προδρόμου. Ἦχος πλ. β΄.

Ἄγγελος ἐκ στειρωτικῶν ὠδίνων* προῆλθες, Βαπτιστά,* ἐξ αὐτῶν τῶν σπαργάνων* τὴν ἔρημον οἰκήσας,*

σφραγίς τε πάντων τῶν προφητῶν ἐδείχθης·* ὃν γὰρ ἐκεῖνοι* πολυτρόπως ἐθεάσαντο* καὶ αἰνιγματωδῶς προεκήρυξαν,* τοῦτον βαπτίσαι* ἐν Ἰορδάνῃ κατηξιώθης·* φωνῆς τε ἀκήκοας* Πατρικῆς οὐρανόθεν* μαρτυρούσης αὐτοῦ τὴν Υἱότητα·* καὶ τὸ Πνεῦμα εἶδες* περιστερᾶς ἐν εἴδει,* τὴν φωνὴν ἕλκον ἐπὶ τὸν βαπτιζόμενον.* Ἀλλ' ὦ πάντων τῶν προφητῶν ὑπέρτερε,* μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν,* τῶν πιστῶς σου τελούντων τὰ μνημόσυνα.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Σήμερον ὁ Χριστὸς ἐν Ἰορδάνῃ... (σ. 619).

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον Μνήμη δικαίου (σ. 625).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Ψάλλομεν τὰ ἀντίφωνα καὶ τὸ εἰσοδικὸν τῆς ἑορτῆς (σ. 619). Εἶτα τὸ ἀπολυτίκιον τῆς ἑορτῆς (σ. 606), τὸ τοῦ ἁγίου (σ. 625) καὶ τὸ κοντάκιον Ἐπεφάνης σήμερον (σ. 613).

Ἀντὶ τοῦ τρισαγίου τὸ Ὅσοι εἰς Χριστόν.

Προκείμενον.

Εὐφρανθῆσεται δίκαιος ἐν τῷ Κυρίῳ.
Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πράξεων τῶν ἀποστόλων τὸ ἀνάγνωσμα.

Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ... (σ. 378).

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (σ' 29-34).

Τῷ καιρῷ ἐκείνῳ, βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ

αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Κἀγὼ οὐκ ἤδειν αὐτόν, ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. Καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡς περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν. Κἀγὼ οὐκ ἤδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ. Κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299 κ.ἑ.).

Εἰς τὸ Ἐξαιρέτως τὸ Μεγάλυνον, ψυχή μου... Ὦ τῶν ὑπὲρ νοῦν... (σ. 617).

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΤΗ ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΑ ΦΩΤΑ

Ψάλλεται ἡ ἀναστάσιμος ἀκολουθία τοῦ τυχόντος ἤχου καὶ ἡ μεθέορτος.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Προκείμενον. Ἦχος α'. (Ψαλμὸς λβ').

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.
Στίχ. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἐφεσίους ἐπιστολῆς Παύλου (δ' 7-13).

Ἀδελφοί, ἑνὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. Διὸ λέγει· Ἀναβὰς εἰς ὕψος ἠχμαλώτευσεν αἰχμαλωσίαν καὶ ἔδωκε δόματα τοῖς

ἀνθρώποις. Τὸ δὲ ἀνέβη τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (δ΄ 12-17).

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, καὶ καταλιπὼν τὴν Ναζαρὲτ ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· «Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς». Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

ΤΗ ΙΑ΄ ΙΑΝΟΥΑΡΙΟΥ

Ἀπόδοσις τῆς ἑορτῆς τῶν Θεοφανείων.

Ψάλλεται πᾶσα ἡ ἀκολουθία τῆς ἑορτῆς ἐν τῷ Ἑσπερινῷ πλὴν τῶν ἀναγνωσμάτων (σ. 591-592, 608), ἐν τῷ Ὄρθρῳ πλὴν τοῦ πολυελέου καὶ τοῦ Εὐαγγελίου (σ. 609-619) καὶ ἐν τῇ Λειτουργίᾳ (σ. 619-622). Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας. Ἐὰν δὲ τύχῃ ἐν Κυριακῇ, ψάλλεται καὶ ἡ ἀναστάσι-

μος ἀκολουθία τοῦ τυχόντος ἤχου, ἥτις καὶ προηγεῖται, Ἀπόστολος δὲ καὶ Εὐαγγέλιον λέγονται τὰ τῆς Κυριακῆς μετὰ τὰ Φῶτα (σ. 631).

ΕΙΔΗΣΙΣ

Μετὰ τὴν ἀπόδοσιν τῆς ἑορτῆς τῶν Θεοφανείων κατὰ τὰς Κυριακὰς ψάλλονται αἱ καταβασίαι τῆς Ὑπαπαντῆς Χέρσον ἀβυσσοτόκον (σ. 729) καὶ εἰς τὴν Λειτουργίαν τὸ κοντάκιον αὐτῆς Ὁ μήτραν παρθενικὴν (σ. 728).

ΤΗ ΙΖ' ΙΑΝΟΥΑΡΙΟΥ

Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) [καὶ τὴν α' στάσιν τοῦ Μακάριος ἀνὴρ (σ. 217)] εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ προσόμοια τοῦ ἁγίου ς'.

Ἦχος δ'. (Ὁ ἐξ ὑψίστου κληθείς).

Ὁφωτισθεὶς ταῖς τοῦ Πνεύματος ἀκτῖσιν,* ὅτε σε ὁ ἔνθεος* ἔρως ἀνέφλεξε* καὶ τὴν ψυχὴν ἀνεπτέρωσεν* αὐτὸ ποθῆσαι* τὸ τῆς ἀγάπης ὄντως ἀκρότατον·* τότε κατεφρόνησας* σαρκὸς καὶ αἵματος·* καὶ ἔξω κόσμου γεγένησαι,* πολλῇ ἀσκήσει* καὶ ἡσυχίᾳ τούτῳ ἐνούμενος·* ὅθεν ἐπλήσθης, ὡς ἐζήτησας,* τῶν ἐκεῖθεν καλῶν καὶ ἀνέλαμψας* ὡς ἀστήρ, καταυγάζων* τὰς ψυχὰς ἡμῶν, Ἀντώνιε. (Δίς)

Ὅτῶν δαιμόνων τὰ τόξα καὶ τὰ βέλη* συντρίψας τῇ χάριτι* τοῦ Θείου Πνεύματος* καὶ τὴν κακίαν καὶ ἔνεδραν* αὐτῶν τοῖς πᾶσι* δηλοποιήσας θείοις διδάγμασι* ταῖς

θείαις λαμπρότησι* καταστραπτόμενος,* τῶν μοναστῶν διαυγέστατος* φωστὴρ ἐγένου* καὶ τῆς ἐρήμου πρῶτος διάκοσμος* καὶ τῶν νοσούντων ἐμπειρότατος* καὶ σεπτὸς ἰατρὸς καὶ ἀρχέτυπος* χαρακτὴρ ἐναρέτου* ἀγωγῆς, πάτερ Ἀντώνιε. (Δις)

Ο χαρισμάτων ἐνθέων πεπλησμένος,* σὲ ὡς ἀκηλίδωτον* ἔσοπτρον, πάτερ, εὗρων* Χριστός, τῶν θείων ἐμφάσεων* λαμπρὰς οἰκείου* μαρμαρυγὰς φωτός σοι ἐξήστραψεν* ἐντεῦθεν ἰάσεων* ἄφθονος ὤφθης πηγή,* διατροφή τε λιμώττουσι,* καὶ τῶν διψώντων* δι' ἐπομβρίας ἄρδων τὴν ἔφεσιν* τὰς ψυχικὰς δὲ διαθέσεις ὁρῶν* σοῦ τῷ λόγῳ σοφῶς ἐβελτίους Θεῷ* ὂν ἱκέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ο καθαρὸς τὴν ψυχὴν καὶ τὴν καρδίαν* ἄγγελος ἐπίγειος,* βροτὸς οὐράνιος,* τῆς παρθενίας διδάσκαλος,* τῆς ἐγκρατείας* ἠκριβωμένη στάθμη, Ἀντώνιε* συνὼν τῷ Δεσπότῃ σου* καὶ τὴν ἀσίγητον* δοξολογίαν, μακάριε,* σὺν τοῖς ἀγγέλοις* καὶ τοῖς ὁσίοις πᾶσι καὶ μάρτυσι* τούτῳ προσάγων, τοὺς τελοῦντάς σου* τὴν ἱερὰν μνήμην πάντοτε* χαλεπῶν ἐκ κινδύνων* καὶ πταισμάτων ἐλευθέρωσον.

Δόξα. Ἦχος πλ. β'. Συκεώτου.

Τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον,* νοῦν ἡγεμόνα κατὰ παθῶν ὁλεθρίων* ἀσκητικῶς ἐνστησάμενος,* εἰς τὸ καθ' ὁμοίωσιν,* ὡς δυνατόν, ἀνελήλυθας* ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενος,* ἔσπευσας τὸ χεῖρον* καθυποτάξαι τῷ κρείττονι* καὶ τὴν σάρκα δουλῶσαι τῷ πνεύματι* ὅθεν μοναζόντων* ἀνεδείχθης ἀκρότης,* πολιστὴς τῆς ἐρήμου,* εὐδρομούντων ἀλείπτης,* κανὼν ἀρετῆς ἀκριβέστατος* καὶ νῦν ἐν οὐρανοῖς* τῶν ἐσόπτρων λυθέντων, Ἀντώνιε,* καθαρῶς ἐποπτεύεις τὴν ἁγίαν Τριάδα,* ἐντυγχάνων ἀμέσως* ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε... (σ. 456).

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Α΄. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Β΄. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (ε΄ 15 - ς΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας.

Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖ-

λαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Γ'. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (δ' 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος πλ. δ'. (Χαίροις, ἀσκητικῶν).

Χαίροις, τῶν ἀσκητῶν ἀρχηγὸς* γεγενημένος καὶ ἀήττητος πρόμαχος·* παθῶν γὰρ ἐκτέμνων ῥίζας,* καὶ τῶν δαιμόνων ὁρμὰς* ὑποστὰς ἀνδρείως, ἐθριάμβευσας* αὐτῶν τὴν ἀσθένειαν* καὶ ψυχόλεθρον πλάνησιν·* τὴν τοῦ Σταυροῦ δὲ* τοῦ Σωτῆρος ἐνέργειαν* καὶ ἀνίκητον* ἐφανέρωσας δύναμιν·* ἣν καὶ περιζωσάμενος* ἐνίκησας ἅπαντας* τοὺς ἀθετοῦντας τὴν θείαν* διὰ σαρκὸς ἐπιφάνειαν* Χριστοῦ· ὃν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στῦλος φωτοειδὴς ἀρεταῖς* ἑστηριγμένος καὶ νεφέλη σκιάζουσα* ἐγένου τοῖς ἐν ἐρήμῳ,* πρὸς οὐρανὸν ἀπὸ γῆς* τῶν Θεὸν ὁρώντων προηγούμενος,* Σταυροῦ βακτηρίᾳ* τὴν τῶν παθῶν ῥῆξας θάλασσαν'* τὸν νοητὸν δὲ* Ἀμαλὴκ τροπωσάμενος,* ἀνεμπόδιστον* τὴν οὐράνιον ἄνοδον* εὗρες, θεομακάριστε,* καὶ κλῆρον ἀκήρατον,* σὺν ἀσωμάτοις τῷ θρόνῳ* περιχαρῶς παριστάμενος* Χριστοῦ ὃν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Χαίροις, ἀγγελικαῖς ὁμιλῶν* χοροστασίαις ἐν ὑψίστοις, Ἀντώνιε'* τὸν βίον γὰρ τούτων, πάτερ,* ἐπὶ τῆς γῆς ἀληθῶς* ἀρετὴν ἀσκήσας πεπολίτευσαι,* φανεὶς καθαρώτατον* ἀκηλίδωτον ἔσοπτρον,* ἀκτινοβόλους* ἀστραπὰς εἰσδεχόμενον* τὰς τοῦ Πνεύματος* τοῦ ἁγίου, πανόλβιε'* ὅθεν καταυγαζόμενος* ἐώρας τὰ μέλλοντα,* πάντα προλέγων ἐκ θείας* φωτοφανείας μυούμενος* Χριστοῦ ὃν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'. Συκεώτου.

Τῶν μοναστῶν τὰ πλήθη* τὸν καθηγητὴν σε τιμῶμεν, Ἀντώνιε'* διὰ σοῦ γὰρ τὴν τρίβον* τὴν ὄντως εὐθεῖαν* πορεύεσθαι ἔγνωμεν.* Μακάριος εἶ,* τῷ Χριστῷ δουλεύσας* καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν,* ἀγγέλων συνόμιλε,* τοῦ Παύλου συμμέτοχε τοῦ Θηβαίου'* μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε... (σ. 485).

Ἀπολυτίκιον. Ἦχος δ'.

Τὸν ζηλωτὴν Ἠλίαν* τοῖς τρόποις μιμούμενος,* τῷ Βαπτιστῇ εὐθείαις* ταῖς τρίβοις ἑπόμενος,* πάτερ Ἀντώνιε,* τῆς ἐρήμου γέγονας οἰκιστὴς* καὶ τὴν οἰκουμένην ἐστήριξας εὐχαῖς σου'* διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

λαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Γ'. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (δ' 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος πλ. α'. (Χαίροις, ἀσκητικῶν).

Χαίροις, τῶν ἀσκητῶν ἀρχηγὸς* γεγενημένος καὶ ἀήττητος πρόμαχος·* παθῶν γὰρ ἐκτέμνων ῥίζας,* καὶ τῶν δαιμόνων ὁρμὰς* ὑποστὰς ἀνδρείως, ἐθριάμβευσας* αὐτῶν τὴν ἀσθένειαν* καὶ ψυχόλεθρον πλάνησιν·* τὴν τοῦ Σταυροῦ δὲ* τοῦ Σωτῆρος ἐνέργειαν* καὶ ἀνίκητον* ἐφανέρωσας δύναμιν·* ἣν καὶ περιζωσάμενος* ἐνίκησας ἅπαντας* τοὺς ἀθετοῦντας τὴν θείαν* διὰ σαρκὸς ἐπιφάνειαν* Χριστοῦ· ὃν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στῦλος φωτοειδὴς ἀρεταῖς* ἐστηριγμένος καὶ νεφέλη σκιάζουσα* ἐγένου τοῖς ἐν ἐρήμῳ,* πρὸς οὐρανὸν ἀπὸ γῆς* τῶν Θεὸν ὁρώντων προηγούμενος,* Σταυροῦ βακτηρίᾳ* τὴν τῶν παθῶν ῥῆξας θάλασσαν* τὸν νοητὸν δὲ* Ἀμαλὴκ τροπωσάμενος,* ἀνεμπόδιστον* τὴν οὐράνιον ἄνοδον* εὗρες, θεομακάριστε,* καὶ κλῆρον ἀκήρατον,* σὺν ἀσωμάτοις τῷ θρόνῳ* περιχαρῶς παριστάμενος* Χριστοῦ ὃν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Χαίροις, ἀγγελικαῖς ὁμιλῶν* χοροστασίαις ἐν ὑψίστοις, Ἀντώνιε* τὸν βίον γὰρ τούτων, πάτερ,* ἐπὶ τῆς γῆς ἀληθῶς* ἀρετὴν ἀσκήσας πεπολίτευσαι,* φανεὶς καθαρώτατον* ἀκηλίδωτον ἔσοπτρον,* ἀκτινοβόλους* ἀστραπὰς εἰσδεχόμενον* τὰς τοῦ Πνεύματος* τοῦ ἁγίου, πανόλβιε* ὅθεν καταυγαζόμενος* ἑώρας τὰ μέλλοντα,* πάντα προλέγων ἐκ θείας* φωτοφανείας μυούμενος* Χριστοῦ ὃν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄. Συκεώτου.

Τῶν μοναστῶν τὰ πλήθη* τὸν καθηγητὴν σε τιμῶμεν, Ἀντώνιε* διὰ σοῦ γὰρ τὴν τρίβον* τὴν ὄντως εὐθεῖαν* πορεύεσθαι ἔγνωμεν.* Μακάριος εἶ,* τῷ Χριστῷ δουλεύσας* καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν,* ἀγγέλων συνόμιλε,* τοῦ Παύλου συμμέτοχε τοῦ Θηβαίου* μεθ᾽ ὧν πρέσβευε τῷ Κυρίῳ* ἐλεηθῆναι τὰς ψυχάς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε... (σ. 485).

Ἀπολυτίκιον. Ἦχος δ΄.

Τὸν ζηλωτὴν Ἠλίαν* τοῖς τρόποις μιμούμενος,* τῷ Βαπτιστῇ εὐθείαις* ταῖς τρίβοις ἑπόμενος,* πάτερ Ἀντώνιε,* τῆς ἐρήμου γέγονας οἰκιστὴς* καὶ τὴν οἰκουμένην ἐστήριξας εὐχαῖς σου* διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον... (σ. 428).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἄνω. [Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος].

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.
Ἦχος πλ. δ΄. (Τὴν Σοφίαν καὶ Λόγον).

Τὴν ψυχήν σου δεσμεύσας πόθῳ Χριστοῦ,* τὰ γεώδη μισήσας πάντα σαφῶς,* ηὐλίσθης, πάτερ ὅσιε,* ἐν ἐρήμοις καὶ ὄρεσι΄* τοῦ γνωστικοῦ γὰρ ξύλου* γευσάμενος, ἔνδοξε,* ὡς ἐξ ἀδύτων μύστης* ἀγγελικῶς διέλαμψας΄* ὅθεν καὶ τὸν γνόφον* διαβὰς τῆς σαρκός σου,* τὸ σκότος ἐδίωξας* τῶν δαιμόνων, μακάριε,* μοναζόντων ὁ πρόκριτος.* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ* συλλαβοῦσα ἀφλέκτως, Μήτηρ Θεοῦ,* ἀφράστως ἀπεκύησας* τὸν τὰ πάντα ποιήσαντα΄* καὶ ἐν ἀγκάλαις ἔσχες* τὸν πάντα κατέχοντα΄* καὶ ἐκ μαζῶν ἐθήλασας* τὸν κόσμον ἐκτρέφοντα΄* ὅθεν δυσωπῶ σε,* Παναγία Παρθένε,* ῥυσθῆναι πταισμάτων μου,* ὅταν μέλλω παρίστασθαι* πρὸ προσώπου τοῦ κτίστου μου.* Δέσποινα Παρθένε ἁγνή,* τὴν σὴν βοήθειαν τότε παράσχου μοι΄* καὶ γὰρ δύνασαι ὅσα* θέλεις, πανάχραντε.

Μετὰ την β΄ στιχολογίαν, κάθισμα.
Ἦχος πλ. α΄. (Τὸν συνάναρχον Λόγον).

Τὸν ἀσκητὴν τοῦ Κυρίου* ὕμνοις τιμήσωμεν* ὡς νεκρώσαντα πάσας* τὰς προσβολὰς τῶν παθῶν* δι᾽ ἐγκρατείας καὶ στερρᾶς* ὑπομονῆς ἀληθῶς* καὶ καταισχύναντα σφοδρῶς* τὸν ἀντίπαλον ἐχθρὸν* καὶ πάσας τούτου

ἐπάρσεις* καὶ νῦν πρεσβεύοντα τῷ Κυρίῳ* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε, πύλη Κυρίου* ἡ ἀδιόδευτος,* ἣν προεκήρυξαν πάντες* οἱ δικαιότατοι* καὶ ὁ προφήτης Δανιὴλ* ὄρος ἀλάξευτον* καὶ Δαβὶδ ὁ μελῳδὸς* σὺν Μωϋσεῖ καὶ τοῖς λοιποῖς* βάτον καὶ στάμνον καὶ ῥάβδον,* νεφέλην, πύλην καὶ θρόνον* καὶ μέγα ὄρος ἀναδειχθεῖσαν ἡμῖν.

Μετὰ τὸν πολυέλεον, κάθισμα.

Ἦχος πλ. δ'. (Τὴν Σοφίαν καὶ Λόγον).

Τοὺς θορύβους τοῦ βίου καταλιπών,* τὸν σταυρόν σου ἐπ' ὤμων ἀναλαβών,* ὅλον ἀνατέθεικας* σεαυτὸν τῷ Κυρίῳ σου·* καὶ σαρκὸς ἔξω, πάτερ,* καὶ κόσμου γενόμενος,* τοῦ ἁγίου γέγονας* συνόμιλος Πνεύματος·* ὅθεν καὶ πρὸς ζῆλον* τοὺς λαοὺς διεγείρων,* τὰς πόλεις ἐκένωσας,* τὰς ἐρήμους ἐπόλισας,* θεοφόρε Ἀντώνιε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος δ'. (Ἐπεφάνης σήμερον).

Τῷ φωτὶ λαμπόμενος* τῷ ἀπροσίτῳ,* ὡς ἀστὴρ ἐξέλαμψας* ἐν ταῖς ἐρήμοις, διδαχαῖς* καταφωτίζων, Ἀντώνιε,* τοὺς ἀδιστάκτῳ* ψυχῇ προσιόντας σοι.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Επελεύσει Πνεύματος* τοῦ παναγίου* τοῦ Πατρὸς τὸν σύνθρονον* καὶ ὁμοούσιον φωνῇ,* ἀγνή, ἀγγέλου συνέλαβες,* Θεοκυῆτορ,* Ἀδὰμ ἡ ἀνάκλησις.

Τὸ α' ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ' ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ'.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (ια΄ 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Ν΄ Ψαλμός (σ. 103). Δόξα. Ταῖς τοῦ σοῦ ὁσίου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Στίχ. Ἐλέησόν με, ὁ Θεός.

Καὶ τὸ ἰδιόμελον. Ἦχος πλ. β΄.

Ὅσιε πάτερ,* εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν* ὁ φθόγγος τῶν κατορθωμάτων σου,* δι' ὧν ἐν τοῖς οὐρανοῖς* εὗρες μισθὸν τῶν καμάτων σου.* Τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας,* τῶν ἀγγέλων ἔφθασας τὰ τάγματα,* ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας.* Παῤῥησίαν ἔχων πρὸς Κύριον,* εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου (σ. 104).

Οἱ κανόνες τῆς Θεοτόκου καὶ τοῦ ἁγίου.

Ὁ κανὼν τοῦ ἁγίου. Ἦχος πλ. δ΄. Ποίημα Θεοφάνους.

Ὠδὴ α΄. (Ἁρματηλάτην Φαραώ).

Ἀθανασίας καὶ ζωῆς λαβόμενος* τῆς αἰωνίου σαφῶς* καὶ τριλαμποῦς αἴγλης,* πάτερ, ἐμφορούμενος,* τῷ φωτισμῷ τῆς χάριτος* τὴν ζοφώδη ψυχήν μου* καταυγασθῆναι δυσώπησον,* ὅπως ἐπαξίως ὑμνῆσω σε.

Νέος ὑπάρχων ἡλικίᾳ σώματος,* καινὴν ὁδὸν ἀρετῆς* ἀναλαβών, ταύτην* ἀκινδύνως ὥδευσας,* νόμῳ καινῷ πειθόμενος* τοῦ Σωτῆρος, τρισμάκαρ,* καὶ ζωηφόροις προστάγμασι* τοῦ Εὐαγγελίου ἑπόμενος.

Τῇ τρισηλίῳ λαμπηδόνι, πάνσοφε,* καταλαμπόμενος,* τὸ δυσμενές, μάκαρ,* τῶν δαιμόνων φρῦαγμα* καὶ τῶν θηρῶν τὰ χάσματα,* αἰκισμῶν τε τοὺς πόνους* ἀράχνης δίκην διέλυσας,* θείῳ πυρακτούμενος ἔρωτι.

Θεοτοκίον.

Ὡς Θεοῦ Μήτηρ παῤῥησίαν ἔχουσα* πρὸς τὸν τεχθέντα ἐκ σοῦ* μονογενῆ Λόγον,* τὸν Πατρὶ συνάναρχον* καὶ συμφυῆ τῷ Πνεύματι,* δυσωποῦσα μὴ παύσῃ* κινδύνων σῶσαι, πανάμωμε,* τοὺς σὲ Θεοτόκον δοξάζοντας.

Ὠδὴ γ'. (Ὁ στερεώσας κατ' ἀρχάς).

Νενευρωμένῳ λογισμῷ* καὶ σταθερᾷ διανοίᾳ* τῶν παθῶν καταμαράνας τὴν φλόγα,* ἀπαθείας τὴν φαιδρὰν* καταστολὴν, Ἀντώνιε,* περιεβάλου, πάτερ,* καὶ σωτηρίου ἱμάτιον.

Ἰσχυροτάταις προσβολαῖς* δαιμόνων θρασυνομένων* καὶ θηρίων τὰς μορφὰς μιμουμένων,* κατεφρόνησας αὐτῶν* τῆς ἀσθενοῦς δυνάμεως* τὸν κραταιὸν γὰρ εἶχες* ἐν τοῖς πολέμοις συλλήπτορα.

Θεοφόρος τὰς ἀρχὰς* τοῦ σκότους καὶ ἐξουσίας* θριαμβεύσας ἐγκρατείᾳ συντόνῳ,* τροπαιοῦχος νικητὴς* Ἀντώνιος ἐγένετο,* τῶν ἀσκητῶν ἡ δόξα* καὶ μοναζόντων τὸ καύχημα.

Θεοτοκίον.

Νενεκρωμένον μου τὸν νοῦν,* τῇ τῆς ζωῆς ἐνεργείᾳ* τῆς ἐκ σοῦ φανερωθείσης τῷ κόσμῳ* ἐξανάστησον, ἀγνή,* καὶ πρὸς ζωὴν ὁδήγησον,* ἡ τοῦ θανάτου πύλας* λύσασα μόνη τῷ τόκῳ σου.

Κάθισμα. Ἦχος πλ. δ'. (Τὴν Σοφίαν καὶ Λόγον).

Τὸν Σταυρὸν τοῦ Κυρίου ἄρας, σοφέ,* καὶ αὐτῷ μέχρι τέλους ἀκολουθῶν,* τὸν νοῦν οὐχ ὑπέστρεψας* ἐν τῷ κόσμῳ, θεόσοφε* ἀλλ' ἐγκρατείας πόνοις* τὰ πάθη ἐνέκρωσας* καὶ ναὸν ἡτοίμασας* σαυτὸν τῷ Κυρίῳ σου* ὅθεν χαρισμάτων* ἀμοιβὴν ἐκομίσω* ἰᾶσθαι νοσήματα* καὶ διώ-

κειν τὰ πνεύματα,* θεοφόρε Ἀντώνιε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὡς πανάμωμος Νύμφη τοῦ ποιητοῦ,* ὡς ἀπείρανδρος μήτηρ τοῦ Λυτρωτοῦ,* δοχεῖον ὡς ὑπάρχουσα* τοῦ Παρακλήτου, πανύμνητε,* ἀνομίας με ὄντα* αἰσχρὸν καταγώγιον* καὶ δαιμόνων παίγνιον* ἐν γνώσει γενόμενον,* σπεῦσον καὶ τῆς τούτων* κακουργίας με ῥῦσαι,* λαμπρὸν οἰκητήριον* ἀρετῆς ἀπαρτίσασα,* φωτοδόχε ἀκήρατε* δίωξον τὸ νέφος τῶν παθῶν* καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον* καὶ φωτὸς ἀνεσπέρου πρεσβείαις σου.

Κοντάκιον. Ἦχος β΄. (Τὰ ἄνω ζητῶν).

Τοὺς βιωτικοὺς* θορύβους ἀπωσάμενος,* ἡσυχαστικῶς* τὸν βίον ἐξετέλεσας,* τὸν Βαπτιστὴν μιμούμενος* κατὰ πάντα τρόπον, ὁσιώτατε* σὺν αὐτῷ οὖν σε γεραίρομεν,* πατέρων πάτερ Ἀντώνιε.

Ὁ οἶκος. (Τράνωσόν μου).

Τῆς τοῦ Χριστοῦ φωνῆς ἐπακούσας,* ἐπορεύθης ὀπίσω* τῶν αὐτοῦ ἐντολῶν,* γυμνὸς τοῦ βίου γενόμενος* καὶ ἀπορρίψας φροντίδας πάσας* τῶν χρημάτων, κτημάτων καὶ οἰκετῶν σου* καὶ ἀδελφῆς* τὴν στοργήν, θεοφόρε Ἀντώνιε* καὶ μόνος ἐν ταῖς ἐρήμοις* τῷ Θεῷ ὁμιλῶν, καθαρώτατα* γνώσεως χάριν εἴληφας* ἣν μοι πέμψον ὑμνῆσαί σε μέλλοντι,* πατέρων πάτερ Ἀντώνιε.

Συναξάριον.

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου.

Στίχοι.

Ἔχει τι μεῖζον οὐρανὸς καὶ τῶν νόων,
ἔξαρχον Ἀντώνιον ἀσκητῶν ἔχων.
Ἑβδομάτῃ δεκάτῃ Ἀντώνιον ἔνθεν ἄειραν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ἀντωνίου τοῦ νέου, τοῦ ἐν τῇ Σκήτει τῆς Βεροίας ἀσκήσαντος.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἀχιλλᾶς ἐν εἰρήνῃ τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Καταβασίαι Χέρσον ἀβυσσοτόκον...

(Ζήτει εἰς τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς, σ. 729).

Ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία Θεοτόκε, ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ καὶ γράμματι (σ. 731).

Ἐξαποστειλάριον. (Γυναῖκες, ἀκουτίσθητε).

Καινὴν ὁδὸν καὶ ἄτριπτον* ἀνθρώποις ἐκ νεότητος* ἀναλαβών, θεοφόρε,* ταύτην θερμῶς ἕως τέλους* ἀνεπιστρόφως ὥδευσας,* νόμῳ καινῷ πειθόμενος* Χριστοῦ, καὶ πρῶτος πέφηνας* καθηγητὴς τῆς ἐρήμου* καὶ μοναζόντων ἀκρότης.

Ἕτερον. (Ἐν Πνεύματι τῷ ἱερῷ).

Φωστὴρ φωστήρων γέγονας,* μοναστῶν δὲ ἀλείπτης* καὶ ἀρχηγός, Ἀντώνιε,* οἰκουμένης τὸ κλέος,* διδάσκων, οἷα γενναῖος* στρατηγέτης, ἄριστα* τὰς τῶν δαιμόνων ἐφόδους* μὴ πτοεῖσθαι, ἀρωγὸν* κεκτημένους τὸν Χριστόν,* τῆς πλάνης τὸν καθαιρέτην.

Ἕτερον, ὅμοιον.

Ἐν σώματι διατελῶν,* τῶν ἀγγέλων τὸν βίον* ὑπῆλθες ὥσπερ ἄσαρκος* καὶ τῷ κόσμῳ ἐδείχθης* φωστὴρ ἀειλαμπέστατος* καὶ τοῖς πᾶσιν ἔδειξας,* Ἀντώνιε θεοφόρε,* μοναζόντων τὸ κλέος,* ἀσκητῶν ἡ καλλονὴ* καὶ τῶν πατέρων ἡ δόξα.

Θεοτοκίον.

Ἐλπὶς τοῦ κόσμου ἀγαθή,* Θεοτόκε Παρθένε,* τὴν σὴν ἄμαχον, Δέσποινα,* προστασίαν αἰτούμεν* οἱ θλίψεσι συσχεθέντες* καὶ κλυδωνιζόμενοι* τοῦ βίου ταῖς τρικυ-

μίαις˙* στῆσον αὔρας τῶν παθῶν* καὶ λιμένα εἰς Θεοῦ* ἐμβίβασον θελημάτων.

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ΄. (Ὦ τοῦ παραδόξου θαύματος).

Ὅσιε πάτερ Ἀντώνιε,* σὺ τὸν ζυγὸν τοῦ Χριστοῦ* ἐπὶ ὤμων ἀράμενος,* τῷ Σταυρῷ τὴν ἔπαρσιν* τοῦ σατὰν καταβέβληκας* καὶ τὰς ἐρήμους πόλεις ἀνέδειξας* διὰ τοῦ τρόπου τῆς πολιτείας σου.* Ὦ παμμακάριστε,* ἀσκητῶν τὸ καύχημα,* διὸ Χριστὸν* ἀπαύστως ἱκέτευε* ἐλεηθῆναι ἡμᾶς.

Ὅσιε πάτερ Ἀντώνιε,* διὰ τὴν ὄντως ζωὴν* ἐν τῷ μνήματι κέκλεισαι,* μηδόλως πτοούμενος* προσβολὰς τοῦ ἀλάστορος* τὰς μετὰ κτύπων καὶ κρότων, ὅσιε˙* ταῖς δὲ εὐχαῖς σου ταύτας ἠδάφισας.* Ὦ καρτερόψυχε,* τῆς ἐρήμου πρώταρχε,* διὸ καὶ νῦν* πάντες σε γεραίρομεν* καὶ μακαρίζομεν.

Πίστει συνελθόντες ἅπαντες* ὡς ἀσκητὴν τοῦ Χριστοῦ* σὲ τιμῶμεν, Ἀντώνιε˙* γεγηθὼς γὰρ ὤδευσας* ἐν ἐρήμοις σαφέστατα,* καθηγητὴς τε ταύτης ἐγένου πιστός˙* ὅθεν σοι πάντες ἡμεῖς κραυγάζομεν˙* Ὦ παμμακάριστε,* μοναστῶν τὸ καύχημα,* τῷ Λυτρωτῇ* ἀπαύστως ἱκέτευε* εἰς τὸ σωθῆναι ἡμᾶς.

Πάτερ πατέρων Ἀντώνιε,* τῇ ἀκορέστῳ στοργῇ* τοῦ Χριστοῦ καὶ τῷ ἔρωτι* τὴν ψυχὴν κινούμενος,* ἐν ἐρήμοις ἐζήτησας* αὐτόν, θορύβους ἐκκλίνας ἅπαντας˙* καὶ μόνος τούτῳ μόνῳ ὡμίλησας,* νοῒ ἑνούμενος* καὶ φωτὸς πληρούμενος˙* ᾧ καὶ ἡμῶν* τὰς ψυχὰς καταύγασον* τῶν ἀνυμνούντων σε.

Δόξα. Ἦχος πλ. δ΄. Ἀνατολικὸς.

Οὐρανοδρόμῳ ἐπιβὰς* ὀχήματι, θεσπέσιε,* τῶν ἀρετῶν κατέλαβες* τὴν ἀκρόπολιν δι᾽ ἀσκήσεως,* ἐκ τῆς ἐρήμου πολεύων* τῆς ἄνω Ἱερουσαλὴμ τὰ ὑπερκόσμια˙* καὶ τῶν ἐκ πόνων ἀγώνων* ἀξίως τὰ γέρα κομισάμενος,* ταῖς

οὐρανίαις συναγάλλῃ* ταξιαρχίαις, παμμακάριστε,* τῶν αἰωνίων ἀγαθῶν κληρονόμος* καὶ τῆς βασιλείας οἰκήτωρ γενόμενος.* Ἀλλὰ πρέσβευε, θεοφόρε Ἀντώνιε,* τῷ Σωτῆρι τῶν ὅλων* εἰρηνεῦσαι τὸν κόσμον* καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων σου* καὶ λύτρωσαι ἡμᾶς* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον Τὸν ζηλωτὴν Ἠλίαν (σ. 637).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς ριε').

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (ιγ' 17-21).

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ς' 17-23).

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΤΗ ΙΗ' ΙΑΝΟΥΑΡΙΟΥ

Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλου, πατριαρχῶν Ἀλεξανδρείας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἁπλῆ, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) καὶ τὴν α' στάσιν τοῦ Μακάριος ἀνήρ, σ. 217| εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ προσόμοια ἀμφοτέρων ἀνὰ γ'.

Τοῦ ἁγ. Ἀθανασίου. Ἦχος δ΄. (Ὡς γενναῖον).

Διωγμοὺς ἐκαρτέρησας* καὶ κινδύνους ὑπέμεινας,* θεορρῆμον ὅσιε Ἀθανάσιε,* ἕως τὴν πλάνην ἐξώρισας* Ἀρείου τὴν ἄθεον,* καὶ τὴν ποίμνην τῆς αὐτοῦ* ἀσεβείας διέσωσας,* ὁμοούσιον* τῷ Πατρὶ δογματίζων* τὸν Υἱόν τε* καὶ τὸ Πνεῦμα ὀρθοδόξως,* ἱερουργὲ παμμακάριστε.

Ἀστραπαῖς τοῦ κηρύγματος* τοὺς ἐν σκότει ἐφώτισας* καὶ τὴν πλάνην ἅπασαν ἀπεδίωξας* προκινδυνεύων τῆς πίστεως,* στερρὲ Ἀθανάσιε,* ὡς ποιμὴν ἀληθινῶς,* ὡς ἑδραίωμα ἄσειστον,* παναοίδιμε,* τῆς Χριστοῦ Ἐκκλησίας·* διὰ τοῦτο* συνελθόντες σε τιμῶμεν,* μελῳδικῶς ἀγαλλόμενοι.

Ἀρετὴν πᾶσαν ἤσκησας* ἐπιμόνως, θεόπνευστε·* καὶ χρισθεὶς τῷ Πνεύματι χρῖσμα ἅγιον,* ἱερουργὸς ἱερώτατος* σαφῶς ἐχρημάτισας* καὶ ποιμὴν ἀληθινὸς* καὶ τῆς πίστεως πρόμαχος·* ὅθεν ἅπασα* Ἐκκλησία δοξάζει* σοῦ τὴν μνήμην* ἱερῶς ἐπιτελοῦσα* καὶ τὸν Σωτῆρα δοξάζουσα.

Τοῦ ἁγίου Κυρίλλου, ὅμοια.

Τοῖς πυρίνοις σου δόγμασι* τῶν αἱρέσεων ἅπασα* φρυγανώδης φλέγεται ὕλη, πάνσοφε·* τῶν νοημάτων τοῖς βάθεσι* βυθίζεται στράτευμα* ἀπειθούντων δυσσεβῶν·* τοῖς δὲ δόγμασι, Κύριλλε,* τῆς σοφίας σου* καλλωπίζεται, μάκαρ,* καθ' ἑκάστην* τῶν πιστῶν ἡ Ἐκκλησία,* μεγαλοφώνως τιμῶσά σε.

Εὐφραδείᾳ τῶν λόγων σου,* ἱερώτατε Κύριλλε,* Ἐκκλησία ἅπασα ὡραΐζεται* καὶ εὐσεβῶς καλλωπίζεται* ὡραίοις ἐν κάλλεσι,* καὶ τιμᾷ σου ἱερῶς* τὴν ἁγίαν καὶ εὔσημον* μνήμην, ἔνδοξε,* ὀρθοδόξων τὸ κλέος,* τῶν πατέρων* κορυφαῖε τῆς συνόδου,* τῆς Παναγίας ὑπέρμαχε.

Τῆς Χριστοῦ ἀπεδίωξας* νοητοὺς λύκους, Κύριλλε,* Ἐκκλησίας σκίμπωνι τῶν δογμάτων σου·* καὶ ταύτην κύκλῳ ἐτείχισας* λόγων ὀχυρώμασι,* παραστήσας τῷ Χριστῷ* ἀσινῆ καὶ ἀλώβητον·* ὃν ἱκέτευε* ἐκ φθορᾶς καὶ

κινδύνων* λυτρωθῆναι* τοὺς ἐν πίστει ἐκτελοῦντας* τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. Ἦχος πλ. β΄.

Κυρίλλου πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεραρχῶν τοὺς ἀρχηγούς,* πατριαρχῶν τοὺς ἀκραίμονας* καὶ παμφαεῖς φωστῆρας τῆς οἰκουμένης,* τῶν ἐνοιῶν τοῦ Χριστοῦ τοὺς ἐκφάντορας* συνελθόντες, ὦ φιλέορτοι,* πνευματικοῖς ἐγκωμίοις* αἰνέσωμεν λέγοντες·* Χαίροις, σοφὲ Ἀθανάσιε,* ἐπώνυμε τῆς ἀθανασίας,* ὁ τὸν ληρώδη Ἄρειον* καθάπερ λύκον* ἐκσφενδονήσας τῆς ποίμνης τοῦ Χριστοῦ* τῇ ἐλαστικῇ σφενδόνῃ* τῶν θεοσόφων δογμάτων σου.* Χαίροις, ἀστὴρ παμφαέστατε,* ὑπέρμαχε τῆς ἀειπαρθένου,* ὁ στεντορείως αὐτὴν Θεοτόκον* ἐν μέσῳ τοῦ ἐν Ἐφέσῳ ἱεροῦ συλλόγου* ἀνακηρύξας λαμπρῶς* καὶ τῶν Νεστορίου ληρημάτων καθαιρέτα,* παμμακάριστε Κύριλλε.* Χαίρετε, θεολογίας πηγαί,* θεοσοφίας ποταμοὶ ἀέναοι* καὶ βρύσεις θείας γνώσεως.* Ἀλλ' ὦ πατέρες τρισόλβιοι,* μὴ παύσησθε πρεσβεύοντες Χριστῷ* ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων ἡμῶν* τὴν πανίερον καὶ θείαν πανήγυριν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε... (σ. 456).

Εἴσοδος, Φῶς ἱλαρόν, προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Α΄. Δευτερονομίου τὸ ἀνάγνωσμα (α΄ 8-11, 15-17).

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραὴλ· Ἴδετε, παρέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν· εἰσελθόντες κληρονομήσατε τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ, δοῦναι αὐτοῖς αὐτὴν καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς. Καὶ εἶπον πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· Οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς· Κύριος ὁ Θεὸς ἡμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστε σήμερον ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει· Κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν προσθείη ὑμῖν, ὡς ἐστέ, χιλιοπλασίως καὶ εὐλογήσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν.

Καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας καὶ συνετούς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμῶν χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκάρχους καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ὑμῶν. Καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· Διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν καὶ κρίνετε δικαίως ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον ἀδελφοῦ αὐτοῦ καὶ ἀνὰ μέσον προσηλύτου αὐτοῦ. Οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς, οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν.

Β'. Δευτερονομίου τὸ ἀνάγνωσμα (ι' 14-18, 20-21).

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ· Ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ· πλὴν τοὺς πατέρας ὑμῶν προείλετο Κύριος ἀγαπᾶν αὐτούς, καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ' αὐτοὺς ὑμᾶς παρὰ πάντα τὰ ἔθνη κατὰ τὴν ἡμέραν ταύτην. Καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι· ὁ γὰρ Κύριος ὁ Θεὸς ὑμῶν, οὗτος Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων, ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερός, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδ' οὐ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν προσηλύτῳ καὶ ὀρφανῷ καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. Κύριον τὸν Θεόν σου φοβηθήσῃ καὶ αὐτῷ μόνῳ λατρεύσεις καὶ πρὸς αὐτὸν κολληθήσῃ καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ· αὐτὸς καύχημά σου καὶ οὗτος Θεός σου, ὅστις ἐποίησέ σοι τὰ μεγάλα καὶ τὰ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ ὀφθαλμοί σου.

Γ'. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (γ' 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ... (σ. 635).

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος πλ. α'. (Χαίροις, ἀσκητικῶν ἀληθῶς).

Χαίροις, ἱεραρχῶν ἡ δυάς,* τῆς Ἐκκλησίας τὰ μεγάλα προπύργια,* οἱ στῦλοι τῆς εὐσεβείας,* ὁ τῶν πιστῶν

ἑδρασμός,* τῶν αἱρετιζόντων ἡ κατάπτωσις·* Χριστοῦ οἱ ποιμάναντες* τὸν λαὸν θείοις δόγμασι* καὶ ταῖς ποικίλαις* ἀρεταῖς οἱ ἐκθρέψαντες·* οἱ τῆς χάριτος* διαπρύσιοι κήρυκες,* νόμους οἱ προεκθέμενοι* Χριστοῦ τῷ πληρώματι,* οἱ ὁδηγοὶ πρὸς τὰ ἄνω,* τοῦ παραδείσου αἱ εἴσοδοι.* Χριστὸν καταπέμψαι* ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε* τὸ μέγα ἔλεος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαίροις, ἱεραρχῶν ἡ δυάς,* οὐρανοβάμονες ἐπίγειοι ἄγγελοι,* τοῦ κόσμου ἡ σωτηρία,* ἡ τῶν ἀνθρώπων χαρὰ* καὶ τῆς οἰκουμένης οἱ διδάσκαλοι·* τοῦ Λόγου οἱ πρόμαχοι,* ἰατροὶ ἐπιστήμονες* τῶν νοσημάτων* τῆς ψυχῆς καὶ τοῦ σώματος,* οἱ ἀείῤῥοοι* ποταμοὶ τοῦ Πνεύματος,* λόγοις οἱ καταρδεύσαντες* τῆς γῆς ἅπαν πρόσωπον·* οἱ θεολόγοι, αἱ βάσεις,* οἱ χρυσολόγοι οἱ ἔνθεοι.* Χριστὸν καταπέμψαι* ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε* τὸ μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χαίροις, ἡ ἱερὰ ξυνωρίς,* τοῦ ἐπιγείου στερεώματος ἥλιος,* ἀκτῖνες καὶ δαδουχίαι* ἐκ τρισηλίου αὐγῆς,* τῶν ἐσκοτισμένων ἡ ἀνάβλεψις,* τὰ ἄνθη τὰ εὔοσμα* παραδείσου τὰ κάλλιστα·* ὄντως ὁ μέγας* καὶ σοφὸς Ἀθανάσιος,* θεῖος Κύριλλος,* τὰ πυξία τοῦ Πνεύματος,* πλάκες αἱ θεοχάρακτοι,* μαζοὶ οἱ ἐκβλύζοντες* τῆς σωτηρίας τὸ γάλα,* τὸ τῆς σοφίας ἀγλάϊσμα.* Χριστὸν δυσωπεῖτε* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Ἱεραρχῶν τοὺς ἀκραίμονας* καὶ παμφαεῖς φωστῆρας τῆς οἰκουμένης* ἐν ὕμνοις τιμήσωμεν, πιστοί,* Ἀθανάσιον σὺν τῷ Κυρίλλῳ* καὶ Χριστῷ ἐκβοήσωμεν χαρμονικῶς·* Εὔσπλαγχνε Κύριε,* παράσχου τῷ λαῷ σου* ἱκεσίαις τῶν διδασκάλων* ἄφεσιν ἁμαρτιῶν* καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε... (σ. 485).

Ἀπολυτίκιον. Ἦχος γ΄. (Θείας πίστεως).

Ἔργοις λάμψαντες* ὀρθοδοξίας,* πᾶσαν σβέσαντες* κακοδοξίαν,* νικηταὶ τροπαιοφόροι γεγόνατε* τῇ εὐσεβείᾳ τὰ πάντα πλουτίσαντες,* τὴν Ἐκκλησίαν μεγάλως κοσμήσαντες,* ἀξίως εὕρατε* Χριστὸν τὸν Θεὸν* εὐχαῖς ὑμῶν* δωρούμενον πᾶσι τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν... (σ. 413).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἀνωτέρω.
[Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος].

Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα τοῦ ἁγίου Ἀθανασίου.
Ἦχος πλ. α΄. (Τὸν συνάναρχον Λόγον).

Τὸν λειμῶνα τῶν λόγων* τῶν θεοπνεύστων γραφῶν,* τὸν ἡμᾶς ὁδηγοῦντα* πρὸς τὴν εὐσέβειαν,* τὸν τοὺς ποικίλους πειρασμοὺς* ὑπομείναντα,* Ἀθανάσιον, πιστοί,* ὡς διδαχθέντες ὑπ᾽ αὐτοῦ* τιμήσωμεν κατὰ χρέος* πρεσβεύει γὰρ τῷ Κυρίῳ* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου,* ἡ ἀδιόδευτος* χαῖρε τεῖχος καὶ σκέπη* τῶν προστρεχόντων εἰς σέ* χαῖρε ἀχείμαστε λιμήν* καὶ ἀπειρόγαμε* ἡ τεκοῦσα ἐν σαρκὶ* τὸν ποιητήν σου καὶ Θεόν,* πρεσβεύουσα μὴ ἐλλίπῃς* ὑπὲρ τῶν ἀνυμνούντων* καὶ προσκυνούντων τὸν τόκον σου.

Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα τοῦ ἁγίου Κυρίλλου.
Ἦχος γ΄. (Θείας πίστεως).

Θεῖον ἔδρασμα τῆς Ἐκκλησίας,* πάτερ Κύριλλε,* σὺ ἀνεδείχθης* τὴν δωδεκάδα ἐκθεὶς γὰρ τῶν λόγων σου* τὴν Νεστορίου κακόνοιαν ἤλεγξας* καὶ Θεοτόκον κυρίως ἐτράνωσας.* Ῥητόρων ἔξαρχε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θρόνος πάγχρυσος* τοῦ βασιλέως* καὶ παράδεισος* διηνθισμένος* ἀνεδείχθης, Θεοτόκε πανάχραντε·* τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα,* εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν·* ὅθεν ἅπαντες* Θεοῦ ἀληθῶς Μητέρα σε* κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

Μετὰ τὸν πολυέλεον. Κάθισμα ἀμφοτέρων.

Ἦχος α'. (Τὸν τάφον σου, Σωτήρ).

Τριάδος τῆς σεπτῆς* Ἀθανάσιον ὕμνοις* καὶ Κύριλλον ὁμοῦ* ἐπαινέσωμεν πάντες* τοὺς θείους θεράποντας* καὶ προμάχους τῆς πίστεως,* τοὺς τοῖς βάθεσι* τῶν εὐσεβῶν νοημάτων* στρατὸν ἔκφρονα* αἱρετικῶν ἀπειθούντων* ἀξίως βυθίσαντας.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μαρία, τὸ σεπτὸν* τοῦ Δεσπότου δοχεῖον,* ἀνάστησον ἡμᾶς* πεπτωκότας εἰς χάος* δεινῆς ἀπογνώσεως* καὶ πταισμάτων καὶ θλίψεων·* σὺ γὰρ πέφυκας* ἁμαρτωλῶν σωτηρία* καὶ βοήθεια* καὶ κραταιὰ προστασία* καὶ σῴζεις τοὺς δούλους σου.

Τὸ α' ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ' ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ'.

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ι' 9-16).

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ὁ ποιμὴν ὁ καλὸς τὴν

ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Ὁ Ν′ Ψαλμός (σ. 103). Δόξα. Ταῖς τῶν διδασκάλων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχος· Ἐλέησόν με, ὁ Θεός.

Εἶτα τὸ παρὸν ἰδιόμελον. Ἦχος πλ. β′.

Ἐξεχύθη ἡ χάρις* ἐν χείλεσιν ἡμῶν,* ὅσοι πατέρες* καὶ γεγόνατε ποιμένες* τῆς τοῦ Χριστοῦ Ἐκκλησίας,* διδάσκοντες τὰ λογικὰ πρόβατα* πιστεύειν εἰς Τριάδα ὁμοούσιον* ἐν μιᾷ Θεότητι.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου (σ. 104).

Οἱ κανόνες· τῆς Θεοτόκου καὶ τῶν ἁγίων.

Κανὼν τοῦ ἁγίου Ἀθανασίου. Ποίημα Θεοφάνους.

Ἦχος πλ. δ′. Ὠδὴ α′. (Ἁρματηλάτην Φαραώ).

Ἀθανασίῳ προσκομίζων ἔπαινον* ὡς ἀρετὴν εὐφημῶν,* πρὸς τὸν Θεὸν φέρω* μᾶλλον τὸ ἐγκώμιον·* παρ' οὗ τοῖς βροτοῖς δέδοται* ἀξιέπαινον χρῆμα* τῆς ἀρετῆς, ἥσπερ γέγονεν* ἔμψυχος εἰκὼν καὶ ἐκσφράγισμα.

Θεοσοφίας χρηματίσας ἔμπλεως* καὶ ὑπὲρ ἥλιον* βίῳ ἀπαστράπτων* καὶ πολιτευσάμενος,* ὅσιε, ὑπερβέβηκας* ἐγκωμίων τοὺς νόμους* τοὺς παρ' ἡμῶν· ἀλλ' ἀνάσχοιο,* πάτερ, παρ' ἀξίαν ὑμνούμενος.

Ἀξιοχρέως μὲν ᾠδὴν ὑφαίνομεν* σοῦ μνήμῃ τῇ εὐκλεεῖ·* ἀλλὰ ἀποροῦντες* πλεῖστον, Ἀθανάσιε,* τῶν κατ'

ἀξίαν ὕμνων σου,* ἐξαιτοῦμεν συγγνώμην* ἡμῖν δοθῆναι καὶ ἄφθονον* χάριν διὰ σοῦ τὴν τοῦ Πνεύματος.

Νεανικῶς τῶν σαρκικῶν κατήργησας* παθῶν σκιρτήματα,* ἐν νεότητί σου* γηραλέον φρόνημα* καὶ εὐσταθὲς κτησάμενος,* Ἀθανάσιε μάκαρ* τῆς γὰρ σοφίας τῷ ἔρωτι* πάσας τὰς αἰσθήσεις ἐρρύθμισας.

Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται* ἐν γενεαῖς γενεῶν,* ἡ τὸν Θεὸν Λόγον* ἐν γαστρὶ χωρήσασα,* ἁγνὴ δὲ διαμείνασα,* Θεοτόκε Μαρία* διὸ σε πάντες γεραίρομεν* τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Κανὼν τοῦ Κυρίλλου. Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ. Ἦχος δ΄. Ὠδὴ α΄. (Θαλάσσης τὸ ἐρυθραῖον).

Θεόθεν* τὴν φωτοδότιν, Κύριλλε,* χάριν δεξάμενος* καὶ τηλαυγῆς φωστὴρ ἀναδειχθείς,* λογικὰς ἐξαστράψαις ἡμῖν* μαρμαρυγάς, τὴν μνήμην σου* ὅπως ἀξίως ἀνυμνήσωμεν.

Ἐπλήσθης τῆς δαδουχίας, Κύριλλε* σοφέ, τοῦ Πνεύματος,* τῶν ἐντολῶν ὡς φύλαξ τοῦ Χριστοῦ* καὶ παθῶν καθηράμενος,* τῆς ὑπερθέου γέγονας* ὄντως Τριάδος ἐνδιαίτημα.

Ὡς ζήλου* καὶ παῤῥησίας ἔμπλεως,* Κύριλλε ἔνδοξε,* τὰς θεομάχους πάσας ἀψευδῶς* γλωσσαλγίας διήλεγξας* τῶν δυσσεβῶν αἱρέσεων,* ὀρθοδοξίας προϊστάμενος.

Θεοτοκίον.

Πατήσας* τὴν ἐντολὴν τοῦ κτίσαντος,* τρυφῆς ἐκβέβληται,* δελεασθεὶς ὁ πρῶτος ἐν βροτοῖς* ἀλλὰ τοῦτον πεσόντα δεινῶς,* τὸν Λυτρωτὴν κυήσασα,* ἀνεκαλέσω, Μητροπάρθενε.

Ὠδὴ γ΄.

Τοῦ ἁγ. Ἀθανασίου. (Ὁ στερεώσας κατ᾽ ἀρχάς).

Ἀνακαθάρας μολυσμοῦ* παντὸς ψυχήν τε καὶ σῶμα,* Ἀθανάσιε, ναὸς ἀνεδείχθης* ἀξιόθεος· διὸ* τὸ τῆς Τριάδος πλήρωμα* ἐπανεπαύσατό σοι,* ἱερομύστα πανόλβιε.

Σοῦ, ὡς ἐπόθει, τὴν ψυχὴν* τοῦ Παρακλήτου ἡ χάρις* ἐκ παθῶν κεκαθαρμένην εὑροῦσα,* διαδήλους ἐν αὐτῇ* τὰς ἐνεργείας δείκνυσι* καὶ τηλαυγῆ φωστῆρα,* πάτερ, τῷ κόσμῳ σε τίθησιν.

Ἱεραρχίας μὲν κανὼν* ὡς ἱεράρχης ἐδείχθης,* πρακτικῆς ὑπογραμμὸς δὲ ὁ βίος·* ὁ δὲ λόγος σου, σοφέ,* τῆς θεωρίας τύπος τρανῶς·* θεολογία δέ σου* ὄντως ἡ δίδαξις πέφηνε.

Θεοτοκίον.

Τῶν Χερουβὶμ καὶ Σεραφὶμ* ἐδείχθη ὑψηλοτέρα,* Θεοτόκε· σὺ γὰρ μόνη ἐδέξω* τὸν ἀχώρητον Θεὸν* ἐν σῇ γαστρί, ἀμόλυντε·* διὸ πιστοί σε πάντες* ὕμνοις, ἁγνή, μακαρίζομεν.

Τοῦ ἁγ. Κυρίλλου. (Εὐφραίνεται ἐπὶ σοί).

Ρωννύμενος ἐν Χριστῷ,* τὰς μηχανὰς τοῦ σκολιοῦ δράκοντος* γνώμῃ στερρᾷ, Κύριλλε,* ὡς ἱστὸν ἀράχνης διέλυσας.

Ἰλὺν παθῶν ἐκ ψυχῆς* ἐξετινάξω καθελών, Κύριλλε,* πᾶν λογισμῶν ὕψωμα* κατὰ τοῦ Χριστοῦ ἐπαιρόμενον.

Ὡς εὔστοχος ἀθλητής,* πάτερ, ἐξέκλινας στερρῶς ἅπασαν* τὴν τῆς σαρκὸς εὐπάθειαν* ὡς ἐπιβλαβῆ καὶ ἐπίβουλον.

Θεοτοκίον.

Ὁ ἄγγελος Γαβριὴλ* τὴν ὑπὲρ λόγον σοι χαρὰν ἔφησε·* Χαῖρε, Θεοῦ σκήνωμα,* ὃ κατασκηνῶσαι ηὐδόκησεν.

Κοντάκιον τοῦ ἁγίου Ἀθανασίου.

Ἦχος β'. (Τοῖς τῶν αἱμάτων σου).

Ὀρθοδοξίας φυτεύσας τὰ δόγματα,* κακοδοξίας ἀκάνθας ἐξέτεμες,* πληθύνας τὸν σπόρον τῆς πίστεως* τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος, ὅσιε·* διό σε ὑμνοῦμεν, Ἀθανάσιε.

Εἶτα κάθισμα. Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Φωστῆρες ὑπέρλαμπροι* τῆς Ἐκκλησίας Χριστοῦ,* τὸν κόσμον ἐφωτίσατε* ταῖς διδαχαῖς ὑμῶν,* πατέρες θεόσοφοι,* τήξαντες τὰς αἱρέσεις* πάντων τῶν κακοδόξων,* σβέσαντες τὰς φλογώδεις* τῶν βλασφήμων συγχύσεις·* διὸ ὡς ἱεράρχαι Χριστοῦ* πρεσβεύσατε σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παρθένε πανύμνητε,* Μήτηρ Χριστοῦ τοῦ Θεοῦ,* Μαρία Θεόνυμφε* καὶ ἀπειρόγαμε,* πιστῶν ἡ ἀντίληψις,* ῥῦσαι παντὸς κινδύνου* καὶ παντοίας ἀνάγκης,* Δέσποινα Θεοτόκε,* τοὺς ἐν πίστει καὶ πόθῳ* τῇ σκέπῃ σου προσφεύγοντας,* μόνη Θεόνυμφε.

Κοντάκιον. Ἦχος δ΄. (Ἐπεφάνης σήμερον).

Ἱεράρχαι μέγιστοι* τῆς εὐσεβείας* καὶ γενναῖοι πρόμαχοι* τῆς Ἐκκλησίας τοῦ Χριστοῦ,* πάντας φρουρεῖτε τοὺς μέλποντας·* Σῶσον, οἰκτίρμον,* τοὺς πίστει τιμῶντάς σε.

Ὁ οἶκος. (Τῇ Γαλιλαίᾳ).

Ἀκαταλήπτῳ σου χειρὶ* καὶ σθένει ἀπορρήτῳ* τὴν σὴν νῦν Ἐκκλησίαν* οὐρανώσας, οἰκτίρμον,* ἔδειξας ὄντως φαεινοὺς* τοὺς δύο φωστῆρας* μεγίστους τε καὶ τερπνοὺς* τὸν κόσμον καταυγάζοντας,* σὺν τῷ Ἀθανασίῳ τὸν πάνσοφον* Κύριλλον τὸν θεῖον.* Ταῖς αὐτῶν οὖν ἱκεσίαις* αἱρέσεων ἐξάρας τὴν νύκτα,* ἐχθρῶν πᾶσαν ἀχλὺν* διάλυσον, Σῶτερ,* καὶ φωτί σου τῷ φρικτῷ* τῶν πιστῶν τὰ πλήθη* καταύγασον* πρὸς τὸ κράζειν καὶ βοᾶν σοι·* Σῶσον, οἰκτίρμον,* τοὺς πίστει τιμῶντάς σε.

Συναξάριον.

Τῇ ΙΗ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλου, πατριαρχῶν Ἀλεξανδρείας.

Στίχοι.

Ἀθανάσιον καὶ θανόντα ζῆν λέγω·
οἱ γὰρ δίκαιοι ζῶσι καὶ τεθνηκότες.

Φυγῆς Κυρίλλου σήμερον μνήμην ἄγει,
ἀλλ' οὐ τελευτῆς τῆς ἀειμνήστου, κτίσις.

Τάρχυσαν ὀγδοᾶτῃ δεκάτῃ νέκυν Ἀθανασίου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Θεοδούλης.
Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία μάρτυς Ξένη πυρὶ τελειοῦται.
Ταῖς τῶν ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς.
Ἀμήν.

Καταβασίαι· Χέρσον ἀβυσσοτόκον (σ. 729).

Ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία Θεοτόκε, ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ... (σ. 731).

Ἐξαποστειλάριον. (Τοῖς μαθηταῖς συνέλθωμεν).

Τῆς ὑπερθέου, πάνσοφοι,* ἀνεδείχθητε μύσται* Τριάδος καὶ ὑπέρμαχοι,* Ἀθανάσιε μάκαρ* καὶ Κύριλλε θεοφάντορ,* Ἄρειον καθελόντες* καὶ σὺν αὐτῷ Σαβέλλιον* καὶ Νεστόριον αὖθις* τὸν δυσσεβῆ,* καὶ σὺν τούτοις ἅπασαν* ἄλλην πλάνην* τῶν δυσσεβῶν αἱρέσεων,* ἱεράρχαι Κυρίου.

Θεοτοκίον, ὁμοιον.

Ὄρος Θεοῦ πανάγιον* καὶ λυχνίαν καὶ στάμνον* καὶ κιβωτὸν καὶ τράπεζαν,* ῥάβδον τε καὶ πυρεῖον* καὶ θεῖον θρόνον καὶ πύλην* καὶ ναὸν καὶ παστάδα* ὑμνήσωμεν, θεόφρονες,* τὴν ἁγνὴν καὶ Παρθένον* ἐξ ἧς Θεὸς* σαρκωθεὶς ἀτρέπτως* καὶ ὑπὲρ φύσιν,* ἐθέωσε τὸ πρόσλημμα* ἀπορρήτῳ ἑνώσει.

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.

Ἦχος α'. (Τῶν οὐρανίων ταγμάτων).

Δεῦτε, φιλέορτοι πάντες,* πανηγυρίσωμεν* τὴν μνήμην τῶν ἐνδόξων* διδασκάλων τιμῶντες·* ἐν Πνεύματι

γὰρ θείῳ* καθεῖλον ὀφρὺν* ἀκαθέκτων αἱρέσεων·* καὶ θεοφθόγγοις διδάγμασι τὴν Χριστοῦ* Ἐκκλησίαν ὑπεστήριξαν.

Ὀρθοδοξίας ἀκτῖσι* περιλαμπόμενοι* οἱ νοητοὶ ἀστέρες* ὑπερηύγασαν λόγοις·* ὁ μὲν γὰρ τὴν Ἀρείου* θεοστυγῆ* γλωσσαλγίαν ἐφίμωσεν·* ὁ δὲ Νεστόριον αὖθις καὶ ἐμμανῆ* καταβέβληκε Σαβέλλιον.

Τὴν ἱερὰν ξυνωρίδα* τῶν διδασκάλων ἡμῶν,* τοὺς ζηλωτὰς Κυρίου* εὐφημήσωμεν ὕμνοις,* Κύριλλον τὸν θεῖον* φλόγα πυρὸς* καὶ στερρὸν Ἀθανάσιον·* ἐν οὐρανοῖς γὰρ συνόντες, ὑπὲρ ἡμῶν* τῷ Θεῷ ἀεὶ πρεσβεύουσι.

Ταῖς ἱκεσίαις τῶν θείων* ἱεραρχῶν σου, Χριστέ,* ἐπίσκεψαι ἐξ ὕψους* ἐκλογάδα σου ποίμνην* ἐν μέσῳ νεμομένην* λύκων δεινῶν,* ὧν τὰ θράση κατάβαλε·* οὐ γὰρ ἐπαύσατο ἔτι καὶ νῦν ἰδοὺ* τῶν αἱρέσεων τὰ σκάνδαλα.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε, φιλεόρτων τὸ σύστημα,* δεῦτε, τῶν πιστῶν ἡ ὁμήγυρις,* δεῦτε, ὀρθοδόξων χορεῖαι,* ᾄσμασιν ἐγκωμίοις στέψωμεν* τὴν ἀεισέβαστον δυάδα* τῶν διδασκάλων ἡμῶν·* οὗτοι γὰρ πάντα ζόφον* κακίστης αἱρέσεως,* πᾶσαν ἀπάτην τῶν δυσμενῶν,* νεανικῶς καθελόντες* τῇ ἀηττήτῳ τοῦ παντάνακτος ἰσχύϊ* τὸν κόσμον κατηύγασαν* θεογνωσίας ἐλλάμψεσι·* καὶ νῦν πρεσβεύουσιν ὑπὲρ ἡμῶν* τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε,* Θεοτόκε Παρθένε,* καὶ δοξάζομέν σε* οἱ πιστοὶ κατὰ χρέος,* τὴν πόλιν τὴν ἄσειστον,* τὸ τεῖχος τὸ ἄῤῥηκτον,* τὴν ἀῤῥαγῆ προστασίαν* καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 651).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Προκείμενον. Ἦχος δ΄. Ὕμνος τριῶν παίδων (Δανιὴλ γ΄).

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (ιγ΄ 7-16).

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. Ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες· ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ Ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς· διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ τοῦτ' ἔστι καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (ε΄ 14-19).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰ-

κία. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΤΗ Κ' ΙΑΝΟΥΑΡΙΟΥ

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239).

Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ προσόμοια τοῦ ἁγίου.

Ἦχος α΄ (Πανεύφημοι μάρτυρες).

Πάτερ Εὐθύμιε, τὸν σὸν* τόκον προκατήγγειλε* σταλεὶς οὐράνιος ἄγγελος,* ὡς τοῦ βλαστήσαντος* ἐκ νηδύος στείρας* Ἰωάννου· τούτου γὰρ* ἐδείχθης ζηλωτής, ἐκμαγεῖόν τε,* ἀκτήμων, ἄοικος,* βαπτιστὴς καὶ ὀρεσίτροφος,* ὑπερλάμψας* τοῖς ἀπείροις θαύμασι.

Πάτερ Εὐθύμιε, καρπὸς* ἔφυς μὲν στειρώσεως,* ἀλλ' ὥφθης ὄντως πολύγονος·* ἐκ γὰρ τοῦ σπέρματος* τοῦ πνευματικοῦ σου* μοναστῶν πεπλήρωται* ἡ ἔρημος ἡ πρὶν ἀδιόδευτος·* καὶ νῦν ἱκέτευε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Πάτερ Εὐθύμιε, ὁ σὸς* βίος ἀνυπέρβλητος,* ἡ πίστις ὄντως ὀρθόδοξος* καὶ γὰρ ἐκ πράξεων* πρὸς ὑψηλοτάτην* θεωρίαν ἤλασας,* σοφίας γεγονὼς ἐνδιαίτημα,* ἐν δύο φύσεσιν* ἕνα σέβων τῆς Τριάδος, Χριστόν* ᾧ πρεσβεύεις* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα στιχηρὰ προσόμοια. Ἦχος δ'. (Ὁ ἐξ ὑψίστου).

Οἰκ νηδύος μητρὸς ἡγιασμένος,* ὅτε τὸ παντέφορον* ὄμμα τὴν πρόθεσιν* καὶ τὴν ῥοπὴν πρὸς τὰ κρείττονα* ἐπειγομένην* ἀνεπιστρόφως σοῦ προεώρακε,* τότε, παμμακάριστε,* δῶρον θεόσδοτον* τῆς εὐθυμίας φερώνυμον* μεμηνυκός σε,* τὴν τῶν φυσάντων λύει κατῆφειαν* ὅθεν ἐκ βρέφους προηγμένος* τῷ εὐεργέτῃ Θεῷ εὐηρέστησας* ὃν ἱκέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Οχαρισμάτων ἐνθέων πεπλησμένος,* σὲ ὡς ἀκηλίδωτον* ἔσοπτρον, πάτερ, εὗρον* Χριστός, τῶν θείων ἐμφάσεων* λαμπρὰς οἰκείου* μαρμαρυγὰς φωτός σοι ἐξήστραψεν* ἐντεῦθεν ἰάσεων* ἄφθονος ὤφθη πηγή,* διατροφή τε λιμώττουσι* καὶ τῶν διψώντων* δι' ἐπομβρίας ἄρδων τὴν ἔφεσιν* τὰς ψυχικὰς δὲ διαθέσεις ὁρῶν* σοῦ τῷ λόγῳ σοφῶς ἐβελτίους Θεῷ* ὃν ἱκέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Οθεωρία καὶ πράξει διαλάμψας,* σοῦ ὁ μὲν ἰσάγγελος* βίος κανὼν ἀρετῆς* καὶ χαρακτὴρ ἀκριβέστατος* τῶν αἱρουμένων* Θεῷ λατρεύειν ἐν τελειότητι* ὁ σὸς δὲ θεόσοφος* λόγος, Εὐθύμιε,* Τριάδα σέβειν ἐδίδαξε,* Χριστὸν δὲ ἕνα* ἐν δύο φύσεσι γνωριζόμενον* καὶ τὰς συνόδους ἰσαρίθμους* τῇ τετρακτύϊ τῶν Εὐαγγελίων Χριστοῦ* ὃν ἱκέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος γ'.

Αφιερωθεὶς τῷ Θεῷ* ἐκ κοιλίας μητρικῆς* ὡς ἄλλος Σαμουήλ,* πάτερ Εὐθύμιε,* φερωνύμως γέγονας* εὐθυμία τῶν πιστῶν,* μοναζόντων βακτηρία καὶ ἑδραίωμα,* τοῦ ἁγίου Πνεύματος* καθαρὸν οἰκητήριον.* Αἴτησαι ἡμῖν τοῖς τιμῶσί σε* τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς μὴ θαυμάσωμεν... (σ. 412).

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα (Ζήτει αὐτὰ εἰς τὴν ΙΖ' Ἰανουαρίου, σ. 635-636).

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος πλ. α'. (Χαίροις, ἀσκητικῶν ἀληθῶς).

Χαίροις, ὡς εὐθυμίας ἀρχὴ* τῆς Ἐκκλησίας γεγονώς, πάτερ ὅσιε·* τῇ σῇ γὰρ γεννήσει πάσας* αἱρετικῶν τὰς ὁρμὰς* ἐκ Θεοῦ προνοίας ἀπεκρούσατο·* διό σε φερώνυμον* ὀνομάζει Εὐθύμιον.* Τῶν οὐρανίων* οὐσιῶν δὲ τὰ τάγματα* χαρᾶς ἔπλησας* τῇ τοῦ βίου λαμπρότητι·* οἷς καὶ συναυλιζόμενος,* φωτός τε πληρούμενος* καὶ πανολβίου καὶ θείας* ἐναπολαύων ἑλλάμψεως,* Χριστὸν νῦν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ῥάβδῳ τῇ τοῦ Σταυροῦ στηριχθείς,* τῆς ἀνομίας τοὺς χειμάρρους ἐξήρανας·* χειμάρρουν τρυφῆς δὲ θείας* καὶ παραδείσου πηγὴν* νοερῶς, παμμάκαρ, ποτιζόμενος,* πηγὰς σωτηρίους* ἐν τῇ ἐρήμῳ ἀνέδειξας·* ἐπιῤῥοαῖς δὲ* θείου Πνεύματος, ὅσιε,* πιαινόμενος,* ὥσπερ φοῖνιξ ἀνέδραμες* ὕψος πρὸς ἐπουράνιον·* καὶ στῦλος πυρίμορφος* ὤφθης, θεόφρον, καὶ πλήρης* φωτοειδοῦς ἐπιλάμψεως* Χριστοῦ· ὃν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Οντως ἕως σκηνῆς θαυμαστῆς,* ἕως τοῦ οἴκου τοῦ Θεοῦ, παμμακάριστε,* διῆλθες ἀγαλλιάσει* καὶ εὐφροσύνῃ ψυχῆς,* ἔνθα ἦχος, πάτερ, ἑορτάζοντος*, τερπνῆς ἀκουσόμενος* καὶ γλυκείας ὑμνήσεως* καὶ τῆς ἀφράστου* θυμηδίας καὶ τέρψεως* γενησόμενος* ἐν μεθέξει, Εὐθύμιε·* ἧς

μόνης ἐφιέμενος* τὴν σάρκα ἐνέκρωσας'* ἧς καὶ ἐπέτυχες, θεία* δικαιοσύνη κοσμούμενος,* Χριστὸν ἱκετεύων* τὸν παρέχοντα τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α'.

Ὅσιε πάτερ,* οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς* οὐδὲ τοῖς βλεφάροις σου νυσταγμόν,* ἕως οὗ τὴν ψυχὴν καὶ τὸ σῶμα* τῶν παθῶν ἠλευθέρωσας* καὶ σεαυτὸν ἡτοίμασας* τοῦ Πνεύματος καταγώγιον'* ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ Πατρὶ* μονὴν παρὰ σοὶ ἐποιήσατο'* καὶ τῆς ὁμοουσίου Τριάδος* θεράπων γενόμενος,* μεγαλοκῆρυξ Εὐθύμιε,* πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε... (σ. 658).

Ἀπολυτίκιον. Ἦχος δ'.

Εὐφραίνου, ἔρημος ἡ οὐ τίκτουσα,* εὐθύμησον, ἡ οὐκ ὠδίνουσα'* ὅτι ἐπλήθυνέ σοι τέκνα* ἀνὴρ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος,* εὐσεβείᾳ φυτεύσας,* ἐγκρατείᾳ ἐκθρέψας* εἰς ἀρετῶν τελειότητα.* Ταῖς αὐτοῦ ἱκεσίαις, Χριστὲ ὁ Θεός,* εἰρήνευσον τὴν ζωὴν ἡμῶν.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον... (σ. 428).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ἀκολουθία Ὄρθρου τῶν ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἀνωτέρω.

Μετὰ τὴν α' στιχολογίαν, κάθισμα.

Ἦχος δ'. (Ἐπεφάνης σήμερον).

Τῷ φωτὶ λαμπόμενος* τῷ ἀπροσίτῳ,* ὡς ἀστὴρ ἐξέλαμψας* ἐν ταῖς ἐρήμοις, διδαχαῖς* καταφωτίζων, Εὐθύμιε,* τοὺς ἀδιστάκτῳ* ψυχῇ προσιόντας σοι.

Δόξα. Ὅμοιον.

Ἐξ Αἰγύπτου ἤστραψας* ὡς ἑωσφόρος* καὶ τὸν κόσμον ἔλαμψας* ταῖς φαειναῖς σου ἀρεταῖς,* ἠγλαϊσμένε Εὐθύμιε,* πᾶσιν ἐκλάμψας* τό φῶς τῆς ἀσκήσεως.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ σκέπῃ, πάναγνε,* τῇ σῇ, Παρθένε,* προσφυγόντων δέησιν* προσδεξαμένη παρ᾽ ἡμῶν,* μὴ διαλίπῃς πρεσβεύουσα* τῷ φιλανθρώπῳ* σωθῆναι τοὺς δούλους σου.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.

Ἦχος πλ. α΄. (Τὸν συνάναρχον Λόγον).

Τὰς φροντίδας τοῦ βίου* ἀπαρνησάμενος* καὶ ἀγγέλων τὸν βίον* ἀναλαβόμενος,* ἐγκρατείᾳ τὴν ψυχὴν* κατελάμπρυνας* καὶ θαυμάτων ἐκ Θεοῦ* χάριν ἐδέξω δαψιλῶς,* Εὐθύμιε θεοφόρε,* ὑπὲρ ἡμῶν ἱκετεύων* τῶν εὐσεβῶς εὐφημούντων σε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παναγία Παρθένε,* ἡμᾶς ἐλέησον* τοὺς προσφεύγοντας πίστει* πρὸς σὲ τὴν εὔσπλαγχνον* καὶ αἰτουμένους τὴν θερμήν σου* νῦν ἀντίληψιν·* δύνασαι γὰρ ὡς ἀληθῶς* τοὺς πάντας σῴζειν, ὡς οὖσα* Μήτηρ Θεοῦ τοῦ ὑψίστου,* ταῖς μητρικαῖς σου πρεσβείαις* ἀεὶ χρωμένη, Θεοχαρίτωτε.

Μετὰ τὸν πολυέλεον κάθισμα.

Ἦχος πλ. δ΄. (Τὴν Σοφίαν καὶ Λόγον).

Τὴν πτωχείαν τὴν ὄντως τοῦ δι᾽ ἡμᾶς* ἐκ Παρθένου τεχθέντος ἀναλαβών,* ἡγήσω τὰ πρόσκαιρα* ὡσεὶ χόρτον, μακάριε·* τοῦ γνωστικοῦ γὰρ ξύλου* γευσάμενος, ὅσιε,* μοναζόντων ἐδείχθης* διδάσκαλος ἔνθεος·* ὅθεν καὶ πρὸς ζῆλον* ἀγγελικῆς πολιτείας* διήγειρας ἅπαντας* καὶ πρὸς γνῶσιν τῆς πίστεως.* Σημειοφόρε Εὐθύμιε,* πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν... Θεοτοκίον.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξὶ* σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί,* πᾶσαι μακαρίζομεν* γενεαὶ τῶν ἀνθρώπων* τὸ γὰρ πῦρ ἐσκήνωσεν* ἐν σοὶ τῆς Θεότητος* καὶ ὡς βρέφος θηλάζεις,* τὸν κτίστην καὶ Κύριον* ὅθεν τῶν ἀγγέλων* καὶ ἀνθρώπων τὸ γένος* ἀξίως δοξάζομεν,* τὸν πανάγιον τόκον σου* καὶ συμφώνως βοῶμέν σοι* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς προσκυνοῦσιν ἐν πίστει* τὸν ἄχραντον τόκον σου.

Οἱ ἀναβαθμοί, τὸ προκείμενον, τὸ Εὐαγγέλιον κ.τ.λ. ὡς ἐν τῇ μνήμῃ τοῦ ἁγίου Ἀντωνίου (σ. 639-640).

Οἱ κανόνες τῆς Θεοτόκου καὶ οἱ δύο τοῦ ἁγίου.

Κανὼν α'. Ἦχος δ'. Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ὠδὴ α'. Ὁ εἱρμός.

Οὐκ ἔστι σοι ὅμοιος,* δεδοξασμένε Κύριε* ἐν χειρὶ γὰρ κραταιᾷ* ἐλυτρώσω τὸν λαόν,* ὃν ἐκτήσω, φιλάνθρωπε.

Τροπάρια.

Λύεις τὴν κατήφειαν* τοῖς παραδόξως φύσασιν,* ἐκ Θεοῦ ἐπαγγελθείς,* πρὸ τοῦ τόκου δωρεά,* εὐθυμίας φερώνυμος.

Βοᾷ χαριστήριον* ἡ Ἐκκλησία, ὅσιε,* δεξαμένη σε βλαστὸν* ἐκ Θεοῦ, εἰρηνικῆς* εὐθυμίας προάγγελον.

Κανὼν β'. Ποίημα Θεοφάνους. Ἦχος πλ. δ'.

Ὠδὴ α'. (Ἁρματηλάτην Φαραώ).

Ταῖς προσευχαῖς σου καὶ ταῖς σαῖς δεήσεσιν* ἐκδυσωπῶν τὸν Θεόν,* τὸ σκοτεινὸν νέφος* τὸ τῆς ἀθυμίας μου,* παμμάκαρ, διασκέδασον,* εὐθυμίας ὑπάρχων* καὶ θυμηδίας ἀνάπλεως,* τῷ παμβασιλεῖ παριστάμενος.

Ἄλλος καθάπερ Σαμουὴλ θεόσδοτος* καὶ πρὸ συλλήψεως* ἐπαγγελθείς, πάτερ,* πάσαις ἐναπέφηνας* ταῖς Ἐκκλησίαις, ὅσιε,* φερωνύμως τὴν κλῆσιν* κατάλληλον ἐπαγόμενος* τῇ τῆς εὐθυμίας φαιδρότητι.

Ἱκετηρίᾳ καὶ δεήσει χρώμενοι* οἱ σοὶ γεννήτορες* πρὸς τὸν Θεόν, δῶρον* θεῖόν σε κομίζονται* καὶ φωτοφόρον βλάστημα,* τῇ γεννήσει μηνύον* τῆς εὐσεβείας τὴν ἔλλαμψιν* καὶ τὸν τῆς αἱρέσεως ἔλεγχον.

Σὺ ἐκ παιδὸς καθιερώθης, ὅσιε,* τῷ δεδωκότι Θεῷ* καὶ πρὸς αὐτὸν βλέπων* καὶ καθοδηγούμενος,* ζωοποιοῖς προστάγμασι* τοῖς αὐτοῦ, θεοφόρε,* πρὸς ὕψος ἤρθης μετάρσιον* τὸ τῶν ἀρετῶν διὰ πίστεως.

Θεοτοκίον

Σέ, Θεομῆτορ, προστασίαν ἔχοντες,* οὐ δειλιάσομεν* τὸ τῶν ἐχθρῶν στῖφος,* τὸ ἀντιμαχόμενον* τοῖς εὐσεβῶς δοξάζουσι* τὸν ἐκ σοῦ γεννηθέντα* Θεὸν τῶν ὅλων καὶ Κύριον* ὃν ὑπὲρ ἡμῶν ἐκδυσώπησον.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Οὐκ ἐν σοφίᾳ* καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα,* ἀλλ' ἐν σοὶ τῇ τοῦ Πατρὸς* ἐνυποστάτῳ σοφίᾳ, Χριστέ* οὐ γάρ ἐστιν ἅγιος,* πλήν σου, φιλάνθρωπε.

Τροπάρια.

Σὲ ἡ τεκοῦσα,* τὸ τῆς Ἄννης ζηλώσασα ὅσιον,* ὡς τὸν πάλαι Σαμουὴλ* θυσίαν ζῶσαν προσήγαγε* Θεῷ τῷ δοξάσαντι* καὶ πρὸ συλλήψεως.

Περιουσίᾳ* τῆς πρὸς Θεὸν ἀγάπης πυρούμενος,* λογισμῷ πανευσεβεῖ* παθῶν ἐκράτησας, ὅσιε* διὸ θεία χάρις σοι* ἐπανεπαύσατο.

Ἕτερος. (Ὁ στερεώσας κατ' ἀρχάς).

Ἀπὸ στειρώσεως τεχθείς,* πνευματικῆς εὐκαρπίας* γεωργὸς πολυγονώτατος ὤφθης,* τὰς ἀκάνθας ἐκτεμών* τῆς ἀσεβείας, ὅσιε,* καὶ εὐσεβείας σπόρον* ἔνθεον καταβαλόμενος.

Ἱερουργὸς ὑπερφυῶν* καὶ μυστικῶν θεαμάτων,* θεοφόρε, γεγονώς, τοὺς ἀπίστους* προσενήνοχας Χριστῷ* θεοπρεπῶς πιστεύοντας,* ταῖς διδαχαῖς σου, πάτερ,* διδασκομένους τὰ κρείττονα.

Σωφρονεστάτῳ λογισμῷ* καὶ εὐσεβεῖ κεχρημένος,* τῶν ῥευστῶν καὶ φθειρομένων αὐτίκα* τὴν αἰώνιον ζωὴν* καὶ τὴν τρυφὴν προέκρινας,* δι' ἐγκρατείας ἄκρας* σάρκα νεκρώσας, Εὐθύμιε.

Πυρπολουμένῃ τῇ ψυχῇ* καὶ τετρωμένῃ τῷ πόθῳ* τοῦ Χριστοῦ, τὰς πυριφλέκτους ἐνέδρας* τῶν δαιμόνων ἐκφυγών,* τῇ δροσοβόλῳ χάριτι* κατελαμπρύνθης, πάτερ,* σημειοφόρος γενόμενος.

Θεοτοκίον.

Ῥήσεις τῶν θείων προφητῶν* καὶ τὰς αὐτῶν προφητείας* ἐπεσφράγισας τεκοῦσα τὸν Λόγον,* τὸν λαλοῦντα δι' αὐτῶν* καὶ τὰς αὐτῶν πληρώσαντα* θεηγορίας, μόνη* εὐλογημένη πανύμνητε.

Κάθισμα. Ἦχος πλ. δ'. (Τὴν Σοφίαν καὶ Λόγον).

Ἐγκρατείας ἐλαίῳ τὴν τῆς ψυχῆς* ἐκπληρώσας λαμπάδα πνευματικῶς,* ποθῶν τὴν ἀείφωτον* τοῦ Νυμφίου σου ἔλευσιν,* προσευχαῖς ἀγρύπνοις* ἐτήρησας, ὅσιε,* καὶ νυμφῶνι τούτου* εὐφραίνῃ, μακάριε* ὅθεν ἐπαξίως* τὴν τρυφὴν ἐκομίσω* τὴν ὄντως ἀείζωον* καὶ θαυμάτων ἐνέργειαν.* Θεοφόρε Εὐθύμιε,* πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρῆσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου, Παρθένε, τὴν ταπεινήν,* τὴν ἐν ζάλῃ τοῦ βίου τῶν δυσχερῶν* ναῦν ὡς ἀκυβέρνητον* πορτουμένην τῷ κλύδωνι,* ἁμαρτιῶν τε φόρτῳ* ὀφθεῖσαν ὑπέραντλον* καὶ εἰς πυθμένα ᾅδου* ἐλθεῖν κινδυνεύουσαν* φθάσον, Θεοτόκε,* τῇ θερμῇ σου πρεσβείᾳ* καὶ σῶσον, παρέχουσα* σὸν λιμένα τὸν εὔδιον,* ἵνα πίστει κραυγάζω σοι·* Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι·* σὲ γὰρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλός σου.

Κοντάκιον. Ἦχος πλ. δ΄. (Ὡς ἀπαρχάς).

Ἐν τῇ σεπτῇ γεννήσει σου* χαρὰν ἡ κτίσις εὔρατο˙* καὶ ἐν τῇ θείᾳ μνήμῃ σου, ὅσιε,* τὴν εὐθυμίαν ἔλαβε* τῶν πολλῶν σου θαυμάτων˙* ἐξ ὧν παράσχου πλουσίως* ταῖς ψυχαῖς ἡμῶν* καὶ ἀποκάθαρον* ἁμαρτημάτων κηλῖδας, ὅπως ψάλλωμεν* τὸ Ἀλληλούια.

Ὁ οἶκος. (Οἱ ἐν πάσῃ τῇ γῇ).

Ἐκ ῥαθύμου καρδίας τὴν αἴνεσιν* πῶς προσοίσω ὁ ἄθλιος δέδοικα* καὶ ὑμνήσω τὸν μέγαν Εὐθύμιον˙* ἀλλὰ τούτου θαῤῥῶν ταῖς δεήσεσιν,* ἐν εὐθυμίᾳ καὶ σπουδῇ πολλῇ* τῇ ᾠδῇ ἐγχειρήσω καὶ πᾶσιν ἐξείπω* αὐτοῦ τὴν πολιτείαν καὶ γέννησιν* καὶ πῶς οἱ τούτου γονεῖς ἔψαλλον* τὸ Ἀλληλούια.

Συναξάριον.

Τῇ Κ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου.

Στίχοι.

Τί κοινόν, Εὐθύμιε, σοὶ καὶ τῷ βίῳ;
Πρὸς ἀγγέλους ἄπαιρε τοὺς ξένους βίου.
Λῆξε βίου Εὐθύμιος εἰκάδι ἠϋγένειος.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Βάσσου, Εὐσεβίου, Εὐτυχίου καὶ Βασιλίδου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Ἰννᾶ, Πινᾶ καὶ Ῥιμμᾶ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ μακαρίου Πέτρου τοῦ τελώνου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Καταβασίαι˙ Χέρσον ἀβυσσοτόκον (σ. 729).

Ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία Θεοτόκε, ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ καὶ γράμματι (σ. 731).

Ἐξαποστειλάριον. (Γυναῖκες, ἀκουτίσθητε).

Ἐκ μήτρας καθηγίασε* Θεός σε, πάτερ ὅσιε,* Ἱερεμίαν ὡς πάλαι* καὶ Σαμουήλ, θεοφόρε,* προφήτην θεῖον δείξας σε,* τερατουργὲ Εὐθύμιε,* τῶν ἀγγέλων ὁμόσκηνε* μεθ' ὧν μνημόνευε πάντων* τῶν σὲ πιστῶς ἀνυμνούντων.

Θεοτοκίον, ὅμοιον.

Ἐν δύο ταῖς θελήσεσι* καὶ φύσεσι, πανάμωμε,* μιᾷ δὲ τῇ ὑποστάσει* τίκτεις Θεὸν ἀπορρήτως,* τὸν δι' ἡμᾶς πτωχεύσαντα* μέχρι Σταυροῦ θελήματι* καὶ ἡμῖν χαρισάμενον* τὸν τῆς Θεότητος πλοῦτον,* Θεοκυῆτορ Παρθένε.

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ'. (Ὦ τοῦ παραδόξου).

Ὅσιε πάτερ Εὐθύμιε,* καταλιπὼν τὰ ἐν γῇ* τῷ Χριστῷ ἠκολούθησας* μὴ προκρίνας, ἐνδοξε,* τὰ φθαρτὰ πρὸς τὰ μένοντα* καὶ ἐν ἐρήμῳ ὥσπερ ἐν πόλει οἰκῶν,* τὰς τῶν δαιμόνων φάλαγγας ὤλεσας.* Ὦ! τίς ἰσχύσειεν* ἐξειπεῖν, ἀοίδιμε,* τῆς σῆς ψυχῆς* ὄντως τὴν θερμότητα* τὴν πρὸς τὸν Κύριον; (Δις)

Ὅσιε πάτερ Εὐθύμιε,* σὺ ἀνεδείχθης κανὼν* μοναζόντων καὶ καύχημα,* ὀρθοδόξων ἥδυσμα* καὶ λαμπρὸς οἰκουμένης φωστήρ* τοῦ γὰρ δολίου ἐχθροῦ οὐκ ἔπτηξας* τὰς ἐκφοβήσεις ἐν τῷ σπηλαίῳ οἰκῶν.* Ὦ τοῦ χαρίσματος* τοῦ ἐν σοί, μακάριε!* δι' οὗ σαφῶς* πᾶσαν κατεπάτησας* τὴν τῶν δαιμόνων ὀφρύν.

Ὅσιε πάτερ Εὐθύμιε,* σὺ ἀληθῶς πρὸς Θεὸν* τὴν ψυχὴν ἀνεπτέρωσας* καὶ ἀσκῆσει, ἅγιε,* τὰς αἰσθήσεις ἐκάθηρας* καὶ ταῖς ἀπαύστοις εὐχαῖς, πανόλβιε,* τῆς ἀθανάτου ζωῆς ἠξίωσαι.* Ὦ ἐγκαλλώπισμα* ἀσκητῶν, ἀοίδιμε,* σὲ ὁ Χριστὸς* χαίρων ὑπεδέξατο* εἰς τὰς ἀΰλους μονάς.

Δόξα. Ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλῆθη* τὸν καθηγητὴν σε τιμῶμεν, Εὐθύμιε* διὰ σοῦ γὰρ τὴν τρίβον* τὴν ὄντως εὐθεῖαν* πορεύεσθαι ἔγνωμεν.* Μακάριος εἶ,* τῷ Χριστῷ δουλεύσας,* καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν,* ἀγγέλων συνό-

μιλε,* ὁσίων ὁμόσκηνε καὶ δικαίων·* μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων σου,* καὶ λύτρωσαι ἡμὰς ἀπὸ πάσης* ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 663).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Προκείμενον. Ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ.
Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους Β' ἐπιστολῆς Παύλου (δ' 6-15).

Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι...
(Ζήτει τῇ ΙΕ' Κυριακῇ, σ. 1338).

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ς' 17-23).

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς... (σ. 646).

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΤΗ ΚΕ' ΙΑΝΟΥΑΡΙΟΥ

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν ἑορτῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) |καὶ τὴν α' στάσιν τοῦ Μακάριος ἀνήρ, (σ. 217)| εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ προσόμοια τοῦ ἁγίου δευτεροῦντες αὐτά.

Ἦχος α'. (Πανεύφημοι μάρτυρες).

Πάτερ Γρηγόριε, τὰ σὰ* χείλη οὐχ ὁ πρόξενος* τῆς λήθης τάφος ἐκάλυψε* Θεολογίας γὰρ* ἀνεδείχθης στόμα,* εὐσεβείας δόγματα* καὶ νῦν τῇ οἰκουμένῃ φθεγγόμενος* διὸ ἱκέτευε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος. (Δὶς)

Πάτερ Γρηγόριε, σοφῶς* τῆς σαρκὸς ἐξέκλινας* τὸ δυσμενὲς καὶ ἐπίβουλον* οὐρανοδρόμῳ τε* ἐπιβὰς τεθρίππῳ* ἀρετῶν ὀχήματι* ἀνέπτης πρὸς τὸ κάλλος τὸ ἄρρητον* οὗ ἐμφορούμενος,* νῦν βραβεύεις ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος. (Δὶς)

Πάτερ Γρηγόριε, Θεοῦ* καὶ ἀνθρώπων γέγονας* πιστὸς μεσίτης τῇ χάριτι* καὶ νῦν εὔϊλατον* εὐπαῤῥησιάστοις* προσευχαῖς τιθεὶς ἡμῖν* Χριστόν, μὴ διαλίπῃς πρὸς Κύριον* πρεσβεύων, ὅσιε,* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος. (Δὶς)

Δόξα. Ἦχος πλ. δ'.

Ηγρήγορος γλῶσσά σου* πρὸς διδασκαλίαν,* ἐν τοῖς ὠσὶ τῶν καρδιῶν ἐνηχοῦσα,* τὰς τῶν ῥαθύμων ψυχὰς διανίστησι* καὶ θεοφθόγγοις ῥήμασι* κλῖμαξ εὑρίσκεται* τοὺς ἐκ γῆς πρὸς οὐρανὸν ἀναφέρουσα.* Διό, Γρηγόριε Θεολόγε,* μὴ παύσῃ πρεσβεύων Χριστῷ* ἐκ κινδύνων σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ βασιλεὺς τῶν οὐρανῶν... (σ. 484).

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Α'. Παροιμιῶν τὸ ἀνάγνωσμα.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ.

Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν.

Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε πνεύματος.

Β'. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι... (σ. 636).

Γ'. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν... (σ. 546).

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος πλ. α'. (Χαίροις, ἀσκητικῶν ἀληθῶς).

Χαίροις, θεολογίας πηγὴ* καὶ θεωρίας ὑψηλῆς ἐνδιαίτημα·* τὸν ἄνω βυθὸν γάρ, πάτερ,* μετ' εὐσεβοῦς λογισμοῦ* ἐρευνήσας, πᾶσι διετράνωσας* τρισὶν ἐν ἡλίοις* μίαν φωτὸς εἶναι σύγκρασιν* ἑνιζομένην* τῷ ταὐτῷ τῆς Θεότητος,* τρισσουμένην δὲ* ταῖς σεπταῖς ὑποστάσεσι·* βίου μὲν καθαρότητι* καὶ λόγου λαμπρότητι* σέβειν διδάσκων Τριάδα* τὴν παναγίαν, θεόπνευστε·* παρ' ἧς ἐκπεμφθῆναι* ταῖς ψυχαῖς ἡμῶν δυσώπει* τὸ μέγα ἔλεος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Αἴγλῃ θεολογίας τῆς σῆς* τὴν τῶν αἱρέσεων σκοτόμαιναν ἔλυσας·* πηγὴν γὰρ ἀπαυγασμάτων* θεοσεβεῖ λογισμῷ,* Θεολόγε, φθάσας καὶ θεόφρονι,* αὐγαῖς ταῖς ἐκεῖθεν* ἐκδιδομέναις ὡμίλησας·* διαφανὲς γὰρ* τὸν σὸν νοῦν ὥσπερ ἔσοπτρον* ἐργασάμενος,* τὸ τρισσὸν τῆς Θεότητος,* πάτερ, φῶς καὶ ἀμέριστον* ἐδέξω λαμπρότατα* καὶ τὴν ἀκτῖνα πλουσίως* τὴν ἐνιαίαν ἐχώρησας·* ἣν νῦν ἐκδυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Χαίροις, ὁ ποταμὸς τοῦ Θεοῦ* ὁ ἀεὶ πλήρης τῶν ὑδάτων τῆς χάριτος,* ὁ πᾶσαν εὐφραίνων πόλιν* τοῦ βασιλέως Χριστοῦ* τοῖς ἐνθέοις λόγοις καὶ διδάγμασι·* τρυφῆς ὁ χειμάῤῥους,* τὸ ἀνεξάντλητον πέλαγος·* ὁ τῶν δογμάτων* ἀκριβὴς φύλαξ ἔννομος·* ὁ θερμότατος* τῆς Τριάδος ὑπέρμαχος·* ὄργανον τὸ τοῦ Πνεύματος·* ὁ νοῦς ὁ ἐγρήγορος·* εὔηχος γλῶσσα τὸ βάθος* τὸ τῶν γραφῶν ἑρμηνεύουσα.* Χριστὸν νῦν δυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Τὰς καρδίας τῶν πιστῶν* γεηπονῶν τῇ γλώττῃ σου, Γρηγόριε,* εὐσεβείας ἐν αὐταῖς* ἀειθαλεῖς ἐβλάστησας καρποὺς τῷ Θεῷ,* τὰς ἀκανθώδεις αἱρέσεις* πρόῤῥιζον ἐκτεμὼν* καὶ κοσμῶν τοὺς λογισμοὺς καθαρότητι.* Διὸ δεχόμενος ἡμῶν τὰ ἐγκώμια,* ἡ θεία λύρα,* ὁ γρήγορος ὀφθαλμός,* τῶν ποιμένων ὁ ποιμήν,* ὁ τῶν λύκων ἀγρευτής,* πρέσβευε ἐκτενῶς,* Θεολόγε, τῷ Λόγῳ* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. (Τί ὑμᾶς καλέσωμεν;)

Πάντων ἡ ἀντίληψις, Δέσποινα,* κλονουμένῳ μοι, Παρθένε,* ἐκ τοῦ σκότους τῶν δεινῶν,* ταῖς τοῦ βίου τριβολίαις* ποντουμένῳ τε ἀεί,* ῥανίδα* τοῦ ἐλέους σου κατάπεμψον,* καὶ χεῖρα* βοηθείας σου παράσχου μοι* καὶ τῆς μερίδος ἀξίωσον* τῶν ἐκλεκτῶν καὶ δικαίων με,* ὡς ἄβυσσον* τετοκυῖα τοῦ ἐλέους, ἁγνή.

Ἀπολυτίκιον. Ἦχος α'.

Ὁ ποιμενικὸς αὐλὸς τῆς θεολογίας σου* τὰς τῶν ῥητόρων ἐνίκησε σάλπιγγας* ὡς γὰρ τὰ βάθη τοῦ Πνεύματος ἐκζητήσαντι,* καὶ τὰ κάλλη τοῦ φθέγματος προσετέθη σοι.* Ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ,* πάτερ Γρηγόριε,* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου... (σ. 385).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἀνωτέρω.
Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος.

Μετὰ τὴν α' στιχολογίαν, κάθισμα.
Ἦχος γ'. (Θείας πίστεως).

Θείαν ἔλλαμψιν* κεκληρωμένος,* βίον ἄϋλον* ἐξησκημένος,* ὁμωνύμῳ ἱερατείᾳ διέπρεψας·* ὑπερφυῶς γὰρ τρανώσας τὰ δόγματα,* ὀρθοδοξίᾳ τὴν πίστιν ἐστήριξας.* Πάτερ ὅσιε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θείας φύσεως* οὐκ ἐχωρίσθη,* σὰρξ γενόμενος* ἐν τῇ γαστρί σου,* ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν* ὁ μετὰ τόκον Μητέρα Παρθένον σε,* ὡς πρὸ τοῦ τόκου, φυλάξας πανάμωμον* μόνος Κύριος.* Αὐτὸν ἐκτενῶς ἱκέτευε* δωρῆσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.
Ἦχος πλ. α΄. (Τὸν συνάναρχον Λόγον).

Γρηγορήσας τῷ λόγῳ* τῆς ἀληθείας Χριστοῦ,* τῆς Τριάδος τὸ κράτος* ἐθεολόγησας·* τὴν Ἀρείου δυσσεβῆ* καὶ παράνομον* κακοδοξίαν καθελὼν* ὡς εὐσεβείας ἀριστεὺς* καὶ πρόμαχος, ἱεράρχα,* ἐφώτισας τοὺς ἐν σκότει* τῆς ἀγνωσίας καθεύδοντας.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τῆς ψυχῆς μου τὰ πάθη* τὰ πολυώδυνα* καὶ σαρκός μου τὰς νόσους* ἐν τάχει ἴασαι·* τὰς τοῦ νοός μου ἐκτροπὰς* στῆσον, πανάμωμε·* καὶ ἐν γαλήνῃ λογισμῶν* εὐχὰς προσφέρειν καθαρὰς* τῷ βασιλεῖ τῶν ἁπάντων* ἀξίωσον, Θεοτόκε,* καὶ ἐξαιτεῖσθαι πταισμάτων ἄφεσιν.

Μετὰ τὸν πολυέλεον, κάθισμα.
Ἦχος πλ. δ΄. (Τὴν Σοφίαν καὶ Λόγον).

Στηλιτεύων τὴν πλάνην τῶν δυσσεβῶν,* τὰς γραφὰς διανοίγων θεοπρεπῶς,* ἐξέπεμψας δόγματα* ὑπὲρ μέλι ἡδύνοντα* τῶν πιστῶν τὰς καρδίας* σαφῶς, ἀξιάγαστε,* τῇ Τριάδι λατρεύειν* ἐν Μονάδι Θεότητος·* ὅθεν τοῦ Σωτῆρος* τὴν μορφὴν ἐν εἰκόνι* προέστησας ἀσπάζεσθαι* σχετικῶς τὸ ἀνθρώπινον.* Θεολόγε Γρηγόριε,* πρέσβευε Χριστῷ τῷ Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Δεῦτε πάντα τὰ ἔθνη θεοπρεπῶς* τὴν Μητέρα τοῦ πάντων δημιουργοῦ* ὑμνήσωμεν λέγοντες·* χαῖρε, θρόνε πυρίμορφε* τοῦ τῶν ὅλων δεσπόζοντος* Ἰησοῦ τοῦ παντάνακτος·* χαῖρε, μόνη κυρία* τοῦ κόσμου πανάχραντε·* χαῖρε, τὸ δοχεῖον* τῆς ἁγίας Τριάδος,* Πατρός, Υἱοῦ καὶ Πνεύματος,* τὸ λαμπρὸν καὶ ἀκῆρατον,* Μαριὰμ ἀειπάρθενε,* Θεοτόκε πανύμνητε·* χαῖρε, ἔνδοξε νύμφη ἡλιοστόλιστε* χαῖρε, πάντων χαρὰ τῶν ὑμνούντων σε.

Τὸ α′ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ′ ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ′.

Τὸ στόμα μου λαλήσει σοφίαν... (σ. 551).

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ι′ 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος... (σ. 551).

Ὁ Ν′ Ψαλμὸς (σ. 103). Δόξα. Ταῖς τοῦ ἱεράρχου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα στίχος· Ἐλέησόν με, ὁ Θεός...

Καὶ ψάλλομεν τὸ παρὸν ἰδιόμελον. Ἦχος πλ. β′.

Οσιε τρισμάκαρ,* ἁγιώτατε πάτερ,* ὁ ποιμὴν ὁ καλὸς* καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής,* ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων·* αὐτὸς καὶ νῦν, πανεύφημε* Θεολόγε Γρηγόριε,* αἴτησαι πρεσβείαις σου* δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου (σ. 104).

Οἱ κανόνες· τῆς Θεοτόκου καὶ οἱ δύο τοῦ ἁγίου.

Ὁ κανὼν τοῦ ἁγίου. Ποίημα Θεοφάνους. Ἦχος α′.

Ὠδὴ α′. (Χριστὸς γεννᾶται).

Τὸν Θεολόγον τὸν δεύτερον,* τὸν στῦλον τοῦ φωτὸς τὸν οὐράνιον,* σοφίας Θεοῦ τὴν σάλπιγγα,* δεῦτε τῶν τού-

του λόγων* οἱ ἐρασταί,* πόθῳ συνελθόντες,* εὐφημήσωμεν αὐτὸν* ὡς θεοκήρυκα.

Ὁ Λόγος, πάτερ, ὁ ἄναρχος* ὁ πάντων ὡς Θεὸς προμηθούμενος* προνοητικῇ δυνάμει σε,* μάκαρ, τῇ Ἐκκλησίᾳ* οἷα μητρί,* λόγῳ καὶ σοφίᾳ* χαριτώσας σου τὸν νοῦν,* δῶρον χαρίζεται.

Νοῦν ἡγεμόνα ποιούμενος,* παθῶν τῶν τῆς σαρκὸς κατεκράτησας* καὶ χωρητικὸς γενόμενος* θείων ἀπαυγασμάτων,* ἕνα Θεὸν* ἐν τρισὶ προσώποις* κατεφώτισας ἡμᾶς* σέβειν, Γρηγόριε.

Θεοτοκίον.

Θεοῦ Σοφία, πανάμωμε,* τὸν οἶκον ἑαυτῆς ᾠκοδόμησεν* ἐν τῇ σῇ γαστρὶ σκηνώσασα* τῇ κεχαριτωμένῃ* καὶ ὑπὲρ νοῦν* τούτῳ ἑνωθεῖσα* καθ' ὑπόστασιν, ἀγνή,* ὤφθη ὡς ἄνθρωπος.

Ἕτερος κανών. Ποίημα Κοσμᾶ. Ἦχος ὁ αὐτός.

Ὠδὴ α'. Ὁ εἱρμός.

Ἐπαινον ὁ θεόπτης* Μωϋσῆς τοῦ Ἰσραὴλ* προανακρούεται* ἄρχει Μαριὰμ δὲ* σοφῶν γυναικῶν.* Ὠδὴν ἐπινίκιον* τῷ λυτρωτῇ Θεῷ πάντες ᾄσωμεν.

Τροπάρια.

Ῥύσιον ἀρχεγόνου,* ἡμετέρων τε παθῶν,* αἷμα θεόῤῥυτον* ἵστασο προσπένδων* καὶ νῦν τῶν πιστῶν,* Γρηγόριε πάνσοφε,* Θεὸν διδοὺς ἡμῖν εὐδιάλλακτον.

Πλάκας θεοχαράκτους* ὑπὸ γνόφον Μωϋσῆς* εἵλεν εἰσδύνας ποτέ* σὺ δὲ ταῖς φρεσὶν* ἐνστησάμενος* θεοδόχον τράπεζαν,* ὁλοσχερῶς Θεοῦ ἀντεβόλησας.

Θεοτοκίον.

Θέλων δι' εὐσπλαγχνίαν* ἐκ θανάτου καὶ φθορᾶς* ἀνακαλέσασθαι* φύσιν τῶν βροτῶν* ὁ Ὑπέρθεος,* Παρθένε πανάμωμε,* τὴν καθαρὰν νηδύν σου κατῴκησεν.

Ὠδὴ γ'. (Τῷ πρὸ τῶν αἰώνων).

Ἔχων τῆς σοφίας* τὴν πηγὴν ἀενάως βλυστάνουσαν,* τῶν θεοσόφων διδαγμάτων* τὴν Χριστοῦ Ἐκκλησίαν,* παμμάκαρ ἐπλήρωσας,* τῷ ἐπὶ πάντων βοῶσαν Θεῷ·* Ἅγιος εἶ Κύριε.

Ὁ τῆς εὐσεβείας* μεγαλόφωνος κῆρυξ καὶ εὔσημος* θεολογίας Θεολόγος,* θησαυρὸν θεωρίας* ἀφθόνως προβάλλεται,* καὶ διανέμει πλουσίως ἡμῖν* πλοῦτον ἀναφαίρετον.

Ῥήτωρ ὁ πυρίπνους,* ἡ θεόφθογγος λύρα τῆς χάριτος,* τῇ θεολόγῳ ἐπιπνοίᾳ* καὶ φθογγῇ θεοπνεύστῳ* ἠχήσας λαμπρότατα,* τρισυποστάτου οὐσίας ἡμῖν* μέλος ἐμελῴδησεν.

Θεοτοκίον.

Ἡ Θεογεννήτωρ,* ἡ βασίλισσα πάσης τῆς κτίσεως,* τὸν βασιλέα τῶν ἁπάντων* δυσωποῦσα μὴ παύσῃ,* Χριστόν, ὃν ἡμῖν ἐγέννησας* εἰς σωτηρίαν τῶν ἐπὶ γῆς,* σῶσαι τοὺς ὑμνοῦντάς σε.

Ἕτερος Κανών. Ὁ εἱρμός.

Ἣν τὸν πρὸ συλλήψεως ἄγνὸν Σαμουὴλ* ἀδιστάκτως τῷ Θεῷ* καθυποσχομένη* ἱερομήτωρ Ἄννα νῦν γηθομένη* ᾄδει σὺν ἡμῖν·* Ἐστερεώθη* ἐν Κυρίῳ ἡ καρδία μου.

Τροπάριον.

Ὃν διʼ ὀλισθήσεως προδήλου γαστρὸς* τῇ τεκούσῃ προφανείς,* ὅσιε πάτερ,* ἐπωνυμίαν φέρων τὴν ἐπαξίαν,* ὄρχαμε σοφῶν,* ἐνδιαθέτως,* Χαίροις, πάτερ, σοὶ κραυγάζομεν.

Ὃν πρὸ τοῦ ἐλέσθαι πονηρὰ συζυγῆ* καὶ συνέριθον λαβὼν* φάσμασι θείοις* θεοειδῆ ἁγνείαν καὶ σωφροσύνην,* πρόμαχε πιστῶν,* ἀγαλλιῶντες,* Χαίροις, πάτερ, σοὶ κραυγάζομεν.

Θεοτοκίον.

Ἕνας τῆς προμήτορος ἀνώρθωσας* τὸ ὀλίσθημα τὸ πρίν,* ὑποδεξαμένη* τὸν τοὺς κατερραγμένους ἐπανορθοῦντα* Λόγον τοῦ Πατρὸς* τῇ ἀηττήτῳ* δυναστείᾳ, Μητροπάρθενε.

Κάθισμα. Ἦχος πλ. δ'. (Τὴν Σοφίαν καὶ Λόγον).

Ἐξανοίξας τὸ στόμα λόγῳ Θεοῦ,* ἐξηρεύξω σοφίαν, κῆρυξ φωτός,* καὶ φρόνημα ἔνθεον* τῇ οἰκουμένῃ κατέσπειρας·* τῶν πατέρων ὄντως* κυρώσας τὰ δόγματα,* κατὰ Παῦλον ὤφθης,* τῆς πίστεως πρόμαχος* ὅθεν καὶ ἀγγέλων* συμπολίτης ὑπάρχεις* καὶ τούτων συνόμιλος* ἀνεδείχθης, μακάριε.* Θεολόγε Γρηγόριε,* πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὅταν ἔλθῃ τοῦ κρῖναι πᾶσαν τὴν γῆν* ὁ τῶν ὅλων Δεσπότης καὶ ποιητής,* προβάτοις με σύνταξον* δεξιοῖς τὸν κατάκριτον·* καὶ ἐξωτέρου σκότους* καὶ πάσης κολάσεως* τὸν σὸν ἀχρεῖον δοῦλον* ἐξάρπασον, ἄχραντε·* ἵνα εὐχαρίστως* μεγαλύνω τὸν πλοῦτον* τῆς σῆς ἀγαθότητος,* Θεοτόκε πανύμνητε,* καὶ βοῶ σοι γηθόμενος·* Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι* σὲ γὰρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλός σου.

Κοντάκιον. Ἦχος γ'. (Ἡ Παρθένος σήμερον).

Θεολόγῳ γλώττῃ σου* τὰς συμπλοκὰς τῶν ῥητόρων* διαλύσας, ἔνδοξε,* ὀρθοδοξίας χιτῶνα* ἄνωθεν ἐξυφανθέντα* τὴν Ἐκκλησίαν* ἐστόλισας· ὅν καὶ φοροῦσα* σὺν ἡμῖν κράζει* τοῖς σοῖς τέκνοις· Χαίροις, πάτερ,* θεολογίας ὁ νοῦς ὁ ἀκρότατος.

Ὁ οἶκος. (Τὴν Ἐδέμ).

Ἐκ τῆς θεολογικῆς* καὶ ὑψηλῆς σοφίας σου* ἔμπλησόν μου τὸν νοῦν* τὸν πτωχὸν καὶ ταλαίπωρον,* ὅπως ἀ-

νυμνήσω* τὸν βίον σου, πάτερ·* οὐ γὰρ ἰσχύσω* λόγον προσάξαι σοι,* εἰ μὴ σὺ παράσχῃς μοι* ἰσχὺν καὶ γνῶσιν,* λόγον καὶ σύνεσιν·* ὅπως ἐκ τῶν σῶν* τὰ σὰ προσφέρω σοι,* καὶ ἐκ τοῦ πλούτου* τῶν ἀρετῶν σου* ἐκεῖθεν ἔχω ἀφορμὰς* καὶ στεφανώσω τὴν σεπτήν* καὶ ἁγίαν κορυφήν σου* σὺν τοῖς πιστοῖς ἀνακράζων·* Χαίροις, πάτερ,* θεολογίας ὁ νοῦς ὁ ἀκρότατος.

Συναξάριον.

Τῇ ΚΕ′ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Θεολόγου.

Στίχοι.

Θεοῦ γινώσκειν ὀρθοδόξως οὐσίαν
Χριστιανοῖς λεγᾶτον ἐκ Γρηγορίου.

Εἰκάδι Γρηγόριος θεορήμων ἔκθανε πέμπτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πουπλίου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρη.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Μεδούλη σὺν τῇ συνοδίᾳ αὐτῆς πυρὶ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Δημητρίου τοῦ σκευοφύλακος.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Ἀπολλὼς ἐν εἰρήνῃ τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Καταβασίαι Χέρσον ἀβυσσοτόκον (σ. 729).
Ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία Θεοτόκε, ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ καὶ γράμματι (σ. 731).

Ἐξαποστειλάριον. (Τοῖς μαθηταῖς).

Μονάδα τρισυπόστατον* καὶ Τριάδα τελείαν* ἐν μιᾷ τῇ Θεότητι,* πάνσοφε Θεολόγε,* ἐδίδαξας προσκυνεῖσθαι,* φῶς εἰπὼν τὸν Πατέρα* καὶ τὸν Υἱὸν φῶς αὐθίς τε,* φῶς τὸ ἅγιον Πνεῦμα·* ἀλλὰ ἓν φῶς* ἀμερές, ἀσύγ-

χυτον'* εἰς Θεὸς γάρ'* τρανῶν τὸ ὁμοούσιον,* ὦ Γρηγόριε μάκαρ.

Ἕτερον ὅμοιον.

Ὑψηγορίᾳ χρώμενος* σῶν δογμάτων πανσόφως,* τρανῶς ἐθεολόγησας* τὸ ἀπόῤῥητον βάθος* τῶν τοῦ Χριστοῦ μυστηρίων,* ἄθλους τε τῶν ἁγίων* καὶ βίους ἐῤῥητόρευσας,* ὦ Γρηγόριε μάκαρ'* καὶ νῦν θεὸς* ἐν μεθέξει πέλων* τῇ πρὸς τὸ Θεῖον,* σῴζοις κἀμὲ καὶ δέχοιο* σαῖς σκηναῖς, Θεολόγε.

Θεοτοκίον, ὅμοιον.

Μετὰ τῆς Θεομήτορος* καὶ Παρθένου Μαρίας* καὶ Βασιλείου, πάνσοφε,* παρεστὼς τοῦ Μεγάλου* τῇ ἀπροσίτῳ Τριάδι,* τὴν εἰρήνην τῷ κόσμῳ,* τῷ βασιλεῖ τὰ τρόπαια* καὶ ἡμῖν σωτηρίαν* πρέσβευε νῦν* τοῖς ἀνευφημοῦσί σε,* Θεολόγε* ἀρχιερεῦ Γρηγόριε,* ῥῆτορ τῆς Ἐκκλησίας.

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.

Ἦχος δ'. (Ὁ ἐξ ὑψίστου κληθείς).

Διατεμὼν τὸν τοῦ γράμματος σὺ γνόφον,* εἰσέδυς τῷ πνεύματι* πρὸς φῶς ὑπέρτερον'* καὶ τὴν ἐκεῖθεν δεξάμενος* φωτοχυσίαν* θεολογίας πάντας ἐπλούτισας,* Γρηγόριε πάνσοφε,* τῆς Ἐκκλησίας φωστήρ'* ταῖς ἀστραπαῖς δὲ τῶν λόγων σου* σκοτώδη νέφη* τὰ τῶν αἱρέσεων ἀπεμείωσας'* ὅθεν αὐλίζῃ, ἔνθα ἦχος* ἑορταζόντων, ἀγγέλοις συνόμιλος,* ἱκετεύων ἀπαύστως* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Θεολόγος ὁ δεύτερος καὶ μύστης* τῆς θείας ἐλλάμψεως,* ὁ τῆς Τριάδος φαιδρὸς* ὑπογραφεύς, ὁ τὴν ἄῤῥητον* καὶ θείαν φύσιν* ὑπερφυῶς διδάσκων, Γρηγόριε'* καὶ νῦν τηλαυγέστερον* ἐπαπολαύων Θεοῦ,* τῶν σὲ τιμώντων μνημόνευε* καὶ ὑπερμάχει* τῆς Ἐκκλησίας, ἣν συνεκρότησας'* σοῦ γὰρ ὁ φθόγγος ἐπὶ πάντα* τῆς οἰκουμένης

διῆλθε τὰ πέρατα,* ἐκδιδάσκων δοξάζειν* τὴν Τριάδα ὁμοούσιον.

Γεωπονήσας τῇ γλώσσῃ, θεηγόρε,* καρδίας ταῖς αὐλαξί* σπόρον τὸν ἔνθεον,* Θεολογίας ἐπλούτισας* τῆς ἀνωτάτω* τῆς Ἐκκλησίας ἅπαν τὸ πλήρωμα* ἐντεῦθεν ζιζάνια* πυρὶ τοῦ Πνεύματος* τὰ τῶν αἱρέσεων ἔφλεξας,* φιλοσοφίας* τῆς θεϊκῆς τρεφόμενος ἔρωτι,* πάτερ πατέρων καὶ ποιμὴν ποιμένων* καὶ δόξα πιστῶν, ἱερέων φωστῆρ,* οἰκουμένης τὸ κλέος,* παμμακάριστε Γρηγόριε.

Τῷ τῆς σοφίας κρατῆρι προσπελάσας* τὸ τίμιον στόμα σου,* πάτερ Γρηγόριε,* θεολογίας ἐξήντλησας* τὸ θεῖον νᾶμα* καὶ τοῖς πιστοῖς ἀφθόνως μετέδωκας* αἱρέσεων ἔφραξας* ῥοῦν τὸν ψυχόλεθρον,* τὸν βλασφημίας ἀνάμεστον* ὡς κυβερνήτην* εὗρε καὶ γάρ σε Πνεῦμα τὸ ἅγιον* ἀποσοβοῦντα καὶ ἐλαύνοντα* ὡς ἀνέμων πνοὰς δυσσεβῶν τὰς ὁρμάς,* ἐν Μονάδι οὐσίας* τὴν Τριάδα καταγγέλλοντα.

Δόξα. Ἦχος α΄. Ἀνατολίου.

Τὴν λύραν τοῦ Πνεύματος,* τὸ τῶν αἱρέσεων θέριστρον* καὶ ὀρθοδόξων ἡδυσμα,* τὸν δεύτερον ἐπιστήθιον,* τὸν τοῦ Λόγου αὐτόπτην* τοῖς δόγμασι γενόμενον,* τὸν σοφὸν ἀρχιποίμενα,* τῆς Ἐκκλησίας τὰ θρέμματα* θεολογικοῖς ὕμνοις προσείπωμεν* Σὺ εἶ ὁ ποιμὴν ὁ καλὸς* ὁ δοὺς σεαυτόν, Γρηγόριε,* ὡς ὁ διδάσκαλος Χριστὸς ὑπὲρ ἡμῶν* καὶ σὺν Παύλῳ χορεύεις* καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις* προσδεχομένη,* καὶ θλιβομένων στεναγμὸν* μὴ παρορῶσα,* πρέσβευε τῷ ἐξ ἀγνῶν λαγόνων σου* σωθῆναι ἡμᾶς,* Παναγία Παρθένε.

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 674).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Προκείμενον. Ἦχος α'. (Ψαλμὸς μη').

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (ζ' 26 - η' 2).

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ι' 9-16).

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα... (σ. 652).

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΤΗ ΚΖ' ΙΑΝΟΥΑΡΙΟΥ

Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) καὶ τὴν α' στάσιν τοῦ Μακάριος ἀνὴρ (σ. 217) εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ προσόμοια δευτεροῦντες αὐτά.

Ἦχος δ'. (Ὡς γενναῖον ἐν μάρτυσι).

Τὴν χρυσήλατον σάλπιγγα,* τὸ θεόπνευστον ὄργανον,* τῶν δογμάτων πέλαγος ἀνεξάντλητον,* τῆς Ἐκκλησίας τὸ στήριγμα,* τὸν νοῦν τὸν οὐράνιον,* τῆς σοφίας τὸν βυθόν,* τὸν κρατῆρα τὸν πάγχρυσον,* τὸν προχέοντα* ποταμοὺς διδαγμάτων* μελιρρύτων* καὶ ἀρδεύοντα τὴν κτίσιν* μελῳδικῶς εὐφημήσωμεν. (Δὶς)

Τὸν ἀστέρα τὸν ἄδυτον* τὸν ἀκτῖσι φωτίζοντα* διδαγμάτων ἅπασαν τὴν ὑφήλιον,* τῆς μετανοίας τὸν κήρυκα,* τὸν σπόγγον τὸν πάγχρυσον,* τὸν ὑγρότητα δεινῆς* ἀπογνώσεως αἴροντα* καὶ δροσίζοντα* ἐκτακείσας καρδίας* ἁμαρτίαις,* Ἰωάννην ἐπαξίως* τὸν Χρυσολόγον τιμήσωμεν. (Δὶς)

Ὁ ἐπίγειος ἄγγελος* καὶ οὐράνιος ἄνθρωπος,* χελιδὼν ἡ εὔλαλος καὶ πολύφωνος,* τῶν ἀρετῶν τὸ θησαύρισμα,* ἡ πέτρα ἡ ἄῤῥηκτος,* τῶν πιστῶν ὑπογραμμός,* τῶν μαρτύρων ἐφάμιλλος,* ἰσοστάσιος* τῶν ἁγίων ἀγγέλων,* ἀποστόλων* ὁ ὁμότροπος, ἐν ὕμνοις* μεγαλυνέσθω Χρυσόστομος. (Δὶς)

Δόξα. Ἦχος δ'. Κοσμᾶ.

Οὐκ ἔδει σε, Χρυσόστομε,* τὴν βασιλίδα καταλείψαντα* παροικεῖν ἐν Κομάνοις* ὅθεν θεόθεν ἠγμένη* ἡ ἀνακτορικὴ πανδαισία* πάλιν σε ἐπανήγαγεν* ἐν τοῖς βασιλείοις* εὐφράνθη δὲ* καὶ ἡ Ἐκκλησία ἰδοῦσά σε* ἀνθομο-

λογουμένη καὶ λέγουσα·* Μεγαλύνει, ἡ δόξα μου, τὸν Κύριον* ἀποδόντα μοι τὸν νυμφαγωγὸν* καὶ τὸ στήριγμα τῆς πίστεως·* τὴν ὑπόληψιν τῶν ἀξιωμάτων μου* καὶ ἀνάπαυσιν τῶν ἐμῶν κροτάφων·* τὸ ὕψος τῆς ταπεινοφροσύνης* καὶ βάθος τῆς ἐλεημοσύνης* καὶ πλοῦτον τῆς ἐμῆς πτωχείας* καὶ μῆκος τῆς μετανοίας.* Διὸ αἰτοῦμέν σε, ὅσιε πάτερ,* τὴν εἰρήνην αἴτησαι* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.

Ὁ διὰ σὲ Θεοπάτωρ... (σ. 427).

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Α′. Παροιμιῶν τὸ ἀνάγνωσμα.

Μνῆμη δικαίου μετ' ἐγκωμίων... (σ. 672).

Β′. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Ἐγκωμιαζομένου δικαίου, εὐφραν θήσονται λαοί· ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις, καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι καὶ τῶν σοφῶν διορθωτής· καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις καὶ ἐργασιῶν ἐπιστήμη.

Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, ἀπαύγασμα φωτὸς ἀϊδίου καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δέ ἐστιν ἡλίου καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐρρύσατο καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείας. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων καὶ ἀγῶνα ἰ-

σχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη.

Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς· Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν καὶ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν, εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ.

Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν καὶ σῴζων ἐν καιρῷ θλίψεως καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ· ὁ οἰκτίρμων καὶ ἐλεήμων καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν... (σ. 546).

Ἡ ἐκτενὴς, τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος πλ. α' (Χαίροις, ἀσκητικῶν).

Χαίρει ἡ Ἐκκλησία Χριστοῦ* ἐπὶ λυχνίας ἱερᾶς κατοπτεύουσα* τὸν λύχνον τὸν φωτοφόρον,* ὃν καθελόντες ἐχθροὶ* τῆς σιγῆς μοδίῳ συγκατέκρυψαν.* Τιμᾷ ἐπὶ ὄρους σε* τῶν ἀρετῶν, πάτερ ὅσιε,* πυρσὸν ὡς θεῖον* οἰκουμένης τὰ πέρατα* ὑπὲρ ἥλιον* ἀπαστράπτοντα θαύμασι.* Σήμερον ἡ ἀδέκαστος* Θεοῦ κρίσις δείκνυσι* δικαιοσύνην ἐξ ὕψους* ὡς μεσημβρίαν ὑπέρφωτον* τὴν σήν, καὶ παρέχει* τοῖς ἐν κόσμῳ τὴν εἰρήνην* καὶ μέγα ἔλεος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Βρύει ὡς μυροθήκη τερπνὴ* τὰ τῶν θαυμάτων θεῖα ῥεῖθρα, Χρυσόστομε,* ἡ λάρναξ ἡ σὴ ἐν κόσμῳ* καὶ ἰαμάτων ῥοαῖς* τὰς ψυχὰς μυρίζει τῶν τιμώντων σε.* Χριστοῦ τῶν χαρίτων γὰρ* τοῖς ἀΰλοις ἀρώμασι* καταπλουτήσας,* εὐωδίαν δεδώρησαι* τὴν ἀείζωον* τοῖς ἐν πίστει προστρέχουσιν·* ὅθεν καταπολαύοντες* χαρίτων σῶν, πάνσοφε,* καὶ τῶν ἀχράντων καὶ θείων* κατατρυφῶντες λειψάνων σου,* πιστῶς ἐξαιτοῦμεν* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Κόσμου ὁ σιτομέτρης, πιστοί,* ὁ ἐν τρυφῇ τῇ οὐρανίᾳ τοῦ Πνεύματος* καρδίας ἐκτρέφων πάντων* οὐκ ἐξ Αἰγύπτου χωρεῖ,* Ἰωσὴφ δὲ νέος προδεικνύμενος* σεπτοῖς ἐν λειψάνοις* ἀπὸ Κομάνων μετάγεται,* δεινῶν τὴν ζάλην* καὶ τὸ πέλαγος σήμερον* τὸ τῶν θλίψεων* διατέμνων ἐντεύξεσι.* Τοῦτον οὖν μακαρίσωμεν* καὶ πίστει βοήσωμεν·* Πάρεσο, μάκαρ, ἐν μέσῳ* τῶν ἐκτελούντων τὴν μνήμην σου,* αὐτοῖς σωτηρίαν* παρεχόμενος πλουσίως* καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β΄.

Ὅσιε τρισμάκαρ,* ἀγιώτατε πάτερ,* ὁ ποιμὴν ὁ καλὸς* καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής,* ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων·* αὐτὸς καὶ νῦν, πανεύφημε* Ἰω-

άννη Χρυσόστομε,* αἴτησαι πρεσβείαις σου* δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινῆ* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·* σὲ ἱκετεύομεν·* Πρέσβευε, Δέσποινα,* μετὰ τοῦ ἱεράρχου* καὶ πάντων τῶν ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Ἡ τοῦ στόματός σου* καθάπερ πυρσὸς ἐκλάμψασα χάρις* τὴν οἰκουμένην ἐφώτισεν·* ἀφιλαργυρίας τῷ κόσμῳ* θησαυροὺς ἐναπέθετο·* τὸ ὕψος ἡμῖν* τῆς ταπεινοφροσύνης ὑπέδειξεν.* Ἀλλὰ σοῖς λόγοις παιδεύων,* πάτερ Ἰωάννη Χρυσόστομε,* πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου... (σ. 485).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἀνωτέρω.
[Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος].

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.
Ἦχος α΄. (Τὸν τάφον σου, Σωτήρ).

Δογμάτων ἀστραπαῖς* ὥσπερ ἥλιος μέγας* ἐφώτισας τὴν γῆν* καὶ ἀγνοίας τὸ σκότος* μακρὰν ἀπεδίωξας,* Ἰωάννη Χρυσόστομε·* ὅθεν δέομαι,* τοῦ αἰωνίου με σκότους* ἐλευθέρωσον* καὶ φωτισμοῦ σωτηρίας* εὐχαῖς σου ἀξίωσον.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀσπόρως τὸν Χριστὸν* ἀπεκύησας μόνη·* τὸ θαῦμα ὑπὲρ νοῦν,* πῶς Παρθένος καὶ Μήτηρ·* διὸ Θεοτόκον σε* προσκυνοῦντες δοξάζομεν·* σὺ γὰρ ἔτεκες* τὸν βασι-

λέα τῆς δόξης* ὃν δυσώπησον* τοῦ εἰρηνεῦσαι τὸν κόσμον* καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Μετὰ την β΄ στιχολ., κάθισμα. Ἦχος δ΄. (Ὁ ὑψωθείς).

Ὡς χρυσαυγές τε καὶ τερπνόν, θεορρῆμον,* ὄργανον θεῖον κελαδοῦν Ἐκκλησίᾳ* ὑπὸ Χριστοῦ, Χρυσόστομε,* δεδώρησαι* χελιδὼν ἡ εὔλαλος* χρυσαυγίζουσα, μάκαρ,* νοῦς ὁ χρυσοστόλιστος,* λύρα τῆς μετανοίας,* τοὺς σὲ τιμῶντας ῥῦσαι πειρασμῶν* σαῖς ἱκεσίαις,* ποιμὴν ἀξιάγαστε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μετὰ Θεὸν ἐπὶ τὴν σήν, Θεοτόκε,* προσπεφευγὼς ὁ ταπεινὸς σκέπην θείαν,* παρακαλῶ δεόμενος* Ἐλέησον, ἁγνῆ,* ὅτι ὑπερῆράν μου* κεφαλὴν ἁμαρτίαι,* καὶ πτοοῦμαι, Δέσποινα,* τὰς κολάσεις καὶ φρίττω* ἱκετηρίαν ποίησον, σεμνή,* πρὸς τὸν Υἱόν σου ἐκ τούτων ῥυσθῆναί με.

Μετὰ τὸν πολυέλεον, κάθισμα. Ἦχος δ΄. (Κατεπλάγη).

Θείᾳ ψῆφῳ τῆς Χριστοῦ* ποίμνης ἀξίως γεγονώς,* ἀξιάγαστε, ποιμήν,* οἷά περ λύκους ἐξ αὐτῆς* ἐν τῇ σφενδόνῃ τῶν λόγων σου ἀπεδίωξας,* ἐλέγχων ἀφειδῶς* παρανομοῦντας, σοφέ* ὑφ᾽ ὧν καὶ ἐλαθεὶς* φθόνῳ, Χρυσόστομε,* μακρὰν ὁδὸν διήνυσας, στερρόφρον,* ὑπὲρ αὐτῆς, ἐν ᾗ τέθνηκας* ἀλλ᾽ ἐπανῆλθες* πρὸς βασιλίδα* νέμων θεῖα χαρίσματα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Κατεπλάγη Ἰωσὴφ* τὸ ὑπὲρ φύσιν θεωρῶν* καὶ ἐλάμβανεν εἰς νοῦν* τὸν ἐπὶ πόκον ὑετὸν* ἐν τῇ ἀσπόρῳ συλλήψει σου, Θεοτόκε,* βάτον ἐν πυρὶ* ἀκατάφλεκτον,* ῥάβδον Ἀαρὼν* τὴν βλαστήσασαν* καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ,* τοῖς ἱερεῦσιν ἐκραύγαζε* Παρθένος τίκτει* καὶ μετὰ τόκον* πάλιν μένει Παρθένος.

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου (σ. 102).

Προκείμενον καὶ Εὐαγγέλιον ζήτει τῇ Α΄ Ἰανουαρίου (σ. 551).

Ὁ Ν΄ Ψαλμὸς (σ. 103). Δόξα. Ἦχος β΄.

Σήμερον σκιρτῶσιν ἐν πνεύματι* ἀρχιερέων δῆμοι* σὺν ἡμῖν τελοῦντές σου* τὴν μνήμην, ἱεράρχα* Χρυσόστομε ὅσιε,* φωστὴρ τῆς Ἐκκλησίας.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα στίχος· Ἐλέησόν με, ὁ Θεός.
Καὶ ψάλλομεν τὸ ἰδιόμελον. Ἦχος πλ. β΄.

Σάλπιγξ χρυσόφωνος ἀνεδείχθης,* χρυσορρῆμον Χρυσόστομε,* χρυσουργῶν τὰς καρδίας τῶν πιστῶν* τοῖς χρυσεπόνοις σου διδάγμασι·* προφητικῶς γὰρ ἐξῆλθεν* ὁ φθόγγος τῶν δογμάτων σου,* ὅσιε πάτερ,* καὶ κόσμου παντὸς τὰ πέρατα ἐφώτισεν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου (σ. 104).

Οἱ κανόνες· τῆς Θεοτόκου καὶ οἱ δύο τοῦ ἁγίου.

Ὁ κανὼν τῆς Θεοτόκου. Ἦχος πλ. δ΄.

Ὠδὴ α΄. Ὁ εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε* τερατουργοῦσα ποτὲ* Μωσαϊκὴ ῥάβδος,* σταυροτύπως πλήξασα* καὶ διελοῦσα θάλασσαν·* Ἰσραὴλ δὲ φυγάδα,* πεζὸν ὁδίτην διέσωσεν,* ἆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τροπάριον.

Χαῖρε, κατάρας παλαιᾶς ἡ λύτρωσις* καὶ εὐλογίας πηγή·* χαῖρε, ζωῆς Μήτηρ,* ᾅδου ἡ καθαίρεσις,* θανάτου ἡ ἀναίρεσις·* χαῖρε, λύσις τῆς λύπης,* χαρᾶς χωρίον εὐρύχωρον·* χαῖρε, Θεοτόκε πανύμνητε.

Ἅρμα τοῦ Λόγου λογικὸν καὶ ἔμψυχον,* χαῖρε, πανάμωμε·* Δαβιτικόν, χαῖρε,* ἅρμα πολυώνυμον,* ἅρμα μυριοπλάσιον·* χαῖρε, ἡ ἀσυγκρίτως* τῶν Χερουβὶμ ὑπερέχουσα* καὶ τῶν Σεραφὶμ ὑπερφέρουσα.

Ἱερωτέρα νοερῶν δυνάμεων,* χαῖρε, Θεόνυμφε·* χαῖρε, κτιστῆς πάσης* ἀνωτέρα φύσεως·* χαῖρε, Θεοῦ παλά-

τιον'* χαῖρε, πύρινε θρόνε'* χαῖρε, λυχνία πολύφωτε'* χαῖρε, μυριώνυμε Δέσποινα.

Ράβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα,* χαῖρε, ἀμόλυντε'* χαῖρε, βλαστῷ ῥάβδου* τῆς Ἀαρωνίτιδος* διαγραφεῖσα πρότερον* μυστικῶς καὶ βαθέως* ὡς γὰρ ἐκείνη τὰ κάρυα,* οὕτω τὸν Χριστὸν σὺ ἐξήνθησας.

Κανὼν τοῦ ἁγίου. Ποίημα Θεοφάνους. Ἦχος ὁ αὐτός.

Ὠδὴ α'. (Ἆσμα ἀναπέμψωμεν).

Πλοῦτον ἐναπέθου σῇ ψυχῇ* τὸν θησαυρὸν τοῦ Πνεύματος,* πάτερ Χρυσόστομε'* ἐξ οὗ τὴν Ἐκκλησίαν* πλουτίζεις τοῖς λόγοις σου,* ἥτις σου ἐπαξίως* ἑορτάζει ἐπάνοδον θείαν.

Λόγοις κατεποίκιλας χρυσοῖς* τὴν ἱεράν, Χρυσόστομε,* τῆς Ἐκκλησίας στολήν,* ἣν πρῴην ἐξ αἱμάτων* Χριστὸς προεξύφανεν'* ὅθεν σου ἐπαξίως* ἑορτάζει ἐπάνοδον θείαν.

Πέτρα ἀνεδείχθης ἀκλινὴς* καὶ στῦλος καὶ ἑδραίωμα* τῆς Ἐκκλησίας Χριστοῦ* τοῦ ἀκρογωνιαίου'* ἐν ᾧ ᾠκοδόμησας* λόγους θεοσεβείας* ὥσπερ λίθους, σοφὲ Ἱεράρχα.

Θεοτοκίον.

Μόνη ἀπειρόγαμε σεμνή,* Μαρία ἀειπάρθενε,* Θεοτόκε Κυρία,* ἁγνὴ ἐκλελεγμένη,* ἐξαίρετε Δέσποινα* πάντων τῶν ποιημάτων,* σὲ ἐλπίδα κεκτήμεθα πάντες.

Ἕτερος κανὼν τοῦ ἁγίου. Ποίημα Ἰωσήφ. Ἦχος γ'.

Ὠδὴ α'. (Ὁ τὰ ὕδατα πάλαι).

Τὸ θεόφθογγον στόμα,* τὸ χρυσόφωνον* ὄργανον, ἡ τῶν λόγων λαμπρότης,* τὸν ἐμὸν λάμπρυνον* ταῖς ἱκεσίαις σου νοῦν,* ὅπως ἀνυμνήσω σου* τῆς ἐπανόδου τὴν μνήμην,* Ἰωάννη, χάριτος* θείας φερώνυμε.

Ὡς ἀστὴρ ἑωσφόρος,* ὡς φαεσίμβροτος* ἥλιος, ὡς φωστὴρ εὐσεβείας,* ὑπὸ γῆν, ὅσιε,* δύνας δεσμοῖς φυ-

σικοῖς,* αὖθις ἐξανέτειλας,* ἡμῖν τοῖς τέκνοις σου πέμπων* τῶν θαυμάτων ἄφθονα* τὰ σελαγήματα.

Χρυσορρήμονι γλώττῃ* σῶν διδαγμάτων* ἐνέπλησας τὴν ὑφήλιον πᾶσαν,* καὶ χρυσοῖς μέλεσι* τῶν ἰαμάτων αὐγάς* πᾶσιν ἐναπῆστραψας,* τῶν παθημάτων τὸ σκότος* ἀφανίζων, ὅσιε,* τῇ ἐπανόδῳ σου.

Θεοτοκίον.

Ρητορεύων τὰ θεῖα,* μοναδικὸν* τὴν ὑπόστασιν ὑφηγήσω τὸν Λόγον,* κἂν διπλοῦς πέφηνεν,* ἐκ τῆς ἁγνῆς προελθὼν* σάρκα προσλαβόμενος* ἣν εὐλογοῦμεν ἀπαύστως* καὶ πιστῶς δοξάζομεν,* θεῖε Χρυσόστομε.

Ὠδὴ γ΄.
Τῆς Θεοτόκου. Ὁ εἱρμός.

Οὐρανίας ἀψῖδος* ὀροφουργέ, Κύριε,* καὶ τῆς Ἐκκλησίας δομῆτορ,* σύ με στερέωσον* ἐν τῇ ἀγάπῃ τῇ σῇ,* τῶν ἐφετῶν ἡ ἀκρότης,* τῶν πιστῶν τὸ στήριγμα,* μόνε φιλάνθρωπε.

Τροπάρια.

Ἰσχυρότατον ὅπλον,* χαῖρε, πιστῶν, Δέσποινα·* χαῖρε, κραταιὰ προστασία·* χαῖρε, ἀντίληψις·* χαῖρε, βοήθεια* ἁμαρτωλῶν· χαῖρε, τεῖχος* τῶν προσκαλουμένων σε·* χαῖρε, τοῦ κόσμου χαρά.

Σωτηρίας ἀνθρώπων,* χαῖρε, στερρὸν ἔρεισμα·* χαῖρε τοῦ Ἀδὰμ καὶ τῆς Εὔας* ἡ ἐπανάκλησις,* δι' ἧς ἀπέλαβον* τὴν παλαιὰν εὐκληρίαν·* χαῖρε, ἡ ἀνοίξασα* πάλιν παράδεισον.

Χαῖρε, ἄφλεκτε βάτε·* χαῖρε, φωτὸς ὄχημα·* χαῖρε, τοῦ ἡλίου νεφέλη·* χαῖρε, περίδοξε* καὶ περιλάλητε* τοῦ βασιλέως καθέδρα·* χαῖρε, πόλις ἔμψυχε* Χριστοῦ τοῦ ζῶντος Θεοῦ.

Ἀπειρόγαμε Μῆτερ,* χαῖρε, ἀγνὴ Δέσποινα·* χαῖρε, ἡ ἀνήροτος χώρα* καὶ ἀγεώργητος,* ἡ γεωργήσασα*

τὸν γεωργὸν τῶν ἁπάντων* χαῖρε, γῆ ἀλήθειαν* ἡ ἀνατείλασα.

Τοῦ ἁγίου. (Οὐκ ἔστιν ἅγιος).

Χρυσέοις διδάγμασι* κατεχρύσωσας, σοφέ,* τῆς Ἐκκλησίας τὸν στέφανον* καὶ ταύτης ἐποίκιλας* τὴν εὐπρέπειαν, πάτερ,* τῷ κάλλει τῶν λόγων σου* διό σε κατ' ἀξίαν τιμᾷ.

Μυρίζουσιν, ὅσιε,* ὡς περ κρίνα τοῦ ἀγροῦ* οἱ ἀτμοὶ τῶν καμάτων σου,* δι' ὧν εὐηρέστησας* τῷ Θεῷ, ἱεράρχα,* κινδύνοις καὶ θλίψεσι* καὶ γῇ προσομιλήσας μακρᾷ.

Ὡς ἄνθη μυρίζουσιν* οἱ τῶν λόγων σου καρποί,* νοητῶς ἀποστάζοντες* τὸν θεῖον, Χρυσόστομε,* γλυκασμὸν τῆς σοφίας* καὶ νῦν εὐωδιάζοντες* ἡμᾶς ταῖς πρακτικαῖς ἀρεταῖς.

Θεοτοκίον.

Ἀμέριστος ἔμεινας,* εἰ καὶ σάρκα δι' ἐμὲ* ἐκ Παρθένου ἐφόρεσας* διὸ καὶ ἐν δύο σε* προσκυνῶ ταῖς οὐσίαις* καὶ δύο θελήσεσι* καὶ δύο ἐνεργείαις, Χριστέ.

Ἕτερος τοῦ ἁγίου. (Ὁ ἐκ μὴ ὄντων τὰ πάντα).

Ὑπερορίας* ὑπέκρυψέ σε μυχοῖς* τὸν λύχνον τὸν πάμφωτον* βασιλὶς ἡ τυφλώττουσα* Χριστὸς δ' ὑψηλότερον* ἐν τῇ λυχνίᾳ καὶ πάλιν ἐπανάγει.

Σταλάζων ῥεῖθρα* θαυμάτων καὶ ποταμοὺς* προχέων ἰάσεων,* ἐπανῆλθες, Χρυσόστομε,* τοῖς πιστῶς τιμῶσί σου* τῆς ἐπανόδου τὴν μνήμην, Ἰωάννη.

Ὁ χρυσορρόας* Νεῖλος, ὁ πλημμυρῶν* ἐν λόγοις ἐν θαύμασιν,* ἐπανῆκε* συνδράμωμεν* πιστῶς ἀπαντλήσωμεν,* ἀφθόνως πάντες ἐν πᾶσι κορεσθῶμεν.

Θεοτοκίον.

Γεώδης φύσις* οὐ σθένει σε ἀνυμνεῖν,* ἣν ἄγγελοι μέλπουσιν* ὡς Θεὸν σωματώσασαν* πλὴν πιστῶς οἱ δοῦλοί σου* ἀποτολμῶμεν ὑμνεῖν σε καὶ δοξάζειν.

Κάθισμα. Ἦχος πλ. δ΄. (Τὴν Σοφίαν καὶ Λόγον).

Τὴν σοφίαν ἐξ ὕψους καταμαθὼν* καὶ τὴν χάριν τῶν λόγων παρὰ Θεοῦ,* τοῖς πᾶσιν ἐξέλαμψας* ὡς χρυσὸς ἐν καμίνῳ* καὶ τὴν ἁγίαν Τριάδα* Μονάδα ἐκήρυξας,* τὴν φιλάργυρον πλάνην* τοξεύσας τοῖς λόγοις σου·* ὅθεν καὶ πρὸς ζῆλον* βασιλίδα ἐλέγξας,* ἀδίκως τῆς ποίμνης σου* ἀπηλάθης, μακάριε* Ἰωάννη Χρυσόστομε·* πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν... Θεοτοκίον.

Τῆς Τριάδος τὸν ἕνα ὑπερφυῶς* συλλαβοῦσα, Παρθένε, καὶ θαυμαστῶς,* τοῦτον ἀπεκύησας* ὑπὲρ λόγον καὶ ἔννοιαν,* καὶ κοινωνὸν τῆς θείας* κατέστησας φύσεως* τὴν τῶν ἀνθρώπων φύσιν* τὴν πάλαι ἐξόριστον·* ὅθεν συνελθόντες* οἱ τῷ τόκῳ σου πάντες* σωθέντες, πανάμωμε,* τοῖς σοῖς λόγοις ἑπόμενοι,* χρεωστικῶς σε μακαρίζομεν,* αἰτούμενοι Χριστὸν τὸν Θεὸν* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς σὲ δοξάζουσι πίστει* ὡς Μητέρα αὐτοῦ.

Κοντάκιον. Ἦχος α΄. (Χορὸς ἀγγελικός).

Ἐὐφράνθη μυστικῶς* ἡ σεπτὴ Ἐκκλησία* τῇ ἀνακομιδῇ* τοῦ σεπτοῦ σου λειψάνου·* καὶ τοῦτο κατακρύψασα* ὡς χρυσίον πολύτιμον,* τοῖς ὑμνοῦσί σε* ἀδιαλείπτως παρέχει* ταῖς πρεσβείαις σου* τῶν ἰαμάτων τὴν χάριν,* παμμάκαρ Χρυσόστομε.

Ὁ οἶκος. (Τὸ φοβερόν σου κριτήριον).

Ἡλαμπὰς ἡ τῶν ἔργων μου* στυγνὴ πέφυκεν,* Ἰωάννη Χρυσόστομε,* καὶ δειλιῶ πρὸς ὑπάντησιν* τοῦ σεπτοῦ σου σκήνους·* ἀλλ' αὐτός με ὁδήγησον* καὶ τὰς τρίβους μου εὔθυνον,* μετανοίας παρέχων μοι* καιρόν, πανάγιε,* ὡς αὐτῆς κῆρυξ ἔνθεος,* καὶ τῶν παθῶν μου* τῶν πολυτρόπων* κατεύνασον τὴν ζάλην·* καὶ παγίδων τοῦ βελίαρ* ἁφαρπάσας με, εἰς τέλος* σῶσόν με, ὅπως* ὑμνῶ σου ἀξίως* τὴν ἔνδοξον ἐπάνοδον,* ὡς πρὶν καὶ τὴν κοίμησιν* τολμήσας ἐδόξασα,* παμμάκαρ Χρυσόστομε.

Συναξάριον.

Τῇ ΚΖ' τοῦ αὐτοῦ μηνὸς ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου.

Στίχοι.

Νεκρὸς καθίζῃ, ὦ Ἰωάννη, θρόνῳ,
ἀλλ' ἐν Θεῷ ζῶν πᾶσιν Εἰρήνη, λέγεις.

Ἄπνουν ἑβδομάτῃ κόμισαν δέμας εἰκάδι χρυσοῦν.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἁγία Μαρκιανὴ βασίλισσα ἡ ἐν τοῖς ἁγίοις Ἀποστόλοις ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Κλαυδῖνος ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ὅσιος Πέτρος ὁ Αἰγύπτιος εἰς βαθὺ γῆρας ἐλθὼν ἐν εἰρήνῃ τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Καταβασίαι· Χέρσον ἀβυσσοτόκον (σ. 729).

Ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία Θεοτόκε, ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ καὶ γράμματι (σ. 731).

Ἐξαποστειλάριον. (Γυναῖκες, ἀκουτίσθητε).

Ἀγάλλου, πόλις πόλεων* πασῶν ἡ βασιλεύουσα,* ὡς τοῦ καλοῦ σου ποιμένος* τοῦ ποιμενάρχου τὸ σκῆνος* ἀπολαβοῦσα σήμερον,* τοῦ σὲ καὶ κόσμον ἅπαντα* ῥυθμίζοντος καὶ σῴζοντος* μελισταγοῦς Χρυσοστόμου,* καὶ ἐπικρότει τοῖς ὕμνοις.

Θεοτοκίον, ὅμοιον.

Φρικτὴ ἡ προστασία σου,* Μαρία θεοκόσμητε,* καὶ φοβερά σου ἡ δόξα* πάσῃ τῇ γῇ, Θεοτόκε* εἰς σὲ γὰρ νῦν καυχώμεθα* σὲ καὶ μεσίτην ἔχοντες* πρὸς τὸν Υἱὸν καὶ κτίστην σου,* τῇ ἀκοιμήτῳ πρεσβείᾳ* τῇ σῇ σωθείημεν πάντες.

Εἰς τοὺς αἴνους ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ΄. (Ἔδωκας σημείωσιν).

Χρυσοῦ τηλαυγέστερον* τὰ ἱερά σου διδάγματα* προχεόμενα, πάνσοφε,* πλουτίζει, Χρυσόστομε,* πενομένας φρένας* καὶ ἀποδιώκει* τῶν παθημάτων τὴν ἀχλὺν* φιλαργυρίας πικρὸν χειμῶνά τε΄* διό σε μακαρίζομεν* χρεωστικῶς καὶ τὴν κόνιν σου* τῶν λειψάνων σεβόμεθα* ὡς πηγὴν ἁγιάσματος.

Ἀδίκως τῆς ποίμνης σου* ἀπελαθείς, πάτερ ὅσιε,* προσωμίλησας θλίψεσι* πικραῖς, ἐξορίαις τε΄* ἐν αἷς ἠξιώθης* μακαρίου τέλους,* οἷα γενναῖος ἀθλητὴς* καταπαλαίσας τὸν πολυμήχανον΄* διὸ τῇ ἐπανόδῳ σου* ἡ Ἐκκλησία ἀγάλλεται,* ἣν χρυσῷ κατεκόσμησας* τῶν πανσόφων δογμάτων σου.

Ὁστοῦλος ὁ πύρινος,* ὁ ποταμὸς ὁ τοῖς νάμασι* τῶν δογμάτων κατάρρυτος,* ὁ νοῦς ὁ οὐράνιος,* τῆς θεολογίας* τὸ πάγχρυσον στόμα,* ἁμαρτωλῶν ἐγγυητής,* τῆς μετανοίας κῆρυξ ὁ ἔνθεος,* φωστὴρ ὁ διαυγέστατος,* ὁ ἐπουράνιος ἄνθρωπος,* ὁ μακάριος σήμερον* ἀνυμνείσθω Χρυσόστομος.

Κόσμον ὡς βασίλειον* ἡ βασιλὶς τὸ σὸν λείψανον* δεξαμένη, Χρυσόστομε,* ἐν τούτῳ σεμνύνεται΄* καὶ ἐγκαυχωμένη* ἐπὶ τοῖς σοῖς λόγοις,* τὴν οἰκουμένην συγκαλεῖ* εἰς εὐφροσύνην καὶ θείαν μέθεξιν* ἀφθόνων τῶν χαρίτων σου,* μεγαλοφώνως κραυγάζουσα΄* Ἰησοῦ ὑπεράγαθε,* σὺ εἶ δόξα τῶν δούλων σου.

Δόξα. Ἦχος δ΄. Γερμανοῦ.

Πάτερ Χρυσόστομε,* ὡς ποταμὸς θεόβρυτος* ἐκ τῆς Ἐδὲμ μυστικῶς ἐξερχόμενος,* εἰς ἀρχὰς τέσσαρας διαδραμὼν* σοῖς λόγοις τῆς γῆς τὰ πέρατα,* πάντα πιστὸν κατήρδευσας* τῇ παγχρύσῳ διδασκαλίᾳ σου΄* διὸ τὴν ἐπάνοδον* σοῦ τῶν θείων λειψάνων* ἡμῖν σαφῶς πολιτογραφήσας,* πρεσβεύεις σωθῆναι* τὰς ψυχάς, Ἰωάννη,* τῶν ἀνυμνούντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων* τοὺς δούλους σου φύλαττε,* εὐλογημένη Θεοτόκε,* ἵνα σε δοξάζωμεν* τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη, (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 688).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Ἀπόστολος καὶ Εὐαγγέλιον ὡς ἐν τῇ μνήμῃ τοῦ ἁγίου Γρηγορίου (σ. 683).

ΤΗ Λ΄ ΙΑΝΟΥΑΡΙΟΥ

Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) [καὶ τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ, σ. 217] εἰς τὸ Κύριε ἐκέκραξα, ψάλλομεν στιχηρὰ προσόμοια τῶν ἁγίων.

Ἦχος δ΄. (Ὡς γενναῖον ἐν μάρτυσι).

Τὰ τῆς χάριτος ὄργανα,* τὰς κιθάρας τοῦ Πνεύματος,* τὰς εὐσήμους σάλπιγγας τοῦ κηρύγματος,* τὰς φοβερὸν καὶ ἐξάκουστον* ἐξ ὕψους ἠχούσας βροντὰς* καὶ τὴν δόξαν τοῦ Θεοῦ* γνωριζούσας τοῖς πέρασι,* τοὺς τρεῖς κήρυκας* τῆς μεγάλης Τριάδος,* Ἰωάννην* καὶ Βασίλειον ἀξίως* σὺν Γρηγορίῳ τιμήσωμεν. (Δὶς)

Τῆς Τριάδος οἱ πρόμαχοι,* εὐσεβείας οἱ πρόβολοι,* οἱ μετὰ τοὺς δώδεκα τρεῖς ἀπόστολοι,* οἱ ἐξ Ἐδὲμ ἀνα-

βλύζοντες* τὸ ζῶν ὕδωρ ποταμοὶ* καὶ τὸ πρόσωπον τῆς γῆς* ζωηρύτως ποτίζοντες* θείοις ῥεύμασι,* τὰ μεγάλα στοιχεῖα* τὰ τὴν πίστιν* ὥσπερ κτίσιν συνιστῶντα* ἀξιοχρέως τιμάσθωσαν. (Δὶς)

Οὐκ εἰσὶ λαλιαί, φησίν,* οὐδὲ λόγοι λεγόμενοι,* ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν·* εἰς πᾶσαν γῆν γὰρ καὶ θάλασσαν* ὁ φθόγγος ἐξέδραμε* τῶν ἐνθέων καὶ σοφῶν* διδασκάλων τῆς κτίσεως·* ὅθεν ἄριστα* τοῖς αὐτῶν θείοις νόμοις* συγκροτεῖται* καὶ συνέχεται πρὸς μίαν* ὀρθοδοξίαν τὰ πέρατα.

Τὰ τοῦ Πνεύματος ὄργανα,* ἀληθείας τὰς σάλπιγγας,* τοὺς τοῦ Λόγου ῥήτορας εὐφημήσωμεν* φωναῖς ἁσμάτων τοῖς δόγμασιν* αὐτῶν οἱ ἑπόμενοι,* ἱκετεύοντες αὐτούς,* παῤῥησίαν ὡς ἔχοντας* πρὸς τὸν Κύριον,* τοῦ αἰτῆσαι εἰρήνην* σταθηρὰν μὲν* εἰς ἀεὶ τῇ οἰκουμένῃ,* ἡμῖν δὲ πᾶσι συγχώρησιν.

Δόξα. Ἦχος πλ. β΄.

Τὰς μυστικὰς σήμερον* τοῦ Πνεύματος σάλπιγγας,* τοὺς θεοφόρους πατέρας ἀνευφημήσωμεν·* τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας* μέλος ἐναρμόνιον Θεολογίας,* Τριάδα μίαν ἀπαράλλακτον* οὐσίαν τε καὶ Θεότητα·* τοὺς καθαιρέτας Ἀρείου* καὶ ὀρθοδόξων προμάχους·* τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε... (σ. 456).

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προοίμιον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Α΄. Δευτερονομίου τὸ ἀνάγνωσμα (α΄ 8-11, 15-17).

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ· Ἴδετε, παρέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν (σ. 648).

Β΄. Δευτερονομίου τὸ ἀνάγνωσμα (α΄ 14-18, 20-21).

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ· Ἰδού, Κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανὸς (σ. 649).

Γ΄. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ (σ. 635).

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος πλ. α΄. (Χαίροις, ἀσκητικῶν).

Χαίροις, ἱεραρχῶν ἡ τριάς,* τῆς Ἐκκλησίας τὰ μεγάλα προπύργια,* οἱ στῦλοι τῆς εὐσεβείας,* ὁ τῶν πιστῶν ἑδρασμός,* τῶν αἱρετιζόντων ἡ κατάπτωσις·* Χριστοῦ οἱ ποιμάναντες* τὸν λαὸν θείοις δόγμασι* καὶ ταῖς ποικίλαις* ἀρεταῖς οἱ ἐκθρέψαντες·* οἱ τῆς χάριτος* διαπρύσιοι κήρυκες,* νόμους οἱ προεκθέμενοι* Χριστοῦ τῷ πληρώματι,* οἱ ὁδηγοὶ πρὸς τὰ ἄνω,* τοῦ παραδείσου αἱ εἴσοδοι.* Χριστὸν καταπέμψαι* ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε* τὸ μέγα ἔλεος.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Χαίροις, ἱεραρχῶν ἡ τριάς,* οὐρανοβάμονες ἐπίγειοι ἄγγελοι,* τοῦ κόσμου ἡ σωτηρία,* ἡ τῶν ἀνθρώπων χαρὰ* καὶ τῆς οἰκουμένης οἱ διδάσκαλοι·* τοῦ Λόγου οἱ πρόμαχοι,* ἰατροὶ ἐπιστήμονες* τῶν νοσημάτων* τῆς ψυχῆς καὶ τοῦ σώματος,* οἱ ἀείῤῥοοι* ποταμοὶ οἱ τοῦ Πνεύματος,* λόγοις οἱ καταρδεύσαντες* τῆς γῆς ἅπαν πρόσωπον·* οἱ θεολόγοι, αἱ βάσεις,* οἱ χρυσολόγοι οἱ ἔνθεοι.* Χριστὸν καταπέμψαι* ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε* τὸ μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Χαίροις, ἱεραρχῶν ἡ τριάς,* τοῦ ἐπιγείου στερεώματος ἥλιος,* ἀκτῖνες καὶ δᾳδουχίαι* ἐκ τρισηλίου αὐγῆς,* τῶν ἐσκοτισμένων ἡ ἀνάβλεψις,* τὰ ἄνθη τὰ εὔοσμα* παραδείσου τὰ κάλλιστα·* ὁ Θεολόγος,* ὁ σοφός τε Βασίλειος,*

ὁ Χρυσόστομος,* τὰ πυξία τοῦ Πνεύματος,* πλάκες αἱ θεοχάρακτοι,* μαζοὶ οἱ ἐκβλύζοντες* τῆς σωτηρίας τὸ γάλα,* τὸ τῆς σοφίας ἀγλάϊσμα.* Χριστὸν δυσωπεῖτε* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ἀσμάτων* χορεύσωμεν ἑόρτια,* καὶ σκιρτήσωμεν ἀγαλλόμενοι* ἐν τῇ πανδήμῳ πανηγύρει* τῶν διδασκάλων ἡμῶν.* Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν* καὶ τοὺς ἱεράρχας* κροτείτωσαν ἐν ὕμνοις,* ὡς δογμάτων βλύσαντας* ποταμοὺς ὑπερμεγέθεις τρεῖς* καλλιῤῥόους, ἀειζώους τοῦ Πνεύματος.* Ποιμένες καὶ διδάσκαλοι,* τοὺς τῆς σεπτῆς Τριάδος* τρισσοὺς ἱερομύστας* συνελθόντες εὐφημήσωμεν* οἱ φιλόσοφοι τοὺς σοφούς,* οἱ ἱερεῖς τοὺς ποιμένας,* οἱ ἁμαρτωλοὶ τοὺς προστάτας,* οἱ πένητες τοὺς πλουτιστάς,* οἱ ἐν θλίψεσι τοὺς παραμυθοῦντας* τοὺς συνοδίτας οἱ ὁδοιπόροι,* οἱ ἐν θαλάσσῃ τοὺς κυβερνήτας* οἱ πάντες τοὺς πανταχοῦ θερμῶς προφθάνοντας* θείους ἀρχιεράρχας* ἐγκωμιάζοντες, οὕτως εἴπωμεν* Πανάγιοι διδάσκαλοι,* σπεύσατε ἐξελεῖν τοὺς πιστοὺς* ἐκ τῶν τοῦ βίου σκανδάλων* καὶ ῥῦσαι κολάσεων* τῶν αἰωνίων ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε... (σ. 658).

Ἀπολυτίκιον. Ἦχος α'.

Τοὺς τρεῖς μεγίστους φωστῆρας* τῆς τρισηλίου Θεότητος,* τοὺς τὴν οἰκουμένην ἀκτῖσι* δογμάτων θείων πυρσεύσαντας,* τοὺς μελιῤῥύτους ποταμοὺς τῆς σοφίας,* τοὺς τὴν κτίσιν πᾶσαν* θεογνωσίας νάμασι καταρδεύσαντας,* Βασίλειον τὸν μέγαν* καὶ τὸν Θεολόγον Γρηγόριον,* σὺν τῷ κλεινῷ Ἰωάννῃ* τῷ τὴν γλῶτταν χρυσορῥήμονι,* πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταὶ* συνελθόντες ὕμνοις τιμήσωμεν* αὐτοὶ γὰρ τῇ Τριάδι* ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσιν.

Δόξα. Ἕτερον. Ἦχος δ΄.

Ὡς τῶν ἀποστόλων ὁμότροποι* καὶ τῆς οἰκουμένης διδάσκαλοι* τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε* εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον... (σ. 428).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἀνωτέρω. [Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος].

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.
Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Φωστῆρες ὑπέρλαμπροι* τῆς Ἐκκλησίας Χριστοῦ,* τὸν κόσμον ἐφωτίσατε* ταῖς διδαχαῖς ὑμῶν,* πατέρες θεόσοφοι,* τήξαντες τὰς αἱρέσεις* πάντων τῶν κακοδόξων,* σβέσαντες τὰς φλογώδεις* τῶν βλασφήμων συγχύσεις·* διὸ ὡς ἱεράρχαι Χριστοῦ* πρεσβεύσατε σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παρθένε πανύμνητε,* Μήτηρ Χριστοῦ τοῦ Θεοῦ,* Μαρία θεόνυμφε* καὶ ἀπειρόγαμε,* πιστῶν ἡ ἀντίληψις·* ῥῦσαι παντὸς κινδύνου* καὶ παντοίας ἀνάγκης,* Δέσποινα Θεοτόκε,* τοὺς ἐν πίστει καὶ πόθῳ* τῇ σκέπῃ σου προσφεύγοντας,* μόνη θεόνυμφε.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.
Ἦχος δ΄. (Κατεπλάγη Ἰωσήφ).

Ἐν λειμῶνι τῶν γραφῶν* καθάπερ μέλισσαι, σοφοί,* προσιπτάμενοι ὑμεῖς* περιεδρέψασθε καλῶς* καὶ τῶν ἀνθέων τὰ ἄριστα καὶ τὸ μέλι* πᾶσι τοῖς πιστοῖς* τῶν διδαγμάτων ὑμῶν* προτίθεσθε ὁμοῦ* εἰς πανδαισίαν αὐτῶν·* καὶ διὰ τοῦτο ἅπας γλυκαινόμενος* μετ' εὐφροσύνης κραυγάζει

ὑμῖν˙* Πάρεστε πάλιν* καὶ μετὰ πότμον* τοῖς ὑμᾶς εὐφημοῦσι, μακάριοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τρικυμίαις τῶν παθῶν* ὁ ἀσυνείδητος ἐγὼ* χειμαζόμενος, ἀγνή,* ἐπικαλοῦμαί σε θερμῶς˙* Μή με παρίδῃς τὸν δείλαιον ἀπολέσθαι,* ἄβυσσον ἐλέους* ἡ τέξασα˙* πλήν σου γὰρ ἄλλην* ἐλπίδα οὐ κέκτημαι.* Μὴ οὖν ἐχθροῖς ἐπίχαρμα καὶ γέλως* ὁ πεποιθώς σοι ὀφθήσομαι˙* καὶ γὰρ ἰσχύεις,* ὅσα καὶ βούλει,* ὡς Μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.

Μετὰ τὸν πολυέλεον, κάθισμα.
Ἦχος δ΄. (Ἐπεφάνης σήμερον).

Οἱ σοφοὶ διδάσκαλοι* τῆς οἰκουμένης,* οἱ Θεὸν δοξάσαντες* ἔργοις καὶ λόγοις ἐπὶ γῆς,* μεγαλυνέσθωσαν σήμερον* ὡς σωτηρίας* ἡμῖν ὄντες πρόξενοι.

Δόξα. Ὅμοιον.

Ἑορτάζει σήμερον* ἡ Ἐκκλησία* τὴν σεπτὴν πανήγυριν* τῶν διδασκάλων τῶν τριῶν˙* καὶ γὰρ αὐτοὶ ἐστερέωσαν* τὴν Ἐκκλησίαν* αὐτῶν θείοις δόγμασι.

Καὶ νῦν... Θεοτοκίον.

Προστασία ἄμαχε* τῶν θλιβομένων* καὶ θερμὴ ἀντίληψις* τῶν πεποιθότων ἐπὶ σέ,* ἐκ τῶν κινδύνων με λύτρωσαι˙* σὺ γὰρ ὑπάρχεις* ἡ πάντων βοήθεια.

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου (σ. 102).

Προκείμενον, Εὐαγγέλιον κ.λ.π. βλέπε τῇ ΙΗ΄ Ἰανουαρίου (σ. 652).

Οἱ κανόνες˙ τῆς Θεοτόκου καὶ οἱ δύο τῶν ἁγίων.

Κανὼν τῆς Θεοτόκου. Ἦχος β΄.
Ποίημα Ἰωάννου Εὐχαΐτων.

Ὠδὴ α΄. Ὁ εἱρμός.

Δεῦτε, λαοί,* ᾄσωμεν ᾄσμα Χριστῷ τῷ Θεῷ* τῷ διελόντι θάλασσαν* καὶ ὁδηγήσαντι* τὸν λαὸν ὃν ἀνῆκε* δουλείας Αἰγυπτίων˙* ὅτι δεδόξασται.

Τροπάρια.

Τὸν εὐσεβῶς* σὲ Θεοτόκον κυρίως ἀγνὴν* ὁμολογοῦντα, ἄχραντε,* ψυχῆς καὶ σώματος* χαλεπῶν ἐκ κινδύνων* καὶ νόσων καὶ πταισμάτων* σύ με διάσωσον.

Ὅλην ἐν σοὶ* τῶν χαρισμάτων τὴν ἄβυσσον* ἀποκειμένην ἔγνωμεν* διὸ προσφεύγοντες,* Θεοτόκε προθύμως* τῇ σκέπῃ σου τῇ θείᾳ,* διασῳζόμεθα.

Ὑπὲρ ἡμῶν* τῶν σὲ ὑμνούντων δυσώπησον* τὸν σαρκωθέντα, πάναγνε,* ἐκ τῶν ἀχράντων σου* καὶ τιμίων αἱμάτων* ῥυσθῆναι ἐκ πταισμάτων* καὶ νοσημάτων πικρῶν.

Σὲ οἱ πιστοὶ* καύχημα πάντες κεκτήμεθα,* καταφυγὴν καὶ στήριγμα* καὶ ἀγαλλίαμα* καὶ ψυχῶν σωτηρίαν,* ἐλπίδα τε καὶ τεῖχος,* θεοχαρίτωτε.

Κανὼν α′ τῶν ἁγίων. Ποίημα τοῦ αὐτοῦ.
Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Τίς ἀμοιβή;* τίς ἀνταπόδοσις πρέπουσα* τοῖς ἡμετέροις, ἄνθρωποι,* προσενεχθήσεται* παρ' ἡμῶν εὐεργέταις;* δι' ὧν πρὸς τὸ εὖ εἶναι* χειραγωγούμεθα.

Ρητορικαὶ* γλῶσσαι καὶ τέχναι καὶ μέθοδοι* καὶ πᾶσα λόγων δύναμις* νῦν εἰς ὑπόθεσιν* συγκινείσθωσαν μίαν* καὶ τοὺς τετιμηκότας* ἀντιτιμάτωσαν.

Ἴδιον μὲν* οὐδὲν ἠνέσχοντο κτήσασθαι* ἐν γῇ οἱ οὐρανόφρονες,* φύλακες δ' ὤφθησαν* τοῦ κοινοῦ καὶ προστάται* κοινῶν οὖν καὶ τῶν ὕμνων* καταξιούσθωσαν.

Θεοτοκίον.

Σὲ τὴν κοινὴν* φιλοτιμίαν, πανάμωμε,* τῆς ἡμετέρας φύσεως* πάντες δοξάζομεν,* χεῖλος ἓν γεγονότες* καὶ μίαν συμφωνίαν* ἀποτελέσαντες.

Ἕτερος κανὼν τῶν ἁγίων. Ποίημα τοῦ αὐτοῦ.
Ὠδὴ α′. Ἦχος πλ. δ′. (Ἁρματηλάτην Φαραώ).

Οὐκ ἀνθρωπίνης τὸ παρὸν ἐγχείρημα* σπουδῆς κατόρθωμα,* ἀλλ' ἡ τοῦ σοῦ θρόνου* πάρεδρος, φιλάνθρω-

πε,* σοφία συνεργείτω μοι,* λόγου χάριν διδοῦσα,* δι' ἧς δοξάσαι δυνήσομαι* οὓς αὐτῇ καλῶς προεδόξασεν.

Ὥσπερ κρατὴρ ὑπερεῤῥύη, Δέσποτα,* ἡ ἀγαθότης σου* καὶ ὁ πλοῦτος* τῆς φιλανθρωπίας σου* ἐκχεῖται καὶ διώδευσεν,* ὡς καὶ ἄλλους ἀγγέλους* μετὰ σαρκὸς ὑποστήσασθαι* τοὺς νῦν προκειμένους εἰς ἔπαινον.

Ἐξ οὐρανοῦ τοῖς οὐρανίοις ἔπρεπε* καὶ τὰ ἐγκώμια'* ἀγγελικὸς ὕμνος* τοῖς θείοις ἁρμόδιος'* θεοὶ γὰρ κατὰ μέθεξιν* οἱ τὸν φύσει καὶ μόνον* ἀληθινὸν Θεὸν ἔχοντες* ζῶντα ἐν αὐτοῖς καὶ φθεγγόμενον.

Θεοτοκίον.

Μνήμην δικαίων ὁ θεόφρων σύλλογος* μετ' ἐγκωμίων τελεῖ* οἷς ἡ Θεοῦ Μήτηρ* ὡς αὐτῶν κεφάλαιον* εἰκότως συνδοξάζεται,* τελευταίαν καὶ πρώτην* καὶ μέσην τάξιν ἐπέχουσα* καὶ τῆς εὐφημίας μετέχουσα.

Ὠδὴ γ'. Τῆς Θεοτόκου. Ὁ εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε,* ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν,* καὶ τὸν φόβον σου ἐμφύτευσον* εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Τροπάρια.

Πρεσβείαις σου, ἁγνή, Θεόν, ὃν ἔτεκες,* παράσχου εὐΐλατον σοῖς ἱκέταις,* τοῖς προστρέχουσι τῇ σκέπῃ σου* καὶ πιστῶς προσκυνοῦσί σου τὴν κύησιν.

Ρημάτων τῆς ἐμῆς ψυχῆς ἐπάκουσον,* Παρθένε, δεινῶς ἐκταραττομένης,* ἣν εἰρήνευσον, πανύμνητε,* ἀεὶ ταύτην κινδύνων διασῴζουσα.

Ὅλην μου τὴν ζωὴν διακυβέρνησον,* Παρθένε, ἐλπίς μου καὶ προστασία,* πειρασμῶν καὶ περιστάσεων* λυτρουμένη δεινῶν με, ἀειπάρθενε.

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον* ἀγκάλαις ὡς φέρουσα, Θεοτόκε,* ἐξ ἀγνοίας καὶ πλανήσεως* λυτρωθῆναι τοὺς ὑμνοῦντάς σε ἱκέτευε.

Τῶν ἁγίων. (Ἐν πέτρᾳ με τῆς πίστεως)

Ἡ σάλπιγξ ἡ μεγάλη τῆς Ἐκκλησίας,* ὁ λύχνος ὁ φωτίζων τὴν οἰκουμένην,* ὁ κῆρυξ ὁ τῷ φθόγγῳ περιλαμβάνων* πάντα τὰ πέρατα,* ὁ μεγαλώνυμος* συγκροτεῖ τὴν σύναξιν* ταύτην Βασίλειος.

Λαμπρὸς ἀπὸ τοῦ βίου καὶ τῶν πραγμάτων,* λαμπρὸς ἀπὸ τοῦ λόγου καὶ τῶν δογμάτων,* ἐν πᾶσιν ὑπερλάμπων πάντας ὡς ἄλλος* ἀστέρας ἥλιος,* ὁ πολυύμνητος* Θεολόγος σήμερον* μακαρίζεται.

Ἰδοὺ τὸ φῶς τοῦ κόσμου τῷ κόσμῳ φαίνει* ἰδοὺ τῆς γῆς τὸ ἅλας τὴν γῆν ἡδύνει* ἰδοὺ τὸ ζωῆς ξύλον ἀθανασίας* καρποὺς προβάλλεται,* ὁ χρυσοῦς ἄγιος* οἱ θανεῖν μὴ θέλοντες,* δεῦτε τρυφήσατε.

Θεοτοκίον.

Ὁ πάντα ἐκ μὴ ὄντων ὄντα ποιήσας* καὶ φύσιν δοὺς ἑκάστῳ τῶν γενομένων,* αὐτὸς καὶ τὰς δοθείσας φύσεις ἀμείβειν* οἶδεν, ὡς βούλεται* ὅθεν ἀκούεται* καὶ Παρθένος τίκτουσα* τίς οὐ θαυμάσεται;

Ἕτερος τῶν ἁγίων. (Ὁ στερεώσας).

Οἱ τῶν ἠθῶν διορθωταὶ* καὶ τῶν ψυχῶν οἰκονόμοι,* οἱ σωτῆρες οἱ κοινοὶ τῶν ἁπάντων,* οἱ καὶ πράξεων ἡμῖν* καὶ λόγων τύπους δείξαντες,* οἱ παιδευταὶ τοῦ βίου,* λαμπροὶ λαμπρῶς εὐφημείσθωσαν.

Πνεῦμα ἐνέπλησε Θεοῦ* Βασίλειον ἐπιστήμης* τῶν πυρίνων δὲ γλωσσῶν ἔσχε μίαν* ὁ Γρηγόριος καὶ πῦρ* ὑψηγορίας ἔπνευσε* τὸ τοῦ Χριστοῦ δὲ στόμα* ἐν Ἰωάννῃ ἐλάλησε.

Τοῦ νῦν αἰῶνος τὴν σαφῶς* καταργουμένην σοφίαν* ἡ μωρία τοῦ κηρύγματος ἔχει* ὑποκύπτουσαν αὐτῇ* καὶ δουλικῶς λατρεύουσαν* κήρυκας γὰρ ἡ χάρις* σοφοὺς προβάλλεται ῥήτορας.

Θεοτοκίον.

Ὁ ἐν τῇ μήτρᾳ τῆς ἁγνῆς* κατασκηνώσας Παρθένου* τὰς ψυχὰς τῶν θεοφόρων ἁγίων* οἰκητήρια ποιεῖ,* καὶ

τοῖς ἐκείνων στόμασι* τὰ κατὰ τὴν Μητέρα* διερμηνεύει μυστήρια.

Κάθισμα. Ἦχος πλ. δ΄. (Τὴν Σοφίαν καὶ Λόγον).

Τοὺς μεγάλους φωστῆρας τοὺς φεραυγεῖς,* Ἐκκλησίας τοὺς πύργους τοὺς ἀῤῥαγεῖς,* συμφώνως αἰνέσωμεν* οἱ τῶν καλῶν ἀπολαύοντες,* καὶ τῶν λόγων τούτων* ὁμοῦ καὶ τῆς χάριτος·* τὸν σοφὸν Χρυσορῥήμονα* καὶ τὸν μέγαν Βασίλειον* σὺν τῷ Γρηγορίῳ* τῷ λαμπρῷ θεολόγῳ·* πρὸς οὓς καὶ βοήσωμεν* ἐκ καρδίας κραυγάζοντες·* Ἱεράρχαι τρισμέγιστοι,* πρεσβεύσατε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα. Ὅμοιον.

Τὴν σοφίαν λαβόντες παρὰ Θεοῦ* ὡς ἀπόστολοι ἄλλοι τρεῖς τοῦ Χριστοῦ,* τῷ λόγῳ τῆς γνώσεως* συνιστᾶτε τὰ δόγματα,* ἃ τὸ πρὶν ἐν λόγοις* ἁπλοῖς κατεβάλλοντο* ἀλιεῖς ἐν γνώσει* δυνάμει τοῦ Πνεύματος·* ἔδει γὰρ καὶ οὕτω* τὸ ἁπλοῦν ἡμῶν σέβας* τὴν σύστασιν κτήσασθαι* δι' ὑμῶν πανσεβάσμιοι·* ὅθεν πάντες βοῶμεν ὑμῖν·* Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου, Παρθένε, τὴν ταπεινήν,* τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν* ναῦν ὡς ἀκυβέρνητον* ποντουμένην τῷ κλύδωνι,* ἁμαρτιῶν τε φόρτῳ* ὀφθεῖσαν ὑπέραντλον* καὶ εἰς πυθμένα ᾅδου* ἐλθεῖν κινδυνεύουσαν,* φθάσον, Θεοτόκε,* πρεσβειῶν σου ἐλέει,* γαλήνην παρέχουσα* καὶ κινδύνων ἐξαίρουσα·* σὺ λιμὴν γὰρ ἀχείμαστος·* πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι·* σὲ γὰρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλός σου.

Κοντάκιον. Ἦχος β΄. (Τοὺς ἀσφαλεῖς).

Τοὺς ἱεροὺς* καὶ θεοφθόγγους κήρυκας,* τὴν κορυφὴν* τῶν διδασκάλων, Κύριε,* προσελάβου εἰς ἀπόλαυσιν*

τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν* τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν κάματον* ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν,* ὁ μόνος δοξάζων τοὺς ἁγίους σου.

῾Ο οἶκος. (Τράνωσόν μου).

Τίς ἱκανὸς τὰ χείλη διᾶραι* καὶ κινῆσαι τὴν γλῶσσαν* πρὸς τοὺς πνέοντας πῦρ* δυνάμει Λόγου καὶ Πνεύματος;* ὅμως τοσοῦτον εἰπεῖν θαῤῥήσω* ὅτι πᾶσαν παρῆλθον τὴν ἀνθρωπίνην* φύσιν οἱ τρεῖς* τοῖς πολλοῖς καὶ μεγάλοις χαρίσμασι,* καὶ ἐν πράξει καὶ θεωρίᾳ* τοὺς κατ᾽ ἄμφω λαμπροὺς ὑπεράραντες* διὸ μείστων δωρεῶν* τούτους ἠξίωσας ὡς πιστούς σου θεράποντας,* ὁ μόνος δοξάζων τοὺς ἁγίους σου.

Συναξάριον.

Τῇ Λ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ ᾽Ιωάννου τοῦ Χρυσοστόμου.

Στίχοι.

῾Ομοῦ δίκαιον τρεῖς σέβειν ῾Εωσφόρους
φῶς τρισσολαμπὲς πηγάσαντας ἐν βίῳ.

Λάμψεν ἐνὶ τριακοστῇ χρυσοτρισήλιος αἴγλη.

Ταῖς τῶν τριῶν τούτων πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ πάντων τῶν ἁγίων τὰς τῶν αἱρέσεων ἐπαναστάσεις κατάβαλε καὶ ἡμᾶς ἐν εἰρηνικῇ καταστάσει διαφύλαξον καὶ τῆς οὐρανίου σου βασιλείας ἀξίωσον. ῞Οτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ᾽Αμήν.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος ῾Ιππολύτου, πάπα ῾Ρώμης, καὶ τῶν σὺν αὐτῷ Κενσουρίνου, Σαβαΐνου, Χρυσῆς καὶ τῶν λοιπῶν.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοφίλου τοῦ νέου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. ᾽Αμήν.

Καταβασίαι· Χέρσον ἀβυσσοτόκον (σ. 729).

Καὶ στιχολογεῖται ἡ Τιμιωτέρα (σ. 119), μετ' αὐτὴν δὲ ψάλλεται ἡ θ' ᾠδὴ τῶν κανόνων.

Ὠδὴ θ'.

Τῆς Θεοτόκου. Ὁ εἱρμός.

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον,* τὸν ἀῤῥήτῳ σοφίᾳ* ἥκοντα καινουργῆσαι τὸν Ἀδὰμ* βρώσει φθορᾷ πεπτωκότα δεινῶς,* ἐξ ἁγίας Παρθένου* ἀφράστως σαρκωθέντα δι' ἡμᾶς,* οἱ πιστοὶ ὁμοφρόνως* ἐν ὕμνοις μεγαλύνομεν.

Τροπάρια.

Θεομακάριστε Κόρη,* τὴν ἐλπίδα μου πᾶσαν* προθύμως ἀνατίθημι ἐν σοί·* σῶσόν με, Μήτηρ τῆς ὄντως ζωῆς·* καὶ τρυφῆς ἀενάου* πλησθῆναι καθικέτευε, ἁγνή,* τὸν ἐν πίστει καὶ πόθῳ* σὲ ὕμνοις μεγαλύνοντα.

Ἐπιφανεῖσα, Παρθένε,* τῆς ψυχῆς μου τὸν ζόφον* φωτός σου ταῖς ἀὐλοις ἀστραπαῖς* αὔγασον, πύλη τοῦ θείου φωτός·* καὶ πυρὸς αἰωνίου* ῥυσθῆναι καταξίωσον, ἁγνή,* τὸν ἐν πίστει καὶ πόθῳ* σὲ ὕμνοις μεγαλύνοντα.

Νενοσηκότας ὁρῶσα* καὶ ψυχὴν καὶ τὸ σῶμα* καὶ βεβλημένους πάθεσι δεινοῖς,* τῇ εὐσπλαγχνίᾳ σου, Δέσποινα,* θεραπεύσασα λῦσον* τῶν νῦν παρενοχλούντων λυπηρῶν,* ἵνα πάντες σὲ ὕμνοις* ἀπαύστως μεγαλύνωμεν.

Ἐν τῇ γαστρί σου σκηνώσας,* ἐκ γαστρὸς πρὸ αἰώνων* Πατὴρ ὃν περ ἐγέννησεν Υἱός,* τέλειος γέγονεν ἄνθρωπος·* καὶ πηγὴν χαρισμάτων* σέ, Θεομῆτορ, ἔδειξεν ἡμῖν* τοῖς πιστῶς προσκυνοῦσι* τὴν ἄφραστόν σου γέννησιν.

Τῶν ἁγίων. (Ἀνάρχου γεννήτορος).

Μεγάλυνον, ψυχή μου,* τοὺς ἐν ἱεράρχαις* φωστῆρας τρεῖς μεγάλους.

Ἰδοὺ τὸ ὑμέτερον* γεώργιον καὶ ποίμνιον,* ὑπὲρ οὗ τοὺς μεγίστους* πόνους ὑπέστητε,* εἰς ἓν συνελθόντες, ὁμοῦ τε* τοὺς τρεῖς ὑμᾶς συμπαραλαβόντες,* κοινὴν ἔχει αἴνεσιν* τὴν ὑμῶν ἠδίστην ἕνωσιν.

Μεγάλυνον, ψυχή μου,* τοὺς τρισσολαμπτῆρας* Χριστοῦ τῆς Ἐκκλησίας.

Οὐ δίστομον μάχαιραν* ἡ χάρις, ἀλλὰ τρίστομον* κατὰ τῶν πολεμίων* αὐτῆς προβάλλεται* ἓν οὐρανοχάλκευτον ξίφος* τρισὶν ἀκμαῖς κατεστομωμένον,* ἀεὶ προμαχόμενον* τριλαμποῦς μιᾶς Θεότητος.

Μεγάλυνον, ψυχή μου,* τοὺς κεκοσμηκότας* Χριστοῦ τὴν Ἐκκλησίαν.

Ὑμῶν τὸ πολίτευμα* ἐν οὐρανοῖς ἦν, ἔνδοξοι,* καὶ τὴν σάρκα φορούντων* ἔτι τὴν ἄσπιλον* οὓς εἰλικρινῶς νῦν οἰκοῦντες,* τοὺς ἐπὶ γῆς ἡμᾶς στρεφομένους* τὰ ἄνω πρεσβεύετε* καὶ φρονεῖν καὶ πραγματεύεσθαι.

Θεοτοκίον.

Μεγάλυνον, ψυχή μου,* τὴν τιμιωτέραν* καὶ ἐνδοξοτέραν* τῶν ἄνω στρατευμάτων.

Στενοῖ με τὸ πλάτος σου* τῶν μεγαλείων, Δέσποινα,* καταπνῖγον τὸν λόγον* ὑπὸ πυκνότητος* καί μοι παραδόξως συμβαίνει* τὸ ἀπορεῖν ἐκ τῆς εὐπορίας* διὸ τὸν τοσοῦτόν σε* μεγαλύναντα δοξάζομεν.

Ἕτερος τῶν ἁγίων. (Ἐξέστη ἐπὶ τούτῳ).

Μεγάλυνον, ψυχή μου,* τοὺς τῆς παναγίας* Τριάδος τρεῖς ποιμένας.

Ἐπήρθη τῆς Τριάδος ἡ ἀρετὴ* καὶ τὰ πάντα τῆς δόξης ἐπλήρωσεν,* ἄλλην ἡμῖν* αἴγλην ἀναλάμψασα τριλαμπῆ,* ὡς ἑαυτῆς ἀπαύγασμα,* τοὺς ἐπουρανίους μυσταγωγούς,* δι' ὧν ἐπὶ τὴν θείαν* ἐκείνης θεωρίαν* οἱ εὐσεβοῦντες ὁδηγούμεθα.

Μεγάλυνον, ψυχή μου,* τοὺς ἐκ τρισηλίου,* φωστῆρας τρεῖς μεγάλους.

Οὐκ ἔστι δευτερεῖον ἐν τοῖς τρισί* τὰ πρεσβεῖα γὰρ ἕκαστος φέρεται,* πρῶτος δοκῶν* καὶ τοὺς ὁμοτίμους ὑπερνικῶν* ἐξοικειοῦται μᾶλλον δὲ* τὴν ἀλλήλων νίκην

περιχαρῶς* οὐ χώρα γὰρ ἐνταῦθα* τῷ φθόνῳ, παῤῥησίας* λυμαινομένῳ τὴν ὁμόνοιαν.

Δόξα.

Μεγάλυνον, ψυχή μου,* τῆς τρισυποστάτου,* καὶ ἀδιαιρέτου* Θεότητος τὸ κράτος.

Πατέρας ἡ εὐσέβεια τοὺς αὐτῆς* πρωτοτόκους υἱοὺς ἀναδείξασα,* τέκνα γεννᾷ* γνήσια καὶ ἄμωμα δι' αὐτῶν,* τελειούμενα Πνεύματι* τῷ ζωὴν λαλήσαντι ἐν αὐτοῖς* καὶ σῴζειν ἐξαιτεῖται* εἰς τέλος τὴν εἰρήνην,* ἣν ἀπ' αὐτῶν ἐκληρονόμησε.

Καὶ νῦν. Θεοτοκίον.

Μεγάλυνον, ψυχή μου,* τὴν τιμιωτέραν* τῶν ἄνω στρατευμάτων.

Υἱὸν Θεοῦ τοῦ ζῶντος ἡ τῶν σοφῶν,* διδασκάλων ἀκρότης ἐκήρυξε* τὸν σὸν Υἱόν,* ἐξ ἀποκαλύψεως Πατρικῆς,* οὐκ ἐκ σαρκὸς καὶ αἵματος,* τοῦτο μυηθεῖσα, Μῆτερ Θεοῦ* διό σε καὶ Παρθένον* διδάξασα Μητέρα* καὶ Θεοτόκον ἐμεγάλυνε.

Καταβασία.

Θεοτόκε ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ... (σ. 731).

Ἐξαποστειλάριον. (Ὁ οὐρανὸν τοῖς ἄστροις).

Τὰ τοῦ φωτὸς δοχεῖα,* τὰς φεγγοβόλους ἀστραπάς,* Βασίλειον νῦν τὸν Μέγαν,* Γρηγόριον Θεολόγον,* Χρυσόστομον Ἰωάννην* ἀνευφημήσωμεν πάντες.

Ἕτερον. Ὅμοιον.

Ἡ ἐνιαία Θεότης,* Πατήρ, Υἱὸς καὶ τὸ Πνεῦμα,* ταῖς Βασιλείου πρεσβείαις,* Γρηγορίου καὶ Ἰωάννου* καὶ τῆς ἁγνῆς Θεοτόκου* μὴ χωρισθείην σῆς δόξης.

Θεοτοκίον. Ὅμοιον.

Χρυσοπλοκώτατε πύργε* καὶ δωδεκάτειχε πόλις,* ἡλιοστάλακτε θρόνε,* καθέδρα τοῦ βασιλέως,* ἀκατανόητον θαῦμα,* πῶς γαλουχεῖς τὸν Δεσπότην;

Εἰς τοὺς αἴνους, ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος β΄. (Ποίοις εὐφημιῶν στέμμασι).

Ποίοις εὐφημιῶν στέμμασι* στεφανώσωμεν τοὺς διδασκάλους;* τοὺς διηρημένους τοῖς σώμασι* καὶ συνημμένους τῷ Πνεύματι,* τοὺς τῶν θεοφόρων πρωτοστάτας,* Τριάδος* τοὺς ἰσαρίθμους καὶ θεράποντας,* φωστῆρας* τῆς οἰκουμένης διαλάμποντας,* τῆς Ἐκκλησίας τοὺς στύλους* οὓς στεφάνοις δόξης* ὡς νικήσαντας στεφανοῖ* Χριστὸς ὁ Θεὸς ἡμῶν* ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν* ἀναδήσωμεν τοὺς θεοφόρους;* τοὺς οὐρανομύστας καὶ κήρυκας* τῆς ὀρθοδοξίας ὑπάρχοντας,* τοὺς ἀκραιφνεστάτους θεολόγους,* τὸν μέγαν* ἱεροφάντορα Βασίλειον,* τὸν θεῖον* καὶ θεορρήμονα Γρηγόριον,* καὶ Ἰωάννην τὸν πάνυ* τὸν χρυσοῦν τὴν γλῶτταν* οὓς ἐδόξασεν ἡ Τριὰς* ἀξίως, ὁ Κύριος* ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ἐγκωμιῶν ῥήμασιν* ἐπαινέσωμεν τοὺς ἱεράρχας;* τοὺς ἰσαποστόλους ἐν χάριτι* καὶ ὁμοτίμους χαρίσμασι,* τοὺς τῆς ἀσεβείας καταλύτας,* σωτῆρας* καὶ ὁδηγοὺς λόγῳ καὶ πράγματι* ποιμένας* χριστομιμήτους διὰ πίστεως* τοὺς ἐπιγείους ἀγγέλους,* βροτοὺς οὐρανίους* οὓς ἐτίμησεν ὁ Χριστός,* τῆς δόξης ὁ Κύριος,* ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις εὐφημιῶν στέμμασι* καταστέψωμεν τὸν Χρυσολόγον,* ἅμα Βασιλείῳ Γρηγόριον;* τὰ σεπτὰ δοχεῖα τοῦ Πνεύματος,* τοὺς στερρροὺς τῆς πίστεως προμάχους,* τοὺς στύλους* τῆς Ἐκκλησίας, πιστῶν στήριγμα,* ἁπάντων* ἁμαρτανόντων παραμύθιον,* πηγὰς βλυζούσας τὸ νᾶμα,* ἐξ οὗ ἀρυόμενοι* ἡδυνόμεθα ταῖς ψυχαῖς* αἰτοῦντες συγχώρησιν* σφαλμάτων καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος ὁ αὐτός. (Σήμερον ὁ Χριστός).

Σήμερον αἱ ψυχαί* τῶν γηγενῶν ὑψοῦνται ἐκ γηΐνων.* Σήμερον οὐράνιοι γίνονται* τῶν ἁγίων ἐν τῇ μνήμῃ.* Αἱ γὰρ πύλαι τῶν οὐρανῶν ἐπαίρονται,* καὶ ἡμῖν τὰ τοῦ Δε-

σπότου γνωρίζονται.* Οἱ λόγοι τοὺς λόγους κηρύττουσι,* καὶ αἱ γλῶσσαι τὰ θαύματα μέλπουσιν·* ἡμεῖς δὲ πρὸς τὸν Σωτῆρα βοῶμεν·* Δόξα σοι Χριστῷ τῷ Θεῷ·* τοῖς γὰρ πιστοῖς εἰρήνη* διὰ τούτων ἐγεγόνει.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Σήμερον ὁ Χριστὸς* ἐν τῷ ναῷ προσφέρεται ὡς βρέφος.* Σήμερον ὑπὸ νόμον γίνεται* ὁ Μωσεῖ διδοὺς τὸν νόμον·* τῶν ἀγγέλων αἱ στρατιαὶ τεθάμβηνται* ἐν ἀγκάλαις γηραιαῖς κατεχόμενον* τὸν συνέχοντα πάντα θεώμεναι.* Συμεὼν εὐλαβείας πλησθεὶς καὶ χαρᾶς,* ἐβόα· Νῦν ἀπολύεις με, Σῶτερ,* ἐκ τῆς ἐπικήρου ζωῆς* πρὸς τὴν ἀγήρω λῆξιν·* εἶδον γάρ σε καὶ εὐφράνθην.

Δοξολογία μεγάλη... (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 701).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Προκείμενον. Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ΙΗ' Ἰανουαρίου (σ. 659).

Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλληλούϊα.



ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ

ΤΗ Α΄ ΦΕΒΡΟΥΑΡΙΟΥ

Τὰ προεόρτια τῆς Ὑπαπαντῆς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ μνήμη τοῦ ἁγίου μάρτυρος Τρύφωνος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ καθημερινῶν, σ. 239-240).

Εἰς τὸ Κύριε ἐκέκραξα, ψάλλομεν στιχηρὰ προσόμοια προεόρτια γ΄ καὶ τοῦ ἁγίου γ΄.

Προεόρτια. Ἦχος δ΄. (Ὡς γενναῖον ἐν μάρτυσι).

Ἡ σεπτὴ εὐτρεπίζεται* Ἐκκλησία εἰσδέξασθαι* ἐν αὐτῇ τὸν Κύριον ὥσπερ νήπιον* ἐπιδημοῦντα καὶ χάρισι* νοητῶς φαιδρύνοντα* τὸ πιστότατον αὐτῆς* καὶ φιλόθεον σύστημα΄* ᾧ καὶ κέκραγε΄* Σὺ εἶ δόξα καὶ κλέος* καὶ ὁ κόσμος* τοῦ πληρώματός μου, Λόγε,* ὁ νηπιάσας σαρκὶ δι' ἐμέ.

Ἡ παστὰς ἡ πολύφωτος* καὶ σκηνὴ ἡ ὑπέρτιμος,* καὶ ναὸς ὁ ἅγιος καὶ εὐρύχωρος,* ἔνδον θαλάμων εἰσάγουσα* τοῦ ναοῦ τὸν Κύριον,* προμνηστεύεται αὐτὸν* τῇ σεπτῇ Ἐκκλησίᾳ αὐτοῦ,* ἱκετεύουσα* ἐκ φθορᾶς καὶ κινδύνων* λυτρωθῆναι* τοὺς κυρίως Θεοτόκον* ταύτην ἀπαύστως δοξάζοντας.

Συμεὼν ἱερώτατε,* τὴν ἐλπίδα ἣν κέκτησαι* τὸν Χριστὸν θεάσασθαι, δεῦρο πρόσελθε* ἐν τῷ ναῷ καὶ ὑπόδεξαι* ἀγκάλαις καὶ βόησον΄* Νῦν ἀπόλυσον, Σωτήρ,* ἐκ τῆς γῆς

με τὸν δοῦλόν σου˙* καὶ συγκάλεσον* τὴν προφήτιδα Ἄνναν* τοῦ δοξάσαι* μετὰ σοῦ τὸν εὐεργέτην* σαρκὶ φρικτῶς νηπιάζοντα.

Τοῦ μάρτυρος. Ἦχος α΄. (Πανεύφημοι μάρτυρες).

Τρύφων παναοίδιμε, τρυφῆς* ἀκηράτου μέτοχος* ἐν οὐρανοῖς ἐχρημάτισας* διαφανέστατα,* γενικοὺς ἀγῶνας* διαθλήσας, ἔνδοξε,* καὶ μάρτυς ἀληθείας γενόμενος.* Χριστὸν ἱκέτευε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Τρύφων παναοίδιμε, φωτὸς* ἀϊδίου λάμψεσι* φωτοειδὴς ὅλος γέγονας,* καταστρεψάμενος* τὴν ζοφώδη πλάνην* καὶ τοὺς κοσμοκράτορας* τοῦ σκότους καθελὼν θείᾳ χάριτι˙* διὸ ἱκέτευε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Τρύφων παμμακάριστε, χαρᾶς* καὶ ἀγαλλιάσεως* ἀγγελικῆς κατηξίωσαι,* ἀπαρνησάμενος* τὰ τερπνὰ τοῦ βίου* καὶ ψυχῆς στερρότητι* τὰ πάντα παρ᾽ οὐδὲν ἡγησάμενος˙* καὶ καρτερώτατα* διανύσας τὸ μαρτύριον,* νῦν πρεσβεύεις* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος β΄. Κυπριανοῦ.

Υπερφρονήσας τῶν τῇδε γεηρῶν,* παμμάκαρ Τρύφων σεβάσμιε,* πρὸς τὸ σκάμμα ἀνδρείως ἔσπευσας˙* καὶ τῇ πάλῃ δι᾽ αἵματος* σὺ ἐντέχνως, μάρτυς,* τὸν ὑπερήφανον καθελὼν* ἐκομίσω τῆς νίκης στέφος.* Χριστὸν τὸν Θεὸν ἡμῶν* ἐκλιπαρῶν δι᾽ ἡμᾶς* μὴ ἐλλίπῃς, ἀθλοφόρε,* εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Σήμερον Συμεὼν ἐν ταῖς ἀγκάλαις* τὸν Κύριον τῆς δόξης ὑποδέχεται,* ὃν ὑπὸ τὸν γνόφον πρῴην* ὁ Μωϋσῆς ἐθεάσατο* ἐν τῷ ὄρει τῷ Σινᾷ* πλάκας δόντα αὐτῷ.* Οὗτός ἐστιν* ὁ ἐν τοῖς προφήταις λαλῶν* καὶ τοῦ νόμου ποιητής˙* οὗτός ἐστιν* ὃν ὁ Δαβὶδ καταγγέλλει,* ὁ τοῖς πᾶσι φοβερός,* ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Το Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας, τὸ Καταξίωσον, τὰ πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 230-231).

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια προεόρτια.
Ἦχος πλ. β'. (Τὴν ἀνάστασίν σου).

Σέλας τὸ τρισήλιον ἐμφανῶς* λάμψαν ἐκ Παρθένου καινοπρεπῶς,* ἀστραπαῖς τῆς ὑπερφώτου Θεότητος* ἐφαίδρυνε τὴν σύμπασαν ἀῤῥήτως.

Στίχ. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν.

Τὴν ἐκ παραβάσεως τοῦ Ἀδὰμ* πτῶσιν ἐνυπάρξασαν τοῖς βροτοῖς* ὁ Χριστὸς ἐπανορθώσων ἐπέφανεν,* ἀτρέπτως νηπιάσας ἐκ Παρθένου.

Στίχ. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Νόμον τὸν ἐν γράμματι ἐκπληρῶν* ὁ τοῦ νόμου Κύριος καὶ δοτήρ,* ἐν ναῷ τῷ νομικῷ νῦν προσάγεται* ὑπὸ Μητρὸς Παρθένου βρέφος θεῖον.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Τὸν ἱερὸν ἡ ἱερὰ* Παρθένος προσεκόμισεν* ἐν ἱερῷ τῷ ἱερεῖ* ἁπλώσας δὲ ἀγκάλας ὁ Συμεών,* ἐδέξατο τοῦτον ἀγαλλόμενος,* καὶ ἐβόησε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα,* κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, Κύριε.

Ἀπολυτίκιον τοῦ μάρτυρος.
Ἦχος δ'. (Ταχὺ προκατάλαβε).

Ὁ μάρτυς σου, Κύριε,* ἐν τῇ ἀθλήσει αὐτοῦ* τὸ στέφος ἐκομίσατο* τῆς ἀφθαρσίας* ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν·* ἔχων γὰρ τὴν ἰσχύν σου* τοὺς τυράννους καθεῖλεν* ἔθραυσε καὶ δαιμόνων* τὰ ἀνίσχυρα θράση.* Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός,* σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ προεόρτιον. Ἦχος α'. (Χορὸς ἀγγελικός).

Οὐράνιος χορὸς* οὐρανίων ἀψίδων* προκύψας ἐπὶ γῆς* καὶ φερόμενον βλέπων* ὡς βρέφος ὑπομάζιον* πρὸς ναὸν τὸν πρωτότοκον* πάσης κτίσεως* ὑπὸ Μητρὸς ἀπειράνδρου* προεόρτιον* νῦν σὺν ἡμῖν μελῳδοῦσι* φρικτῶς ἐξιστάμενοι.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου καθημερινῶν, σ. 138-151).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἀνωτέρω.

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.
Ἦχος α΄. (Χορὸς ἀγγελικός).

Ὢν σὺν τῷ Πατρὶ* ἐπὶ θρόνου ἁγίου,* ἐλθὼν ἐπὶ τῆς γῆς,* ἐκ Παρθένου ἐτέχθη* καὶ βρέφος ἐγένετο* χρόνοις ὢν ἀπερίγραπτος·* ὃν δεξάμενος* ὁ Συμεὼν ἐν ἀγκάλαις,* χαίρων ἔλεγε·* Νῦν ἀπολύεις, οἰκτίρμον,* εὐφράνας τὸν δοῦλόν σου.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.
Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Σαρκὶ νηπιάσαντα* ἐξ ἀπειράνδρου Μητρὸς* χερσὶ γηραλέαις σου* ἀγκαλισθείς, Συμεών,* Χριστὸν τὸν Θεὸν ἡμῶν,* ἔλαβες τῆς ἐξόδου* τὴν ἀπόφασιν δόξῃ·* εἴληφας τῶν θαυμάτων* τὴν ἀέναον χάριν·* διὸ ἀξιοχρέως σε* πάντες δοξάζομεν.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ὁ Ν΄ Ψαλμὸς (σ. 103) καὶ οἱ κανόνες, ὁ προεόρτιος καὶ ὁ τοῦ ἁγίου.

Κάθισμα τοῦ μάρτυρος.
Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Τῶν πόνων, μακάριε,* κατατρυφῶν τῆς σαρκός,* τὴν θείαν καὶ ἄπονον* ἐν παραδείσῳ τρυφὴν* ἀξίως ἀπείληφας,* στέφος ἀθανασίας* ἐκ Θεοῦ δεδεγμένος·* ὅθεν καὶ

ἰαμάτων* ποταμοὺς ἀναβλύζεις* τοῖς πόθῳ καταφεύγουσι,* μάρτυς, τῇ σκέπῃ σου.

Δόξα, καὶ νῦν. Προεόρτιον.

Ἦχος α΄. (Τοῦ λίθου σφραγισθέντος).

Θησαυρὲ τῶν αἰώνων,* ἡ ζωὴ τῶν ἁπάντων,* δι' ἐμὲ νηπιάσας* ὑπὸ νόμον ἐγένου* ὁ πάλαι χαράξας ἐν πλαξὶ* τὸν νόμον ἐν τῷ ὄρει τῷ Σινᾷ,* ἵνα πάντας ἀπαλλάξῃς* ἐκ τῆς τοῦ νόμου πάλαι δουλείας.* Δόξα τῇ εὐσπλαγχνίᾳ σου, Σωτήρ·* δόξα τῇ βασιλείᾳ σου·* δόξα τῇ οἰκονομίᾳ σου,* μόνε φιλάνθρωπε.

Κοντάκιον. Ἦχος πλ. δ΄. (Ὡς ἀπαρχάς).

Τριαδικῇ στερρότητι* πολυθεΐαν ἔλυσας* ἐκ τῶν περάτων, ἀοίδιμε, τίμιος* ἐν Κυρίῳ γενόμενος·* καὶ νικήσας τυράννους* ἐν Χριστῷ τῷ Σωτῆρι,* τὸ στέφος εἴληφας* τῆς μαρτυρίας σου* καὶ χαρίσματα θείων ἰάσεων* ὡς ἀήττητος.

Ὁ οἶκος. (Οἱ ἐν πάσῃ τῇ γῇ).

Ἱερὰν πανδαισίαν προτίθεται* φιλεόρτων τὸ σύστημα σήμερον* προεόρτια σύμβολα φέρουσαν,* τοῦ Κυρίου τεσσαρακονθήμερον* τὴν ἐκ Παρθένου φρικτὴν γέννησιν,* καὶ πρεσβύτου σεπτοῦ ἐναγκάλισιν,* καὶ σεπτοῦ ἀθλοφόρου μνημόσυνα·* διὰ τοῦτο τελειοῦται νικητικῶς* ὡς ἀήττητος.

Τὸ συναξάριον τοῦ Μηναίου.

Ἐξαποστειλάριον τοῦ μάρτυρος. (Ἐν πνεύματι).

Τρυφῇς κατεμφορούμενος* παραδόξου καὶ θείας,* ἀγγέλοις ὁμοδίαιτος* ἐχρημάτισας, μάκαρ,* καὶ χῆνας νέμων ἐν νάπαις* πρὸς Θεοῦ ἀπείληφας* τὴν χάριν τῶν ἰαμάτων,* Τρύφων μεγαλομάρτυς,* θεραπεύειν τῶν βροτῶν* τὰς ἀσθενείας καὶ νόσους.

Προεόρτιον, ὅμοιον.

Τὸν παῖδα προσκομίσασα* ἡ πανάμωμος Κόρη* ἐν ἱερῷ, τετέλεκε* τὰ τοῦ νόμου· καὶ τοῦτον* ἀγκάλαις ὡς ἐδέξατο* Συμεὼν ὁ δίκαιος,* ἀντέφησε τῇ Παρθένῳ·* Οὗτος

κεῖται εἰς πτῶσιν* καὶ ἀνάστασιν πολλῶν* καὶ εἰς σημεῖον ἐν κόσμῳ.

Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ προσόμοια προεόρτια. Ἦχος β'. (Οἶκος τοῦ Ἐφραθᾶ).

Ρύπου δίχα Χριστὸς* γεννᾶται ἐκ Παρθένου,* ὡς ἐκ Πατρὸς ἀῤῥεύστως* Υἱὸς πρὸ Ἑωσφόρου,* ὁ τὸν Ἀδὰμ λυτρούμενος.

Στίχ. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν.

Πύλαι τῶν οὐρανῶν,* ἀνοίχθητε· Χριστὸς γὰρ* ἐν τῷ ναῷ ὡς βρέφος* ὑπὸ Μητρὸς Παρθένου* Θεῷ Πατρὶ προσάγεται.

Στίχ. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Δέχου, ὦ Συμεών,* τὸν Κύριον τῆς δόξης,* καθὼς ἐχρηματίσθης* ἐκ Πνεύματος ἁγίου·* ἰδοὺ γὰρ παραγέγονε.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Οκτίστης οὐρανοῦ καὶ γῆς* ἐν ἀγκάλαις ἐβαστάζετο* ὑπὸ ἁγίου Συμεὼν τοῦ πρεσβύτου σήμερον·* αὐτὸς γὰρ ἐν Πνεύματι ἁγίῳ ἔλεγε·* Νῦν ἠλευθέρωμαι·* εἶδον γὰρ τὸν Σωτῆρά μου.

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τὸ τρισάγιον καὶ τὸ ἀπολυτίκιον.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς ξγ').

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου (η΄ 28-39).

Ἀδελφοί, οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.

Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὅς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὅς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; Καθὼς γέγραπται ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ι΄ 19-21).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ, κύριε τοῦ οὐρα-

νοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

ΤΗ Β' ΦΕΒΡΟΥΑΡΙΟΥ

Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) [καὶ τὴν α' στάσιν τοῦ Μακάριος ἀνήρ, σ. 217] εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς δευτεροῦντες αὐτά.

Ἦχος α'. Γερμανοῦ πατριάρχου.

Ἄγε, Συμεών,* τίνα φέρων ἐν ἀγκάλαις* ἐν τῷ ναῷ ἀγάλλῃ;* τίνι κράζεις καὶ βοᾷς·* Νῦν ἠλευθέρωμαι·* εἶδον γὰρ τὸν Σωτῆρά μου;* Οὗτός ἐστιν ὁ ἐκ Παρθένου τεχθείς·* οὗτός ἐστιν ὁ ἐκ Θεοῦ Θεὸς Λόγος,* ὁ σαρκωθεὶς δι' ἡμᾶς* καὶ σώσας τὸν ἄνθρωπον.* Αὐτὸν προσκυνήσωμεν. (Δὶς)

Ἔχου, Συμεών,* ὃν ὑπὸ τὸν γνόφον* Μωσῆς νομοθετοῦντα* προεώρα ἐν Σινᾷ,* βρέφος γενόμενον* νόμῳ ὑποτασσόμενον.* Οὗτός ἐστιν ὁ διὰ νόμου λαλήσας·* οὗτός ἐστιν ὁ ἐν προφῆταις ῥηθείς,* ὁ σαρκωθεὶς δι' ἡμᾶς* καὶ σώσας τὸν ἄνθρωπον.* Αὐτὸν προσκυνήσωμεν. (Δὶς)

Εὔτε καὶ ἡμεῖς* ᾄσμασιν ἐνθέοις* Χριστῷ συναντηθῶμεν* καὶ δεξώμεθα αὐτόν,* οὗ τὸ σωτήριον* ὁ Συμεὼν ἑώρακεν.* Οὗτός ἐστιν ὃν ὁ Δαβὶδ καταγγέλλει·* οὗτός ἐστιν ὁ ἐν προφήταις λαλήσας,* ὁ σαρκωθεὶς δι' ἡμᾶς* καὶ νόμῳ φθεγγόμενος.* Αὐτὸν προσκυνήσωμεν. (Δὶς)

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄. Ἰωάννου μοναχοῦ.

Ἀνοιγέσθω ἡ πύλη* τοῦ οὐρανοῦ σήμερον·* ὁ γὰρ ἄναρχος Λόγος τοῦ Πατρὸς* ἀρχὴν λαβὼν χρονικήν,* μὴ ἐκστὰς τῆς αὐτοῦ Θεότητος,* ὑπὸ Παρθένου ὡς βρέφος* τεσσαρακονθήμερον* Μητρὸς ἐκὼν προσφέρεται* ἐν ναῷ τῷ νομικῷ·* καὶ τοῦτον ἀγκάλαις* εἰσδέχεται ὁ πρέσβυς·* Ἀπόλυσον, κράζων* ὁ δοῦλος τῷ Δεσπότῃ·* οἱ γὰρ ὀφθαλμοί μου* εἶδον τὸ σωτήριόν σου.* Ὁ ἐλθὼν εἰς τὸν κόσμον* σῶσαι γένος ἀνθρώπων,* Κύριε, δόξα σοι.

Εἴσοδος, Φῶς ἱλαρόν, προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Α΄. Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (ιβ΄ 51 - ιγ΄ 16. Λευϊτ. 2-8. Ἀριθμ. 16-17).

Ἐλάλησε Κύριος πρὸς Μωσῆν τῇ ἡμέρᾳ ἐκείνῃ, ᾗ ἐξήγαγε τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, λέγων· Ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενὲς διανοῖγον πᾶσαν μήτραν ἐν τοῖς υἱοῖς Ἰσραήλ. Εἶπε δὲ Μωσῆς πρὸς τὸν λαόν· Μνημονεύετε τὴν ἡμέραν ταύτην, ἐν ᾗ ἐξήλθετε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγεν ὑμᾶς Κύριος ἐντεῦθεν. Καὶ φυλάξεσθε τὸν νόμον αὐτοῦ. Καὶ ἔσται, ὡς ἂν εἰσαγάγῃ σε Κύριος ὁ Θεὸς εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ ἀφοριεῖς πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικὰ τῷ Κυρίῳ. Ἐὰν δὲ ἐρωτήσῃ σε μετὰ ταῦτα ὁ υἱός σου λέγων· Τί τοῦτο; καὶ ἐρεῖς αὐτῷ· Ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. Ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ τοῦ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε Κύριος πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπὸ πρωτοτόκων ἀνθρώπων ἕως πρωτοτόκων κτηνῶν· διὰ τοῦτο ἐγὼ θύω τῷ Κυρίῳ πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικὰ καὶ πᾶν πρωτότοκον τῶν υἱῶν μου λυτρώσομαι. Καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ ἀσάλευτον πρὸ τῶν ὀφθαλμῶν σου· ὅτι οὕτως ἔφη Κύριος ὁ παντοκράτωρ· Ὅτι τὰ πρωτότοκα τῶν υἱῶν σου δώσεις ἐμοί.

Καὶ ἔσται πᾶς ὃς ἂν τέξῃ παιδίον ἄρσεν, τῇ ἡμέρᾳ τῇ ὀ-

γδόῃ περιτεμεῖ τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. Καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας οὐκ εἰσελεύσεται εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ πρὸς τὸν ἱερέα, ἕως πληρωθῶσιν αἱ ἡμέραι τῆς καθάρσεως. Καὶ μετὰ ταῦτα προσοίσει τῷ Κυρίῳ ἀμνὸν ἐνιαύσιον ἄμωμον εἰς ὁλοκαύτωμα καὶ νεοσσὸν περιστερᾶς ἢ τρυγόνος ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν ἱερέα· ἢ ἀντὶ τούτων προσοίσει ἔναντι Κυρίου δύο νεοσσοὺς περιστερῶν ἢ δύο τρυγόνας. Καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεύς· ὅτι ἀπόδομα ἀποδεδομένοι οὗτοί μοί εἰσιν ἐκ πάντων τῶν υἱῶν Ἰσραήλ· καὶ εἴληφα αὐτοὺς καὶ ἡγίασα αὐτοὺς ἐμοὶ ἀντὶ τῶν πρωτοτόκων τῶν Αἰγυπτίων, ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους· εἶπεν ὁ Θεὸς ὁ ὕψιστος, ὁ ἅγιος Ἰσραήλ.

Β'. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ς' 1-12).

Ἐγένετο τοῦ ἔτους, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί, καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὰ πρόσωπα αὐτῶν, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο. Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ. Καὶ εἶπον· Ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ καὶ τὸν βασιλέα Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου.

Καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφίμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τοῦ στόματός μου καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνομίας σου καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ εἶπον· Ἰδοὺ ἐγώ εἰμι· ἀπόστειλόν με. Καὶ

εἶπε· Πορεύθητι καὶ εἰπὲ τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσι καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. Καὶ εἶπα· Ἕως πότε, Κύριε; Καὶ εἶπεν· Ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γὴ καταλειφθήσεται ἔρημος. Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς γῆς.

Γ'. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ιθ' 1-21).

Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς. Καὶ ταραχθήσεται τὸ πνεῦμα αὐτῶν ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω, καὶ παραδώσω τὴν Αἴγυπτον εἰς χεῖρας κυρίων σκληρῶν· τάδε λέγει Κύριος σαβαώθ. Καὶ πίονται οἱ Αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται.

Τάδε λέγει Κύριος· Ποῦ εἰσι νῦν οἱ σοφοί σου, καὶ ἀναγγειλάτωσάν σοι καὶ εἰπάτωσαν, τί βεβούλευται Κύριος σαβαὼθ ἐπ' Αἴγυπτον; Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι ὡς γυναῖκες ἐν φόβῳ καὶ ἐν τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς Κυριου σαβαώθ, ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς. Καὶ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ, καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου, ὅτι κεκράξονται πρὸς Κύριον, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον, ὃς σώσει αὐτούς. Καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις, καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ποιήσουσι θυσίαν καὶ δῶρον, καὶ εὔξονται εὐχὰς τῷ Κυρίῳ καὶ ἀποδώσουσι.

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα.
Ἦχος βαρύς. Κοσμᾶ μοναχοῦ.

Κατακόσμησον τὸν νυμφῶνά σου, Σιών,* καὶ ὑπόδεξαι τὸν βασιλέα Χριστόν·* ἄσπασαι τὴν Μαριάμ,* τὴν ἐπουράνιον πύλην·* αὕτη γὰρ θρόνος* Χερουβικὸς ἀνεδείχθη·* αὕτη βαστάζει* τὸν βασιλέα τῆς δόξης·* νεφέλη φωτὸς* ὑπάρχει ἡ Παρθένος* φέρουσα ἐν σαρκὶ* Υἱὸν πρὸ Ἑωσφόρου·* ὃν λαβὼν Συμεὼν ἐν ἀγκάλαις αὐτοῦ,* ἐκήρυξε λαοῖς* Δεσπότην αὐτὸν εἶναι* ζωῆς καὶ τοῦ θανάτου,* καὶ Σωτῆρα τοῦ κόσμου.

Στίχ. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν.

Τὸν ἐκλάμψαντα πρὸ αἰώνων ἐκ Πατρός,* ἐπ' ἐσχάτων δὲ ἐκ μήτρας παρθενικῆς,* φέρουσα ἐν τῷ ναῷ* ἡ ἀπειρόγαμος Μήτηρ,* τὸν ἐν Σιναίῳ* νομοθετήσαντα ὄρει,* τῇ διατάξει* τῇ νομικῇ πειθαρχοῦντα* προσῆγεν ἱερεῖ* πρεσβύτῃ καὶ δικαίῳ* Χριστὸν τὸν Κύριον* ἰδεῖν χρηματισθέντι·* ὃν δεξάμενος Συμεὼν ἐν ταῖς ἀγκάλαις αὐτοῦ,* ἠγαλλιάσατο βοῶν·* Θεὸς ὑπάρχει οὗτος* Πατρὶ συναΐδιος,* καὶ Λυτρωτὴς τῶν ψυχῶν ἡμῶν.

Στίχ. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τὸν ὀχούμενον ἐν ἅρμασι Χερουβὶμ* καὶ ὑμνούμενον ἐν ᾄσμασι Σεραφὶμ* φέρουσα ἐν ἀγκάλαις* ἡ Θεοτόκος Μαρία,* ἀπειρογάμως* ἐξ αὐτῆς σαρκωθέντα,* τὸν νομοδότην νόμου* πληροῦντα νόμου τάξιν* ἐδίδου χερσὶ* πρεσβύτου ἱερέως·* ζωὴν δὲ φέρων* ζωῆς ἠτεῖτο λύσιν* λέγων· Δέσποτα, νῦν ἀπόλυσόν με* μηνύσαι τῷ Ἀδάμ,* ὡς εἶδον, ἄτρεπτον βρέφος* Θεὸν προαιώνιον,* καὶ Σωτῆρα τοῦ κόσμου.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'. Ἀνδρέου Κρήτης.

Οτοῖς Χερουβὶμ ἐποχούμενος* καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφὶμ* σήμερον τῷ θείῳ ἱερῷ* κατὰ νόμον προσφε-

ρόμενος,* πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις* καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται* δῶρα θεοπρεπῶς,* ὡς ζεῦγος τρυγόνων* τὴν ἀμίαντον Ἐκκλησίαν* καὶ τῶν ἐθνῶν τὸν νεόλεκτον λαόν·* περιστερῶν δὲ δύο νεοσσοὺς* ὡς ἀρχηγὸς Παλαιᾶς τε καὶ Καινῆς.* Τοῦ πρὸς αὐτὸν χρησμοῦ δὲ Συμεών* τὸ πέρας δεξάμενος,* εὐλογῶν τὴν Παρθένον* Θεοτόκον Μαρίαν,* τὰ τοῦ πάθους σύμβολα* τοῦ ἐξ αὐτῆς προηγόρευσε·* καὶ παρ' αὐτοῦ ἐξαιτεῖται* τὴν ἀπόλυσιν βοῶν·* Νῦν ἀπολύεις με, Δέσποτα,* καθὼς προεπηγγείλω μοι·* ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς* καὶ Σωτῆρα Κύριον* τοῦ Χριστωνύμου λαοῦ.

Ἀπολυτίκιον. Ἦχος α'.

Χαῖρε, κεχαριτωμένη* Θεοτόκε Παρθένε·* ἐκ σοῦ γὰρ ἀνέτειλεν* ὁ ἥλιος τῆς δικαιοσύνης* Χριστὸς ὁ Θεὸς ἡμῶν* φωτίζων τοὺς ἐν σκότει.* Εὐφραίνου καὶ σύ, πρεσβῦτα δίκαιε,* δεξάμενος ἐν ἀγκάλαις* τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν* χαριζόμενον ἡμῖν καὶ τὴν ἀνάστασιν. (Ἐκ γ').

Καὶ ἀπόλυσις.

Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὸ ἀπολυτίκιον ἐκ γ'.

[Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος].

Μετὰ τὴν α' στιχολογίαν κάθισμα.

Ἦχος α'. Αὐτόμελον.

Χορὸς ἀγγελικὸς* ἐκπληττέσθω τὸ θαῦμα·* βροτοὶ δὲ ταῖς φωναῖς* ἀνακράξωμεν ὕμνον* ὁρῶντες τὴν ἄφατον* τοῦ Θεοῦ συγκατάβασιν·* ὃν γὰρ τρέμουσι* τῶν οὐρανῶν αἱ δυνάμεις,* γηραλέαι νῦν* ἐναγκαλίζονται χεῖρες* τὸν μόνον φιλάνθρωπον.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.

Ἦχος α΄. (Τὸν τάφον σου, Σωτήρ).

Ὢν σὺν τῷ Πατρὶ* ἐπὶ θρόνου ἁγίου,* ἐλθὼν ἐπὶ τῆς γῆς,* ἐκ Παρθένου ἐτέχθη* καὶ βρέφος ἐγένετο,* χρόνοις ὢν ἀπερίγραπτος·* ὃν δεξάμενος* ὁ Συμεὼν ἐν ἀγκάλαις,* χαίρων ἔλεγε·* Νῦν ἀπολύεις, οἰκτίρμον,* εὐφράνας τὸν δοῦλόν σου.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὸν πολυέλεον, κάθισμα. Ἦχος δ΄. (Κατεπλάγη).

Νηπιάζει δι' ἐμὲ* ὁ παλαιὸς τῶν ἡμερῶν·* καθαρσίων κοινωνεῖ* ὁ καθαρώτατος Θεός,* ἵνα τὴν σάρκα πιστώσῃ μου τὴν ἐκ Παρθένου.* Καὶ ταῦτα Συμεὼν* μυσταγωγούμενος* ἐπέγνω τὸν αὐτὸν* Θεὸν φανέντα σαρκί·* καὶ ὡς ζωῆν ἠσπάζετο καὶ χαίρων* πρεσβυτικῶς ἀνεκραύγαζεν·* Ἀπόλυσόν με·* σὲ γὰρ κατεῖδον* τὴν ζωὴν τῶν ἁπάντων.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ΄.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχ. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (β΄ 25-33).

Τῷ καιρῷ ἐκείνῳ, ἦν ἄνθρωπος ἐν Ἱεροσολύμοις ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν· καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν

τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτος ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ καὶ εὐλόγησε τὸν Θεὸν καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραῆλ.

Ὁ Ν' Ψαλμός (σ. 103). Δόξα. Ταῖς τῆς Θεοτόκου.

Καὶ νῦν. Τὸ αὐτό. Εἶτα τὸ ἰδιόμελον. Ἦχος πλ. β'.

Ἀνοιγέσθω ἡ πύλη... (σ. 721).

Σῶσον, ὁ Θεός, τὸν λαόν σου... (σ. 104).

Ὁ κανών. Ποίημα Κοσμᾶ μοναχοῦ. Ἦχος γ'.

Ὠδὴ α'. Ὁ εἱρμός.

Χέρσον ἀβυσσοτόκον πέδον* ἥλιος* ἐπεπόλευσε ποτέ·* ὡσεὶ τεῖχος γὰρ ἐπάγη* ἑκατέρωθεν ὕδωρ* λαῷ πεζοποντοποροῦντι* καὶ θεαρέστως μέλποντι·* Ἄσωμεν τῷ Κυρίῳ·* ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια.

Ρανάτωσαν ὕδωρ νεφέλαι·* ἥλιος* ἐν νεφέλῃ γὰρ κούφῃ* ἐποχούμενος ἐπέστη* ἀκηρᾶτος ὠλέναις* Χριστὸς ἐν τῷ ναῷ ὡς βρέφος·* διό, πιστοί, βοήσωμεν·* Ἄσωμεν τῷ Κυρίῳ·* ἐνδόξως γὰρ δεδόξασται.

Ἰσχύσατε, χεῖρες Συμεών* τῷ γήρᾳ* ἀνειμέναι, καὶ κνῆμαι* παρειμέναι δὲ πρεσβύτου,* εὐθυβόλως κινεῖσθε* Χριστοῦ πρὸς ὑπαντήν. Χορείαν* σὺν ἀσωμάτοις στήσαντες,* ᾄσωμεν τῷ Κυρίῳ·* ἐνδόξως γὰρ δεδόξασται.

Συνέσει ταθέντες οὐρανοί* εὐφράνθητε,* ἀγάλλου δὲ ἡ γῆ·* ὑπερθέων γὰρ ἐκ κόλπων* ὁ τεχνίτης φοιτήσας,* Χριστὸς ὑπὸ Μητρὸς Παρθένου* Θεῷ Πατρὶ προσάγεται* νήπιος ὁ πρὸ πάντων·* ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Τὸ στερέωμα* τῶν ἐπὶ σοὶ πεποιθότων,* στερέωσον, Κύριε,* τὴν Ἐκκλησίαν,* ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι.

Τροπάρια.

Ὁ πρωτότοκος* ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων,* πρωτότοκος νήπιος* Κόρης ἀφθόρου* τῷ Ἀδὰμ χεῖρα προτείνων ἐπέφανε.

Νηπιόφρονα* τὸν γεγονότα ἀπάτῃ* πρωτόπλαστον, ἔμπαλιν* ἐπανορθώσων* Θεὸς Λόγος νηπιάσας ἐπέφανε.

Γῆς ἀπόγονον* παλινδρομήσασαν ταύτῃ,* Θεότητος σύμμορφον* φύσιν ὁ πλάστης* ὡς ἀτρέπτως νηπιάσας ἀνέδειξε.

Κάθισμα. Ἦχος δ'. (Κατεπλάγη Ἰωσήφ).

Ἐν τῷ ὄρει τῷ Σινᾷ* πάλαι κατεῖδε Μωϋσῆς* τὰ ὀπίσθια Θεοῦ,* καὶ ἀμυδρῶς θείας φωνῆς* κατηξιώθη ἐν γνόφῳ τε καὶ θυέλλῃ·* νῦν δὲ Συμεὼν* τὸν σαρκωθέντα Θεὸν* ἀτρέπτως δι' ἡμᾶς* ἐνηγκαλίσατο·* καὶ γεγηθὼς ἠπείγετο τῶν τῇδε* πρὸς τὴν ζωὴν τὴν αἰώνιον·* διὸ ἐβόα·* Νῦν ἀπολύεις* τὸν δοῦλόν σου, Δέσποτα.

Κοντάκιον αὐτόμελον. Ἦχος α'.
Ποίημα Ρωμανοῦ τοῦ μελῳδοῦ.

Ὁ μήτραν παρθενικὴν* ἁγιάσας τῷ τόκῳ σου* καὶ χεῖρας τοῦ Συμεὼν* εὐλογήσας, ὡς ἔπρεπε,* προφθάσας καὶ νῦν* ἔσωσας ἡμᾶς, Χριστὲ ὁ Θεός.* Ἀλλ' εἰρήνευσον* ἐν πολέμοις τὸ πολίτευμα* καὶ κραταίωσον* βασιλεῖς, οὓς ἠγάπησας,* ὁ μόνος φιλάνθρωπος.

Ὁ οἶκος. (Τὸ φοβερόν σου).

Τῇ Θεοτόκῳ προσδράμωμεν* οἱ βουλόμενοι* κατιδεῖν τὸν Υἱὸν αὐτῆς* πρὸς Συμεὼν ἀπαγόμενον·* ὅπερ οὐρανόθεν* οἱ ἀσώματοι βλέποντες* ἐξεπλήττοντο λέγοντες·* Θαυμαστὰ θεωροῦμεν* νυνὶ καὶ παράδοξα,* ἀκατάληπτα, ἄφραστα·* ὁ τὸν Ἀδὰμ γὰρ* δημιουργήσας* βαστάζεται ὡς

βρέφος᾽* ὁ ἀχώρητος χωρεῖται* ἐν ἀγκάλαις τοῦ πρεσβύτου᾽* ὁ ἐπὶ τῶν κόλπων* τῶν ἀπεριγράπτων* ὑπάρχων τοῦ Πατρὸς αὐτοῦ* ἑκὼν περιγράφεται* σαρκί, οὐ Θεότητι,* ὁ μόνος φιλάνθρωπος.

Συναξάριον.

Τῇ Β′ τοῦ αὐτοῦ μηνὸς ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ ὁ δίκαιος Συμεών.

Στίχοι.

Κόλπους Πατρὸς τυποῦσι τοῦ σοῦ, Χριστέ μου,
τοῦ Συμεὼν αἱ χεῖρες, αἳ φέρουσί σε.

Δέξατο δευτερίῃ Χριστὸν Συμεὼν παρὰ νηῷ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Ἀγαθοδώρου.

Αὐτῷ τῷ Θεῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος γ′.

Ὠδὴ α′.

Χέρσον ἀβυσσοτόκον... (σ. 727).

Ὠδὴ γ′.

Τὸ στερέωμα τῶν ἐπὶ σοί... (σ. 728).

Ὠδὴ δ′.

Ἐκάλυψεν οὐρανοὺς* ἡ ἀρετή σου, Χριστέ* τῆς κιβωτοῦ γὰρ προελθὼν* τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρός,* ἐν τῷ ναῷ τῆς δόξης σου ὤφθης* ὡς βρέφος ἀγκαλοφορούμενος᾽* καὶ ἐπληρώθη τὰ πάντα* τῆς σῆς αἰνέσεως.

Ὠδὴ ε′.

Ὡς εἶδεν Ἡσαΐας* συμβολικῶς ἐν θρόνῳ ἐπηρμένῳ Θεὸν* ὑπ᾽ ἀγγέλων δόξης* δορυφορούμενον,* ὦ τάλας! ἐβόα ἐγώ᾽* πρὸ γὰρ εἶδον σωματούμενον Θεὸν* φωτὸς ἀνεσπέρου* καὶ εἰρήνης δεσπόζοντα.

Ὠδὴ ς΄.

Ἐβόησέ σοι,* ἰδὼν ὁ πρέσβυς* τοῖς ὀφθαλμοῖς τὸ σωτήριον,* ὃ λαοῖς ἐπέστη·* Ἐκ Θεοῦ, Χριστέ, σὺ Θεὸς μου.

Ὠδὴ ζ΄.

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα* παῖδας θεολογήσαντας,* καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα* Θεὸν Λόγον ὑμνοῦμεν,* εὐσεβῶς μελῳδοῦντες·* Εὐλογητὸς ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἀστέκτῳ πυρὶ ἐνωθέντες* οἱ θεοσεβείας προεστῶτες νεανίαι,* τῇ φλογὶ δὲ μὴ λωβηθέντες,* θεῖον ὕμνον ἔμελπον·* Εὐλογεῖτε,* πάντα τὰ ἔργα, τὸν Κύριον,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἦχος γ΄.

Μεγαλυνάρια ψαλλόμενα ἐν τῇ ᾠδῇ ταύτῃ.

Ἀκατάληπτόν ἐστι* τὸ τελούμενον ἐν σοί* καὶ ἀγγέλοις καὶ βροτοῖς,* Μητροπάρθενε ἁγνή.

Ἀγκαλίζεται χερσὶν* ὁ πρεσβύτης Συμεὼν* τὸν τοῦ νόμου ποιητὴν* καὶ Δεσπότην τοῦ παντός.

Βουληθεὶς ὁ πλαστουργὸς* ἵνα σῶσῃ τὸν Ἀδάμ,* μήτραν ᾤκησε τὴν σὴν* τῆς Παρθένου καὶ ἁγνῆς.

Γένος ἅπαν τῶν βροτῶν* μακαρίζει σε, ἁγνή,* καὶ δοξάζει σε πιστῶς* ὡς Μητέρα τοῦ Θεοῦ.

Δεῦτε, ἴδετε Χριστὸν* τὸν Δεσπότην τοῦ παντός,* ὃν βαστάζει Συμεὼν* σήμερον ἐν τῷ ναῷ.

Ἐπιβλέπεις πρὸς τὴν γῆν* καὶ ποιεῖς τρέμειν αὐτήν·* καὶ πῶς γέρων κεκμηκὼς* σὲ κατέχει ἐν χερσί;

Ζήσας ἔτη Συμεὼν* ἕως εἶδε τὸν Χριστὸν* ἀνεβόα πρὸς αὐτόν·* Νῦν ἀπόλυσιν ζητῶ.

Ἡ λαβὶς ἡ μυστική,* ἡ τὸν ἄνθρακα Χριστὸν* συλλαβοῦσα ἐν γαστρί,* σὺ ὑπάρχεις, Μαριάμ.

Θέλων ἐνηνθρώπησας* ὁ προάναρχος Θεὸς* καὶ ναῷ προσφέρεσαι* τεσσαρακονθήμερος.

Κατελθόντ' ἐξ οὐρανοῦ* τὸν Δεσπότην τοῦ παντός,* ὑπεδέξατο αὐτὸν* Συμεὼν ὁ ἱερεύς.

Λάμπρυνόν μου τὴν ψυχὴν* καὶ τὸ φῶς τὸ αἰσθητόν,* ὅπως ἴδω καθαρῶς* καὶ κηρύξω σε Θεόν.

Ὁ εἱρμός.

Ἐν νόμου σκιᾷ καὶ γράμματι* τύπον κατίδωμεν οἱ πιστοί·* πᾶν ἄρσεν τὸ τὴν μήτραν* διανοῖγον ἅγιον Θεῷ·* διὸ πρωτότοκον Λόγον,* Πατρὸς ἀνάρχου Υἱόν,* πρωτοτοκούμενον Μητρὶ* ἀπειράνδρῳ μεγαλύνομεν.

Μητροπάρθενε ἁγνή,* τί προσφέρεις τῷ ναῷ* νέον βρέφος ἀποδοῦσ'* ἐν ἀγκάλαις Συμεών;

Ἐν νόμου σκιᾷ καὶ γράμματι...

Νῦν ἀπόλυσιν ζητῶ* ἀπὸ σοῦ τοῦ πλαστουργοῦ,* ὅτι εἶδόν σε, Χριστέ,* τὸ σωτήριόν μου φῶς.

Τοῖς πρὶν νεογνῶν τρυγόνων* ζεῦγος, δυάς τε ἦν νεοσσῶν·* ἀνθ' ὧν ὁ θεῖος πρέσβυς* καὶ σώφρων Ἄννα προφῆτις* τῷ ἐκ Παρθένου τεχθέντι* καὶ οἴῳ γόνῳ Πατρὸς* ἐν τῷ ναῷ προσιόντι,* λειτουργοῦντες ἐμεγάλυνον.

Ὃν οἱ ἄνω λειτουργοί* τρόμῳ λιτανεύουσι,* κάτω νῦν ὁ Συμεών* ἀγκαλίζεται χερσί.

Τοῖς πρὶν νεογνῶν τρυγόνων...

Δόξα.

Ἡ τῇ φύσει μὲν Μονάς,* τοῖς προσώποις δὲ Τριάς,* φύλαττε τοὺς δούλους σου* τοὺς πιστεύοντας εἰς σέ.

Ἀπέδωκάς μοι, ἐβόα* Συμεών, τοῦ σωτηρίου σου,* Χριστέ, ἀγαλλίασιν·* ἀπόλαβέ σου τὸν λάτριν* τὸν τῇ σκιᾷ κεκμηκότα,* νέον τῆς χάριτος* ἱεροκήρυκα μύστην* ἐν αἰνέσει μεγαλύνοντα.

Καὶ νῦν.

Θεοτόκε, ἡ ἐλπὶς* πάντων τῶν Χριστιανῶν,* σκέπε, φρούρει, φύλαττε* τοὺς ἐλπίζοντας εἰς σέ.

Ἱεροπρεπῶς ἀνθωμολογεῖτο* Ἄννα ὑποφητεύουσα* ἡ σώφρων καὶ ὁσία* καὶ πρεσβυρὰ τῷ Δεσπότῃ* ἐν τῷ ναῷ διαῤῥήδην* τὴν Θεοτόκον δέ,* ἀνακηρύττουσα πᾶσι* τοῖς παροῦσιν, ἐμεγάλυνεν.

Καταβασία.

Θεοτόκε, ἡ ἐλπὶς* πάντων τῶν Χριστιανῶν,* σκέπε, φρούρει, φύλαττε* τοὺς ἐλπίζοντας εἰς σέ.

Ἐν νόμου σκιᾷ καὶ γράμματι (ὡς ἀνωτέρω).

Ἐξαποστειλάριον αὐτόμελον.

Εν πνεύματι τῷ ἱερῷ* παραστὰς ὁ πρεσβύτης,* ἀγκάλαις ὑπεδέξατο* τὸν τοῦ νόμου Δεσπότην,* κραυγάζων· Νῦν τοῦ δεσμοῦ με* τῆς σαρκὸς ἀπόλυσον,* ὡς εἴρηκας, ἐν εἰρήνῃ* εἶδον γὰρ τοῖς ὀφθαλμοῖς* ἀποκάλυψιν ἐθνῶν* καὶ Ἰσραὴλ σωτηρίαν. (Ἐκ γ').

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.

Ἦχος δ'. (Ἔδωκας σημείωσιν).

Νόμον τὸν ἐν γράμματι* ἀποπληρῶν ὁ φιλάνθρωπος,* τῷ ναῷ νῦν προσάγεται* καὶ τοῦτον εἰσδέχεται* γηραιαῖς ἀγκάλαις* Συμεών ὁ πρέσβυς,* Νῦν ἀπολύεις με, βοῶν,* πρὸς τὴν ἐκεῖθεν μακαριότητα* κατεῖδον γάρ σε σήμερον* σάρκα θνητὴν περικείμενον,* τὸν ζωῆς κυριεύοντα* καὶ θανάτου δεσπόζοντα. (Δις)

Φῶς εἰς ἀποκάλυψιν* ἐθνῶν ἐπέφανας, Κύριε,* ἐπὶ κούφης καθήμενος* νεφέλης ὁ ἥλιος* τῆς δικαιοσύνης,* νόμου τὸ σκιῶδες* ἀποπληρῶν, καὶ τὴν ἀρχὴν* καθυποφαίνων τῆς νέας χάριτος* διό σε θεασάμενος* ὁ Συμεὼν ἀνεκραύγαζεν* Ἐκ φθορᾶς με ἀπόλυσον,* ὅτι εἶδόν σε σήμερον.

Κόλπων τοῦ Γεννήτορος* μὴ χωρισθεὶς τῇ Θεότητι,* σαρκωθεὶς ὡς εὐδόκησας,* ἀγκάλαις κρατούμενος*

τῆς ἀειπαρθένου,* χερσὶν ἐπεδόθης* τοῦ θεοδόχου Συμεών,* ὁ τῇ χειρί σου κρατῶν τὰ σύμπαντα * διό, Νῦν ἀπολύεις με,* περιχαρῶς ἀνεκραύγαζεν,* ἐν εἰρήνῃ τὸν δοῦλόν σου,* ὅτι εἶδόν σε, Δέσποτα.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄. Γερμανοῦ.

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς* τὴν σήμερον ἡμέραν* ὡς ἐφ' ἅρματος Χερουβὶμ* ἀνακλιθῆναι εὐδοκήσας,* Χριστὲ ὁ Θεός,* καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε* τῆς τῶν παθῶν τυραννίδος* ἀνακαλούμενος, ῥῦσαι* καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 725).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Ψάλλομεν τὰ παρόντα ἀντίφωνα.

Ἀντίφωνον Α΄. Ἦχος β΄.

Στίχ. α΄. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β΄. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

Στίχ. γ΄. Ἐξεχύθη χάρις ἐν χείλεσί σου.

Στίχ. δ΄. Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Δόξα, καὶ νῦν.

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. α΄. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι· Ἀλληλούια.

Στίχ. β΄. Καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε.

Στίχ. γ΄. Τὰ βέλη σου ἠκονημένα, δυνατέ· λαοὶ ὑποκάτω σου πεσοῦνται.

Στίχ. δ'. Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

Δόξα, καὶ νῦν.

Ὁ μονογενὴς Υἱός... (σ. 293).

Ἀντίφωνον Γ'. Ἦχος α'.

Στίχ. α'. Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου.

Χαῖρε, κεχαριτωμένη... (σ. 725).

Στίχ. β'. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Στίχ. γ'. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Εἰσοδικόν.

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον πάντων τῶν ἐθνῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τὸ ἀπολυτίκιον Χαῖρε, κεχαριτωμένη (σ. 725) καὶ τὸ κοντάκιον Ὁ μήτραν παρθενικὴν (σ. 728).

Προκείμενον. Ἦχος γ'. (Ὠδὴ τῆς Θεοτόκου).

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (ζ' 7-17).

Ἀδελφοί, χωρὶς πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ. Καὶ ὡς ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται· ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν· ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο· τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωϋσῆς ἐλάλησε. Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου· μαρτυρεῖ γάρ· Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (β' 22-40).

Τῷ καιρῷ ἐκείνῳ, ἀνήγαγον οἱ γονεῖς τὸ παιδίον Ἰησοῦν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου «ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται», καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, «ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν».

Καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ἱεροσολύμοις ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα ἦν ἅγιον ἐπ' αὐτόν· καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ καὶ εὐλόγησε τὸν Θεὸν καὶ εἶπε·

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. Καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον. Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.

Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ. Αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς, καὶ αὐτὴ χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἡ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Κυρίῳ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἰερουσαλήμ.

Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς τὴν πόλιν ἑαυτῶν Ναζαρέτ. Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό.

Εἰς τὸ Ἐξαιρέτως· τὸ Θεοτόκε ἡ ἐλπίς... Ἐν νόμου σκιᾷ καὶ γράμματι... (σ. 731).

Κοινωνικόν.

Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

ΤΗ Θ' ΦΕΒΡΟΥΑΡΙΟΥ

Γίνεται ἡ ἀπόδοσις τῆς ἑορτῆς καὶ ψάλλεται πᾶσα ἡ ἀκολουθία αὐτῆς ἐν τῷ Ἑσπερινῷ πλὴν τῶν ἀναγνωσμάτων (σ. 720-725), τῷ Ὄρθρῳ πλὴν τοῦ πολυελέου καὶ τοῦ Εὐαγγελίου (σ. 725-731) καὶ τῇ Θ. Λειτουργίᾳ (733-736). Ἀπόστολος ὅμως καὶ Εὐαγγέλιον λέγονται τὰ τῆς ἡμέρας.

Ἐὰν δὲ τὸ Τριῴδιον εἶναι πρῴιμον, ἡ ἀπόδοσις γίνεται ἐνωρίτερον, ὡς ὁρίζει τὸ τυπικὸν δι' ἑκάστην περίπτωσιν.

ΤΗ Ι΄ ΦΕΒΡΟΥΑΡΙΟΥ

Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Χαραλάμπους τοῦ θαυματουργοῦ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) |καὶ τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνὴρ (σ. 217)| εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ προσόμοια τοῦ ἁγίου ς΄.

Ἦχος πλ. β΄. (Ὅλην ἀποθέμενοι).

Ὅλος ἐκ νεότητος* ἀνατεθεὶς τῷ Δεσπότῃ,* τοῦτον ἐπεπόθησας* καὶ αὐτοῦ τοῖς ἴχνεσιν* ἠκολούθησας* καθαρθεὶς πάσης δὲ* τῶν παθῶν κηλῖδος,* θείαν χάριν κατεπλούτησας* τελεῖν ἰάματα* καὶ θαυματουργεῖν τὰ παράδοξα* καὶ μάρτυς ἐχρημάτισας,* πάσαις προσβολαῖς τῶν κολάσεων* ἀκλόνητος μείνας* δυνάμει τοῦ τυθέντος ἐν Σταυρῷ* ὃν ἐκτενῶς καθικέτευε* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἥλοις προσηλούμενος* σοῦ τὸ μακάριον σῶμα* τὸ καρτερικώτατον,* ἀθλητὰ Χαράλαμπες,* καὶ ἀήττητον,* τὴν ψυχὴν ἄτρεπτον* καὶ τὸν νοῦν ἄσυλον* διετήρεις, συντριβόμενος* θεῖος γὰρ ἔρως σε* ἔνδοθεν πλουσίως ἀνέφλεγε* καὶ φέρειν τῶν κολάσεων* ἅπασαν ἰδέαν ἠρέθιζε,* μάρτυς ἀθλοφόρε,* Χριστοῦ τῶν παθημάτων κοινωνέ* ὃν παῤῥησίᾳ ἱκέτευε* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Χαρὰν τὴν ὑπέρλαμπρον* καὶ τὴν ὑπέρτιμον δόξαν* ἀθλήσας κεκλήρωσαι* καὶ τὴν αἰωνίζουσαν* ἀγαλλίασιν,* ἱερεῦ ὅσιε,* ἀθλητὰ τίμιε,* στρατιῶτα γενναιότατε,* ὁ τὰ στρατεύματα* καὶ τὰς παρατάξεις τοῦ δράκοντος* αἱμάτων σου τοῖς ῥεύμασιν* ἄρδην κατακλύσας, τῇ χάριτι* καὶ θείᾳ ἐντεύξει* νεκροὺς ἐξαναστήσας ἀληθῶς* καὶ παῤῥησίᾳ δεόμενος* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα. Ἦχος δ΄. (Ἔδωκας σημείωσιν).

Ἔδωκας τὸ σῶμά σου* πρὸς τὰς βασάνους, ἀοίδιμε,* τὴν ψυχὴν δὲ ἐτήρησας* ἄμωμον, ἀκίβδηλον* πάσης ἁμαρτίας* καὶ τῆς δυσσεβείας,* τῶν παρανόμων αἱκιστῶν,* καὶ ἀνυψώσας τὸν νοῦν μετάρσιον,* πανόλβιε Χαράλαμπες,* πρὸς τὸν Δεσπότην καὶ πλάστην σου,* κατοικεῖν κατηξίωσαι* εἰς παστάδα οὐράνιον.

Ἔδωκας τοῖς δούλοις σου* τὸν σὸν θεράποντα, Κύριε,* Χαραλάμπη τὸν ἔνδοξον* ἴασιν ἀλάθητον* νόσων πολυτρόπων* καὶ παραμυθίαν* τῶν συμφορῶν καὶ λυπηρῶν* καὶ καθαιρέτην τῆς πλάνης μέγιστον·* διό σου τὴν φιλάνθρωπον* οἰκονομίαν δοξάζομεν,* πολυεύσπλαγχνε Κύριε* καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Χάριν, ἣν περ εἴληφας* παρὰ Θεοῦ ὑπὲρ ἔννοιαν,* ἀθλοφόρε Χαράλαμπες,* χάρις τῶν ἰάσεων* πᾶσι παρεμφαίνει,* καὶ τῶν θαυμασίων* ἡ ἀναρίθμητος πληθὺς* τὰς δωρεάς σου κηρύττει, ἅγιε,* ἃς ὄντως ὑπὲρ λόγον τε* καὶ νοῦν ἀπείληφας, ἔνδοξε,* πρὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν* τῶν μαρτύρων ἀγλάϊσμα.

Δόξα. Ἦχος δ'.

Θυσας τῷ Θεῷ* θυσίαν αἰνέσεως,* ἱερουργῶν τῷ Δεσπότῃ καὶ κτίστῃ σου* ὡς ἱερεὺς ἐννομώτατος,* οὗ καὶ τοῦ πάθους γέγονας μιμητής,* θεόφρον Χαράλαμπες·* σεαυτὸν γὰρ θυσίαν* εὐπρόσδεκτον προσήγαγες* τῷ διὰ σὲ θυσίαν ἑαυτὸν* τῷ Θεῷ καὶ Πατρὶ προσαγαγόντι.* Διὸ συναγάλλῃ αὐτῷ* εἰς οὐρανίους σκηνώσεις* ἐν Ἐκκλησίᾳ τῶν πρωτοτόκων·* ᾧ καὶ πρεσβεύεις ἀδιαλείπτως,* ἵνα ῥυσθῶμεν ὀργῆς καὶ θλίψεως* οἱ τιμῶντές σου τὴν πανέορτον μνήμην* καὶ πόθῳ ζέοντι* προσκυνοῦντες τὴν σὴν κάραν,* τὴν ἄπειρα θαύματα βρύουσαν* καὶ λοιμώδη νόσον* ἐκποδὼν ποιουμένην* σωτηρίαν τε καὶ ἴασιν* ἡμῖν βραβεύουσαν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ Θεοπάτωρ... (σ. 427).

Εἶτα ὁδός. Φῶς ἱλαρόν, προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Α΄. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (μγ΄ 9-14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

Β΄. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ (σ. 635).

Γ΄. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα (ε΄ 15 - ς΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι (σ. 635).

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
Ἦχος α΄. (Πανεύφημοι μάρτυρες).

Πανεύφημε μάρτυς τοῦ Χριστοῦ,* ἀθλητὰ Χαράλαμπες,* σὺ τὸν Χριστὸν ἀνεκήρυξας* Θεὸν καὶ ἄνθρωπον* μέσον τοῦ σταδίου* διὸ καὶ ἠγώνισαι* κατὰ τῶν ἀντιπάλων, ῥωννύμενος* σθένει τοῦ Πνεύματος,* καὶ τὸν στέφανον ἀπείληφας* ὅθεν πάντες* τὴν κάραν σου σέβομεν.

Στιχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ἀβρύνεται σήμερον Ἑλλὰς* πᾶσα ἡ χριστώνυμος·* κάραν τὴν σὴν γὰρ ἐκτήσατο* ὡς κρήνην βρύουσαν* ἰα-

μάτων ῥεῖθρα* καὶ πλοῦτον ἀδάπανον,* καὶ χάριν κενουμένην μηδέποτε,* νόσους τ᾽ ἐλαύνουσαν,* λοιμικήν τε τὴν πολύφθορον* ἐξ ἀνθρώπων* τῶν μακαριζόντων σε.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Νεκρὸν ἀναστήσας δι᾽ εὐχῆς,* ἀσεβεῖς κατέπτηξας,* ἐξ ὧν καὶ πλείστους προσήγαγες* Χριστῷ, πανόλβιε* καὶ τὸν δαιμονῶντα* εὐθὺς ἰασάμενος,* Γαλήνην βασιλίδα ἀνείλκυσας* τῆς πλάνης δαίμονος* καὶ Χριστῷ ταύτην προσήγαγες* ἑστεμμένην* ὡς παρθενομάρτυρα.

Δόξα. Ἦχος δ΄.

Τὸν νοερὸν ἀδάμαντα* τῆς ὑπομονῆς, ἀδελφοί,* τὸν γενναιότατον ἀθλητήν,* τὸν δυσὶ στέμμασι κατεστεμμένον,* ἱερωσύνης καὶ ἀθλήσεως,* παρὰ τῆς δεξιᾶς τοῦ παντάνακτος Θεοῦ,* Χαραλάμπη τὸν ἐν μάρτυσι μέγιστον* εὐφημήσωμεν.* Οὗτος γὰρ τὸν ἀλάστορα καταπαλαίσας* τρόπαιον μέγα* κατὰ τῆς πλάνης ἀνεστήσατο.* Καὶ νῦν ἐν οὐρανοῖς τὸν Θεὸν ἐξαιτεῖται* ἄφεσιν ἁμαρτιῶν ἡμῖν παρασχεῖν* καὶ παντοίων νόσων ἀπαλλαγήν,* τοῖς θερμῶς προστρέχουσιν αὐτῷ* καὶ τὴν ἁγίαν αὐτοῦ κάραν* εὐλαβῶς ἀσπαζομένοις* καὶ τὴν ἐτήσιον αὐτοῦ μνήμην* μετὰ πόθου τελοῦσι* καὶ αἰτουμένοις δι᾽ αὐτοῦ τὸν Θεὸν* ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων* τοὺς δούλους σου φύλαττε,* εὐλογημένη Θεοτόκε,* ἵνα σε δοξάζωμεν* τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Ὡς στῦλος ἀκλόνητος* τῆς Ἐκκλησίας Χριστοῦ* καὶ λύχνος ἀείφωτος τῆς οἰκουμένης, σοφέ,* ἐδείχθης, Χαράλαμπες·* ἔλαμψας ἐν τῷ κόσμῳ* διὰ τοῦ μαρτυρίου·* ἔλυσας τῶν εἰδώλων* τὴν σκοτόμαιναν, μάκαρ·* διὸ ἐν παῤῥησίᾳ Χριστῷ* πρέσβευε σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον... (σ. 428).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἀνωτέρω.

[Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος].

Μετὰ την α΄ στιχολογίαν, κάθισμα.

Ἦχος γ΄. (Θείας πίστεως).

Ἔργοις ἔλαμψας* τῆς εὐσεβείας,* πλάνην ἔσβεσας* κακοδοξίας* ὡς τοῦ Χριστοῦ στρατιώτης, Χαράλαμπες,* καὶ παρανόμων τὰς φάλαγγας ἤσχυνας,* τροπαιοφόρος, παμμάκαρ, γενόμενος.* Μάρτυς ἔνδοξε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θαῦμα μέγιστον!* πῶς ἐν ἀγκάλαις* σὺ ἐβάστασας,* Παρθενομῆτορ,* τὸν ἐν δρακὶ αὐτοῦ τὰ πάντα συνέχοντα* καὶ ἐκ μαζῶν σου ἐξέθρεψας γάλακτι* τὸν τροφοδότην καὶ πλάστην τῆς φύσεως.* Κόρη πάναγνε,* αὐτὸν ἐκτενῶς ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.

Ἦχος δ΄. (Ἐπεφάνης σήμερον).

Ὡς φωστὴρ ἀνέτειλας* ἐκ τῆς Ἑῴας* καὶ πιστοὺς ἐφώτισας* ταῖς τῶν θαυμάτων σου βολαῖς,* ἱερομάρτυς Χαράλαμπες* ὅθεν τιμῶμεν τὰ θεῖά σου λείψανα.

Δόξα. Ὅμοιον.

Ἱερὸν τὸ Πνεῦμά σε,* ἱερομάρτυς,* ἱερῶς ἀνέδειξε* τὸ ἱερὸν θῦμα, σοφέ,* προσενεχθέν, ἱερώτατε,* τῷ θείῳ λόγῳ,* ᾧ θείως δεδόξασαι.

Καὶ νῦν. Θεοτοκίον.

Μωϋσῆς ἑώρακε* πυρφόρον βάτον* σέ, τὸ πῦρ βαστάσασαν* τὸ τὰς ψυχὰς φωταγωγοῦν,* καὶ μὴ φλεχθεῖ-

σαν, Πανάμωμε,* δρόσου δὲ μᾶλλον* πλησθεῖσαν τῆς χάριτος.

Μετὰ τὸν πολυέλεον, κάθισμα.
Ἦχος γ΄. (Τὴν ὡραιότητα.)

Τὴν καθαρότητα,* μάρτυς, τοῦ βίου σου* καὶ τὸ ὑπέρλαμπρον* τοῦ μαρτυρίου σου* καταπλαγεῖσα ἡ Ἑλλὰς* βοᾷ σοι εὐφραινομένη·* Σήμερον τιμῶμέν σου* κεφαλὴν τὴν σεβάσμιον·* θραῦσον τὰ φρυάγματα* τῶν ἐχθρῶν ἡμῶν, ἅγιε,* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν κινδύνων* καὶ νοσημάτων τοὺς ὑμνοῦντάς σε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὴν ἀπειρόγαμον* Θεογεννήτριαν,* τὴν τὸν ἀχώρητον* γαστρὶ χωρήσασαν* καὶ τὸν τροφέα τοῦ παντὸς* τῷ γάλακτι θρεψαμένην,* μόνην ἐξισχύσασαν* τῆς κατάρας λυτρώσασθαι* γένος τὸ ἀνθρώπινον,* τὴν πανάχραντον Δέσποιναν,* ὑμνήσωμεν συμφώνως βοῶντες·* Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ΄.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ιθ΄ 12-20).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντι-

στῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Εἶτα ὁ Ν΄ Ψαλμός (σ. 103). Δόξα. Ταῖς τοῦ ἀθλοφόρου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με, ὁ Θεός.

Καὶ τὸ ἰδιόμελον. Ἦχος πλ. β΄.

Φάλαγγα θεοστεφῆ* φωτοφανοῦς μάρτυρος* ὑπὲρ Χριστοῦ τυθεῖσαν προθύμως,* τὸν ἁγιόλεκτον συνασπισμὸν* τοῦ ἱερομάρτυρος Χαραλάμπους,* φιλομάρτυρες, δεῦτε τιμήσωμεν,* καὶ τὴν πανίερον μνήμην αὐτοῦ* πνευματικῶς τελέσαντες,* πρὸς αὐτὸν βοήσωμεν·* Τῆς λοιμικῆς ἀπειλῆς* τὸν εὐσεβόφρονα λαόν σου ἐλευθέρωσον,* καὶ λύτρωσαι ἡμᾶς* ἀπὸ πάσης περιστάσεως.

Οἱ κανόνες τῆς Θεοτόκου καὶ οἱ δύο τοῦ ἁγίου.

Κανὼν α΄ τοῦ ἁγίου. Ἦχος πλ. β΄.

Ὠδὴ α΄. (Ὡς ἐν ἠπείρῳ πεζεύσας).

Χοροβατῶν εὐφροσύνως* τὰ νοητὰ* οὐρανῶν σκηνώματα* καὶ λαμπόμενος φωτὶ* ἀνεσπέρῳ, ῥῦσαί με παθῶν* ταῖς πρεσβείαις σου, σοφέ,* ὅπως ὑμνήσω σε.

Ηφωτοφόρος σου μνήμη* ἡλιακὰς* ἀπαστράπτει χάριτας* καὶ φωτίζει τοὺς πιστῶς* ἐν αὐτῇ τιμῶντάς σε, χαρᾶς* λαμπροτάτης ἀληθῶς,* μάρτυς, ἐπώνυμε.

Ταῖς τῶν αἱμάτων ῥανίσι* τὴν ἁλμυρὰν* ἀπιστίας θάλασσαν* κατακλύσας, ποταμὸς* εὐσεβείας γέγονας, Χριστοῦ* καταρδεύων ἀληθῶς* τὴν Ἐκκλησίαν ἀεί.

Θεοτοκίον.

Αμαρτιῶν καταιγίδες* καὶ λογισμῶν* ἐναντία κύματα* καὶ παθῶν ἐπαγωγαί* ἐπ᾽ ἐμὲ διήλθοσαν· τῇ σῇ,* Θεοτόκε, κραταιᾷ* πρεσβείᾳ σῶσόν με.

Κανὼν β′. Ἦχος δ′.

Ὠδὴ α′. (Ἀνοίξω τὸ στόμα μου).

Τὴν κάραν τὴν πάνσεπτον* καὶ τὰ παλαίσματα, Κύριε,* ὑμνεῖν ἐφιέμενος* τοῦ σοῦ θεράποντος,* θείαν ἔλλαμψιν* ἐξ ὕψους ἐξαιτοῦμαι,* δι' ἧς ἀναμέλψασθαι* ταῦτα δυνήσομαι.

Σεβῆρον τὸν ἄθεον,* τὸν ὠρυόμενον λέοντα,* καθεῖλες, Χαράλαμπες,* σὺν Κρίσπῳ ἄφρονι,* τὴν δυσσέβειαν* τὴν τούτων ἀπελέγξας* ἀνθ' ὧν ἐστεφάνωσαι* χειρὶ τοῦ κτίστου σου.

Βασίλειον κόσμον σε* ἡ Ἐκκλησία ἐκτήσατο,* δαιμόνων διώκτην τε,* θεῖε Χαράλαμπες,* νοσημάτων τε* παντοίων ἐλατῆρα* διὸ ἑορτάζει σου* τὴν μνήμην, ἅγιε.

Θεοτοκίον.

Μαρίαν τὴν ἄχραντον* καὶ Θεοτόκον ὑμνήσωμεν,* τὸ ὄρος τὸ ἅγιον,* στάμνον τὴν πάγχρυσον,* τὴν βαστάσασαν* τὸ φύσει θεῖον μάννα,* τὸ τρέφον ἑκάστοτε* πιστοὺς τῇ χάριτι.

Ὠδὴ γ′. (Οὐκ ἔστιν ἅγιος ὡς σύ).

Οὐκ ἔστιν ὅλως ἐξειπεῖν* τῶν θαυμάτων τὰ πλήθη,* ἅπερ ἔδρασας, ἔτι* ἐν τῷ βίῳ περιὼν* καὶ πρὸς Θεὸν μετελθών,* ἀθλοφόρε* μάρτυς ἀξιάγαστε.

Δυνάμει θείᾳ κρατυνθείς,* τὸ ἀνίσχυρον θράσος* τῶν ἀνόμων καθεῖλες* στρατιώτης ὡς στερρός,* Χαράλαμπες ἀθλητά,* ὡς ὁπλίτης* θείας παρατάξεως.

Αἱμάτων ῥεύσαντες κρουνοί* σοῦ τοῦ σώματος, πᾶσαν* ἀσεβείας τὴν φλόγα* καὶ δεινὴν πυρκαϊὰν* κατέσβεσαν τῆς τρυφῆς* τὸν χειμάρρουν* σοὶ δὲ προεξένησαν.

Θεοτοκίον.

Ἁγίων ἅγιον Θεόν,* τέτοκας, Παναγία,* ἁγιότητος οἶκος* δεδειγμένη καθαρὸς* καὶ πύλη, μόνος Χριστὸς* ἣν διῆλθε,* σῴζων τὸ ἀνθρώπινον.

Κανὼν δεύτερος. (Τοὺς σοὺς ὑμνολόγους).

Τοὺς σοὺς ὑμνολόγους, θεοφόρε,* πιστῶς συνελθόντας ἐν ναῷ* τὴν κάραν προσκυνῆσαί σου* τὴν θείαν καὶ σεβάσμιον,* φρούρει καὶ διαφύλαττε* σκανδάλων τοῦ πολεμήτορος.

Νεκρὸν νεανίαν ἀναστήσας,* δαιμόνων ὀφθεὶς τε ἐλατήρ,* πλήθη βροτῶν ἐξέστησας* καὶ τῷ Χριστῷ προσήγαγες,* μαρτυρικῷ ἐν αἵματι* χειρῶν ἁρπάσας τοῦ δράκοντος.

Δεῦτε, ἡ πληθὺς τῶν Χριστωνύμων,* Κυρίου τὸν μάρτυρα πιστῶς* αἰνέσωμεν καὶ στέψωμεν* αὐτοῦ τὴν κάραν ᾄσμασι* πνευματικοῖς τὴν πάνσεπτον,* πταισμάτων λύσιν ὡς εὕρωμεν.

Θεοτοκίον.

Υἱὸν τοῦ Θεοῦ τὸν Θεὸν Λόγον,* τὸν κόσμῳ ἀχώρητον παντί,* ἐν σῇ γαστρὶ χωρήσασα,* ἀγκάλαις σου ἐβάστασας,* Παρθενομῆτορ ἄχραντε,* Χριστιανῶν καταφύγιον.

Καθίσματα. Ἦχος γ΄. (Θείας πίστεως).

Στῦλος ἄσειστος* τῆς Ἐκκλησίας,* λύχνος ἄσβεστος* τῆς οἰκουμένης,* ἀθλοφόρε, ἀνεδείχθης, Χαράλαμπες·* καὶ ἀναλάμψας ἡλίου φαιδρότερον,* τὴν τῶν εἰδώλων ἐλαύνεις σκοτόμαιναν.* Μάρτυς ἔνδοξε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος α΄. (Τὸν τάφον σου Σωτήρ).

Τὰ στίφη τῶν πιστῶν* εὐσεβῶς συνελθόντα,* τὸν μάρτυρα Χριστοῦ* Χαραλάμπη τὸν μέγαν* ἀξίως εὐφημήσωμεν,* εὐσεβείας τὸν πρόμαχον* ἀδαμάντινον* καὶ δυσσεβῶν καθαιρέτην,* τὸν κηρύξαντα* Θεὸν τοῦ σύμπαντος κόσμου* Χριστὸν τὸν Θεάνθρωπον.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία, τὸ σεπτὸν* τοῦ Δεσπότου δοχεῖον,* ἀνάστησον ἡμᾶς* πεπτωκότας εἰς χάος* δεινῆς ἀπογνώσεως*

καὶ πταισμάτων καὶ θλίψεων·* σὺ γὰρ πέφυκας* ἁμαρτωλῶν σωτηρία* καὶ βοήθεια* καὶ κραταιὰ προστασία,* καὶ σῴζεις τοὺς δούλους σου.

Κοντάκιον. Ἦχος δ'. (Ἐπεφάνης).

Θησαυρὸν πολύτιμον* ἡ Ἐκκλησία* τὴν σὴν κάραν κέκτηται,* ἱερομάρτυς ἀθλητά,* τροπαιοφόρε Χαράλαμπες·* διὸ καὶ χαίρει* τὸν κτίστην δοξάζουσα.

Ὁ οἶκος.

Τὸν στερρὸν ὁπλίτην* καὶ Χριστοῦ στρατιώτην* καὶ μέγαν ἐν μάρτυσι,* Χαραλάμπη τὸν πανένδοξον* συνελθόντες εὐφημήσωμεν·* ὑπὲρ Χριστοῦ γὰρ καὶ τῆς ἀληθείας* λαμπρῶς ἠγωνίσατο* καὶ τὴν ὀρθόδοξον πίστιν* τρανῶς ἀνεκήρυξε,* τὴν πλάνην τῶν εἰδώλων κατήργησε,* βασιλέα παρανομώτατον ἤλεγξε* καὶ τὴν κᾶραν ἐτμήθη* χαίρων καὶ ἀγαλλόμενος·* διὸ καὶ τὸν στέφανον εἴληφε* παρὰ τῆς δεξιᾶς τοῦ Ὑψίστου* καὶ συμπολίτης ἀγγέλων ἐγένετο.* Ὅθεν ἡ Ἐκκλησία τῶν ὀρθοδόξων,* τούτου τὴν πάντιμον κάραν* κατασπαζομένη* καὶ εὐφημίαις καταστέφουσα* καὶ πολλῶν δεινῶν καὶ νόσων* ἀπαλλαττομένη,* χαίρει, τὸν κτίστην δοξάζουσα.

Συναξάριον.

Τῇ Ι' τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Χαραλάμπους.

Στίχοι.

Κατηξιώθης, Χαράλαμπες, ἐκ ξίφους
καὶ λαμπρότητος καὶ χαρᾶς τῶν μαρτύρων.

Τῇ δεκάτῃ, Χαράλαμπες, ἐὸν τμήθης ἀπὸ λαιμόν.

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες Βάπτος καὶ Πορφύριος, οἱ τιμωροῦντες τὸν ἅγιον Χαραλάμπη, ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ αἱ πιστεύσασαι ἅγιαι τρεῖς γυναῖκες ξίφει τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων καὶ παρθένων Ἐνναθᾶ, Οὐαλεντίνης καὶ Παύλου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀναστασίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ζήνωνος.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Καταβασίαι Ἀνοίξω τὸ στόμα μου (σ. 106). Ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία Ἅπας γηγενής, (σ. 120).

Ἐξαποστειλάριον. (Γυναῖκες, ἀκουτίσθητε).

Ἐνθέως πυρσευόμενος* τῷ πόθῳ τοῦ παντάνακτος,* τὸν ὑπερήφανον ὄφιν* ἀνδρείως, μάκαρ, καθεῖλες,* καὶ τύραννον ἀπάνθρωπον,* Σεβῆρον τὸν παράφρονα,* ἤλεγξας, ὦ Χαράλαμπες,* καὶ τὸν μισθὸν ἐκομίσω* παρὰ τοῦ πάντων Δεσπότου.

Θεοτοκίον.

Μαρία, καταφύγιον,* Χριστιανῶν τὸ καύχημα,* φύλαττε, σκέπε σοὺς δούλους* ἐκ πάσης βλάβης ἀτρώτους* κινδύνων τ' ἐξελοῦ ἡμᾶς* τοὺς πόθῳ εὐφημοῦντάς σε* καὶ πάσης περιστάσεως,* ταῖς σαῖς πρεσβείαις χρωμένη* πρὸς τὸν Υἱὸν καὶ Θεόν σου.

Εἰς τοὺς αἴνους ψάλλομεν στιχηρὰ προσόμοια γ', δευτεροῦντες τὸ πρῶτον.

Ἦχος α'. (Τῶν οὐρανίων ταγμάτων).

Οἱ τῆς Ἑλλάδος νῦν παῖδες,* δεῦτε συνδράμετε* καὶ τὴν τιμίαν κάραν* κατασπάσασθε πάντες* τοῦ θείου Χαραλάμπους,* τὴν τὸν Χριστὸν* ἐν σταδίῳ κηρύξασαν* καὶ ἀπελέγξασαν πλάνην τῶν δυσσεβῶν* καὶ τὸν κτίστην μεγαλύνασαν. (Δις)

Τοῖς οὐρανίοις ἀγγέλοις* νῦν συνηρίθμησαι* καὶ παρεστὼς Τριάδι* τῇ ἁγίᾳ, τρισμάκαρ,* αὐτὴν καθικετεύεις* ὑπὲρ ἡμῶν* τῶν ἐν πίστει τιμώντων σου* τὴν πανσεβάσμιον κάραν καὶ τῶν δεινῶν* αἰτουμένων ἀπολύτρωσιν.

Λαμπροφανῆς καὶ πανένδοξος* ἀνατέταλκεν* ἐν τῇ Ἑλλάδι πάσῃ* ἡ πανέορτος μνήμη* τοῦ θείου Χαραλάμπους* διό περ λαμπρῶς* ἑορτάζει κατέχουσα* τὴν πανσεβάσμιον κάραν, τὴν τὸν Χριστὸν* ὡς Θεάνθρωπον κηρύξασαν.

Δόξα. Ἦχος πλ. α'.

Ὥσπερ ἀλάβαστρον πλῆρες* ἡ τιμία σου κάρα, θεσπέσιε,* προχέει οἷόν τι μύρον πολύτιμον* τὰ ἰάματα* τούς τε πιστοὺς εὐωδιάζει θαυμασίως,* καὶ τοὺς μετὰ πίστεως αὐτῇ προσιόντας* τῶν δεινῶν πάντων ῥύεται* τὴν δυσώδη τε πλάνην* καὶ νόσους παντοίας* καὶ τὴν πανώλη λοιμικὴν καταπαύουσα,* εὐρωστίαν δωρεῖται πᾶσι* καὶ εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε... (σ. 658).

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 740).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς ξγ').

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.
Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Τιμόθεον Β' ἐπιστολὴ Παύλου (β' 1-10).

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κο-

πιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι.

Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιε' 17 - ις' 1).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με.

Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι «ἐμίσησάν με δωρεάν». Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε.

Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυν-

ἀγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΤΗ ΚΔ' ΦΕΒΡΟΥΑΡΙΟΥ

Μνήμη τῆς α' καὶ β' εὑρέσεως τῆς κεφαλῆς τοῦ ἁγίου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239)(*).

Εἰς το Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ τοῦ Προδρόμου δευτεροῦντες αὐτά.

Ἦχος πλ. α'. (Χαίροις, ἀσκητικῶν).

Χαίροις, ἡ ἱερὰ κεφαλὴ* καὶ φωτοφόρος καὶ ἀγγέλοις αἰδέσιμος,* ἡ ξίφει τμηθεῖσα πάλαι* καὶ τμητικοῖς ἐλεγμοῖς* ἀσελγείας αἴσχος διακόψασα·* πηγὴ ἡ τοῖς θαύμασι* τοὺς πιστοὺς καταρδεύουσα·* ἡ τοῦ Σωτῆρος* τὴν σωτήριον ἔλευσιν* καταγγείλασα,* καὶ τὴν πτῆσιν τοῦ Πνεύματος* πάλαι κατανοήσασα* πρὸς τοῦτον σκηνώσασαν* τῆς παλαιᾶς τε καὶ νέας* ἡ μεσιτεύσασα χάριτος·* Χριστὸν ἐκδυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος. (Δις)

Σταμνῳ ἐγκεκρυμμένη ποτὲ* ἡ τοῦ Προδρόμου κεφαλὴ πεφανέρωται* λαγόνων ἀναδοθεῖσα* ἐκ τῶν τῆς γῆς ἐμφανῶς* καὶ θαυμάτων ῥεῖθρα ἀναβλύζουσα·* καὶ γὰρ ἐν

(*) Ἡ ἀκολουθία διετάχθη ὅπως πρέπει νὰ τελῆται, ὅταν ἡ ἑορτὴ τυγχάνῃ ἐν καθημερινῇ πρὸ τῆς Μ. Τεσσαρακοστῆς. Ὅταν τύχῃ ἐντὸς τῆς Μ. Τεσσαρακοστῆς, ἡ ἀκολουθία τελεῖται ὡς ὁρίζει τὸ Τυπικὸν δι' ἑκάστην περίπτωσιν.

τοῖς ὕδασι* κεφαλὴν ἐναπέλουσε* τοῦ ὑπερῷα* νῦν στεγάζοντος ὕδασι* καὶ ὀμβρίζοντος,* τοῖς βροτοῖς θείαν ἄφεσιν.* Ταύτην οὖν μακαρίσωμεν* τὴν ὄντως ἀοίδιμον,* καὶ ἐν τῇ ταύτης εὑρέσει* περιχαρῶς ἑορτάσωμεν,* Χριστὸν δυσωπούσης* τοῦ δωρήσασθαι τῷ κόσμῳ* τὸ μέγα ἔλεος. (Δὶς)

Κάρα ἡ τὸν Ἀμνὸν τοῦ Θεοῦ* ἀνακηρύξασα σαρκὶ φανερούμενον,* καὶ πᾶσι τῆς μετανοίας* τὰς σωτηρίους ὁδοὺς* θείαις ὑποθήκαις βεβαιώσασα* ἡ πρὶν τοῦ Ἡρῴδου* παρανομίαν ἐλέγξασα,* καὶ διὰ τοῦτο* ἐκτμηθεῖσα τοῦ σώματος,* καὶ τὴν χρόνιον* ὑποστᾶσα κατάκρυψιν,* ὥσπερ φωτοφανὴς ἡμῖν* ἀνέτειλεν ἥλιος,* Μετανοεῖτε, βοῶσα,* καὶ τῷ Κυρίῳ προστίθεσθε* ψυχῆς κατανύξει,* τῷ παρέχοντι τῷ κόσμῳ* τὸ μέγα ἔλεος. (Δὶς)

Δόξα. Ἦχος πλ. β΄.

Θησαυρὸς ἐνθέων δωρεῶν* ἡ θεοφρούρητος κάρα σου, Πρόδρομε,* ἐκ τῶν τῆς γῆς λαγόνων ἀνέτειλεν* ἣν ἡμεῖς πιστῶς ἀρυσάμενοι* καὶ προσκυνοῦντες, ἐνδοξε,* πλουτοῦμεν διὰ σοῦ, Χριστοῦ Βαπτιστά,* θαυμάτων τὰ παράδοξα* καὶ τῶν πταισμάτων τὴν συγχώρησιν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε... (σ. 456).

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας. Ἡ ἐκτενής, τὸ Καταξίωσον κ.τ.λ. (σ. 229-231).

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.

Ἦχος β΄. (Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν).

Δεῦτε τὴν τιμίαν κεφαλήν,* τὴν ἀποτμηθεῖσαν τῷ ξίφει,* τοῦ Βαπτιστοῦ, οἱ πιστοί* σήμερον τιμήσωμεν* ἐν τῇ εὑρέσει αὐτῆς,* ὑπαντῶντες ἐν ᾄσμασι,* τιμῶντες ἐκ πόθου* χάριτας προχέουσαν* τῶν ἰαμάτων ἡμῖν* ἥνπερ ὁ ληρώδης Ἡρῴδης* πάλαι προαπέτεμεν, οἴστρῳ* τῇ Ἡρῳδιάδι συμπλεκόμενος.

Στίχ. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

Ὥσπερ ἐκ μετάλλων ὁ χρυσός,* οὕτως ἐκ τῆς γῆς τοῦ Προδρόμου* ἡ κεφαλὴ δαδουχεῖ,* στάμνῳ διαλάμπουσα* καὶ φθεγγομένη τρανῶς,* τοῦ Ἡρῴδου ἐλέγχουσα* μοιχείαν καὶ φόνον,* αἴγλῃ τε φωτίζουσα* τὰς διανοίας ἡμῶν·* ἥνπερ ἀσπαζόμενοι πίστει* σήμερον τιμήσωμεν ὕμνοις* ὡς ὑπὲρ ἡμῶν Θεῷ πρεσβεύουσαν.

Στίχ. Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.

Πάλαι ὥσπερ θεῖος θησαυρὸς* στάμνῳ κεκρυμμένη ἡ κάρα* τοῦ Βαπτιστοῦ ἐν τῇ γῇ,* σήμερον τοῖς πέρασιν* ἀποκαλύπτεται* ὥσπερ πλοῦτος, προχέουσα* πηγὰς ἰαμάτων,* νόσους θεραπεύουσα,* ψυχὰς φωτίζουσα·* ὅθεν θυμηδίας ἀπάσης* χάριν ἀπολαύοντες, ὕμνοις* ταύτην εὐλαβῶς ἐγκωμιάσωμεν.

Δόξα. Ἦχος β΄.

Ἡ τῶν θείων ἐννοιῶν* πανσεβάσμιος θήκη,* καὶ τῆς ἀρρήτου οὐσίας* τρανῶς ἡ προβλέψασα* τὸ μυστήριον κάρα σου,* ὡς ἐκ λαγόνων μητρικῶν* ἐκ τῶν ταμείων τῆς γῆς* σήμερον ἀνατέταλκεν,* Ἰωάννη πανεύφημε,* καὶ εὐωδίασε πᾶσαν τὴν ὑφήλιον,* ἁγιασμοῦ προχέουσα μύρον* καὶ νοητῶς κηρύττουσα* μετανοίας ὁδόν,* καὶ τῷ Σωτῆρι τῶν ὅλων πρεσβεύουσα* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς σὲ ἀνατίθημι·* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀπολυτίκιον. Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Ἐκ γῆς ἀνατείλασα* ἡ τοῦ Προδρόμου κεφαλή,* ἀκτῖνας ἀφίησι* τῆς ἀφθαρσίας* πιστοῖς τῶν ἰάσεων·* ἄνωθεν συναθροίζει* τὴν πληθὺν τῶν ἀγγέλων,* κάτωθεν συγκαλεῖται* τῶν ἀνθρώπων τὸ γένος,* ὁμόφωνον ἀναπέμψαι* δόξαν Χριστῷ τῷ Θεῷ.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον... (σ. 428).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἀνωτέρω.

Μετὰ τὴν α΄ στιχολογίαν κάθισμα.
Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Ὡς θεῖον θησαύρισμα* ἐγκεκρυμμένον τῇ γῇ* Χριστὸς ἀπεκάλυψε* τὴν κεφαλήν σου ἡμῖν,* προφῆτα καὶ Πρόδρομε.* Πάντες οὖν συνελθόντες* ἐν τῇ ταύτης εὑρέσει,* ᾄσμασι θεηγόροις* τὸν Σωτῆρα ὑμνοῦμεν,* τὸν σώζοντα ἡμᾶς ἐκ φθορᾶς* ταῖς ἱκεσίαις σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ταχὺ προκατάλαβε,* πρὶν δουλωθῆναι ἡμᾶς* ἐχθροῖς βλασφημοῦσί σε* καὶ ἀπειλοῦσιν ἡμῖν,* Χριστὲ ὁ Θεὸς ἡμῶν·* ἄνελε τῷ Σταυρῷ σου* τοὺς ἡμᾶς πολεμοῦντας·* γνώτωσαν πῶς ἰσχύει* Ὀρθοδόξων ἡ πίστις,* πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Μετὰ την β΄ στιχολογίαν, κάθισμα.
Ἦχος δ΄. (Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ).

Ἀναδοθεῖσα ὡς χρυσὸς ἐκ μετάλλων* ἡ ἱερά σου κεφαλὴ παραδόξως* ἐκ τῶν ἀδύτων γῆς, ἐπλούτισε,* Χριστοῦ Βαπτιστά,* πάντας τοὺς προστρέχοντας* ἐν τῇ ταύτης εὑρέσει,* ὕμνοις μεγαλύνοντας* τὸν Σωτῆρα καὶ κτίστην,* τούτοις διδόντα, μάκαρ, διὰ σοῦ* λύσιν πταισμάτων καὶ πλούσιον ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,* τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας* τὰ σὰ ἐλέη, Δέσποινα,* οἱ δοῦλοί σου,* κράζοντες καὶ λέγοντες·* Παναγία Παρθένε,* πρόφθασον καὶ λύτρωσαι* ἐξ ἐχθρῶν ἀοράτων* καὶ ἀναγκῶν καὶ πάσης ἀπειλῆς·* σὺ γὰρ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις.

Μετὰ τὸν πολυέλεον, κάθισμα. Ἦχος δ΄. (Ἐπεφάνης).

Ὁ Ἡρῴδης, Πρόδρομε,* παρανομήσας* τὴν τιμίαν κάραν σου* ξίφει ἀπέτεμε δεινῶς* ὡς ἔκφρων οἴστρῳ ὁ δείλαιος* ἦν περ ἐκ πόθου,* πιστοί, ἀσπαζόμεθα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μωϋσῆς ἑώρακε* πυρφόρον βάτον* σέ, τὸ πῦρ βαστάσασαν* τὸ τὰς ψυχὰς φωταγωγοῦν,* καὶ μὴ φλεχθεῖσαν, πανάμωμε,* δρόσου δὲ μᾶλλον* πλησθεῖσαν τῆς χάριτος*.

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ΄.

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

Στίχ. Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ζ΄ 17-30).

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ λόγος περὶ τοῦ Ἰησοῦ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ καὶ ἐν πάσῃ τῇ περιχώρῳ. Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τῶν ἔργων αὐτοῦ. Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης ἔπεμψε πρὸς τὸν Ἰησοῦν λέγων· Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπον· Ἰωάννης ὁ Βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρὸς σὲ λέγων· Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· τυφλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.

Ἀπελθόντων δὲ τῶν ἀγγέλων Ἰωάννου ἤρξατο λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· Τί ἐξελεύσεσθε εἰς τὴν ἔρημον θε-

ἀσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδοὺ οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν. Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; Προφήτην; Ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται· «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου». Λέγω γὰρ ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τοῦ Βαπτιστοῦ οὐδείς ἐστιν· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μείζων αὐτοῦ ἐστι. Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν Θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου· οἱ δὲ φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ.

Ὁ Ν' Ψαλμὸς (σ. 103). Δόξα. Ταῖς τοῦ σοῦ Προδρόμου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Στίχ. Ἐλέησόν με, ὁ Θεός. Καὶ τὸ ἰδιόμελον. Ἦχος β'. Ἡ τῶν θείων ἐννοιῶν πανσεβάσμιος θήκη... (σ. 752).

Σῶσον, ὁ Θεός, τὸν λαόν σου... (σ. 104).

Οἱ κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Προδρόμου.

Ὁ κανὼν τοῦ Προδρόμου. Ἦχος πλ. β'.

Ὠδὴ α'. Ὁ εἱρμός.

Ὡς ἐν ἠπείρῳ πεζεύσας* ὁ Ἰσραὴλ* ἐν ἀβύσσῳ ἴχνεσι,* τὸν διῶκτην Φαραὼ* καθορῶν ποντούμενον, Θεῷ,* ἐπινίκιον ᾠδήν,* ἐβόα, ᾄσωμεν.

Τροπάρια.

Δεῦτε εὐφήμῳ τῇ γλώττῃ* καὶ πανσθενεῖ,* κροτουμένῃ Πνεύματι,* ἐκ χειλέων ῥυπαρῶν* τὴν τοῦ Λόγου Πρόδρομον φωνὴν* ἐν ᾠδαῖς πνευματικαῖς,* πιστοί, δοξάσωμεν.

Εἰρηνικῇ καταστάσει* γαληνιᾷ,* καὶ ἀπείροις πλήθεσιν* Ἐκκλησία τοῦ Χριστοῦ* δωρεὰς παρέχεται τῶν σοί* τὴν ἐτήσιον ᾠδὴν* βοώντων, Πρόδρομε.

Τὴν πρὸς Θεοῦ δεδομένην* ὡς θησαυρὸν* ἡμῖν ἀναφαίρετον* θεοφόρον κορυφὴν* τοῦ Προδρόμου ἅπαντες ᾠδαῖς* ἐπαξίως πανδημεί,* πιστοί, τιμήσωμεν.

Θεοτοκίον.

Τὸν σεαυτῆς δεξαμένη* δημιουργόν,* ὡς αὐτὸς ἠθέλησεν,* ἐξ ἀσπόρου σου γαστρὸς* ὑπὲρ νοῦν σαρκούμενον, ἀγνή,* τῶν κτισμάτων ἀληθῶς* ἐδείχθης Δέσποινα.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Οὐκ ἔστιν ἅγιος ὡς σύ,* Κύριε ὁ Θεός μου,* ὁ ὑψώσας τὸ κέρας* τῶν πιστῶν σου, ἀγαθέ,* καὶ στερεώσας ἡμᾶς* ἐν τῇ πέτρᾳ* τῆς ὁμολογίας σου.

Τροπάρια.

Γαστὴρ στειρεύουσα βλαστὸν* σὲ προήνεγκε θεῖον,* τῆς ἐθνῶν Ἐκκλησίας* εὐκλεῆ νυμφαγωγόν,* Χριστῷ τῷ ὄντως Θεῷ* καὶ νυμφίῳ* ταύτην μνηστευόμενον.

Τὴν σὴν θεόφθογγον φωνήν,* Πρόδρομε Ἰωάννη,* οὐδὲ ξίφει ἐπέσχεν* ἡ ἀθλία μοιχαλίς* τὴν θείαν γάρ σου ἡμῖν* ἐμφανίζεις* κάραν τὴν ὑπόγαιον.

Πανηγυρίζουσα φαιδρῶς* ἡ ποθοῦσά σε πόλις* εὐωχεῖται, ὡς ὄλβον* εὑραμένη μυστικὸν* καὶ κρήνην ἀνελλιπῆ* ἰαμάτων,* Πρόδρομε, τὴν κάραν σου.

Θεοτοκίον.

Τοῦ θείου τόκου σου, ἀγνή,* πᾶσαν φύσεως τάξιν* ὑπερβαίνει τὸ θαῦμα* Θεὸν γὰρ ὑπερφυῶς* συνέλαβες ἐν γαστρὶ* καὶ τεκοῦσα* μένεις ἀειπάρθενος.

Κάθισμα. Ἦχος πλ. δ'. (Τὸ προσταχθὲν μυστικῶς).

Ὡς ἐν ταμείῳ θησαυρὸς* ἐναπόθετος* ἡ τοῦ Προδρόμου κεφαλὴ* ἐφυλάττετο,* ἐν ὑδρίᾳ κρυβεῖσα* ἡ φωνὴ τοῦ Λόγου* ὡς σῖτος καταχωσθεῖσα* εἰς βάθος γῆς,* ἀνῆκε καρποφοροῦσα* θείαν ζωήν.* Ταύτης πάντες τιμήσωμεν* τὴν εὕρεσιν, τὸν Χριστὸν* δοξάζοντες τὸν δόντα αὐτῇ* χάριν βρύειν ἰάματα.

Δόξα. Ὅμοιον.

Τοῦ Βαπτιστοῦ ἡ κεφαλὴ* κατεκρύπτετο* ὡς μαργαρίτης ὑπὸ γῆν* ἐν τῇ ὑδρίᾳ* καὶ ὡς λύχνος θεόφωτος* ἀγλαϊζομένη,* ἐκλάμπει θαυματουργοῦσα* κόσμῳ παντὶ* ὡς δρθρος ἐξανατέλλων* πανευπρεπὴς* τοῦ ἡλίου ὁ Πρόδρομος* καὶ ἀνεσπέρῳ φωτὶ* μηνύων πάλιν ἡμῖν,* Ἴδε, κράζει, ὁ Ἀμνὸς τοῦ Θεοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ προσταχθὲν μυστικῶς* λαβὼν ἐν γνώσει* ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ* σπουδῇ ἐπέστη* ὁ ἀσώματος λέγων* τῇ ἀπειρογάμῳ* Ὁ κλίνας τῇ καταβάσει* τοὺς οὐρανοὺς* χωρεῖται ἀναλλοιώτως* ὅλος ἐν σοί* ὃν καὶ βλέπων ἐν μήτρᾳ σου* λαβόντα δούλου μορφὴν* ἐξίσταμαι κραυγάζων σοί* Χαῖρε, νύμφη ἀνύμφευτε.

Κοντάκιον. Ἦχος β'. (Τὰ ἄνω ζητῶν).

Προφῆτα Θεοῦ* καὶ Πρόδρομε τῆς χάριτος,* τὴν κάραν τὴν σὴν* ὡς ῥόδον ἱερώτατον* ἐκ τῆς γῆς εὐράμενοι,* τὰς ἰάσεις πάντοτε λαμβάνομεν* καὶ γὰρ πάλιν ὡς πρότερον* ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Ὁ οἶκος. (Τράνωσόν μου).

Ἐκ τοῦ Κυρίου τὴν μαρτυρίαν* εἰληφώς, Ἰωάννη,* ὑπὲρ πάντας βροτοὺς* ὑπέρτερος ἐχρημάτισας* δθεν ἐπαίνους τῶν ἐγκωμίων* προσενέγκαι σοι δέδοικα* ἀλλὰ πόθῳ* ἐκβιασθείς,* τῇ ᾠδῇ ἐγχειρῆσαι τετόλμηκα* διὸ μὴ ἀπαξιώσῃς* συνεργός μοι γενέσθαι, πανεύφημε,* ἵνα ἰσχύσω τοῦ στέψαι σου* κορυφὴν τὴν ἁγίαν τρισόλβιε* καὶ γὰρ σὺ ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Συναξάριον.

Τῇ ΚΔ' τοῦ αὐτοῦ μηνὸς μνήμη τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ ἁγίου προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Στίχοι.

Ἐκ γῆς προφαίνει Πρόδρομος σεπτὴν κάραν,
καρποὺς παραινῶν ἀξίους ποιεῖν πάλιν.

Ὁ βαπτίσας πρὶν ὑδάτων πηγαῖς ὄχλους,
γῆθεν φανεὶς βάπτιζε πηγαῖς θαυμάτων.

Εἰκοστὴν Προδρόμοιο φάνη κάρη ἀμφὶ τετάρτην.

Ταῖς τοῦ σοῦ Προδρόμου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Καταβασίαι Ἀνοίξω τὸ στόμα μου (σ. 106).
Ἡ Τιμιωτέρα καὶ ἡ καταβασία Ἅπας γηγενὴς (σ. 119).

Ἐξαποστειλάριον. (Τοῖς μαθηταῖς συνέλθωμεν).

Λαμπροφανὴς ἀνέτειλεν* ἡ τιμία σου κάρα* ἐκ τῶν ἀδύτων κόλπων γῆς,* Πρόδρομε Ἰωάννη,* λύχνε φωτὸς τοῦ ἀΰλου·* ἧς τὴν εὕρεσιν πόθῳ* τελοῦντες δυσωποῦμέν σε* τῶν δεινῶν εὑρεῖν λύσιν* καὶ τὸν καιρὸν* εὐμαρῶς ἀνύσαι* τῆς ἐγκρατείας* πρεσβείαις σου, πανεύφημε* Βαπτιστὰ τοῦ Σωτῆρος.

Θεοτοκίον, ὅμοιον.

Ψυχαγωγεῖται, πάναγνε,* τῶν πιστῶν ἡ θεόφρων* ὁμήγυρις λατρεύουσα* καὶ πιστῶς ἀνυμνοῦσα* σὲ Θεοτόκον κυρίως·* ταῖς πρεσβείαις σου ὅθεν* τῶν νηστειῶν τὸν δίαυλον* δὸς ἡμῖν ἐκτελέσαι* θεοπρεπῶς* καὶ Σταυρὸν τὸν τίμιον* προσκυνῆσαι* καὶ πάθη τὰ σωτήρια* τοῦ Υἱοῦ καὶ Θεοῦ σου.

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.

Ἦχος δ΄. (Ἔδωκας σημείωσιν).

Ἠνοιξε προπύλαια* τῆς ἐγκρατείας ἡ πάνσεμνος* κεφαλή σου, πανεύφημε,* καὶ τροφὴν προέθηκεν* ἡδυτάτην πᾶσι* θείων χαρισμάτων·* ὧνπερ μετέχοντες πιστῶς* τὸ τῆς νηστείας τραχὺ γλυκαίνομεν* καὶ πίστει εὐφημοῦμέν σε* καὶ ἐκβοῶμεν Χριστῷ τῷ Θεῷ·* Ἰησοῦ παντοδύναμε,* ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. (Δὶς)

Μύρα ὥσπερ νάματα* ἡ κεφαλὴ ἀποστάζουσα* τοῦ Προδρόμου ἀέναα* καὶ τραπέζῃ σήμερον* ἀποτεθειμένη* μυστικῇ καὶ θείᾳ* εὐωδιάζει νοητῶς* καὶ ἀηδίαν ἐλαύνει θλίψεων* καὶ εὐφροσύνης ἅπαντας* πληροῖ τοὺς πόθῳ κραυγάζοντας* Ἰησοῦ παντοδύναμε,* ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἔτεμεν ἡ κάρα σου* καθάπερ ξίφος τομώτατον* κεφαλὰς ἀνομούντων ἐχθρῶν* καὶ νάματα ἔβλυσεν* εὐνομοῦσι πᾶσι* τῶν θείων χαρίτων* καὶ διὰ τοῦτό σε πιστῶς* ἀνευφημοῦμεν φίλον καὶ Πρόδρομον,* Ἰωάννη, τοῦ κτίσαντος* καὶ ἐκβοῶμεν αὐτῷ ἐκτενῶς* Ἰησοῦ παντοδύναμε,* ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. β΄.

Τὴν πανσεβάσμιον κάραν* τοῦ Βαπτιστοῦ σου, Κύριε,* φανερωθεῖσαν σήμερον ἐκ γῆς* μετὰ φωνῆς αἰνέσεως* ἀρυσάμενοι πιστῶς,* εἰς πρεσβείαν, φιλάνθρωπε,* οἱ ἐπταικότες δοῦλοί σου* προσάγοντες, αἰτούμεθα* δι' αὐτῆς ἐπιτυχεῖν* ἐν ἡμέρᾳ κρίσεως* παρὰ σοῦ τὸν ἱλασμὸν* καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος... (σ. 688).

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 752).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.
Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους Β΄ ἐπιστολῆς Παύλου (δ΄ 6-15).

Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι...
(Ζήτει τῇ ΙΕ΄ Κυριακῇ, σ. 1338).

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (ια΄ 2-15).

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· τυφλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.

Τούτων δὲ πορευομένων ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; Κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; Ναί λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται· «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου». Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν. Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν· καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΜΗΝ ΜΑΡΤΙΟΣ

ΤΗ Θ' ΜΑΡΤΙΟΥ

Μνήμη τῶν ἁγίων μεγάλων Τεσσαράκοντα μαρτύρων τῶν ἐν τῇ λίμνῃ τῆς Σεβαστείας μαρτυρησάντων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ(*)

(Ἑσπερινὸς καθημερινῶν Μ. Τεσσαρακοστῆς, σ. 241-244. Ἐὰν δὲ τελῆται Προηγιασμένη, βλ. σ. 343-375).

Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν τὰ προσόμοια τῆς ἡμέρας ἐκ τοῦ Τριῳδίου καὶ τὰ παρόντα τῶν μαρτύρων.

Ἦχος β'. Ἰωάννου μοναχοῦ.

Φέροντες τὰ παρόντα γενναίως,* χαίροντες τοῖς ἐλπιζομένοις,* πρὸς ἀλλήλους ἔλεγον* οἱ ἅγιοι μάρτυρες* Μὴ γὰρ ἱμάτιον ἀποδυόμεθα;* ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα.* Δριμὺς ὁ χειμών,* ἀλλὰ γλυκὺς ὁ παράδεισος* ἀλγεινὴ ἡ πῆξις,* ἀλλ' ἡδεῖα ἡ ἀπόλαυσις.* Μὴ οὖν ἐκκλίνωμεν, ὦ συστρατιῶται* μικρὸν ὑπομείνωμεν,* ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα* παρὰ Χριστοῦ τοῦ Θεοῦ* καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ῥιπτοντες περιβόλαια πάντα,* βαίνοντες ἀτρόμως εἰς λίμνην,* πρὸς ἀλλήλους ἔλεγον* οἱ ἅγιοι μάρτυρες*

(*) Ἐπειδὴ ἡ μνήμη τῶν ἁγίων συμπίπτει ὡς ἐπὶ τὸ πλεῖστον ἐντὸς τῆς Μ. Τεσσαρακοστῆς, ἡ ἀκολουθία διετάχθη ὡς τελεῖται ἐν καθημερινῇ τῆς Μ. Τεσσαρακοστῆς. Ἐὰν τύχῃ πρὸ τῆς Μ. Τεσσαρακοστῆς ἢ ἐν Σαββάτῳ ἢ Κυριακῇ τῆς Μ. Τεσσαρακοστῆς, ἡ ἀκολουθία τελεῖται ὡς ὁρίζει τὸ Τυπικὸν δι' ἑκάστην περίπτωσιν.

Διὰ παράδεισον, ὃν ἀπωλέσαμεν,* ἱμάτιον φθαρτὸν σῆμερον μὴ ἀντισχώμεθα·* δι' ὅφιν ποτὲ* φθοροποιὸν ἐνδυσάμενοι,* ἐκδυσώμεθα νῦν* διὰ τὴν πάντων ἀνάστασιν·* καταφρονήσωμεν κρύους λυομένου* καὶ σάρκα μισήσωμεν,* ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα* παρὰ Χριστοῦ τοῦ Θεοῦ* καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Βλέποντες ὡς τρυφὰς τὰς βασάνους,* τρέχοντες πρὸς λίμνην κρυώδη* ὡς πρὸς θάλψιν, ἔλεγον* οἱ ἅγιοι μάρτυρες·* Μὴ ὑποπτήξωμεν ὥραν χειμέριον,* ἵνα τὴν φοβερὰν γέενναν τοῦ πυρὸς φύγωμεν·* καυθήτω ὁ πούς,* ἵνα χορεύῃ αἰώνια·* ἡ δὲ χεὶρ ῥυείτω,* ἵνα ὑψοῦται πρὸς Κύριον·* καὶ μὴ φεισώμεθα φύσεως θνῃσκούσης·* ἑλώμεθα θάνατον,* ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα* παρὰ Χριστοῦ τοῦ Θεοῦ* καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος β'.

Τὴν λίμνην ὡς παράδεισον,* καὶ τὸ κρύος ὡς καύσωνα* οἱ μάρτυρες ἡγήσαντο,* Χριστὲ ὁ Θεός·* οὐκ ἔπτηξαν τὸν λογισμὸν* αἱ τῶν τυράννων ἀπειλαί·* οὐκ ἐδειλίασαν οἱ γενναῖοι* τῶν βασάνων τὰς προσβολάς,* ὅπλον θεῖον κεκτημένοι τὸν Σταυρόν·* δι' αὐτοῦ γὰρ τὸν ἐχθρὸν* ὡς κραταιοὶ ἐτροπώσαντο·* ὅθεν καὶ τὸν στέφανον* ἐκομίσαντο τῆς χάριτος.

Καὶ νῦν. Θεοτοκίον. (Ὅτε ἐκ τοῦ ξύλου σε).

Ἔργοις σκοτεινοῖς συναπαχθείς,* ὅλον ἀπημαύρωσα κάλλος* τὸ τοῦ βαπτίσματος* θέλων ὁ πανάθλιος,* καὶ περιβέβλημαι* στολισμὸν κατακρίσεως* καὶ σκότους· διό σου* δέομαι, πανάμωμε·* Τῇ δυναστείᾳ σου* ῥῆξον τῶν παθῶν μου τὰ νέφη* καὶ τῆς ἀφθαρσίας με χλαῖναν* ἔνδυσον γυμνώττοντα, καὶ σῶσόν με.

Εἴσοδος. Φῶς ἱλαρόν, τὰ ἀναγνώσματα τῆς ἡμέρας καὶ καθεξῆς ἡ Θ. Λειτουργία τῶν Προηγιασμένων (σ. 361-375).

Ἐὰν δὲ δὲν τελῆται Προηγιασμένη, μετὰ τὰ ἀναγνώσματα τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 230-231).

Εἰς τὸν στίχον τὸ ἰδιόμελον τῆς ἡμέρας ἐκ τοῦ Τριῳδίου καὶ τὸ μαρτυρικόν. Δόξα, καὶ νῦν. Θεοτοκίον ἢ Σταυροθεοτοκίον ἢ ὡς ὁρίζει τὸ Τυπικόν.

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Θεοτόκε Παρθένε κ.τ.λ. (σ. 242-243).

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὸ παρὸν

Ἀπολυτίκιον. Ἦχος α΄.

Τὰς ἀλγηδόνας τῶν ἁγίων,* ἃς ὑπὲρ σοῦ ἔπαθον,* δυσωπήθητι, Κύριε,* καὶ πάσας ἡμῶν τὰς ὀδύνας* ἴασαι, φιλάνθρωπε, δεόμεθα.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι... (σ. 385).

[Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος].

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.

Ἦχος δ΄. (Ἐπεφάνης σήμερον).

Τὸ σεπτὸν στερέωμα* τῆς Ἐκκλησίας* ὡς ἀστέρες μέγιστοι* καταλαμπρύνετε ἀεί* καὶ τοὺς πιστοὺς καταυγάζετε,* μάρτυρες θεῖοι* Χριστοῦ Τεσσαράκοντα.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἐν τῇ σκέπῃ, πάναγνε,* τῇ σῇ, Παρθένε,* προσφυγόντων δέησιν* προσδεξαμένη παρ' ἡμῶν,* μὴ διαλίπῃς πρεσβεύουσα* πρὸς τὸν Υἱόν σου* σωθῆναι τοὺς δούλους σου.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.

Ἦχος δ΄. (Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ).

Ἀνδρειοτάτῳ λογισμῷ ὑπελθόντες* τὴν μαρτυρίαν, θαυμαστοὶ ἀθλοφόροι,* διὰ πυρὸς καὶ ὕδατος* διήλθετε* καὶ διεβιβάσθητε* σωτηρίας πρὸς πλάτος,* κλῆρον κομισά-

μενοι* οὐρανῶν βασιλείαν·* ἐν ᾗ ποιεῖσθε τὰς ὑπὲρ ἡμῶν* θείας δεήσεις,* σοφοὶ Τεσσαράκοντα.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας* καὶ ἐξαιτεῖσθαι ἐκτενῶς, Θεοτόκε,* τὰ σὰ ἐλέη δώρησαι τοῖς δούλοις σου* κράζουσι καὶ λέγουσι·* Παναγία Παρθένε,* πρόφθασον καὶ λύτρωσαι* ἐξ ἐχθρῶν ὁρατῶν* καὶ ὁρατῶν καὶ πάσης ἀπειλῆς·* σὺ γὰρ ὑπάρχεις* ἡμῶν ἡ ἀντίληψις.

Μετὰ τὸν πολυέλεον, κάθισμα.

Ἦχος πλ. α΄. (Τὸν συνάναρχον Λόγον).

Τῶν ἁγίων μαρτύρων* τὸ ἐγκαλλώπισμα,* ἡ θεόστεπτος αὐτη* καὶ θεοσύλλεκτος* τῶν Τεσσαράκοντα πληθὺς* ἀνευφημείσθωσαν νῦν·* διὰ κρυμοῦ γὰρ καὶ πυρὸς* δοκιμασθέντες οἱ σοφοί,* ἐδείχθησαν στρατιῶται* Χριστοῦ τοῦ παμβασιλέως* καὶ πρεσβεύουσι τοῦ σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν ταχεῖάν σου σκέπην* καὶ τὴν βοήθειαν* καὶ τὸ ἔλεος δεῖξον* ἐπὶ τὸν δοῦλόν σου·* καὶ τὰ κύματα, ἁγνή,* καταπράϋνον* τῶν ματαίων λογισμῶν·* καὶ τὴν πεσοῦσάν μου ψυχὴν* ἀνάστησον, Θεοτόκε·* οἶδα γάρ, οἶδα, Παρθένε,* ὅτι ἰσχύεις ὅσα καὶ βούλοιο.

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ΄.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Στίχ. Ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κγ΄ 12-19).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων·... (σ. 742).

Ὁ Ν΄ Ψαλμός (σ. 103). Δόξα. Ταῖς τῶν ἀθλοφόρων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ ἰδιόμελον. Ἦχος β΄.

Προφητικῶς ἀνεβόα* ὁ Δαβὶδ ἐν ψαλμοῖς·* Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος,* καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν·* ὑμεῖς δέ, μάρτυρες Χριστοῦ,* δι' αὐτῶν τῶν ἔργων τὸ λόγιον πληροῦντες,* διήλθετε διὰ πυρός τε καὶ ὕδατος* καὶ εἰσήλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.* Διὸ πρεσβεύσατε,* Τεσσαράκοντα ὄντες ἀθληταί,* δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου... (σ. 104).

Οἱ κανόνες τῆς Θεοτόκου καὶ τῶν ἁγίων.

Ὁ κανὼν τῶν ἁγίων. Ἰωάννου μοναχοῦ. Ἦχος β΄.

Ὠδὴ α΄. Ὁ εἱρμός.

Δεῦτε, λαοί,* ᾄσωμεν ᾄσμα Χριστῷ τῷ Θεῷ,* τῷ διελόντι θάλασσαν* καὶ ὁδηγήσαντι* τὸν λαόν, ὃν ἀνῆκε* δουλείας Αἰγυπτίων·* ὅτι δεδόξασται.

Τροπάρια.

Θεοστεφῆ* φάλαγγα μέλπω μαρτύρων Χριστοῦ* ἐν θεοπνεύστοις ᾄσμασι,* τῶν Τεσσαράκοντα* τὴν ἐτήσιον μνήμην* φαιδρῶς πανηγυρίζων·* ὅτι δεδόξασται.

Ἐπὶ τῆς γῆς* ἅπασαν ἀπαρνησάμενοι* προσηγορίαν, εἵλοντο* οἱ Τεσσαράκοντα* τὴν Χριστώνυμον κλῆσιν,* δι' ἧς ἐν τοῖς ὑψίστοις* νῦν πολιτεύονται.

Οἱ ἐν Χριστῷ* σάρκα καὶ κόσμον μισήσαντες,* τὸν παλαιὸν μὲν ἄνθρωπον* συνεξεδύσασθε* τῇ προσκαίρῳ ἐσθῆτι,* στολὴν δὲ ἀφθαρσίας* περιεβάλεσθε.

Θεοτοκίον.

Τίς ἐξειπεῖν* σοῦ κατ' ἀξίαν δυνήσεται* τὴν ὑπὲρ λόγον σύλληψιν;* Θεὸν γὰρ τέτοκας* ἐν σαρκί, Παναγία,* ἡμῖν ἐπιφανέντα* Σωτῆρα πάντων ἡμῶν.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε,* ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν,* καὶ τὸν φόβον σου ἐμφύτευσον* εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Τροπάρια.

Στρατείας καὶ ζωῆς καὶ ὡραιότητος* σωμάτων καὶ ὄλβου ἠλογηκότες,* εὐκλεῶς οἱ Τεσσαράκοντα* τὸν Χριστὸν ἀντὶ πάντων ἐκληρώσαντο.

Τοῖς λίθοις ἀφειδῶς οἱ Τεσσαράκοντα* προστάξει βαλλόμενοι τοῦ τυράννου,* τὰς βολὰς διὰ τοῦ Πνεύματος* κατὰ τῶν προσταττόντων ἀπεκρούσαντο.

Ἐλάλει κατὰ σοῦ τυράννων χείλεσιν* ὁ ὄφις τοῦ κτίσαντος βλασφημίας·* ἀλλ' αὐτοῦ τὸ θεομάχον στόμα* τοῖς κατὰ τῶν μαρτύρων λίθοις θλάττεται.

Θεοτοκίον.

Τοῦ ἄνθρακος χρυσοῦν θυμιατήριον* τοῦ θείου, ἀνύμφευτε, γενομένη,* τὸ δυσῶδες τῆς καρδίας μου* εὐωδίασον, μόνη ἀειπάρθενε.

Κάθισμα. Ἦχος πλ. δ'. (Τὴν Σοφίαν).

Τῷ Χριστῷ στρατευθέντες μαρτυρικῶς,* τὸν ἐχθρὸν καθελόντες ἀθλητικῶς,* ἔργοις ἐπληρώσατε* τοῦ προφήτου τὰ ῥήματα·* διὰ πυρὸς γὰρ καὶ ὕδατος* γενναίως διήλθετε,* ἀναψυχὴν εὑράμενοι* ζωὴν τὴν αἰώνιον·* ὅθεν καὶ στεφάνους* οὐρανόθεν λαβόντες,* χοροῖς συνευφραίνεσθε* ἀσωμάτων, μακάριοι.* Ἀθλοφόροι πανεύφημοι,* πρεσβεύσατε Χριστῷ τῷ Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην ὑμῶν.

Θεοτοκίον, ὅμοιον.

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ,* τὴν ἐξέτασιν τρέμω τὴν φοβεράν,* φρίττω τὴν ἀπόφασιν* καὶ πτοοῦμαι τὴν κόλασιν,* τὴν τοῦ πυρὸς ὀδύνην,* τὸ σκότος, τὸν τάρταρον,* τὸν βρυγμὸν τῶν ὀδόντων,* τὸν ἄϋπνον σκώληκα.* Οἴμοι! τί ποιήσω* ὅταν τίθωνται θρόνοι,* καὶ βίβλοι ἀνοί-

γωνται,* καὶ αἱ πράξεις ἐλέγχωνται,* καὶ κρυπτὰ δημοσιεύωνται;* Τότε, Δέσποινα, βοήθειά μοι γενοῦ* καὶ προστάτης θερμότατος·* σὲ γὰρ ἔχω ἐλπίδα* ὁ ἀχρεῖος οἰκέτης σου.

Κοντάκιον. Ἦχος πλ. β΄. (Τὴν ὑπὲρ ἡμῶν).

Πᾶσαν στρατιὰν* τοῦ κόσμου καταλιπόντες,* τῷ ἐν οὐρανοῖς* Δεσπότῃ προσεκολλήθητε,* ἀθλοφόροι Κυρίου* Τεσσαράκοντα·* διὰ πυρὸς γὰρ καὶ ὕδατος* διελθόντες, μακάριοι,* ἐπαξίως ἐκομίσασθε* δόξαν ἐκ τῶν οὐρανῶν* καὶ στεφάνων πληθύν.

Ὁ οἶκος. (Τὰ τῆς γῆς ἐπὶ τῆς γῆς).

Τῷ ἐν θρόνῳ ἀστέκτῳ* ἐποχουμένῳ* τῷ ἐκτείναντι τὸ φῶς* καθάπερ δέρριν,* τῷ τὴν γῆν ἐδράσαντι* καὶ συνάξαντι ὕδατα* εἰς τὰς συναγωγὰς αὐτῶν,* τῷ πάντα ἐκ μὴ ὄντων* ποιήσαντι ὑπάρχειν* καὶ πᾶσι χορηγοῦντι* πνοὴν καὶ ζωήν,* τῷ προσδεχομένῳ* τῶν ἀρχαγγέλων τὸν ὕμνον* καὶ ὑπ᾽ ἀγγέλων* δοξαζομένῳ* καὶ ὑπὸ πάντων* προσκυνουμένῳ,* Χριστῷ τῷ παντοκράτορι* τῷ πλάστῃ καὶ Θεῷ ἡμῶν* προσπίπτω ὁ ἀνάξιος* προσάγων μου τὴν δέησιν,* λόγου χάριν αἰτῶν* ἵνα ἰσχύσω εὐσεβῶς* ἀνυμνῆσαι κἀγὼ* τοὺς ἁγίους, οὓς αὐτὸς* ἔδειξας νικητάς,* δωρησάμενος αὐτοῖς* δόξαν ἐκ τῶν οὐρανῶν* καὶ στεφάνων πληθύν.

Συναξάριον.

Τῇ Θ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ἁγίων μεγάλων Τεσσαράκοντα μαρτύρων, τῶν ἐν Σεβαστείᾳ τῇ πόλει μαρτυρησάντων.

Στίχοι.

Πληροῦμεν ὑστέρημα σοῦ, Σῶτερ, πάθους
Τεσσαράκοντα, συντριβέντες τὰ σκέλη.

Ἀμφ᾽ ἑνάτῃ ἐάγη σκέλη ἀνδρῶν Τεσσαράκοντα.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Οὐρπασιανοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Καισαρίου, ἀδελφοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου.

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι μάρτυρες πάππος, μάμμη, πατὴρ, μήτηρ καὶ δύο τέκνα ξίφει τελειοῦνται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι Ἀνοίξω τὸ στόμα μου (σ. 106). Ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία Ἅπας γηγενὴς (σ. 120).

Ἐξαποστειλάριον. (Γυναῖκες, ἀκουτίσθητε).

Χορὸς τετραδεκάριθμος* μαρτύρων Τεσσαράκοντα* τῆς ὑπερθέου Τριάδος* τῶν ἀρετῶν τετρακτύϊ,* πυρός, ἀέρος, ὕδατος* καὶ γῆς στοιχείων τετράδος* ᾄσμασι θείοις ὑμνείσθω,* ὑπὲρ Χριστοῦ ὡς ἀθλήσας* τοῦ τῶν ἁπάντων Δεσπότου.

Θεοτοκίον, ὅμοιον.

Χαῖρε, κατάρας λύτρωσις* καὶ τοῦ Ἀδὰμ ἀνάκλησις·* χαῖρε, ἁγνὴ Θεοτόκε,* ἐλπὶς καὶ σκέπη τοῦ κόσμου·* χαῖρε, σεμνὴ μητρόθεε·* χαῖρε, τὸ θεῖον ὄχημα·* χαῖρε, ἡ κλῖμαξ καὶ πύλη·* χαῖρε, κούφη νεφέλη·* χαῖρε, τῆς Εὔας ἡ λύσις.

Εἰς τοὺς αἴνους ψάλλομεν στιχηρὰ προσόμοια, δευτεροῦντες τὸ α΄.

Ἦχος πλ. α΄. (Χαίροις, ἀσκητικῶν).

Δεῦτε, μαρτυρικὴν, ἀδελφοί,* μετ' ἐγκωμίων ἀνυμνήσωμεν φάλαγγα* τῷ κρύει πυρποληθεῖσαν,* καὶ τὸν τῆς πλάνης κρυμὸν* διαπύρῳ ζήλῳ πυρπολήσασαν·* στρατὸν γενναιότατον,* ἱερώτατον σύνταγμα,* συνασπισμόν τε* ἀῤῥαγῆ καὶ ἀνίκητον·* τοὺς τῆς πίστεως* περιβόλους καὶ φύλακας,* μάρτυρας Τεσσαράκοντα,* χορείαν τὴν ἔνθεον·* τῆς ἐκκλησίας τοὺς πρέσβεις* τοὺς δυνατῶς ἱκετεύοντας* Χριστὸν καταπέμψαι* ταῖς ψυχαῖς ἡμῶν εἰρήνην* καὶ μέγα ἔλεος. (Δὶς)

Χαίροις, συναγωγὴ κραταιά,* καὶ ἱερὰ καὶ τροπαιοῦχος παράταξις·* οἱ πύργοι τῆς εὐσεβείας,* οἱ στρατιῶται Χριστοῦ,* οἱ στερῤῥοὶ ὁπλῖται καὶ ἀήττητοι,* τὸν νοῦν

εὐτονώτατοι* καὶ ψυχὴν ἀνδρειότατοι,* τῷ ὄντι θεῖοι* καὶ Θεῷ ποθεινότατοι* χορὸς ἅγιος* καὶ θεόλεκτον σύστημα,* μάρτυρες Τεσσαράκοντα,* οἱ ἴσοι τὴν ἄθλησιν,* ἴσοι τὴν γνώμην, καὶ ἴσους* καὶ τοὺς στεφάνους δεξάμενοι,* Χριστὸν δυσωπεῖτε* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Χαίροις, τροπαιοφόρος πληθὺς* ἡ ἐν πολέμοις ἀνδρικῶς ἀριστεύσασα* ἀστέρες οἱ διελθόντες* διὰ πυρὸς καὶ κρυμοῦ* καὶ ὑδάτων πῆξιν διαλύσαντες* οἱ γῆν οὐρανώσαντες* καὶ τὰ πάντα φωτίσαντες* οἱ ἐν τοῖς κόλποις* Ἀβραὰμ νῦν θαλπόμενοι,* οἱ χορεύοντες* σὺν ἀγγέλων στρατεύμασι,* μάρτυρες Τεσσαράκοντα,* τὰ ἄνθη τὰ πνέοντα* τὴν εὐωδίαν τῆς ὄντως* πνευματικῆς διαδόσεως,* Χριστὸν δυσωπεῖτε* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α΄. Ἰωάννου μοναχοῦ.

Ἀθλοφόροι Χριστοῦ,* τὴν πάνσεπτον νηστείαν* φαιδροτέραν ἀπειργάσασθε* τῇ μνήμῃ τῆς ἐνδόξου ἡμῶν ἀθλήσεως·* Τεσσαράκοντα γὰρ ὄντες* τὴν τεσσαρακονθήμερον ἁγιάζετε,* τὸ σωτήριον πάθος μιμησάμενοι* διὰ τῆς ὑπὲρ Χριστοῦ ὑμῶν ἀθλήσεως.* Διὸ* ἔχοντες παῤῥησίαν, πρεσβεύσατε* ἐν εἰρήνῃ καταντῆσαι ἡμᾶς* εἰς τὴν τριήμερον ἀνάστασιν* τοῦ Θεοῦ καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε... (σ. 658).

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον Τὰς ἀλγηδόνας τῶν ἁγίων (σ. 763).

Καὶ ἀναγινώσκονται αἱ Ὧραι λιταὶ (σ. 178-209), ἐν αἷς λέγομεν ἀπολυτίκιον Τὰς ἀλγηδόνας τῶν ἁγίων (σ. 763) καὶ κοντάκιον Πᾶσαν στρατιὰν (σ. 767). Μετὰ δὲ τὴν ἀπόλυσιν τῶν Ὡρῶν τελεῖται ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν ἐκ τοῦ Τριῳδίου τὸ ἰδιόμελον τῆς ἡμέρας δίς, τὸ μαρτυρικὸν καὶ τὰ τρία προσόμοια τῆς σειρᾶς, εἶτα δὲ τὰ προσόμοια τῶν ἁγίων Φέροντες τὰ παρόντα γενναίως (σ. 761) δευτεροῦντες τὸ α'.

Δόξα. Ἦχος πλ. β'.

Ἐν ᾠδαῖς ἀσμάτων εὐφημήσωμεν, πιστοί,* τοὺς ἀθλοφόρους Τεσσαράκοντα μάρτυρας,* καὶ πρὸς αὐτοὺς μελῳδικῶς* ἐκβοήσωμεν λέγοντες·* Χαίρετε, ἀθλοφόροι τοῦ Χριστοῦ,* Ἡσύχιε, Μελίτων,* Ἡράκλειε, Σμάραγδε καὶ Δόμνε,* Εὐνοϊκέ, Οὐάλη καὶ Βιβιανέ,* Κλαύδιε καὶ Πρίσκε.* Χαίρετε, Θεόδουλε,* Εὐτύχιε καὶ Ἰωάννη,* Ξανθία, Ἡλιανέ, Σισίνιε,* Κυρίων, Ἀγγία,* Ἀέτιε καὶ Φλάβιε.* Χαίρετε, Ἀκάκιε, Ἐκδίκιε,* Λυσίμαχε, Ἀλέξανδρε,* Ἡλία καὶ Γοργόνιε,* Θεόφιλε, Δομετιανέ,* καὶ θεῖε Γάϊε καὶ Γοργόνιε.* Χαίρετε, Εὐτυχὲς καὶ Ἀθανάσιε,* Κύριλλε καὶ Σακερδών,* Νικόλαε καὶ Οὐαλέριε,* Φιλοκτῆμον, Σεβηριανέ,* Χουδίων καὶ Ἀγλάϊε.* Ὡς ἔχοντες παῤῥησίαν* πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν,* μάρτυρες παναοίδιμοι,* αὐτὸν ἐκτενῶς πρεσβεύσατε* τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας* τὴν πανσέβαστον μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρὸν καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας. Εἶτα τὸ Κατευθυνθήτω (σ. 360), καὶ μετὰ τοῦτο εὐθύς

Προκείμενον. Ἦχος πλ. δ'. (Ψαλμὸς ια').

Σύ, Κύριε, φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς.
Στίχ. Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (ιβ' 1-10).

Ἀδελφοί, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν.

Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κ' 1-16).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ συμφωνήσας μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ

ἀργούς, καὶ ἐκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. Οἱ δὲ ἀπῆλθον. Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Λέγουσιν αὐτῷ· Ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε.

Ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου λέγοντες ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. Ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; Ἆρον τὸ σὸν καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί· ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς, ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν ὅτι ἐγὼ ἀγαθός εἰμι;

Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων (σ. 361-375).

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ΤΗ ΚΕ' ΜΑΡΤΙΟΥ

Ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ ἑορτῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) |καὶ τὴν α' στάσιν τοῦ Μακάριος ἀνήρ, σ. 217| εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ προσόμοια τῆς ἑορτῆς γ' δευτεροῦντες αὐτά.

Ἦχος πλ. β'. (Ὅλην ἀποθέμενοι).

Βουλὴν προαιώνιον* ἀποκαλύπτων σοι, Κόρη,* Γαβριὴλ ἐφέστηκε,* σὲ κατασπαζόμενος* καὶ φθεγγόμενος·* Χαῖρε, γῆ ἄσπορε·* χαῖρε, βάτε ἄφλεκτε·* χαῖρε, βάθος δυσθεώρητον·* χαῖρε, ἡ γέφυρα* πρὸς τοὺς οὐρανοὺς ἡ μετάγουσα,* καὶ κλῖμαξ ἡ μετάρσιος,* ἣν ὁ Ἰακὼβ ἐθεάσατο·* χαῖρε, θεία στάμνε* τοῦ μάννα· χαῖρε, λύσις τῆς ἀρᾶς·* χαῖρε, Ἀδὰμ ἡ ἀνάκλησις·* μετὰ σοῦ ὁ Κύριος. (Δὶς)

Φαίνῃ μοι ὡς ἄνθρωπος,* φησὶν ἡ ἄφθορος Κόρη* πρὸς τὸν ἀρχιστράτηγον,* καὶ πῶς φθέγγῃ ῥήματα* ὑπὲρ ἀνθρώπων;* μετ' ἐμοῦ ἔφης γὰρ* τὸν Θεὸν ἔσεσθαι* καὶ σκηνώσειν ἐν τῇ μήτρᾳ μου·* καὶ πῶς γενήσομαι,* λέγε μοι, χωρίον εὐρύχωρον* καὶ τόπος ἁγιάσματος* τοῦ τοῖς Χερουβὶμ ἐπιβαίνοντος;* Μή με δελεάσῃς* ἀπάτῃ· οὐ γὰρ ἔγνων ἡδονήν·* γάμου ὑπάρχω ἀμύητος·* πῶς οὖν παῖδα τέξομαι; (Δὶς)

Θεὸς ὅπου βούλεται,* νικᾶται φύσεως τάξις,* φησὶν ὁ ἀσώματος,* καὶ τὰ ὑπὲρ ἄνθρωπον* διαπράττεται.* Τοῖς ἐμοῖς πίστευε* ἀληθέσι ῥήμασι,* Παναγία ὑπεράμωμε.* Ἡ δὲ ἐβόησε·* Γένοιτό μοι νῦν ὡς τὸ ῥῆμά σου,* καὶ τέξομαι τὸν ἄσαρκον,* σάρκα ἐξ ἐμοῦ δανεισάμενον,* ὅπως ἀναγάγῃ* τὸν ἄνθρωπον ὡς μόνος δυνατὸς* εἰς τὸ ἀρχαῖον ἀξίωμα* διὰ τῆς συγκράσεως. (Δὶς)

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄. Ἰωάννου μοναχοῦ.

Ἀπεστάλη ἐξ οὐρανοῦ* Γαβριὴλ ὁ ἀρχάγγελος* εὐαγγελίσασθαι τῇ Παρθένῳ τὴν σύλληψιν* καὶ ἐλθὼν εἰς Ναζαρέτ,* ἐλογίζετο ἐν ἑαυτῷ* τὸ θαῦμα, ἐκπληττόμενος* ὅτι, πῶς ὁ ἐν ὑψίστοις* ἀκατάληπτος ὢν* ἐκ Παρθένου τίκτεται!* ὁ ἔχων θρόνον οὐρανὸν* καὶ ὑποπόδιον τὴν γῆν* ἐν μήτρᾳ χωρεῖται γυναικός!* ᾧ τὰ ἐξαπτέρυγα καὶ πολυόμματα* ἀτενίσαι οὐ δύνανται,* λόγῳ μόνῳ ἐκ ταύτης* σαρκωθῆναι ηὐδόκησε.* Θεοῦ ἐστι λόγος ὁ παρών.* Τί οὖν ἵσταμαι* καὶ οὐ λέγω τῇ Κόρῃ;* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ·* χαῖρε, ἀγνὴ Παρθένε·* χαῖρε, Νύμφη ἀνύμφευτε·* χαῖρε, Μήτηρ τῆς ζωῆς·* εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Α΄. Γενέσεως τὸ ἀνάγνωσμα (κη΄ 10-17).

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαρράν. Καὶ ἀπήντησε τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς. Ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς καὶ εἶπεν· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ· μὴ φοβοῦ ἡ γῆ, ἐφ᾽ ἧς σὺ καθεύδεις ἐπ᾽ αὐτῆς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ λίβα καὶ βορρᾶν καὶ ἐπὶ ἀνατολάς, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς· καὶ ἐπιστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· Ὅτι ἐστὶ Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐ-

γὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

Β'. Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (μγ' 27 - μδ' 4).

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη. Διότι ὁ ἡγούμενος, οὗτος κάθηται ἐπ' αὐτὴν τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου. Κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς πρὸς βορρᾶν κατέναντι τοῦ οἴκου, καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Γ'. Παροιμιῶν τὸ ἀνάγνωσμα (θ' 1-11).

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλους ἑπτά· ἔσφαξε τὰ ἑαυτῆς θύματα καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν· ἀπέστειλε τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα· Ὅς ἐστιν ἄφρων ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· Ἔλθετε, φάγετε τῶν ἐμῶν ἄρτων, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν· ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει.

Ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις,

τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα. Ἦχος δ΄.

Τῷ ἕκτῳ μηνὶ* ἀπεστάλη ὁ ἀρχάγγελος* πρὸς Παρθένον ἀγνήν* καὶ χαίρειν αὐτῇ προσειπών,* εὐηγγελίσατο ἐξ αὐτῆς* τὸν Λυτρωτὴν προελθεῖν.* Ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμόν,* συνέλαβέ σε τὸν προαιώνιον Θεόν,* τὸν ἀφράστως εὐδοκήσαντα ἐνανθρωπῆσαι* εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Στίχ. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Γλῶσσαν, ἣν οὐκ ἔγνω,* ἤκουσεν ἡ Θεοτόκος* ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ ἀρχάγγελος* τοῦ εὐαγγελισμοῦ τὰ ῥήματα* ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμόν,* συνέλαβέ σε τὸν προαιώνιον Θεόν.* Διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι* Ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεός,* εἰρήνην τῷ κόσμῳ δώρησαι* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ἰδοὺ ἡ ἀνάκλησις* νῦν ἐπέφανεν ἡμῖν* ὑπὲρ λόγον ὁ Θεὸς* τοῖς ἀνθρώποις ἑνοῦται* ἀρχαγγέλου τῇ φωνῇ* ἡ πλάνη ἐκμειοῦται* ἡ Παρθένος γὰρ δέχεται τὴν χαράν* τὰ ἐπίγεια γέγονεν οὐρανός* ὁ κόσμος λέλυται τῆς ἀρχαίας ἀρᾶς.* Ἀγαλλιάσθω ἡ κτίσις* καὶ φωναῖς ἀνυμνείτω* Ὁ ποιητὴς καὶ λυτρωτὴς ἡμῶν,* Κύριε, δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος δ΄. Ἀνδρέου Ἱεροσολυμίτου.

Σήμερον χαρᾶς εὐαγγέλια* παρθενικὴ πανήγυρις* τὰ κάτω τοῖς ἄνω συνάπτεται* ὁ Ἀδὰμ καινουργεῖται* ἡ Εὔα τῆς πρώτης λύπης ἐλευθεροῦται* καὶ ἡ σκηνὴ τῆς καθ' ἡμᾶς οὐσίας,* τῇ θεώσει τοῦ προσληφθέντος φυράμα-

τος,* ναὸς Θεοῦ κεχρημάτικεν.* Ὢ μυστήριον!* ὁ τρόπος τῆς κενώσεως ἄγνωστος,* ὁ τρόπος τῆς συλλήψεως ἄφραστος.* Ἄγγελος λειτουργεῖ τῷ θαύματι* παρθενικὴ γαστὴρ τὸν Υἱὸν ὑποδέχεται* Πνεῦμα ἅγιον καταπέμπεται* Πατὴρ ἄνωθεν εὐδοκεῖ* καὶ τὸ συνάλλαγμα κατὰ κοινὴν* πραγματεύεται βούλησιν* ἐν ᾧ καὶ δι' οὗ σωθέντες,* συνῳδὰ τῷ Γαβριὴλ* πρὸς τὴν Παρθένον βοήσωμεν* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ* ἐξ ἧς ἡ σωτηρία, Χριστὸς ὁ Θεὸς ἡμῶν,* τὴν καθ' ἡμᾶς προσλαβόμενος φύσιν,* πρὸς ἑαυτὸν ἐπανήγαγεν.* Αὐτὸν ἱκέτευε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον* καὶ τοῦ ἀπ' αἰῶνος μυστηρίου ἡ φανέρωσις* ὁ Υἱὸς τοῦ Θεοῦ* Υἱὸς τῆς Παρθένου γίνεται,* καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται.* Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ. (Ἐκ γ').

Ἀπόλυσις.

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου σαρκωθῆναι καταδεξάμενος Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου ἑορτῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος τὸ ἀπολυτίκιον Σήμερον τῆς σωτηρίας Ἐκ γ'.

Τὸ Ψαλτήριον καὶ ὁ πολυέλεος.

Μετὰ τὴν α' στιχολογίαν, κάθισμα.
Ἦχος α'. (Τὸν τάφον σου, Σωτήρ).

Ὁ μέγας στρατηγὸς* τῶν ἀΰλων ταγμάτων* εἰς πόλιν Ναζαρὲτ* ἐπιστάς, βασιλέα* μηνύει σοι, ἄχραντε,* τῶν αἰώνων καὶ Κύριον,* Χαῖρε, λέγων σοι,* εὐλογημένη Μαρία,* ἀκατάληπτον* καὶ ἀνερμήνευτον θαῦμα,* βροτῶν ἡ ἀνάκλησις.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.
Ἦχος γ΄. (Τὴν ὡραιότητα).

Σήμερον ἅπασα* κτίσις ἀγάλλεται,* ὅτι τὸ χαῖρέ σοι* φωνεῖ ἀρχάγγελος·* Εὐλογημένη σύ, σεμνὴ* καὶ ἄχραντε πανάμωμε.* Σήμερον τοῦ ὄφεως* ἀμαυροῦται τὸ φρύαγμα·* ἀρᾶς γὰρ διαλέλυται* τοῦ προπάτορος σύνδεσμος.* Διὸ καὶ κατὰ πάντα βοῶμέν σοι·* Χαῖρε, ἡ Κεχαριτωμένη.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὸν πολυέλεον, κάθισμα.
Ἦχος δ΄. (Κατεπλάγη Ἰωσήφ).

Γαβριὴλ ἐξ οὐρανοῦ* τὸ Χαῖρε κράζει τῇ σεμνῇ,* ὅτι συλλῆψῃ ἐν γαστρὶ* τὸν προαιώνιον Θεόν,* τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον·* ὅθεν Μαριὰμ* ἀπεφθέγγετο·* Ἀνανδρός εἰμι,* καὶ πῶς τέξω Υἱόν;* Καὶ ἑρμηνεύων ἔλεγεν ὁ ἄγγελος* τῇ Θεοτόκῳ καὶ Παρθένῳ·* Ἐλεύσεταί σοι* ἅγιον Πνεῦμα,* καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ἀπεστάλη Γαβριὴλ* πρὸς τὴν Παρθένον καὶ ἀγνὴν* καὶ ἐμήνυσεν αὐτῇ* τὴν ἀνεκλάλητον χαράν,* ὅτι ἀσπόρως συλλήψῃ καὶ οὐ φθαρήσῃ·* τέξῃ γὰρ Υἱὸν* τὸν πρὸ αἰώνων Θεόν,* καὶ σώσει τὸν λαὸν* ἐκ τῶν πταισμάτων αὐτῶν·* καὶ μαρτυρεῖ ὁ πέμψας με εἰπεῖν σοι,* εὐλογημένη, τὸ Χαῖρε.* Παρθένος τίκτεις,* καὶ μετὰ τόκον* πάλιν μένεις Παρθένος.

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου (σ. 102).

Προκείμενον. Ἦχος δ΄.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (α΄ 39-49, 56).

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου.

Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.

Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Ὁ Ν΄ Ψαλμὸς (σ. 103). Δόξα. Ταῖς τῆς Θεοτόκου.

Καὶ νῦν. Τὸ αὐτό. Στίχος· Ἐλέησόν με, ὁ Θεός...

Καὶ ἰδιόμελον. Ἦχος β΄.

Εὐαγγελίζεται ὁ Γαβριὴλ* τῇ κεχαριτωμένῃ σήμερον·* Χαῖρε, ἀνύμφευτε Κόρη* καὶ ἀπειρόγαμε·* μὴ καταπλαγῇς τῇ ξένῃ μου μορφῇ,* μηδὲ δειλιάσῃς· ἀρχάγγελός εἰμι·* ὅφις ἐξηπάτησεν Εὔαν ποτέ·* νῦν εὐαγγελίζομαί σοι τὴν χαράν·* καὶ μενεῖς ἄφθορος,* καὶ τέξῃ τὸν Κύριον, ἄχραντε.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου... (σ. 104).

Ὁ κανὼν τῆς ἑορτῆς. Ἦχος δ΄.
Ποίημα Ἰωάννου μοναχοῦ.

Ὠδὴ α'. Ὁ εἱρμός.

Ἀνοίξω τὸ στόμα μου* καὶ πληρωθήσεται Πνεύματος,* καὶ λόγον ἐρεύξομαι* τῇ βασιλίδι Μητρὶ* καὶ ὀφθήσομαι* φαιδρῶς πανηγυρίζων* καὶ ᾄσω γηθόμενος* ταύτης τὴν σύλληψιν.

Τροπάρια.

Ὁ ποιητής.

Ἄδετω σοι, Δέσποινα,* κινῶν τὴν λύραν τοῦ Πνεύματος,* Δαβὶδ ὁ προπάτωρ σου·* Ἄκουσον, θύγατερ,* τὴν χαρμόσυνον* φωνὴν τὴν τοῦ ἀγγέλου·* χαρὰν γὰρ μηνύει σοι* τὴν ἀνεκλάλητον.

Ὁ ἄγγελος.

Βοῶ σοι γηθόμενος·* κλῖνον τὸ οὖς σου καὶ πρόσχες μοι* Θεοῦ καταγγέλλοντι* σύλληψιν ἄσπορον·* εὕρες χάριν γὰρ* ἐνώπιον Κυρίου,* ἣν εὗρεν οὐδέποτε* ἄλλη τις, πάναγνε.

Ἡ Θεοτόκος.

Γνωσθῆτω μοι, ἄγγελε,* τῶν σῶν ῥημάτων ἡ δύναμις·* πῶς ἔσται ὃ εἴρηκας;* λέγε σαφέστατα* πῶς συλλήψομαι* παρθένος οὖσα κόρη;* πῶς δὲ καὶ γενήσομαι* Μήτηρ τοῦ κτίστου μου;

Ὁ ἄγγελος.

Ἀολίως με φθέγγεσθαι* διαλογίζῃ, ὡς ἔοικε·* καὶ χαίρω θεώμενος* τὴν σὴν ἀσφάλειαν·* θάρσει, Δέσποινα·* Θεοῦ γὰρ βουλομένου,* ῥᾳδίως περαίνεται* καὶ τὰ παράδοξα.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,* ἡ ζῶσα καὶ ἄφθονος πηγή,* θίασον συγκροτήσαντας* πνευματικὸν στερέωσον·* κἂν τῇ σεπτῇ συλλήψει σου* στεφάνων δόξης ἀξίωσον.

Τροπάρια.

Ἡ Θεοτόκος.

Ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα,* ὁ χρόνος ἐπέστη δὲ λοιπόν,* καθ' ὃν ἀναφανήσεται* ἡ τῶν ἐθνῶν ἐλπίς, ὁ Χριστός·* σὺ δὲ πῶς τοῦτον τέξομαι,* παρθένος οὖσα, σαφήνισον.

Ὁ ἄγγελος.

Ζητεῖς παρ' ἐμοῦ γνῶναι, Παρθένε,* τὸν τρόπον συλλήψεως τῆς σῆς,* ἀλλ' οὐτος ἀνερμήνευτος·* τὸ Πνεῦμα δὲ τὸ ἅγιον* δημιουργῷ δυνάμει σοι* ἐπισκιάσαν ἐργάσεται.

Ἡ Θεοτόκος.

Ἡ ἐμὴ προμήτωρ δεξαμένη* τὴν γνώμην τοῦ ὄφεως, τρυφῆς* τῆς θείας ἐξωστράκισται·* διόπερ κἀγὼ δέδοικα* τὸν ἀσπασμὸν τὸν ξένον σου,* εὐλαβουμένη τὸν ὄλισθον.

Ὁ ἄγγελος.

Θεοῦ παραστάτης ἀπεστάλην* τὴν θείαν μηνύσων σοι βουλήν·* τί με φοβῇ, πανάμωμε,* τὸν μᾶλλόν σε φοβούμενον;* τί εὐλαβῇ με, Δέσποινα,* τὸν σὲ σεπτῶς εὐλαβούμενον;

Κάθισμα. Ἦχος πλ. δ'. (Αὐλῶν ποιμενικῶν).

Ὁ Λόγος τοῦ Θεοῦ* ἐπὶ γῆς νῦν κατῆλθεν·* ὁ ἄγγελος βοᾷ* τῇ Παρθένῳ ἑπέστη·* Χαῖρε, εὐλογημένη,* ἡ τὴν σφραγῖδα μόνη φυλάξασα,* ἐν μήτρᾳ δεξαμένη* τὸν πρὸ αἰώνων Λόγον καὶ Κύριον,* ἵνα ἐκ πλάνης σώσῃ ὡς Θεὸς* τὸ γένος τῶν ἀνθρώπων.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,* ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια* ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε.* Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,* ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,* ἵνα κράζω σοι·* Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὁ οἶκος.

Ἄγγελος πρωτοστάτης* οὐρανόθεν ἐπέμφθη* εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε˙* καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ* σωματούμενόν σε θεωρῶν, Κύριε,* ἐξίστατο, καὶ ἵστατο* κραυγάζων πρὸς αὐτὴν τοιαῦτα˙

Χαῖρε, δι᾽ ἧς* ἡ χαρὰ ἐκλάμψει˙* χαῖρε, δι᾽ ἧς* ἡ ἀρὰ ἐκλείψει.

Χαῖρε, τοῦ πεσόντος* Ἀδὰμ ἡ ἀνάκλησις˙* χαῖρε, τῶν δακρύων* τῆς Εὔας ἡ λύτρωσις.

Χαῖρε, ὕψος δυσανάβατον* ἀνθρωπίνοις λογισμοῖς˙* χαῖρε, βάθος δυσθεώρητον* καὶ ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις* βασιλέως καθέδρα˙* χαῖρε, ὅτι βαστάζεις* τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστὴρ* ἐμφαίνων τὸν ἥλιον˙* χαῖρε, γαστὴρ* ἐνθέου σαρκώσεως.

Χαῖρε, δι᾽ ἧς* νεουργεῖται ἡ κτίσις˙* χαῖρε, δι᾽ ἧς* βρεφουργεῖται ὁ κτίστης.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Συναξάριον.

Τῇ ΚΕ′ τοῦ αὐτοῦ μηνὸς ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Στίχοι.

Ἤγγειλεν Υἱὸν ἄγγελος τῇ Παρθένῳ,
Πατρὸς μεγίστης ἄγγελον βουλῆς μέγαν.
Γήθεο τῇ Μαρίῃ ἔφατ᾽ ἄγγελος εἰκάδι πέμπτῃ.
Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Αἱ καταβασίαι.

Ὠδὴ α′.

Ἀνοίξω τὸ στόμα μου... (σ. 780).

Ὠδὴ γ′.

Τοὺς σοὺς ὑμνολόγους... (σ. 780).

Ὠδὴ δ'.

Ο καθήμενος ἐν δόξῃ* ἐπὶ θρόνου Θεότητος,* ἐν νεφέλῃ κούφῃ* ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος* τῇ ἀκηράτῳ παλάμῃ* καὶ διέσωσε* τοὺς κραυγάζοντας* Δόξα, Χριστέ, τῇ δυνάμει σου.

Ὠδὴ ε'.

Ε ξέστη τὰ σύμπαντα* ἐπὶ τῇ θείᾳ δόξῃ σου'* σὺ γάρ, ἀπειρόγαμε Παρθένε,* ἔσχες ἐν μήτρᾳ* τὸν ἐπὶ πάντων Θεὸν* καὶ τέτοκας ἄχρονον Υἱόν,* πᾶσι τοῖς ὑμνοῦσί σε* σωτηρίαν βραβεύουσα.

Ὠδὴ ς'.

Ε βόησε* προτυπῶν τὴν ταφὴν τὴν τριήμερον* ὁ προφήτης* Ἰωνᾶς ἐν τῷ κήτει δεόμενος'* Ἐκ φθορᾶς με ῥῦσαι,* Ἰησοῦ, βασιλεῦ τῶν δυνάμεων.

Ὠδὴ ζ'.

Ο ὐκ ἐλάτρευσαν* τῇ κτίσει οἱ θεόφρονες* παρὰ τὸν κτίσαντα,* ἀλλὰ πυρὸς ἀπειλὴν* ἀνδρείως πατήσαντες,* χαίροντες ἔψαλλον'* Ὑπερύμνητε,* ὁ τῶν πατέρων Κύριος* καὶ Θεός, εὐλογητὸς εἶ.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η'.

Α κουε, Κόρη Παρθένε ἀγνή'* εἰπάτω δὴ ὁ Γαβριὴλ* βουλὴν ὑψίστου ἀρχαίαν ἀληθινήν.* Γενοῦ πρὸς ὑποδοχὴν ἑτοίμη Θεοῦ'* διὰ σοῦ γὰρ ὁ ἀχώρητος* βροτοῖς ἀναστραφήσεται'* διὸ καὶ χαίρων βοῶ'* Εὐλογεῖτε,* πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ὠδὴ θ'. (Ἀλφάβητος ἀντίστροφος).

Μεγαλυνάριον ψαλλόμενον πρὸ ἑκάστου τροπαρίου.

Εὐαγγελίζου, γῆ, χαρὰν μεγάλην'* αἰνεῖτε, οὐρανοί, Θεοῦ τὴν δόξαν.

Ὁ εἱρμός.

Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ* Ψαύετω μηδαμῶς χεὶρ ἀμυήτων·* Χείλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως* Φωνὴν τοῦ ἀγγέλου ἀναμέλποντα,* ἐν ἀγαλλιάσει βοάτω·* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ.

Τροπάρια.

Ὑπὲρ ἔννοιαν συλλαβοῦσα Θεόν,* Τῆς φύσεως θεσμοὺς ἔλαθες, Κόρη·* Σὺ γὰρ ἐν τῷ τίκτειν τὰ μητέρων διέδρας,* Ῥευστὴ φύσις περ καθεστηκυῖα·* ὅθεν ἐπαξίως ἀκούεις·* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ.

Πῶς πηγάζεις γάλα, Παρθένε ἀγνή;* Οὐ φέρει ἐξειπεῖν γλῶσσα βροτεία·* Ξένον γὰρ φύσεως ἐπιδείκνυσαι πρᾶγμα,* Νομίμου γονῆς ὅρους ὑπερβαῖνον·* ὅθεν ἐπαξίως ἀκούεις·* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ.

Μυστικῶς ταῖς ἱεροτεύκτοις γραφαῖς* Λαλεῖται περὶ σοῦ, Μῆτερ Ὑψίστου·* Κλίμακα γὰρ πάλαι Ἰακὼβ σε προτυποῦσαν* Ἰδών, ἔφη· Βάσις Θεοῦ αὕτη·* ὅθεν ἐπαξίως ἀκούεις·* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ.

Θαυμαστὸν τῷ ἱεροφάντῃ Μωσεῖ* Ἡ βάτος καὶ τὸ πῦρ ἔδειξε τέρας·* Ζητῶν δὲ τὸ πέρας εἰς διάβασιν χρόνου,* Ἐν Κόρῃ ἀγνῇ, ἔφη, κατοπτεύσω·* ἢ ὡς Θεοτόκῳ λεχθείῃ·* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ.

Δανιὴλ σε ὄρος καλεῖ νοητόν·* Γεννήτριαν Θεοῦ ὁ Ἡσαΐας·* Βλέπει δὲ ὡς πόκον Γεδεών· ὁ Δαβὶδ δὲ* Ἁγίασμα φάσκει· πύλην δέ σε ἄλλος·* ὁ δὲ Γαβριὴλ σοι κραυγάζει·* Χαῖρε, Κεχαριτωμένη,* ὁ Κύριος μετὰ σοῦ.

Κατάβασία. Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ.

Ἐξαποστειλάριον (Τοῖς μαθηταῖς συνέλθωμεν).

Ἀγγελικῶν δυνάμεων* στρατηγὸς ἀπεστάλη* ἐκ Θεοῦ παντοκράτορος* πρὸς ἁγνὴν καὶ Παρθένον,* εὐαγγελίσασθαι ξένον* καὶ ἀπόῤῥητον θαῦμα·* ὅτι Θεὸς ὡς ἄνθρωπος* ἐξ αὐτῆς βρεφουργεῖται* ἄνευ σπορᾶς,* ἀνα-

πλάττων βρότειον* ἅπαν γένος.* Λαοί, εὐαγγελίζεσθε* τὴν ἀνάπλασιν κόσμου.

Ὅμοιον.

Χαῖρε κατάρας λύτρωσις* τοῦ Ἀδάμ, Θεοτόκε·* χαῖρε, σεμνὴ Μητρόθεε·* χαῖρε, ἔμψυχε βάτε·* χαῖρε, λαμπάς· χαῖρε, θρόνε·* χαῖρε, κλῖμαξ καὶ πύλη·* χαῖρε, τὸ θεῖον ὄχημα·* χαῖρε, κούφη νεφέλη·* χαῖρε, ναέ·* χαῖρε, στάμνε πάγχρυσε·* χαῖρε, ὄρος·* χαῖρε, σκηνὴ καὶ τράπεζα·* χαῖρε, Εὔας ἡ λύσις.

Εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια.

Ἦχος α΄. (Τῶν οὐρανίων ταγμάτων).

Τῶν οὐρανίων ἀψίδων* ὁ Γαβριὴλ καταπτάς,* εἰς Ναζαρὲτ ἐπέστη* πρὸς Παρθένον Μαρίαν,* βοῶν αὐτῇ τὸ Χαῖρε·* συλλήψῃ Υἱὸν* τοῦ Ἀδὰμ ἀρχαιότερον,* τὸν ποιητὴν τῶν ἁπάντων καὶ λυτρωτὴν* τῶν βροτῶν σοι τὸ Χαῖρε, ἀγνή. (Δις)

Ὁ Γαβριὴλ τῇ Παρθένῳ* τὸ εὐαγγέλιον* ἐξ οὐρανοῦ κομίσας,* ἀνεβόα τὸ Χαῖρε·* συλλήψῃ ἐν γαστρί σου* τὸν σοὶ χωρητὸν* καὶ τῷ κόσμῳ ἀχώρητον,* καὶ κυοφόρος ὀφθήσῃ τοῦ ἐκ Πατρὸς* πρὸ ἑωσφόρου ἀνατείλαντος.

Ὁ συναΐδιος Λόγος* τοῦ προανάρχου Πατρός,* μὴ χωρισθεὶς τῶν ἄνω,* νῦν ἐπέστη τοῖς κάτω* δι' ἄκραν εὐσπλαγχνίαν,* οἰκτον λαβὼν* τοῦ καθ' ἡμᾶς ὁλισθήματος·* καὶ τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβών,* ἐμορφώθη τὸ ἀλλότριον.

Δόξα, καὶ νῦν. Ἦχος β΄. Θεοφάνους.

Τὸ ἀπ' αἰῶνος μυστήριον* ἀνακαλύπτεται σήμερον,* καὶ ὁ Υἱὸς τοῦ Θεοῦ* Υἱὸς ἀνθρώπου γίνεται,* ἵνα τοῦ χείρονος μεταλαβών,* μεταδῷ μοι τοῦ βελτίονος.* Ἐψεύσθη πάλαι Ἀδάμ,* καὶ Θεὸς ἐπιθυμήσας οὐ γέγονεν·* ἄνθρωπος γίνεται Θεός,* ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται.* Εὐφραινέσθω ἡ κτίσις,* χορευέτω ἡ φύσις,* ὅτι ἀρχάγγελος Παρθένῳ* μετὰ δέους παρίσταται* καὶ τὸ Χαῖρε κομίζει*

τῆς λύπης ἀντίθετον.* Ὁ διὰ σπλάγχνα ἐλέους ἐνανθρωπήσας,* Θεὸς ἡμῶν, δόξα σοι.

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον (σ. 777).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Θ. Λειτουργία Χρυσοστόμου, σ. 287-319).

Ψάλλομεν τὰ παρόντα ἀντίφωνα.

Ἀντίφωνον Α΄. Ἦχος β΄.

Στίχ. α΄. Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δὸς καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β΄. Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ καὶ οἱ βουνοὶ δικαιοσύνην.

Στίχ. γ΄. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Στίχ. δ΄. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Δόξα, καὶ νῦν.

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. α΄. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχ. β΄. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Στίχ. γ΄. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν καὶ οὐ παρασιωπήσεται.

Στίχ. δ΄. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης.

Δόξα, καὶ νῦν.

Ὁ μονογενὴς Υἱός... (σ. 293).

Ἀντίφωνον Γ'. Ἦχος δ'.

Στίχ. α'. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.

Σήμερον τῆς σωτηρίας... (σ. 777).

Στίχ. β'. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. γ'. Εὐλογημένον τὸ ὄνομα αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Εἰσοδικόν.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τὸ ἀπολυτίκιον Σήμερον τῆς σωτηρίας (σ. 777) καὶ τὸ κοντάκιον Τῇ ὑπερμάχῳ (σ. 781).

Προκείμενον. Ἦχος γ'. (Ὠδὴ τῆς Θεοτόκου).

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (β' 11-18).

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε· καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ· καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ

ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (α΄ 24-38).

Ἐν ταῖς ἡμέραις ἐκείναις συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὀνειδός μου ἐν ἀνθρώποις.

Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαβίδ, καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. Καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν εἶπε· Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν.

Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. Καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας καὶ υἱὸς Ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.

Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ. Καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα.

Εἶπε δὲ Μαριάμ· Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299 κ.ἑ.).

Εἰς τὸ Ἐξαιρέτως τὸ Εὐαγγελίζου γῆ... Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ... (σ. 783).

Κοινωνικόν.

Ἐξελέξατο Κύριος τὴν Σιών, ἠρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Ἀλληλούϊα.

ΜΕΡΟΣ ΠΕΜΠΤΟΝ

ΤΡΙΩΔΙΟΝ

ΚΑΤΑΝΥΚΤΙΚΟΝ

Ὁ δημιουργὸς τῶν ἄνω καὶ τῶν κάτω,
τρισάγιον μὲν ὕμνον ἐκ τῶν ἀγγέλων,
τριῴδιον δὲ καὶ παρ' ἀνθρώπων δέχου.

«Ἥμαρτον εἰς σέ, Σωτήρ, ὡς ὁ ἄσωτος Υἱός· δέξαι με, Πάτερ, μετανοοῦντα καὶ ἐλέησόν με, ὁ Θεός».

(Κατανυκτικὸν β' ἦχου).

ΚΥΡΙΑΚΗ ΤΟΥ ΤΕΛΩΝΟΥ ΚΑΙ ΤΟΥ ΦΑΡΙΣΑΙΟΥ(*)

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν Ψαλμὸν καὶ τὰ εἰρηνικὰ [καὶ τὸ α' κάθισμα τοῦ Ψαλτηρίου] εἰς τὸ **Κύριε, ἐκέκραξα,** ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ζ' καὶ τοῦ Τριῳδίου ἰδιόμελα γ'.

Ἦχος α'.

Μὴ προσευξώμεθα φαρισαϊκῶς, ἀδελφοί· * ὁ γὰρ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· * ταπεινωθῶμεν ἐναντίον τοῦ Θεοῦ, * τελωνικῶς διὰ νηστείας κράζοντες· * Ἱλάσθητι ἡμῖν, ὁ Θεός, * τοῖς ἁμαρτωλοῖς. (Δις)

Φαρισαῖος * κενοδοξίᾳ νικώμενος * καὶ τελώνης * τῇ μετανοίᾳ κλινόμενος * προσῆλθόν σοι τῷ μόνῳ Δεσπό-

---

(*) Ἐκθέτομεν ἀναλυτικῶς τὴν διάταξιν τῶν ἀκολουθιῶν τῆς Ὀρθοδοξίας Κυριακῆς. Παρομοία εἶναι ἡ τάξις καὶ τῶν λοιπῶν Κυριακῶν τοῦ Τριῳδίου μέχρι καὶ τῆς Ε' Κυριακῆς τῶν Νηστειῶν. Διὰ τοῦτο χάριν συντομίας εἰς τὰς ἑπομένας Κυριακὰς δὲν ἐπαναλαμβάνεται λεπτομερῶς ἡ διάταξις ἀλλὰ σημειοῦνται μόνον αἱ διαφοραὶ ἑκάστης Κυριακῆς.

τῃ̃* ἀλλ᾽ ὁ μὲν καυχησάμενος* ἐστερήθη τῶν ἀγαθῶν᾽* ὁ δὲ μὴ φθεγξάμενος* ἠξιώθη τῶν δωρεῶν᾽* ἐν τούτοις τοῖς στεναγμοῖς* στήριξόν με, Χριστὲ ὁ Θεός,* ὡς φιλάνθρωπος.

Δόξα. Ἦχος πλ. δ΄.

Παντοκράτορ Κύριε,* οἶδα πόσα δύνανται τὰ δάκρυα᾽* Ἐζεκίαν γὰρ* ἐκ τῶν πυλῶν τοῦ θανάτου ἀνήγαγον᾽* τὴν ἁμαρτωλὸν* ἐκ τῶν χρονίων πταισμάτων ἐρρύσαντο᾽* τὸν δὲ τελώνην* ὑπὲρ τὸν φαρισαῖον ἐδικαίωσαν᾽* καὶ δέομαι᾽* Σὺν αὐτοῖς ἀριθμήσας* ἐλέησόν με.

Καὶ νῦν. Τὸ α΄ Θεοτοκίον τοῦ ἤχου.

Εἴσοδος᾽ τὸ Φῶς ἱλαρὸν κ.τ.λ. (σ. 227-231). Μετὰ δὲ τὴν εὐχὴν τῆς κεφαλοκλισίας ψάλλονται τὰ ἀναστάσιμα ἀπόστιχα τοῦ τυχόντος ἤχου.

Δόξα. Ἦχος πλ. α΄.

Βεβαρημένων τῶν ὀφθαλμῶν μου* ἐκ τῶν ἀνομιῶν μου,* οὐ δύναμαι ἀτενίσαι* καὶ ἰδεῖν τὸν αἰθέρα τοῦ οὐρανοῦ᾽* ἀλλὰ δέξαι με ὡς τὸν τελώνην* μετανοοῦντα, Σωτήρ,* καὶ ἐλέησόν με.

Καὶ νῦν. Ναὸς καὶ πύλη ὑπάρχεις (σ. 443).

Τὸ Νῦν ἀπολύεις καὶ τὸ Τρισάγιον.

Τὸ ἀναστάσιμον ἀπολυτίκιον τοῦ ἤχου καὶ τὸ Θεοτοκίον, καὶ ἀπόλυσις.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ΄

ΕΙΣ ΤΟ ΜΕΣΟΝΥΚΤΙΚΟΝ

(Μεσονυκτικὸν τῆς Κυριακῆς, σ. 81).

Μετὰ τὸν Ν΄ Ψαλμὸν ψάλλομεν τὸν τριαδικὸν κανόνα τοῦ τυχόντος ἤχου. Εἶτα τὰ μεγαλυνάρια Ἄξιόν ἐστιν καὶ τὰ λοιπὰ τοῦ Μεσονυκτικοῦ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικά, εἰς τὸ **Θεὸς Κύριος**, τὸ ἀναστάσιμον ἀπολυτίκιον δὶς καὶ τὸ Θεοτοκίον. Τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ ἅμωμος. Τὰ ἀναστάσιμα καθίσματα καὶ τὰ εὐλογητάρια (σ. 100), ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου, καὶ εὐθὺς οἱ κανόνες, ὁ ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου.

Ὁ κανὼν τοῦ Τριῳδίου. Ποίημα Γεωργίου. Ἦχος πλ. β΄.

Ὠδὴ α΄. (Ὡς ἐν ἠπείρῳ πεζεύσας).

Παραβολαῖς ἐμβιβάζων* πάντας Χριστὸς* πρὸς βίου διόρθωσιν,* τὸν τελώνην ἀνυψοῖ* ἐκ τῆς ταπεινώσεως, δεικνὺς* φαρισαῖον τῇ ἐπάρσει* ταπεινούμενον.

Ἐκ ταπεινώσεως γέρας* ὑψοποιόν,* ἐκ δὲ τῆς ἐπάρσεως* πτῶμα βλέπων χαλεπόν,* τοῦ τελώνου ζήλου τὰ καλὰ* καὶ τὴν φαρισαϊκὴν* κακίαν μίσησον.

Ἐξ ἀπονοίας κενοῦται* πᾶν ἀγαθόν,* ἐκ δὲ ταπεινώσεως* καθαιρεῖται πᾶν κακόν* ἣν περ ἀσπασώμεθα, πιστοί,* βδελυττόμενοι σαφῶς* τρόπον κενόδοξον.

Τὸ ταπεινόφρονας εἶναι* τοὺς ἑαυτοῦ* μαθητὰς βουλόμενος* ὁ τῶν πάντων βασιλεύς,* παραινῶν ἐδίδασκε ζηλοῦν* τὸν τελώνου στεναγμὸν* καὶ τὴν ταπείνωσιν.

Ὡς ὁ τελώνης στενάζω* καὶ ὀδυρμοῖς* ἀσιγήτοις, Κύριε,* νῦν προσέρχομαι τῇ σῇ* εὐσπλαγχνίᾳ οἰκτειρον κἀμέ* ταπεινώσει τὴν ζωήν* νῦν διεξάγοντα.

Θεοτοκίον.

Γνώμην, βουλήν, προσδοκίαν,* σῶμα, ψυχήν* καὶ τὸ πνεῦμα, Δέσποινα,* ἀνατίθημι πρὸς σέ* δυσχερῶν ἐχθρῶν καὶ πειρασμῶν* καὶ μελλούσης ἀπειλῆς* ῥῦσαι καὶ σῶσόν με.

Ὠδὴ γ΄. (Οὐκ ἔστιν ἅγιος ὡς σύ).

Ἀπὸ κοπρίας μὲν παθῶν* ταπεινὸς ἀνυψοῦται,* ἀρετῶν ἀπὸ ὕψους* καταπίπτει δὲ δεινῶς* ὑψηλοκάρδιος πᾶς·* οὗ τὸν τρόπον* τῆς κακίας φύγωμεν.

Κενοδοξία ἐκκενοῖ* πλοῦτον δικαιοσύνης,* τῶν παθῶν δὲ σκορπίζει* ἡ ταπείνωσις πληθύν·* ἣν μιμουμένους ἡμᾶς* τῆς μερίδος* δεῖξον τοῦ τελώνου, Σωτήρ.

Ὡς ὁ τελώνης, καὶ ἡμεῖς* τύπτοντες εἰς τὸ στῆθος* κατανύξει βοῶμεν·* Ἱλάσθητι, ὁ Θεός,* ἡμῖν τοῖς ἁμαρτωλοῖς,* ὅπως τούτου* λάβωμεν τὴν ἄφεσιν.

Πρὸς ζῆλον ἔλθωμεν, πιστοί,* κατορθοῦντες τὸ πρᾶον,* ταπεινώσει συζῶντες,* ἐν καρδίας στεναγμῷ,* κλαυθμῷ τε καὶ προσευχῇ,* ὅπως σχῶμεν* ἐκ Θεοῦ συγχώρησιν.

Ἀποβαλλώμεθα, πιστοί,* τὸν ὑπέρογκον κόμπον,* ἀπόνοιαν δεινὴν τε* καὶ τῦφον τὸν βδελυκτὸν* καὶ τὴν κακίστην Θεῷ* φαρισαίου* ἀπρεπῆ ὠμότητα.

Θεοτοκίον.

Ἐν σοὶ τῇ μόνῃ προσφυγῇ* πεποιθώς, μὴ ἐκπέσω* τῆς καλῆς προσδοκίας,* ἀλλὰ τύχοιμι τῆς σῆς* ἐπικουρίας, ἁγνή,* πάσης βλάβης* δυσχερῶν ῥυόμενος.

Μετὰ τὴν γ΄ ᾠδήν.

Κάθισμα. Ἦχος δ΄ (Ταχὺ προκατάλαβε).

Ταπείνωσις ὕψωσε* κατῃσχυμμένον κακοῖς* τελώνην στυγνάσαντα,* καὶ τὸ Ἱλάσθητι,* τῷ κτίστῃ βοήσαντα·* ἔπαρσις δὲ καθεῖλεν* ἀπὸ δικαιοσύνης* δείλαιον φαρισαῖον* μεγαλορρημονοῦντα·* ζηλώσωμεν διὸ τὰ καλά,* κακῶν ἀπεχόμενοι.

Δόξα. Ἕτερον. Ὅμοιον.

Ταπείνωσις ὕψωσε* πάλαι τελώνην κλαυθμῷ* βοήσαντα· Ἱλάσθητι,* καὶ ἐδικαίωσεν·* αὐτὸν μιμησώμεθα* ἅπαντες οἱ εἰς βάθος* τῶν κακῶν ἐμπεσόντες·* κράξωμεν τῷ

Σωτῆρι* ἀπὸ βάθους καρδίας* Ἡμάρτομεν, ἰλάσθητι,* μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ταχὺ δέξαι, Δέσποινα,* τὰς ἱκεσίας ἡμῶν* καὶ ταύτας προσάγαγε* τῷ σῷ Υἱῷ καὶ Θεῷ,* Κυρία πανάμωμε·* λῦσον τὰς περιστάσεις* τῶν εἰς σὲ προστρεχόντων·* σύντριψον μηχανίας* καὶ κατάβαλε θράσος* τῶν ὀπλιζομένων ἀθέως* κατὰ τῶν δούλων σου.

Μετὰ δὲ τὴν στ' ᾠδήν.

Κοντάκιον. Ἦχος γ'. (Ἡ παρθένος σήμερον).

Στεναγμοὺς προσοίσωμεν* τελωνικοὺς τῷ Κυρίῳ* καὶ αὐτῷ προσπέσωμεν* ἁμαρτωλοὶ ὡς Δεσπότῃ·* θέλει γὰρ τὴν σωτηρίαν* πάντων ἀνθρώπων·* ἄφεσιν παρέχει πᾶσι* μετανοοῦσι·* δι' ἡμᾶς γὰρ ἐσαρκώθη,* Θεὸς ὑπάρχων* Πατρὶ συνάναρχος.

Ὁ οἶκος. (Τὴν Ἐδὲμ βηθλεέμ).

Ἑαυτούς, ἀδελφοί,* ἅπαντες ταπεινώσωμεν·* στεναγμοῖς, ὀδυρμοῖς* τύψωμεν τὴν συνείδησιν,* ἵνα ἐν τῇ κρίσει* τότε τῇ αἰωνίᾳ* ἐκεῖ ὀφθῶμεν,* πιστοί, ἀνεύθυνοι,* τυχόντες ἀφέσεως·* ἐκεῖ γάρ ἐστιν* ὄντως ἡ ἄνεσις,* ἣν ἰδεῖν ἡμᾶς* νῦν ἱκετεύσωμεν·* ἐκεῖ ὀδύνη* ἀπέδρα, λύπη,* καὶ οἱ ἐκ βάθους στεναγμοί,* ἐν τῇ Ἐδὲμ τῇ θαυμαστῇ,* ἧς ὁ Χριστὸς δημιουργός,* Θεὸς ὑπάρχων* Πατρὶ συνάναρχος.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν

Τῇ αὐτῇ ἡμέρᾳ τῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου παραβολῆς μνείαν ποιούμεθα.

Στίχοι.

Φαρισαῖζων, ἱεροῦ μακρὰν γίνου·
Χριστὸς γὰρ ἔνδον, ᾧ ταπεινοὶ δεκτέοι.

Ἕτεροι εἰς τὸ Τρῳδιον.

Ὁ δημιουργὸς τῶν ἄνω καὶ τῶν κάτω,
τρισάγιον μὲν ὕμνον ἐκ τῶν ἀγγέλων,
τριῴδιον δὲ καὶ παρ' ἀνθρώπων δέχου.

Ταῖς τῶν ἁγίων πάντων μεγαλουργῶν σου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος πλ. β'.

Ὠδὴ α'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας* ὁ Ἰσραὴλ* ἐν ἀβύσσῳ ἴχνεσι,* τὸν διώκτην Φαραὼ* καθορῶν ποντούμενον, Θεῷ* ἐπινίκιον ᾠδήν,* ἐβόα, ᾄσωμεν.

Ὠδὴ γ'.

Οὐκ ἔστιν ἅγιος ὡς σύ,* Κύριε ὁ Θεός μου,* ὁ ὑψώσας τὸ κέρας* τῶν πιστῶν σου, ἀγαθέ,* καὶ στερεώσας ἡμᾶς* ἐν τῇ πέτρᾳ* τῆς ὁμολογίας σου.

Ὠδὴ δ'.

Χριστός μου δύναμις,* Θεὸς καὶ Κύριος,* ἡ σεπτὴ Ἐκκλησία* θεοπρεπῶς* μέλπει ἀνακράζουσα* ἐκ διανοίας καθαρᾶς,* ἐν Κυρίῳ ἑορτάζουσα.

Ὠδὴ ε'.

Τῷ θείῳ φέγγει σου, ἀγαθέ,* τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς* πόθῳ καταύγασον, δέομαι,* σὲ εἰδέναι, Λόγε* Θεοῦ, τὸν ὄντως Θεόν,* ἐκ ζόφου τῶν πταισμάτων* ἀνακαλούμενον.

Ὠδὴ στ'

Τοῦ βίου τὴν θάλασσαν* ὑψουμένην καθορῶν* τῶν πειρασμῶν τῷ κλύδωνι,* τῷ εὐδίῳ λιμένι σου προσδραμὼν* βοῶ σοι· Ἀνάγαγε* ἐκ φθορᾶς τὴν ζωήν μου, πολυέλεε.

Ὠδὴ ζ'.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο* ἄγγελος τοῖς ὁσίοις παισί·* τοὺς Χαλδαίους δὲ* καταφλέγον πρόσ-

ταγμα Θεοῦ* τὸν τύραννον ἔπεισε βοᾶν·* Εὐλογητὸς εἶ, ὁ Θεός,* ὁ τῶν πατέρων ἡμῶν.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η΄.

Ἐκ φλογὸς τοῖς ὁσίοις* δρόσον ἐπήγασας* καὶ δικαίου θυσίαν* ὕδατι ἔφλεξας·* ἅπαντα γὰρ δρᾷς,* Χριστέ, μόνῳ τῷ βούλεσθαι·* σὲ ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Καὶ ἀναγινώσκεται τὸ ἑωθινὸν Εὐαγγέλιον κατὰ τὴν συνήθη τάξιν (σ. 108 κ.ἑ.). Ἀλλὰ μετὰ τὸν Ν΄ Ψαλμὸν ἀντὶ τῶν συνήθων τροπαρίων Ταῖς τῶν ἀποστόλων κ.τ.λ. ψάλλονται τὰ τοῦ Τριῳδίου Τῆς μετανοίας ἄνοιξόν μοι πύλας (σ. 118).

Εἶτα στιχολογεῖται ἡ Τιμιωτέρα (σ. 119) καὶ μετ' αὐτὴν ψάλλεται ἡ καταβασία.

Ὠδὴ θ΄.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον,* ᾧ οὐ τολμᾷ* ἀγγέλων ἀτενίσαι τὰ τάγματα·* διὰ σοῦ δέ, πάναγνε,* ὡράθη βροτοῖς* Λόγος σεσαρκωμένος·* ὃν μεγαλύνοντες,* σὺν ταῖς οὐρανίαις στρατιαῖς* σὲ μακαρίζομεν.

Ἐξαποστειλάριον τὸ ἀναστάσιμον ἑωθινὸν (σ. 121-125) καὶ τὰ παρόντα τοῦ Τριῳδίου.

(Τοῖς μαθηταῖς συνέλθωμεν).

Ὑψηγορίαν φύγωμεν* φαρισαίου κακίστην,* ταπείνωσιν δὲ μάθωμεν* τοῦ τελώνου ἀρίστην,* ἵν' ὑψωθῶμεν, βοῶντες* τῷ Θεῷ σὺν ἐκείνῳ·* Ἱλάσθητι τοῖς δούλοις σου* ὁ τεχθεὶς ἐκ Παρθένου,* Χριστὲ Σωτήρ,* ἑκουσίως καὶ Σταυρὸν* ὑπομείνας* καὶ ἀναστὰς τριήμερος* συνεγείρας τὸν κόσμον.

Θεοτοκίον. Ὅμοιον.

Ποιητὴς τῆς κτίσεως,* καὶ Θεὸς τῶν ἁπάντων,* σάρκα βροτείαν ἔλαβεν* ἐξ ἀχράντου γαστρός σου,* πανύ-

μνητε Θεοτόκε,* καὶ φθαρεῖσάν μου φύσιν* ὅλην ἀνεκαινούργησε,* πάλιν ὡς πρὸ τοῦ τόκου* καταλιπὼν* μετὰ τόκον· ὅθεν* πίστει σε πάντες* ἀνευφημοῦντες κράζομεν* Χαῖρε, κόσμου ἡ δόξα.

Εἰς τοὺς αἴνους (σ. 126) στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου δ′ καὶ τοῦ Τριῳδίου δ′.

Ἦχος α′.

Μὴ προσευξώμεθα φαρισαϊκῶς...
Φαρισαῖος κενοδοξίᾳ νικώμενος...
(Ζήτει εἰς τὸν Ἑσπερινόν, σ. 793).

Ἕτερα. Ἦχος γ′.

Τοῦ τελώνου καὶ τοῦ φαρισαίου τὸ διάφορον* ἐπιγνοῦσα, ψυχή μου,* τοῦ μὲν* μίσησον τὴν ὑπερήφανον φωνήν,* τοῦ δὲ* ζήλωσον τὴν εὐκατάνυκτον εὐχὴν* καὶ βόησον* Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ* καὶ ἐλέησόν με.

Τοῦ φαρισαίου τὴν μεγάλαυχον φωνήν,* πιστοί, μισήσαντες,* τοῦ δὲ τελώνου* τὴν εὐκατάνυκτον εὐχὴν ζηλώσαντες,* μὴ τὰ ὑψηλὰ φρονῶμεν,* ἀλλ' ἑαυτοὺς ταπεινοῦντες* ἐν κατανύξει κράξωμεν* Ὁ Θεός, ἱλάσθητι* ταῖς ἁμαρτίαις ἡμῶν.

Δόξα. Ἦχος πλ. δ′.

Ταῖς ἐξ ἔργων καυχήσεσι* φαρισαῖον δικαιοῦντα ἑαυτὸν* κατέκρινας, Κύριε,* καὶ τελώνην μετριοπαθήσαντα* καὶ στεναγμοῖς ἱλασμὸν αἰτούμενον* ἐδικαίωσας·* οὐ γὰρ προσίεσαι* τοὺς μεγαλόφρονας λογισμοὺς* καὶ τὰς συντετριμμένας καρδίας* οὐκ ἐξουθενεῖς·* διὸ καὶ ἡμεῖς σοὶ προσπίπτομεν* ἐν ταπεινώσει,* τῷ παθόντι δι' ἡμᾶς·* Παράσχου τὴν ἄφεσιν* καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη καὶ τροπάριον ἀναστάσιμον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον, τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ ναοῦ καὶ τὸ παρὸν κοντάκιον.

Ἦχος δ΄ (Ἐπεφάνης σήμερον).

Φαρισαίου φύγωμεν* ὑψηγορίαν,* καὶ τελώνου μάθωμεν* τὸ ταπεινόν, ἐν στεναγμοῖς* πρὸς τὸν Σωτῆρα κραυγάζοντες·* Ἵλαθι, μόνε* ἡμῖν εὐδιάλλακτε.

Μετὰ δὲ τὸν τρισάγιον ὕμνον, προκείμενον τοῦ ἤχου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου (γ΄ 10-15).

Τέκνον Τιμόθεε, παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένοντο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις. Οἵους διωγμοὺς ὑπήνεγκα! Καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος. Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται· πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ιη΄ 10-14).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι· ὁ εἷς φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης. Ὁ φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· Ὁ Θεός, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὡσ-

περ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. Νηστεύω δὶς τοῦ Σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. Καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

ΚΥΡΙΑΚΗ ΤΟΥ ΑΣΩΤΟΥ

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ζ καὶ τοῦ Τριῳδίου ἰδιόμελα γ'.

Ἦχος α'

Εἰς ἀναμάρτητον χώραν* καὶ ζωηρὰν ἐπιστεύθην,* γεωσπορήσας τὴν ἁμαρτίαν·* τῇ δρεπάνῃ ἐθέρισα* τοὺς στάχυας τῆς ἀμελείας* καὶ δραγμάτων ἐστοίβασα* πράξεών μου τὰς θημωνίας,* ἃς καὶ κατέστρωσα,* οὐχ ἅλωνι τῆς μετανοίας.* Ἀλλ' αἰτῶ σε* τὸν προαιώνιον γεωργὸν ἡμῶν Θεόν·* Τῷ ἀνέμῳ τῆς σῆς φιλευσπλαγχνίας* ἀπολίκμησον τὸ ἄχυρον τῶν ἔργων μου* καὶ σιτάρχησον τῇ ψυχῇ μου τὴν ἄφεσιν,* εἰς τὴν οὐράνιόν σου συγκλείσας με ἀποθήκην,* καὶ σῶσόν με. (Δὶς)

Ἐπιγνῶμεν, ἀδελφοί,* τοῦ μυστηρίου τὴν δύναμιν·* τὸν γὰρ ἐκ τῆς ἁμαρτίας* πρὸς τὴν πατρικὴν ἑστίαν* ἀναδραμόντα ἄσωτον υἱὸν* ὁ πανάγαθος Πατὴρ* προϋπαντήσας ἀσπάζεται* καὶ πάλιν τῆς οἰκείας δόξης* χαρίζεται τὰ γνωρίσματα* καὶ μυστικῆν τοῖς ἄνω* ἐπιτελεῖ εὐφροσύνην,* θύων τὸν μόσχον τὸν σιτευτόν,* ἵνα ἡμεῖς ἀξίως πολιτευσώμεθα,* τῷ τε θύσαντι φιλανθρώπῳ Πατρὶ* καὶ τῷ ἐνδόξῳ θύματι,* τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος β΄.

Ὢ πόσων ἀγαθῶν* ὁ ἄθλιος ἐμαυτὸν ἐστέρησα!* Ὢ ποίας βασιλείας* ἐξέπεσα ὁ ταλαίπωρος ἐγώ!* Τὸν πλοῦτον ἠνάλωσα, ὅνπερ ἔλαβον·* τὴν ἐντολὴν παρέβην.* Οἴμοι, τάλαινα ψυχή!* Τῷ πυρὶ τῷ αἰωνίῳ* λοιπὸν καταδικάζεσαι·* διὸ πρὸ τέλους βόησον* Χριστῷ τῷ Θεῷ·* Ὡς τὸν ἄσωτον δέξαι με υἱόν,* ὁ Θεός, καὶ ἐλέησόν με.

Καὶ νῦν. Τὸ α΄ Θεοτοκίον τοῦ ἤχου.

Ἀπόστιχα τὰ ἀναστάσιμα.

Δόξα. Ἦχος πλ. β΄.

Τῆς πατρικῆς δωρεᾶς* διασκορπίσας τὸν πλοῦτον,* ἀλόγοις συνεβοσκόμην* ὁ τάλας κτήνεσι,* καὶ τῆς αὐτῶν ὀρεγόμενος τροφῆς,* ἐλίμωττον μὴ χορταζόμενος·* ἀλλ᾽ ὑποστρέψας πρὸς τὸν εὔσπλαγχνον Πατέρα,* κραυγάζω σὺν δάκρυσι·* Δέξαι με ὡς μίσθιον* προσπίπτοντα τῇ φιλανθρωπίᾳ σου,* καὶ σῶσόν με.

Καὶ νῦν. Ὁ ποιητὴς καὶ λυτρωτής μου (σ. 457).

Τὸ ἀναστάσιμον ἀπολυτίκιον καὶ τὸ Θεοτοκίον.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΪ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Ὁ κανὼν τοῦ Τριῳδίου. Ποίημα Ἰωσήφ. Ἦχος β΄.

Ὠδὴ α΄. (Τὴν Μωσέως ᾠδήν).

Ἰησοῦ ὁ Θεός,* μετανοοῦντα δέξαι νῦν κἀμέ,* ὡς τὸν ἄσωτον υἱόν,* πάντα τὸν βίον ἐν ἀμελείᾳ* ζήσαντα καὶ σὲ παροργίσαντα.

Ὃν μοι δέδωκας πρίν,* κακῶς ἐσκόρπισα θεῖον πλοῦτον·* ἐμακρύνθην ἀπὸ σοῦ,* ἀσώτως ζήσας, εὔσπλαγχνε Πάτερ·* δέξαι οὖν κἀμὲ ἐπιστρέφοντα.

Τὰς ἀγκάλας νυνὶ* τὰς πατρικὰς προσεφαπλώσας,* δέξαι, Κύριε, κἀμέ,* ὥσπερ τὸν ἄσωτον, πανοικτίρμον,* ὅπως εὐχαρίστως δοξάζω σε.

Θεοτοκίον.

Ἐν ἐμοί, ὁ Θεός,* πᾶσαν δεικνὺς ἀγαθωσύνην,* πάριδέ μου τὴν πληθὺν* τῶν ἐγκλημάτων ὡς εὐεργέτης* θείαις τῆς Μητρός σου δεήσεσι.

Ὠδὴ γ΄. (Στειρωθέντα μου τὸν νοῦν).

Ἐξῶ ὅλος ἐμαυτοῦ* γεγονὼς φρενοβλαβῶς,* προσεκολλήθην* τοῖς παθῶν ἐφευρεταῖς·* ἀλλὰ δέξαί με, Χριστέ,* ὥσπερ τὸν ἄσωτον.

Τοῦ ἀσώτου τὴν φωνὴν* ἐκμιμούμενος βοῶ·* Ἥμαρτον, Πάτερ·* ὡς ἐκεῖνον οὖν κἀμὲ* ἐναγκάλισαι νυνὶ* καὶ μὴ ἀπώσῃ με.

Τὰς ἀγκάλας σου, Χριστέ,* ὑφαπλώσας συμπαθῶς* ὑπόδεξαί με,* ἀπὸ χώρας μακρᾶς* ἁμαρτίας καὶ παθῶν* ἐπαναστρέφοντα.

Θεοτοκίον.

Ἡ καλὴ ἐν γυναιξί,* καταπλούτισον κἀμὲ* καλῶν ἰδέαις,* ἁμαρτίαις πολλαῖς* τὸν πτωχεύσαντα, ἁγνή,* ὅπως δοξάζω σε.

Κάθισμα. Ἦχος α΄. (Τὸν τάφον σου, Σωτῆρ).

Ἀγκάλας πατρικὰς* διανοῖξαί μοι σπεῦσον·* ἀσώτως τὸν ἐμὸν* κατηνάλωσα βίον·* εἰς πλοῦτον ἀδαπάνητον* ἀφορῶν οἰκτιρμῶν σου, Σωτήρ,* νῦν πτωχεύουσαν* μὴ

ὑπερίδῃς καρδίαν˙* σοὶ γάρ, Κύριε,* ἐν κατανύξει κραυγάζω˙* Σοὶ ἥμαρτον, σῶσόν με.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἀνύμφευτε ἁγνή,* Θεοτόκε Παρθένε,* ἡ μόνη τῶν πιστῶν* προστασία καὶ σκέπη,* κινδύνων καὶ θλίψεων,* καὶ δεινῶν περιστάσεων* πάντας λύτρωσαι* τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας,* Κόρη, ἔχοντας,* καὶ τὰς ψυχὰς ἡμῶν σῶσον* ταῖς θείαις πρεσβείαις σου.

Κοντάκιον. Ἦχος γ΄. (Ἡ Παρθένος σήμερον).

Τῆς πατρῴας δόξης σου* ἀποσκιρτήσας ἀφρόνως,* ἐν κακοῖς ἐσκόρπισα* ὃν μοι παρέδωκας πλοῦτον˙* ὅθεν σοι τὴν τοῦ ἀσώτου* φωνὴν κραυγάζω˙* Ἥμαρτον ἐνώπιόν σου,* Πάτερ οἰκτίρμον˙* δέξαι με μετανοοῦντα,* καὶ ποίησόν με* ὡς ἕνα τῶν μισθίων σου.

Ὁ οἶκος. (Τὴν Ἐδὲμ Βηθλεέμ).

Τοῦ Σωτῆρος ἡμῶν* καθ' ἑκάστην διδάσκοντος* δι' οἰκείας φωνῆς,* τῶν Γραφῶν ἀκουσώμεθα* περὶ τοῦ ἀσώτου* καὶ σώφρονος πάλιν,* καὶ τούτου πίστει* ἐκμιμησώμεθα* τὴν καλὴν μετάνοιαν˙* τῷ κατιδόντι* πάντα τὰ κρύφια* μετὰ ταπεινῆς* καρδίας κράξωμεν˙* Ἥμαρτομέν σοι,* Πάτερ οἰκτίρμον,* καὶ οὐκ ἐσμὲν ἄξιοι ποτὲ* κληθῆναι τέκνα σου, ὡς πρίν˙* ἀλλ' ὡς φύσει ὑπάρχων* φιλάνθρωπος, σὺ προσδέχου* καὶ ποίησόν με* ὡς ἕνα τῶν μισθίων σου.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν˙

Τῇ αὐτῇ ἡμέρᾳ τῆς τοῦ ἀσώτου υἱοῦ παραβολῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου μνείαν ποιούμεθα, ἣν οἱ θειότατοι πατέρες ἡμῶν δευτέραν ἐν τῷ Τριῳδίῳ ἐνέταξαν.

Στίχοι.

Ἄσωτος εἴ τις, ὡς ἐγώ, θαῤῥῶν ἴθι.
Θείου γὰρ οἴκτου πᾶσιν ἠνοίκται θύρα.

Τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος β΄.

Ὠδὴ α΄.

Τὴν Μωσέως ᾠδὴν* ἀναλαβοῦσα βόησον, ψυχή· Βοηθὸς καὶ σκεπαστὴς* ἐγένετό μοι εἰς σωτηρίαν·* οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν.

Ὠδὴ γ΄.

Στειρωθέντα μου τὸν νοῦν* καρποφόρον, ὁ Θεός,* ἀνάδειξόν με,* γεωργὲ τῶν καλῶν,* φυτουργὲ τῶν ἀγαθῶν,* τῇ εὐσπλαγχνίᾳ σου.

Ὠδὴ δ΄.

Τὴν ἐκ Παρθένου σου γέννησιν* ὁ προφήτης προβλέπων,* ἀνεκήρυττε βοῶν·* Τὴν ἀκοήν σου ἀκήκοα* καὶ ἐφοβήθην,* ὅτι ἀπὸ Θαιμὰν* καὶ ἐξ ὄρους ἁγίου κατασκίου* ἐπεδήμησας, Χριστέ.

Ὠδὴ ε΄.

Τῆς νυκτὸς διελθούσης,* ἤγγικεν ἡ ἡμέρα* καὶ τὸ φῶς τῷ κόσμῳ ἐπέλαμψε·* διὰ τοῦτο ὑμνεῖ σε* τάγματα ἀγγέλων,* καὶ δοξολογεῖ σε, Χριστὲ ὁ Θεός.

Ὠδὴ στ΄.

Βυθῷ ἁμαρτημάτων* συνέχομαι, Σωτήρ,* καὶ ἐν πελάγει τοῦ βίου βυθίζομαι·* ἀλλ᾽ ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ θηρός,* κἀμὲ τῶν παθῶν ἀνάγαγε* καὶ διάσωσόν με.

Ὠδὴ ζ΄.

Τὰ Χερουβὶμ μιμούμενοι,* παῖδες ἐν τῇ καμίνῳ* ἐχόρευον βοῶντες·* Εὐλογητὸς εἶ, ὁ Θεός·* ὅτι ἐν ἀληθείᾳ* καὶ κρίσει ἐπήγαγες* ταῦτα πάντα* διὰ τὰς ἁμαρτίας ἡμῶν,* ὁ ὑπερύμνητος* καὶ δεδοξασμένος* εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η'.

Τὸν ἐν τῇ βάτῳ Μωσεῖ* τῆς Παρθένου τὸ θαῦμα* ἐν Σιναίῳ τῷ ὄρει* προτυπώσαντα ποτὲ* ὑμνεῖτε, εὐλογεῖτε,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου (σ. 108 κ.ἑ.), ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία.

Ὠδὴ θ'.

Τῶν γηγενῶν* τίς ἤκουσε τοιοῦτον;* ἢ τίς ἑώρακε ποτέ;* ὅτι Παρθένος εὑρέθη* ἐν γαστρὶ ἔχουσα* καὶ ἀνωδύνως τὸ βρέφος ἀποτεκοῦσα* τοιοῦτόν σου τὸ θαῦμα, καὶ σέ, ἀγνή,* Θεοκυῆτορ Μαρία, μεγαλύνομεν.

Ἐξαποστειλάριον τὸ ἀναστάσιμον ἑωθινὸν (σ. 121-125) καὶ τὰ παρόντα τοῦ Τριῳδίου.

(Γυναῖκες, ἀκουτίσθητε).

Τὸν πλοῦτον, ὃν μοι δέδωκας,* τῆς χάριτος, ὁ ἄθλιος* ἀποδημήσας ἀχρείως,* κακῶς ἠνάλωσα, Σῶτερ·* ἀσώτως ζήσας, δαίμοσι* δολίως διεσκόρπισα·* διό με ἐπιστρέφοντα,* ὥσπερ τὸν ἄσωτον δέξαι,* Πάτερ οἰκτίρμον, καὶ σῶσον.

Ἄλλο. Ὅμοιον.

Ἐσκόρπισα τὸν πλοῦτόν σου* ἐκδαπανήσας, Κύριε,* καὶ πονηροῖς δαιμονίοις* καθυπετάγην ὁ τάλας,* ἀλλά, Σωτὴρ πανεύσπλαγχνε,* τὸν ἄσωτον οἰκτείρησον* καὶ ῥυπωθέντα κάθαρον,* τὴν πρώτην ἀποδιδούς μοι* στολὴν τῆς σῆς βασιλείας.

Θεοτοκίον. Ὅμοιον.

Ἁγία Μητροπάρθενε,* τὸ μέγα περιήχημα* τῶν ἀποστόλων, μαρτύρων* καὶ προφητῶν καὶ ὁσίων,* τὸν σὸν Υἱὸν καὶ Κύριον* ἱλέωσαι τοῖς δούλοις σου* ἡμῖν, Θεογεννήτρια,* ὅταν καθίσῃ τοῦ κρῖναι* τὰ κατ' ἀξίαν ἑκάστου.

Εἰς τοὺς αἴνους (σ. 126) στιχηρὰ ἀναστάσιμα ε' καὶ τοῦ Τριῳδίου γ'.

Ἦχος β΄.

Τὴν τοῦ ἀσώτου φωνὴν* προσφέρω σοι, Κύριε·* Ἥμαρτον ἐνώπιον* τῶν ὀφθαλμῶν σου, ἀγαθέ·* ἐσκόρπισα τὸν πλοῦτον* τῶν χαρισμάτων σου·* ἀλλὰ δέξαι με μετανοοῦντα,* Σωτήρ, καὶ σῶσόν με.

Ἦχος δ΄.

Ὡς ὁ ἄσωτος υἱὸς* ἦλθον κἀγώ, οἰκτίρμον,* ὁ τὸν βίον ὅλον* δαπανήσας ἐν τῇ ἀποδημίᾳ·* ἐσκόρπισα τὸν πλοῦτον,* ὃν δέδωκάς μοι, Πάτερ·* δέξαι με μετανοοῦντα, ὁ Θεός,* καὶ ἐλέησόν με.

Ἦχος πλ. δ΄.

Δαπανήσας ἀσώτως* τῆς πατρικῆς οὐσίας τὸν πλοῦτον* καὶ καταναλώσας,* ἔρημος γέγονα,* ἐν τῇ χώρᾳ οἰκήσας* τῶν πονηρῶν πολιτῶν·* καὶ μηκέτι φέρων* τὸ μετὰ τούτων συνοικέσιον,* ἐπιστρέψας, βοῶ σοι,* τῷ οἰκτίρμονι Πατρί·* Ἥμαρτον εἰς τὸν οὐρανὸν* καὶ ἐνώπιόν σου,* καὶ οὐκ εἰμὶ ἄξιος* κληθῆναι υἱός σου·* ποίησόν με ὡς ἕνα τῶν μισθίων σου,* ὁ Θεός, καὶ ἐλέησόν με.

Δόξα. Ἦχος πλ. β΄.

Πάτερ ἀγαθέ,* ἐμακρύνθην ἀπὸ σοῦ·* μὴ ἐγκαταλίπῃς με,* μηδὲ ἀχρεῖον δείξῃς τῆς βασιλείας σου.* Ὁ ἐχθρὸς ὁ παμπόνηρος* ἐγύμνωσέ με,* καὶ ἠρέμου τὸν πλοῦτον·* τῆς ψυχῆς τὰ χαρίσματα* ἀσώτως διεσκόρπισα·* ἀναστὰς οὖν,* ἐπιστρέψας πρὸς σὲ ἐκβοῶ·* Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου,* ὁ δι' ἐμὲ ἐν Σταυρῷ* τὰς ἀχράντους σου χεῖρας ἁπλώσας,* ἵνα τοῦ δεινοῦ θηρὸς ἁφαρπάσῃς με,* καὶ τὴν πρώτην καταστολὴν ἐπενδύσῃς με,* ὡς μόνος πολυέλεος.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη καὶ τροπάριον ἀναστάσιμον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Ψάλλομεν τὰ συνῆθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον, τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ ναοῦ καὶ τὸ κοντάκιον Τῆς πατρῴας δόξης σου (σ. 805).

Προκείμενον τοῦ ἤχου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου (ς΄ 12-20).

Ἀδελφοί, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. Τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι· ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; Ἆρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; Μὴ γένοιτο. Ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; «Ἔσονται» γάρ, φησίν, «οἱ δύο εἰς σάρκα μίαν»· ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι. Φεύγετε τὴν πορνείαν. Πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. Ἢ οὐκ οἴδατε ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; Ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ιε΄ 11-32).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις εἶχε δύο υἱούς. Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον. Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅ-

παντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως.

Δαπανήσαντος δὲ αὐτοῦ πάντα ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ.

Εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι! Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.

Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτόν. Εἶπε δὲ αὐτῷ ὁ υἱός· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας, καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν, ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι.

Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν, καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων ἐπυνθάνετο τί εἴη ταῦτα. Ὁ δὲ εἶπεν αὐτῷ, ὅτι ὁ ἀδελφός σου ἥκει καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. Ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν εἰσελθεῖν. Ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· Ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· ὅτε δὲ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν

μόσχον τὸν σιτευτόν. Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν· εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΑΠΟΚΡΕΩ

Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ' αἰῶνος κεκοιμημένων Ὀρθοδόξων Χριστιανῶν, πατέρων καὶ ἀδελφῶν ἡμῶν.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία τοῦ Ἑσπερινοῦ τῶν καθημερινῶν, σ. 239-240).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ μαρτυρικὰ τοῦ ἤχου γ' (σ. 505 κ.ἑ.), καὶ τῶν κεκοιμημένων τὰ παρόντα γ' προσόμοια.

Ἦχος πλ. δ'. (Ὁ ἐν Ἐδὲμ παράδεισος).

Τῶν ἀπ' αἰῶνος σήμερον νεκρῶν* ἁπάντων κατ' ὄνομα,* μετὰ πίστεως ζησάντων εὐσεβῶς,* μνήμην τελοῦντες οἱ πιστοί,* τὸν Σωτῆρα καὶ Κύριον* ἀνυμνήσωμεν, αἰτοῦντες ἐκτενῶς* τούτους ἐν ὥρᾳ τῆς κρίσεως* ἀπολογίαν ἀγαθὴν* δοῦναι αὐτῷ τῷ Θεῷ ἡμῶν,* τῷ πᾶσαν κρίνοντι τὴν γῆν,* τῆς δεξιᾶς αὐτοῦ* παραστάσεως τυχόντας ἐν χαρᾷ,* ἐν μερίδι δικαίων* καὶ ἐν ἁγίων κλήρῳ φωτεινῷ,* καὶ ἀξίους γενέσθαι* τῆς οὐρανίου βασιλείας αὐτοῦ.

Ὃτῷ οἰκείῳ αἵματι, Σωτήρ,* βροτοὺς ἐκπριάμενος,* καὶ θανάτῳ σου θανάτου τοῦ πικροῦ* ἐκλυτρωσάμενος

ἡμᾶς* καὶ ζωὴν τὴν αἰώνιον* παρασχὼν τῇ ἀναστάσει σου ἡμῖν,* πάντας ἀνάπαυσον, Κύριε,* τοὺς κοιμηθέντας εὐσεβῶς,* ἢ ἐν ἐρήμοις ἢ πόλεσιν,* ἢ ἐν θαλάσσῃ ἢ ἐν γῇ,* ἢ ἐν παντὶ τόπῳ,* βασιλεῖς τε, ἱερεῖς, ἀρχιερεῖς,* μοναστὰς καὶ μιγάδας,* ἐν ἡλικίᾳ πάσῃ παγγενεί,* καὶ ἀξίωσον αὐτοὺς* τῆς οὐρανίου βασιλείας σου.

Τῇ ἐκ νεκρῶν ἐγέρσει σου, Χριστέ,* οὐκέτι ὁ θάνατος* κυριεύει τῶν θανόντων εὐσεβῶς·* διὸ αἰτοῦμεν ἐκτενῶς·* Τοὺς σοὺς δούλους ἀνάπαυσον* ἐν αὐλαῖς σου καὶ ἐν κόλποις Ἀβραάμ,* τοὺς ἐξ Ἀδὰμ μέχρι σήμερον* λατρεύσαντάς σοι καθαρῶς,* πατέρας καὶ ἀδελφοὺς ἡμῶν,* φίλους ὁμοῦ καὶ συγγενεῖς,* ἅπαντα ἄνθρωπον,* τὰ τοῦ βίου λειτουργήσαντα πιστῶς,* καὶ πρὸς σὲ μεταστάντα* πολυειδῶς καὶ πολυτρόπως, ὁ Θεός,* καὶ ἀξίωσον τούτους* τῆς οὐρανίου βασιλείας σου.

Δόξα. Ἦχος πλ. δ΄.

Θρηνῶ καὶ ὀδύρομαι,* ὅταν ἐννοήσω τὸν θάνατον* καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην* τὴν κατ' εἰκόνα Θεοῦ* πλασθεῖσαν ἡμῖν ὡραιότητα,* ἄμορφον, ἄδοξον,* μὴ ἔχουσαν εἶδος.* Ὦ τοῦ θαύματος!* Τί τὸ περὶ ἡμᾶς* τοῦτο γέγονε μυστήριον;* Πῶς παρεδόθημεν τῇ φθορᾷ;* Πῶς συνεζεύχθημεν τῷ θανάτῳ;* Ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται,* τοῦ παρέχοντος* τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Καὶ νῦν. Τὸ α΄ Θεοτοκίον τοῦ ἤχου.

Τὸ Φῶς ἱλαρόν. Ἀντὶ δὲ τοῦ προκειμένου λέγομεν Ἀλληλούϊα, εἰς Ἦχον πλ. δ΄.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. α΄. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. β΄. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἶτα τὸ Καταξίωσον, τὰς αἰτήσεις καὶ τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 229-231).

Ἀπόστιχα, μαρτυρικὸν ἓν καὶ δύο νεκρώσιμα τοῦ τυχόντος ἦχου.

Δόξα. Ἦχος πλ. β΄.

Ἀρχή μοι καὶ ὑπόστασις* τὸ πλαστουργόν σου γέγονε πρόσταγμα·* βουληθεὶς γὰρ ἐξ ἀοράτου τε* καὶ ὁρατῆς με ζῷον* συμπῆξαι φύσεως,* γῆθέν μου τὸ σῶμα διέπλασας·* δέδωκας δέ μοι ψυχὴν* τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει.* Διό, Σωτῆρ, τοὺς δούλους σου* ἐν χώρᾳ ζώντων,* ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Πρεσβείαις τῆς τεκούσης σε,* Χριστέ, καὶ τῶν μαρτύρων σου,* ἀποστόλων,* προφητῶν, ἱεραρχῶν,* ὁσίων καὶ δικαίων* καὶ πάντων τῶν ἁγίων,* τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Τὸ Νῦν ἀπολύεις, καὶ εὐθὺς ψάλλομεν τὸν παρόντα νεκρώσιμον κανόνα, οὗ ἡ ἀκροστιχίς·

Ἕκτον προσαυδῶ τοῖς ἀπελθοῦσι μέλος.

Ποίημα Θεοφάνους. Ἦχος πλ. β΄.

Ὠδὴ α΄. (Ὡς ἐν ἠπείρῳ πεζεύσας).

Ἐν οὐρανίοις θαλάμοις* διηνεκῶς* οἱ γενναῖοι μάρτυρες* δυσωποῦσί σε, Χριστέ·* Οὓς ἐκ γῆς μετέστησας πιστοὺς* αἰωνίων ἀγαθῶν* τυχεῖν ἀξίωσον.

Κατακοσμήσας τὰ πάντα,* ζῷον μικτόν,* μέσον με τὸν ἄνθρωπον* ταπεινότητος ὁμοῦ* καὶ μεγέθους ἔπλασας· διὸ* τὰς τῶν δούλων σου ψυχάς,* Σωτῆρ, ἀνάπαυσον.

Τοῦ παραδείσου πολίτην* καὶ γεωργὸν* κατ᾽ ἀρχάς με ἔταξας,* παραβάντα δὲ τὴν σὴν* ἐντολὴν ἐξώρισας· διὸ* τὰς τῶν δούλων σου ψυχάς,* Σῶτερ, ἀνάπαυσον.

Θεοτοκίον.

Οἐκ πλευρᾶς διαπλάσας* Εὔαν τὸ πρίν,* τὴν ἡμῶν προμήτορα,* ἐξ ἀχράντου σου γαστρὸς* σάρκα περιβάλλεται δι' ἧς* τοῦ θανάτου τὴν ἰσχύν,* ἁγνή, διέλυσεν.

Ὠδὴ γ'. (Οὐκ ἔστιν ἅγιος).

Νομίμως ἤθλησαν οἱ σοὶ* μάρτυρες, ζωοδότα* καὶ στεφάνῳ τῆς νίκης* κοσμηθέντες παρὰ σοῦ,* τοῖς μεταστᾶσι πιστοῖς* αἰωνίαν* λύτρωσιν βραβεύουσι.

Παιδεύσας πρότερον πολλοῖς* τέρασι καὶ σημείοις* ἐμὲ τὸν πλανηθέντα,* ἐπ' ἐσχάτων σεαυτὸν* κενώσας ὡς συμπαθὴς* καὶ ζητήσας,* εὗρες καὶ διέσωσας.

Ρεόντων ἄστατον φθορὰν* τοὺς πρὸς σὲ διαβάντας,* ἐν σκηναῖς αἰωνίοις* κατοικεῖν χαρμονικῶς* ἀξίωσον, ἀγαθέ,* δικαιώσας* πίστει τε καὶ χάριτι.

Θεοτοκίον.

Οὐκ ἔστιν ἄμεμπτος ὡς σύ,* πάναγνε Θεομῆτορ·* μόνη γὰρ ἐξ αἰῶνος* τὸν Θεὸν τὸν ἀληθῆ* συνέλαβες ἐν γαστρί,* τοῦ θανάτου* λύσαντα τὴν δύναμιν.

Καθίσματα. Ἦχος πλ. β'.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα,* ὁ δὲ βίος σκιὰ καὶ ἐνύπνιον·* καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενής,* ὡς εἶπεν ἡ Γραφή·* ὅτε τὸν κόσμον κερδήσομεν,* τότε τῷ τάφῳ οἰκήσομεν,* ὅπου ὁμοῦ βασιλεῖς καὶ πτωχοί·* διό, Χριστὲ ὁ Θεός, τοὺς μεταστάντας ἀνάπαυσον* ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παναγία Θεοτόκε,* τὸν χρόνον τῆς ζωῆς μου* μὴ ἐγκαταλίπῃς με·* ἀνθρωπίνῃ προστασίᾳ* μὴ καταπιστεύσῃς με·* ἀλλ' αὐτὴ ἀντιλαβοῦ* καὶ ἐλέησόν με.

Ὠδὴ δ'. (Χριστός μου δύναμις).

Σοφίας μείζονος* δεικνύων γνώρισμα* καὶ τῆς περὶ τὰ δῶρα* πολυτελοῦς,* Δέσποτα, χρηστότητος,* τὰς τῶν μαρτύρων χορείας,* τοῖς ἀγγέλοις συνηρίθμησας.

Ἀφράστου δόξης σου* τυχεῖν ἀξίωσον* τοὺς πρὸς σὲ μεταστάντας,* ἔνθα, Χριστέ,* τῶν εὐφραινομένων ἐστὶν* ἡ κατοικία καὶ φωνὴ* καθαρᾶς ἀγαλλιάσεως.

Ὑμνοῦντας πρόσδεξαι* τὸ θεῖον κράτος σου,* οὓς ἐκ γῆς προσελάβου,* τέκνα φωτὸς* τούτους ἐργαζόμενος,* τῆς ἁμαρτίας τὴν ἀχλὺν* ἐκκαθαίρων, πολυέλεε.

Θεοτοκίον.

Δοχεῖον ἄχραντον,* ναὸν πανάμωμον,* κιβωτὸν παναγίαν,* παρθενικὸν* τόπον ἁγιάσματος,* σὲ καλλονὴν τοῦ Ἰακώβ,* ὁ Δεσπότης ἐξελέξατο.

Ὠδὴ ε'. (Τῷ θείῳ φέγγει σου).

Ὡς ὁλοκάρπωσις ἱερά* καὶ ὡς ἀπαρχὴ τῆς ἀνθρωπίνης* οἱ μάρτυρες φύσεως* τῷ δεδοξασμένῳ* προσενεχθέντες Θεῷ,* ἡμῖν τὴν σωτηρίαν* ἀεὶ βραβεύουσι.

Τῆς οὐρανίου διαγωγῆς,* τῆς διανομῆς τῶν χαρισμάτων* ἀξίωσον, Δέσποτα,* τοὺς προκοιμηθέντας* πιστοὺς οἰκέτας σου,* παρέχων τῶν πταισμάτων* τὴν ἀπολύτρωσιν.

Ὁμόνος φύσει ζωοποιός,* τὸ τῆς ἀγαθότητος ὄντως* ἀνεξιχνίαστον πέλαγος,* τοὺς τελειωθέντας* τῆς βασιλείας τῆς σῆς* ἀξίωσον οἰκτίρμον,* μόνε ἀθάνατε.

Θεοτοκίον.

Ἰσχὺς καὶ ὕμνησις ὁ ἐκ σοῦ,* Δέσποινα τοῦ κόσμου, γενηθείς* καὶ σωτηρία ἐγένετο* τοῖς ἀπολλυμένοις,* ἐκ τῶν τοῦ ᾅδου πυλῶν* ρυόμενος τοὺς πίστει* σε μακαρίζοντας.

Ὠδὴ στ'. (Τοῦ βίου τὴν θάλασσαν).

Σταυρῷ προσηλούμενος,* τῶν μαρτύρων τοὺς χοροὺς* πρὸς σεαυτὸν συνήγαγες,* μιμουμένους τὸ πάθος σου,

ἀγαθέ·* διό σου δεόμεθα,* τοὺς πρὸς σὲ μεταστάντας διανάπαυσον.

Ἀφράστῳ τῇ δόξῃ σου* ὅταν ἔλθῃς φοβερὸς* κρῖναι τὸν κόσμον ἅπαντα,* ἐν νεφέλαις εὐδόκησον, λυτρωτά,* φαιδρῶς ὑπαντῆσαί σοι,* οὓς ἐκ γῆς προσελάβου πιστοὺς δούλους σου.

Πηγὴ ζωῆς πέφυκας,* ἐν ἀνδρείᾳ θεϊκῇ* πεπεδημένους, Δέσποτα,* ὁ ἐξάγων· τοὺς δούλους σου τοὺς πρὸς σὲ* πιστῶς ἐκδημήσαντας* ἐν τρυφῇ παραδείσου κατασκήνωσον.

Θεοτοκίον.

Εἰς γῆν ἀπεστράφημεν,* παραβάντες τοῦ Θεοῦ* τὴν ἐντολὴν τὴν ἔνθεον·* διὰ σοῦ δέ, Παρθένε, πρὸς οὐρανὸν* ἐκ γῆς ἀνυψώθημεν,* τὴν φθορὰν τοῦ θανάτου ἐκτινάξαντες.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Μετὰ τῶν ἁγίων* ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου,* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

Ὁ οἶκος. (Οἱ ἐν πάσῃ τῇ γῇ).

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος,* ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον·* οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν* καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα,* καθὼς ἐκέλευσας ὁ πλάσας με* καὶ εἰπών μοι· Ὅτι γῆ εἶ* καὶ εἰς γῆν ἀπελεύσῃ·* ὅπου πάντες βροτοὶ πορευσόμεθα,* ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδήν,* τὸ Ἀλληλούϊα.

Ὠδὴ ζ΄. (Δροσοβόλον μὲν τὴν κάμινον).

Λυτρωθέντες τῷ σῷ αἵματι οἱ μάρτυρες* τῆς πρώτης παραβάσεως,* ραντισθέντες δὲ* τῷ ἰδίῳ αἵματι, τὴν σὴν* σαφῶς εἰκονίζουσι σφαγήν.* Εὐλογητὸς εἶ, ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Θρασυνόμενον τὸν θάνατον ἐνέκρωσας,* Λόγε ζωαρχικώτατε·* τοὺς ἐν πίστει δὲ* κοιμηθέντας πρόσδεξαι

τανῦν,* ὑμνοῦντας καὶ λέγοντας Χριστέ·* Εὐλογητὸς εἶ, ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Ὁ ψυχώσας με τὸν ἄνθρωπον φυσήματι* θείῳ, θεαρχικώτατε,* τοὺς μεταστάντας* βασιλείας, Δέσποτα, τῆς σῆς* ἀξίωσον ψάλλειν σοι, Σωτήρ·* Εὐλογητὸς εἶ, ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὑπερτέρα πάσης κτίσεως, πανάμωμε,* γέγονας, συλλαβοῦσα Θεόν,* τὸν συντρίψαντα* τοῦ θανάτου πύλας, καὶ μοχλοὺς* συνθλάσαντα· ὅθεν σε, ἀγνή,* ὑμνολογοῦμεν οἱ πιστοὶ* ὡς Θεομήτορα.

Ὠδὴ η΄. (Ἐκ φλογὸς τοῖς ὁσίοις).

Σταθερῶς τοὺς ἀγῶνας* ἐπιδειξάμενοι,* τῷ τῆς νίκης στεφάνῳ* κατεκοσμήθητε,* μάρτυρες Χριστοῦ* ἀθλοφόροι, κραυγάζοντες·* Σὲ ὑπερυψοῦμεν,* Χριστέ, εἰς τοὺς αἰῶνας.

Ἱερῶς τοὺς τὸν βίον* ἀπολιπόντας πιστοὺς* καὶ πρὸς σὲ τὸν Δεσπότην* μεταχωρήσαντας* δέξαι προσηνῶς,* ἀναπαύων ὡς εὔσπλαγχνος,* σὲ ὑπερυψοῦντας,* Χριστέ, εἰς τοὺς αἰῶνας.

Νῦν ἐν γῇ τῶν πραέων* πάντας αὐλίζεσθαι* τοὺς προκεκοιμημένους,* Σῶτερ, εὐδόκησον,* πίστει τῇ εἰς σὲ* δικαιώσας καὶ χάριτι,* σὲ ὑπερυψοῦντας* εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μακαρίζομεν πάντες* σε, παμμακάριστε,* τὴν τὸν Λόγον τὸν ὄντως* ὄντα μακάριον,* σάρκα δι' ἡμᾶς* γεγονότα, γεννήσασαν·* ὃν ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. (Θεὸν ἀνθρώποις ἰδεῖν).

Ἐλπὶς μαρτύρων χοροὺς ἐνεύρωσε* καὶ πρὸς τὴν σὴν* ἀγάπην διαπύρως ἐπτέρωσε,* τῶν μελλόντων τούτοις*

προτυπώσασα* τὴν μὴ σαλευομένην* ὄντως ἀνάπαυσιν,* ἧς τοὺς μεταστάντας, ἀγαθέ,* τυχεῖν ἀξίωσον.

Λαμπρᾶς καὶ θείας τυχεῖν ἐλλάμψεως* τῆς σῆς, Χριστέ,* τοὺς πίστει μεταστάντας εὐδόκησον,* τὴν ἐν κόλποις Ἀβραὰμ* ἀνάπαυσιν* μόνος ὡς ἐλεήμων* τούτοις δωρούμενος* καὶ τῆς αἰωνίου ἀξιῶν* μακαριότητος.

Οἰκτίρμων τῇ φύσει χρηστὸς καὶ εὔσπλαγχνος* καὶ θελητὴς* ἐλέους, εὐσπλαγχνίας ἡ ἄβυσσος,* οὓς ἐκ τόπου τούτου* τῆς κακώσεως* καὶ σκιᾶς τοῦ θανάτου,* Σῶτερ, μετέστησας,* ἔνθα καταλάμπει σου τὸ φῶς,* τούτους κατάταξον.

Θεοτοκίον.

Σκηνὴν ἁγίαν, ἁγνή, γινώσκομεν* καὶ κιβωτὸν* καὶ πλάκα σε τοῦ νόμου τῆς χάριτος·* διὰ σοῦ γὰρ ἄφεσις* δεδώρηται* τοῖς δεδικαιωμένοις* διὰ τοῦ αἵματος* τοῦ σωματωθέντος ἐκ τῆς σῆς* γαστρός, πανάμωμε.

Ὁ εἱρμός.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον,* ᾧ οὐ τολμᾷ* ἀγγέλων ἀτενίσαι τὰ τάγματα·* διὰ σοῦ δέ, πάναγνε,* ὡράθη βροτοῖς* Λόγος σεσαρκωμένος* ὃν μεγαλύνοντες,* σὺν ταῖς οὐρανίαις στρατιαῖς* σὲ μακαρίζομεν.

Τὸ Τρισάγιον καὶ τὸ
Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Οβάθει σοφίας* φιλανθρώπως πάντα οἰκονομῶν* καὶ τὸ συμφέρον πᾶσιν* ἀπονέμων, μόνε δημιουργέ,* ἀνάπαυσον, Κύριε,* τὰς ψυχὰς τῶν δούλων σου·* ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο,* τῷ ποιητῇ καὶ πλάστῃ* καὶ Θεῷ ἡμῶν.

Δόξα. Τὸ τέλος τοῦ ἀπολυτικίου·

Εν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο,* τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν,* καὶ πρέσβιν εὐπρόσδεκτον* πρὸς ὃν ἔτεκες Θεόν,* Θεοτόκε ἀνύμφευτε,* τῶν πιστῶν ἡ σωτηρία.

Ἡ ἐκτενὴς (σ. 229), καὶ μετὰ τὴν ἐκφώνησιν Ὅτι ἐλεήμων..., γίνεται τὸ Μνημόσυνον τῶν κεκοιμημένων, ὡς ἀκολούθως.

Τροπάρια. Ἦχος δ'.

Μετὰ πνευμάτων δικαίων* τετελειωμένων,* τὰς ψυχὰς τῶν δούλων σου,* Σῶτερ, ἀνάπαυσον,* φυλάττων αὐτὰς* εἰς τὴν μακαρίαν ζωήν,* τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε,* ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται,* ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν δούλων σου,* ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα Πατρί.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν,* ὁ καταβὰς εἰς ᾅδην* καὶ τὰς ὀδύνας λύσας* τῶν πεπεδημένων* αὐτὸς καὶ τὰς ψυχὰς τῶν δούλων σου,* Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον.

Μόνη ἀγνὴ* καὶ ἄχραντος Παρθένος,* ἡ Θεὸν ἀσπόρως κυήσασα,* πρέσβευε* τοῦ σωθῆναι τὰς ψυχὰς τῶν δούλων σου.

Ὁ ἱερεὺς τὴν δέησιν.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων σου, βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν, καὶ πάντων τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης κεκοιμημένων εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν, καὶ ὑπὲρ τοῦ

συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται.

Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ τὴν εὐχήν.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος· αὐτός, Κύριε, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεύς· Αἰωνία ὑμῶν ἡ μνήμη, ἀξιομακάριστοι καὶ ἀείμνηστοι ἀδελφοὶ ἡμῶν (Ἐκ γ').

Ὁ χορός· Αἰωνία ἡ μνήμη γ'.

Ὁ ἱερεύς· Σοφία· ὁ ὢν εὐλογητὸς κ.τ.λ. καὶ τὴν ἀπόλυσιν (σ. 137).

ΤΩ ΣΑΒΒΑΤΩ ΠΡΩΙ΄

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία τοῦ Ὄρθρου τῶν Σαββάτων, σ. 138-151).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ ψάλλομεν εἰς ἦχον πλ. δ΄ τὸ **Ἀλληλούϊα** μετὰ τῶν στίχων τοῦ Σαββάτου (σ. 141) καὶ τὰ τροπάρια **Ὁ βάθει σοφίας** καὶ **Σὲ καὶ τεῖχος** (σ. 818).

Μετὰ τὴν α΄ στιχολογίαν ψάλλομεν τὰ καθίσματα τοῦ ἤχου. Εἶτα λέγομεν [τὸν ἄμωμον καὶ] τὰ νεκρώσιμα εὐλογητάρια, τὴν δέησιν ὑπὲρ τῶν κεκοιμημένων καὶ τὰ καθίσματα **Ἀνάπαυσον, Σωτὴρ ἡμῶν** καὶ **Ὁ ἐκ Παρθένου ἀνατείλας** (σ. 141-144). Ὁ Ν΄ Ψαλμὸς (σ. 103) καὶ

Ὁ κανὼν τοῦ Τριῳδίου.
Ποίημα Θεοδώρου τοῦ Στουδίτου. Ἦχος πλ. δ΄.
Ὠδὴ α΄. Ὁ εἱρμός.

Ασμα ἀναπέμψωμεν, λαοί,* τῷ θαυμαστῷ Θεῷ ἡμῶν,* τῷ ἀπαλλάξαντι* τὸν Ἰσραὴλ ἐκ δουλείας,* ᾠδὴν ἐπινίκιον* ἄδοντες καὶ βοῶντες* Ἄσωμέν σοι τῷ μόνῳ Δεσπότῃ.

Τροπάρια.

Πάντες δυσωπήσωμεν Χριστόν,* τελοῦντες μνήμην σήμερον* τῶν ἀπ᾽ αἰῶνος νεκρῶν,* ἵνα τοῦ αἰωνίου* πυρὸς αὐτοὺς ῥύσηται,* πίστει κεκοιμημένους* καὶ ἐλπίδι ζωῆς αἰωνίου.

Βάθει τῶν κριμάτων σου, Χριστέ,* πανσόφως σὺ προώρισας* ἑκάστου τέλους ζωῆς* τὸν ὅρον καὶ τὸν τρόπον* διὸ οὓς ἐκάλυψε* τάφος ἐν πάσῃ χώρᾳ,* ἐν τῇ κρίσει σῶσον, πανοικτίρμον.

Ὅρους τῆς ζωῆς ἡμῶν ὁ δούς* διὸ τοὺς ἀφυπνώσαντας* ἐκ τῆς τοῦ βίου νυκτός,* ἡμέρας ἀνεσπέρου* υἱοὺς δεῖξον, Κύριε,* ἱερεῖς ὀρθοδόξους,* βασιλεῖς τε καὶ πάντα λαόν σου.

Οὕσπερ κατεκάλυψεν ὑγρὰ* καὶ πόλεμος ἐθέρισε,* σεισμὸς δὲ οὓς συνέσχε* καὶ ἔκτειναν φονῶντες* καὶ πῦρ οὓς ἐτέφρωσε* τῶν πιστῶν, ἐλεῆμον,* ἐν μερίδι τάξον τῶν δικαίων.

Πάντα παρορῶν τὰ τῆς σαρκὸς* ὀφλήματα, Σωτὴρ ἡμῶν,* ἐν πάσῃ ἡλικίᾳ,* παντὸς γένους ἀνθρώπων,* πρὸ τοῦ κριτηρίου σου* στῆσον ἀκατακρίτους,* σοὶ τῷ κτίστῃ ἀπολογουμένους.

Δόξα. Τριαδικόν.

Τρία μιᾶς φύσεως ὑμνῶ* πρόσωπα αὐθυπόστατα,* ἀγέννητον Πατέρα,* Υἱὸν τὸν γεννηθέντα* καὶ Πνεῦμα τὸ ἅγιον,* ἄναρχον βασιλείαν,* ἐξουσίαν, Θεότητα μίαν.

Καὶ νῦν. Θεοτοκίον.

Οντως σὺ ἐφάνης οὐρανὸς* ἐπὶ τῆς γῆς, ἀνώτερος* τοῦ ἀνωτάτου πόλου,* ἀνύμφευτε Παρθένε·* ἐκ σοῦ γὰρ ἀνέτειλεν* ἥλιος ἐν τῷ κόσμῳ,* ὁ δεσπόζων τῆς δικαιοσύνης.

Ὠδὴ β΄. Ὁ εἱρμός.

Ἴδετε, ἴδετε,* ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,* ὁ πρὸ τῶν αἰώνων* γεννηθεὶς ἐκ τοῦ Πατρὸς* καὶ ἐκ τῆς Παρθένου* ἐπ᾽ ἐσχάτων πλὴν ἀνδρὸς κυηθείς* καὶ λύσας τὴν ἁμαρτίαν* τοῦ προπάτορος Ἀδὰμ ὡς φιλάνθρωπος. (Δὶς)

Τροπάρια.

Ἴδετε, ἴδετε,* ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,* ὁ δικαίᾳ κρίσει* πήξας ὅρους τῆς ζωῆς,* ὁ εἰς ἀφθαρσίαν* ἐκ φθορᾶς προσλαβόμενος* πάντας τοὺς κοιμηθέντας* ἐπ᾽ ἐλπίδι αἰωνίου ἀναστάσεως.

Ὁ ἐκ τῶν τεσσάρων* περάτων, Κύριε, προσλαβόμενος* τοὺς πιστῶς θανόντας* ἐν θαλάσσῃ ἢ ἐν γῇ* ἢ ἐν ποταμοῖς,* πηγαῖς ἢ λίμναις ἢ φρέασι,* βορᾷ θηρσὶ γενομένους,* πετεινοῖς καὶ ἑρπετοῖς, πάντας ἀνάπαυσον.

Σοῦ ἐν τῇ παλάμῃ* τὰ πάντα, Κύριε, προδιέκρινας* τοὺς διαλυθέντας* εἰς στοιχείων τετρακτὺν* ἐν τῇ παρου-

σίᾳ σου* συμπήξας ἀνάστησον,* πάντα τὰ ἐν ἀγνοίᾳ* καὶ γνώσει συγχωρῶν αὐτοῖς ὀφλήματα.

Ὡ τῆς φοβερᾶς σου* δευτέρας, Κύριε, ἐπελεύσεως!* ὅτι ὡς ἐν εἴδει* ἀστραπῆς ἐπὶ τῆς γῆς* ἥκων ἀναστήσεις* πᾶν τὸ πλάσμα σου κρίνεσθαι* τοὺς πίστει σοι τότε βιώσαντας* ὑπαντῶντάς σοι, συνεῖναι καταξίωσον.

Δόξα. Τριαδικόν.

Ὑπερτελεστάτη* μονάς, ὑπέρθεε, τρισυπόστατε,* ἀγέννητε Πάτερ* καὶ Υἱὲ μονογενές,* Πνεῦμα ἐκ Πατρὸς* ἐκπορευθέν, δι' Υἱοῦ δὲ φανέν,* οὐσία μία καὶ φύσις,* κυριότης, βασιλεία, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Ἄῤῥητον τὸ θαῦμα,* τῆς σῆς κυήσεως, Μητροπάρθενε* πῶς γὰρ καὶ λοχεύεις* καὶ ἀγνεύεις ἐν ταὐτῷ;* πῶς παιδοτοκεῖς* καὶ ἀγνοεῖς πεῖραν ὅλως ἀνδρός;* ὡς οἶδεν ὁ ὑπὲρ φύσιν* ἐκ σοῦ καινοπρεπῶς, Λόγος Θεοῦ γεννηθείς.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Ὁ στερεώσας ἐν τῇ χειρί σου,* Λόγε Θεοῦ, τοὺς οὐρανούς,* ἐν τῷ φωτισμῷ* τῆς σῆς ἀληθοῦς ἐπιγνώσεως* στερέωσον καὶ ἡμῶν* τῶν ἐπὶ σοὶ πεποιθότων τὰς καρδίας.

(Δὶς)

Τροπάρια.

Τοὺς διανύσαντας τὸν τοῦ βίου* δρόμον ἐν δόξῃ εὐσεβεῖ* τῆς δικαιοσύνης* ἀναδήσασθαι στέφανον* ἀξίωσον, ὁ Θεός,* τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι.

Τοὺς αἰφνιδίως ἀναρπασθέντας,* καταφλεχθέντας ἀστραπαῖς* καὶ ἐναποψύξαντας* ἐκ κρύους καὶ πάσης πληγῆς,* ἀνάπαυσον, ὁ Θεός,* ὅτε τὰ πάντα ἐν πυρὶ δοκιμάσεις.

Τὴν ἀειτάραχον τοὺς τοῦ βίου* θάλασσαν πλεύσαντας, Χριστέ,* ἐν τῷ τῆς ἀφθάρτου* σου ζωῆς καταξίωσον* λιμένι καταδραμεῖν,* τοὺς ὀρθοδόξῳ ζωῇ κυβερνηθέντας.

Οὓς πᾶσα φύσις τῶν ἐναλίων* καὶ πετεινῶν τοῦ οὐρανοῦ* ἔλαβε κατάβρωμα,* Χριστέ, τοῖς σοῖς κρίμασιν,* ἀνάστησον, ὁ Θεός,* ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ μετὰ δόξης.

Δόξα. Τριαδικόν.

Νοητικῶς τὴν θείαν Μονάδα* εἰς τρία πρόσωπα ἁπλῶς* ἅμα τῷ τεμεῖν* ἐπισυνάπτω τὰ ἄτομα·* ὡς τάχος γὰρ ἀστραπῆς* τρισσολαμποῦσα ὁρᾶται εἰς Ἑνάδα.

Καὶ νῦν. Θεοτοκίον.

Ἀκατανόητόν σου τὸ θαῦμα·* πλὴν γὰρ ἀνδρὸς κυοφορεῖς,* καὶ τὴν παρθενίαν σου, ἁγνή, φρουρεῖς τίκτουσα·* διὸ ἀγγέλων πληθύς,* καὶ βροτῶν γένος, ὑμνεῖ σε εἰς αἰῶνας.

Κάθισμα. Ἦχος πλ. α'. (Τὸν συνάναρχον Λόγον).

Ὃδι' ἡμᾶς ὑπομείνας* Σταυρὸν καὶ θάνατον* καὶ νεκρώσας τὸν ᾅδην* καὶ συνεγείρας νεκρούς,* τοὺς μεταστάντας ἐξ ἡμῶν,* Σῶτερ, ἀνάπαυσον,* ὡς φιλάνθρωπος Θεός,* καὶ τῇ φρικτῇ καὶ φοβερᾷ* ἐλεύσει σου, ζωοδότα,* ὡς ἔχων πλῆθος ἐλέους,* τῆς βασιλείας σου ἀξίωσον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ταχεῖάν σου σκέπην* καὶ τὴν βοήθειαν* καὶ τὸ ἔλεος δεῖξον* ἐπὶ τοὺς δούλους σου* καὶ τὰ κύματα, ἁγνή,* καταπράϋνον* τῶν ματαίων λογισμῶν,* καὶ τὴν πεσοῦσάν μου ψυχὴν* ἀνάστησον, Θεοτόκε·* οἶδα γάρ, οἶδα, Παρθένε,* ὅτι ἰσχύεις ὅσα καὶ βούλεσαι.

Κοντάκιον. Ἦχος πλ. δ'.

Μετὰ τῶν ἁγίων* ἀνάπαυσον, Χριστέ,* τὰς ψυχὰς τῶν δούλων σου,* ἔνθα οὐκ ἔστι πόνος,* οὐ λύπη, οὐ στεναγμός,* ἀλλὰ ζωὴ ἀτελεύτητος.

Ὁ οἶκος. (Οἱ ἐν πάσῃ τῇ γῇ).

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος,* ὁ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον·* οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν* καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα,* καθὼς ἐκέλευσας

ὁ πλάσας με* καὶ εἰπών μοι· Ὅτι γῆ εἶ* καὶ εἰς γῆν ἀπελεύσῃ* ὅπου πάντες βροτοὶ πορευσόμεθα,* ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδήν,* τὸ Ἀλληλούϊα.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν·

Τῇ αὐτῇ ἡμέρᾳ μνείαν πάντων τῶν ἀπ' αἰῶνος κεκοιμημένων εὐσεβῶς ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου οἱ θειότατοι πατέρες ἐθέσπισαν.

Στίχοι.

Ἀμνημόνησον πταισμάτων νεκροῖς, Λόγε,
τὰ χρηστὰ νεκρὰ σπλάγχνα σου μὴ δεικνύων.

Τὰς τῶν προαναπαυσαμένων ψυχὰς κατάταξον, Δέσποτα Χριστέ, ἐν ταῖς τῶν δικαίων σου σκηναῖς καὶ ἐλέησον ἡμᾶς ὡς μόνος ἀθάνατος. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος πλ. δ'.

Ὠδὴ α'.

Ἄσμα ἀναπέμψωμεν λαοί... (σ. 821).

Ὠδὴ β'.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι... (σ. 822).

Ὠδὴ γ'.

Ὁ στερεώσας ἐν τῇ χειρί σου... (σ. 823).

Ὠδὴ δ'.

Ἐξ ὄρους κατασκίου* Λόγε, ὁ προφήτης,* τῆς μόνης Θεοτόκου,* μέλλοντος σαρκοῦσθαι,* θεοπτικῶς κατενόησε* καὶ ἐν φόβῳ* ἐδοξολόγει σου τὴν δύναμιν.

Ὠδὴ ε'.

Ὀρθρίζει τὸ πνεῦμά μου* πρὸς σέ, ὁ Θεός,* διότι φῶς τὰ προστάγματα* τῆς παρουσίας σου* ἐν αὐτοῖς οὖν καταύγασον* τὸν νοῦν ἡμῶν, Δέσποτα,* καὶ ὁδήγησον ἐν τρίβῳ ζωῆς.

Ὠδὴ ς΄.

Συνεχόμενον δέξαί με,* φιλάνθρωπε,* ἐκ πταισμάτων πολλῶν* καὶ προσπίπτοντα τοῖς οἰκτιρμοῖς σου,* ὡς τὸν προφήτην, Κύριε,* καὶ σῶσόν με.

Ὠδὴ ζ΄.

Ὁ ἐν ἀρχῇ* τὴν γῆν θεμελιώσας* καὶ οὐρανοὺς* τῷ λόγῳ στερεώσας,* εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η΄.

Τὸν ἐν ὄρει* ἁγίῳ δοξασθέντα* καὶ ἐν βάτῳ* πυρὶ τὸ τῆς Παρθένου* τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα* Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Μετὰ δὲ τὴν Τιμιωτέραν (σ. 119)

Ὠδὴ θ΄.

Τὸν προδηλωθέντα* ἐν ὄρει τῷ νομοθέτῃ* ἐν πυρὶ καὶ βάτῳ τόκον* τὸν τῆς ἀειπαρθένου* εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν* ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Ἐξαποστειλάριον. (Ὁ οὐρανὸν τοῖς ἄστροις).

Ὁ καὶ νεκρῶν καὶ ζώντων* ἐξουσιάζων ὡς Θεός,* ἀνάπαυσον τοὺς σοὺς δούλους* ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν·* εἰ γὰρ καὶ ἥμαρτον, Σῶτερ,* ἀλλ᾽ οὐκ ἀπέστησαν ἐκ σοῦ.

Ἄλλο. (Γυναῖκες, ἀκουτίσθητε).

Ἀνάπαυσον τοὺς δούλους σου* ἐν χώρᾳ ζώντων, Κύριε,* ἔνθα ἀπέδρα ὀδύνη,* λύπη ὁμοῦ καὶ στεναγμός·* ἴλαθι ὡς φιλάνθρωπος,* ἅπερ ἐν βίῳ ἥμαρτον·* μόνος γὰρ ἀναμάρτητος* ὑπάρχεις καὶ ἐλεήμων,* νεκρῶν καὶ ζώντων Δεσπότης.

Θεοτοκίον. Ὅμοιον.

Μαρία Θεονύμφευτε,* Χριστὸν ἀπαύστως πρέσβευε* ὑπὲρ ἡμῶν τῶν σῶν δούλων* σὺν θεηγόροις προφή-

ταις* καὶ τῶν μαρτύρων δήμοις τε,* ἱεραρχῶν, ὁσίων τε* καὶ πάντων τε τῶν δικαίων* συγκληρονόμους γενέσθαι* τῆς οὐρανῶν βασιλείας.

Εἰς τοὺς αἴνους ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ΄. (Ὁ ἐν Ἐδὲμ παράδεισος).

Δεῦτε πρὸ τέλους πάντες, ἀδελφοί,* τὸν χοῦν ἡμῶν βλέποντες* καὶ τῆς φύσεως ἡμῶν τὸ ἀσθενές,* καὶ τὴν εὐτέλειαν ἡμῶν* καὶ τὸ τέλος ὀψώμεθα* καὶ τὰ ὄργανα τοῦ σκεύους τῆς σαρκός·* καὶ ὅτι κόνις ὁ ἄνθρωπος,* βρῶμα σκωλήκων καὶ φθορά·* ὅτι ξηρὰ τὰ ὀστᾶ ἡμῶν,* ὅλως μὴ ἔχοντα πνοήν.* Τοὺς τάφους κατίδωμεν·* ποῦ ἡ δόξα; ποῦ τὸ κάλλος τῆς μορφῆς;* ποῦ ἡ εὔλαλος γλῶσσα;* ποῦ ἡ ὀφρύς; ἢ ποῦ ὁ ὀφθαλμός;* πάντα κόνις καὶ σκιά·* διὸ φεῖσαι, Σωτήρ, πάντων ἡμῶν.

Τί ἀπατᾶται ἄνθρωπος αὐχῶν;* τί μάτην ταράττεται* ὁ πηλὸς καὶ μετ᾽ ὀλίγον ὁ αὐτός;* τί οὐ λογίζεται ὁ χοῦς* ὅτι κόνις τὸ φύραμα* καὶ σαπρίας καὶ φθορᾶς ἀποβολή;* Εἰ οὖν πηλός ἐσμεν, ἄνθρωποι,* τί προστετήκαμεν τῇ γῇ;* καὶ εἰ Χριστοῦ ἐσμεν σύμφυτοι,* τί οὐ προστρέχομεν αὐτῷ,* καὶ ὅλην ἀφέμενοι* τὴν ἐπίκηρον καὶ ῥέουσαν ζωήν,* τῇ ζωῇ τῇ ἀφθάρτῳ* ἀκολουθοῦμεν; ἥτις ἐστὶν* ὁ Χριστός, ὁ φωτισμὸς* καὶ ἁγιασμὸς τῶν ψυχῶν ἡμῶν.

Ὅτῃ χειρί σου πλάσας τὸν Ἀδὰμ* καὶ στῆσας μεθόριον* ἀφθαρσίας καὶ θνητότητος, Σωτήρ,* καὶ τῆς ἐν χάριτι ζωῆς,* τῆς φθορᾶς ἀπαλλάξας τε* πρὸς τὴν πρώτην μεταθέμενος ζωήν,* αὐτὸς τοὺς δούλους σου, Δέσποτα,* οὓς προσελάβου ἐξ ἡμῶν,* μετὰ δικαίων ἀνάπαυσον* καὶ ἐν χορῷ τῶν ἐκλεκτῶν·* καὶ τούτων τὰ ὀνόματα* μεταγράψας ἐν τῇ βίβλῳ τῆς ζωῆς,* ἐν φωνῇ ἀρχαγγέλου* ἐξαναστήσας σάλπιγγος ἠχῇ,* καταξίωσον αὐτοὺς* τῆς οὐρανίου βασιλείας σου.

Χριστὸς ἀνέστη, λύσας τῶν δεσμῶν* Ἀδὰμ τὸν πρωτόπλαστον* καὶ τοῦ ᾅδου καταλύσας τὴν ἰσχύν.* Θαρσεῖτε, πάντες οἱ νεκροί·* ἐνεκρώθη ὁ θάνατος,* ἐσκυλεύθη

καὶ ὁ ᾅδης σὺν αὐτῷ,* καὶ ὁ Χριστὸς ἐβασίλευσεν,* ὁ σταυρωθεὶς καὶ ἀναστάς·* αὐτὸς ἡμῖν ἐχαρίσατο* τὴν ἀφθαρσίαν τῆς σαρκός·* αὐτὸς ἀνιστᾷ ἡμᾶς* καὶ δωρεῖται τὴν ἀνάστασιν ἡμῖν* καὶ τῆς δόξης ἐκείνης* μετ' εὐφροσύνης πάντας ἀξιοῖ* τοὺς ἐν πίστει ἀκλινεῖ* πεπιστευκότας θερμῶς ἐπ' αὐτῷ.

Δόξα. Ἦχος β'.

Ὡς ἄνθος μαραίνεται* καὶ ὡς ὄναρ παρέρχεται* καὶ διαλύεται πᾶς ἄνθρωπος.* Πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος,* νεκροί, ὡς ἐν συσσεισμῷ,* πάντες ἀναστήσονται* πρὸς τὴν σὴν ὑπάντησιν, Χριστὲ ὁ Θεός.* Τότε, Δέσποτα,* οὓς μετέστησας ἐξ ἡμῶν,* ἐν ταῖς τῶν ἁγίων σου κατάταξον σκηναῖς,* τὰ πνεύματα τῶν σῶν δούλων, Χριστέ.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, Μαρία Θεοτόκε,* ὁ ναὸς ὁ ἀκατάλυτος,* μᾶλλον δὲ ὁ ἅγιος,* καθὼς βοᾷ ὁ προφήτης·* Ἅγιος ὁ ναός σου,* θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἡ δοξολογία χῦμα, τὰ πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 148, 135).

Ἀπόστιχα, τὰ στιχηρὰ προσόμοια τοῦ Θεοφάνους τοῦ τυχόντος ἤχου (σ. 509 κ.ἑ.).

Δόξα. Ἰωάννου τοῦ Δαμασκηνοῦ. Ἦχος πλ. β'.

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν* ἡ τοῦ ξύλου ἀπόγευσις* πάλαι ἐν Ἐδέμ,* ὅτε ὄφις ἰὸν ἐξηρεύξατο·* δι' αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος,* παγγενῆ κατεσθίων τὸν ἄνθρωπον·* ἀλλ' ἐλθὼν ὁ Δεσπότης* καθεῖλε τὸν δράκοντα* καὶ ἀνάπαυσιν ἡμῖν ἐδωρήσατο.* Πρὸς αὐτὸν οὖν βοήσωμεν·* Φεῖσαι, Σωτήρ,* καὶ οὓς προσελάβου* μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν,* ὁ ἐν σοφίᾳ τὰ πάντα* δημιουργῶν καὶ πληρῶν.* Προφήτας ἐξαπέστειλας, Χριστέ,* προ-

φητεῦσαί σου τὴν παρουσίαν* καὶ ἀποστόλους* κηρῦξαί σου τὰ μεγαλεῖα·* καὶ οἱ μὲν προεφήτευσαν* τὴν ἔλευσίν σου·* οἱ δὲ τῷ βαπτίσματι* ἐφώτισαν τὰ ἔθνη.* Μάρτυρες δὲ παθόντες* ἔτυχον, ὧνπερ ἐπόθουν·* καὶ πρεσβεύει σοι ὁ χορὸς τῶν ἀμφοτέρων* σὺν τῇ τεκούσῃ σε·* Ἀνάπαυσον, ὁ Θεός,* ψυχάς, ἃς προσελάβου,* καὶ ἡμᾶς καταξίωσον τῆς βασιλείας σου,* ὁ σταυρὸν ὑπομείνας* δι' ἐμὲ τὸν κατάκριτον,* ὁ λυτρωτής μου καὶ Θεός.

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι (σ. 151), τὸ Τρισάγιον καὶ τὸ ἀπολυτίκιον Ὁ βάθει σοφίας, ὡς εἰς τὸν Ἑσπερινὸν (σ. 928).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Τὰ ἀντίφωνα τῶν καθημερινῶν (σ. 291, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον τὸ ἀπολυτίκιον Ὁ βάθει σοφίας (σ. 818), τὸ τοῦ ναοῦ καὶ τὸ κοντάκιον Μετὰ τῶν ἁγίων (σ. 824).

Προκείμενον. Ἦχος πλ. β'. (Ψαλμὸς κδ').

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Στίχ. Πρός σέ, Κύριε, κεκράξομαι ὁ Θεός μου.

Ο ΑΠΟΣΤΟΛΟΣ(*)

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου (ι' 23-28).

Ἀδελφοί, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν· «τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς». Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ

(*) Κατὰ τὸ Τυπικὸν λέγεται ὁ δεύτερος Ἀπόστολος.

τὴν συνείδησιν. Ἐὰν δέ τις ὑμῖν εἴπῃ, τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε δι' ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν· «τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς».

Ἕτερος εἰς κοιμηθέντας.

Πρὸς Θεσσαλονικεῖς Α' Ἐπιστολῆς Παύλου (δ' 13-17).

Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κα' 8-9, 25-27, 33-36).

Εἶπεν ὁ Κύριος· Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικε. Μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ' οὐκ εὐθέως τὸ τέλος.

Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Προσέχετε δὲ ἑαυτοῖς, μή ποτε βαρηθῶσιν ὑμῶν αἱ καρ-

δίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιοτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα ταῦτα τὰ μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου.

Καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

Κοινωνικόν.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούια.

ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΠΟΚΡΕΩ

Μνείαν ποιούμεθα τῆς δευτέρας καὶ ἀδεκάστου παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ς' καὶ προσόμοια τοῦ Τριῳδίου δ'.

Ἦχος πλ. β'. (Ὅλην ἀποθέμενοι).

Ὅταν μέλλῃς ἔρχεσθαι* κρίσιν δικαίαν ποιῆσαι,* κριτὰ δικαιότατε,* ἐπὶ θρόνου δόξης σου* καθεζόμενος,* ποταμὸς πύρινος* πρὸ τοῦ σοῦ βήματος* καταπλήττων ἕλκει ἅπαντας,* παρισταμένων σοι* τῶν ἐπουρανίων δυνάμεων,* ἀνθρώπων κρινομένων τε* φόβῳ, καθ' ἃ ἕκαστος ἔπραξε·* τότε ἡμῶν φεῖσαι* καὶ μοίρας καταξίωσον, Χριστέ,* τῶν σῳζομένων ὡς εὔσπλαγχνος,* πίστει δυσωποῦμέν σε.

Βίβλοι ἀνοιγήσονται,* φανερωθήσονται πράξεις* ἀνθρώπων ἐπίπροσθεν* τοῦ ἀστέκτου βήματος·* διηχήσει δὲ* ἡ κοιλὰς ἅπασα* φοβερῷ βρύγματι* τοῦ κλαυθμῶνος, πάντας βλέπουσα* τοὺς ἁμαρτήσαντας* ταῖς αἰωνιζούσαις κολάσεσι* τῇ κρίσει τῇ δικαίᾳ σου* παραπεμπομένους καὶ ἄπρακτα* κλαίοντας, οἰκτίρμον·* διό σε δυσωποῦμεν, ἀγαθέ·* Φεῖσαι ἡμῶν τῶν ὑμνούντων σε,* μόνε πολυέλεε.

Ηχήσουσι σάλπιγγες* καὶ κενωθήσονται τάφοι* καὶ ἐξαναστήσεται* τῶν ἀνθρώπων τρέμουσα* φύσις ἅπασα·* οἱ καλὰ πράξαντες* ἐν χαρᾷ χαίρουσι,* προσδοκῶντες μισθὸν λήψεσθαι·* οἱ ἁμαρτήσαντες* τρέμουσι, δεινῶς ὀλολύζοντες,* εἰς κόλασιν πεμπόμενοι* καὶ τῶν ἐκλεκτῶν χωριζόμενοι.* Κύριε τῆς δόξης,* οἰκτείρησον ἡμᾶς, ὡς ἀγαθός,* καὶ τῆς μερίδος ἀξίωσον* τῶν ἠγαπηκότων σε.

Κλαίω καὶ ὀδύρομαι,* ὅταν εἰς αἴσθησιν λάβω* τὸ πῦρ τὸ αἰώνιον,* σκότος τὸ ἐξώτερον* καὶ τὸν τάρταρον,* τὸν δεινὸν σκώληκα,* τὸν βρυγμὸν αὖθίς τε* τῶν ὀδόντων καὶ τὴν ἄπαυστον* ὀδύνην μέλλουσαν* ἔσεσθαι τοῖς ἄμετρα πταίσασι* καὶ σὲ τὸν ὑπεράγαθον* γνῶμῃ πονηρᾷ παροργίσασιν·* ὧν εἰς τε καὶ πρῶτος* ὑπάρχω ὁ ταλαίπωρος ἐγώ·* ἀλλά, κριτά, τῷ ἐλέει σου* σῶσόν με, ὡς εὔσπλαγχνος.

Δόξα. Ἦχος πλ. δ΄

Οταν τίθωνται θρόνοι* καὶ ἀνοίγωνται βίβλοι* καὶ Θεὸς εἰς κρίσιν καθέζηται,* ὢ ποῖος φόβος τότε,* ἀγγέλων παρισταμένων ἐν φόβῳ,* καὶ ποταμοῦ πυρὸς ἕλκοντος!* Τί ποιήσομεν τότε* οἱ ἐν πολλαῖς ἁμαρτίαις* ὑπεύθυνοι ἄνθρωποι;* Ὅταν δὲ ἀκούσωμεν καλοῦντος αὐτοῦ* τοὺς εὐλογημένους τοῦ Πατρὸς εἰς βασιλείαν,* ἁμαρτωλοὺς δὲ ἀποπέμποντος εἰς κόλασιν,* τίς ὑποστήσεται* τὴν φοβερὰν ἐκείνην ἀπόφασιν;* Ἀλλά, μόνε φιλάνθρωπε Σωτήρ,* ὁ βασιλεὺς τῶν αἰώνων,* πρὶν τὸ τέλος φθάσῃ,* διὰ τῆς μετανοίας ἐπιστρέψας,* ἐλέησόν με.

Καὶ νῦν. Τὸ α΄ Θεοτοκίον τοῦ ἤχου.

Ἀπόστιχα τὰ ἀναστάσιμα.

Δόξα. Ἦχος πλ. δ΄.

Οἴμοι, μέλαινα ψυχή!* ἕως πότε* τῶν κακῶν οὐκ ἐκκόπτεις;* ἕως πότε* τῇ ῥαθυμίᾳ κατάκεισαι;* τί οὐκ ἐνθυμῇ* τὴν φοβερὰν ὥραν τοῦ θανάτου;* τί οὐ τρέμεις δλη* τὸ φρικτὸν βῆμα τοῦ Σωτῆρος;* ἆρα τί ἀπολογήσῃ* ἢ τί ἀποκριθήσῃ;* τὰ ἔργα σου παρίστανται* πρὸς ἔλεγχόν σου* αἱ πράξεις ἐλέγχουσι* κατηγοροῦσαι.* Λοιπόν, ὦ ψυχή,* ὁ χρόνος ἐφέστηκε,* δράμε, πρόφθασον,* πίστει βόησον* Ἥμαρτον, Κύριε,* ἥμαρτόν σοι* ἀλλ' οἶδα, φιλάνθρωπε,* τὸ εὔσπλαγχνόν σου* ὁ ποιμὴν ὁ καλός,* μὴ χωρίσῃς με* τῆς ἐκ δεξιῶν σου παραστάσεως* διὰ τὸ μέγα σου ἔλεος.

Καὶ νῦν. Ἀνύμφευτε Παρθένε (σ. 485).

Τὸ ἀναστάσιμον ἀπολυτίκιον καὶ τὸ Θεοτοκίον.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Ὁ κανὼν τοῦ Τριῳδίου.
Ποίημα Θεοδώρου τοῦ Στουδίτου. Ἦχος πλ. β΄.

Ὠδὴ α΄. (Βοηθὸς καὶ σκεπαστής).

Τὴν ἡμέραν τὴν φρικτὴν* τῆς παναῤῥήτου σου παρουσίας* φρίττω ἐννοῶν,* δεδοικὼς προορῶ,* ἐν ᾗ προκαθίσεις* κρῖναι ζῶντας καὶ νεκρούς,* Θεέ μου παντοδύναμε.

Ὅτε ἥξεις, ὁ Θεός,* ἐν μυριάσι καὶ χιλιάσι* τῶν ἀγγελικῶν* οὐρανίων ἀρχῶν,* κἀμὲ ἐν νεφέλαις* ὑπαντῆσαί σοι, Χριστέ,* τὸν ἄθλιον ἀξίωσον.

Δεῦρο λάβε μοι, ψυχή,* αὐτὴν τὴν ὥραν καὶ τὴν ἡμέραν,* ὅτε ὁ Θεὸς* ἐμφανῶς ἐπιστῇ* καὶ θρήνησον, κλαῦσον,* εὑρεθῆναι καθαρὰ* ἐν ὥρᾳ τῆς ἐτάσεως.

Ἐξιστᾷ με καὶ φοβεῖ* τὸ πῦρ τὸ ἄσβεστον τῆς γεέννης,* σκώληξ ὁ πικρός,* τῶν ὀδόντων βρυγμός* ἀλλ' ἄνες

μοι, ἄφες,* καὶ τῇ στάσει με, Χριστέ,* τῶν ἐκλεκτῶν σου σύνταξον.

Τῆς εὐκταίας σου φωνῆς,* τῆς τοὺς ἁγίους σου προσκαλούσης* ἐπὶ τὴν χαράν,* εἰσακούσω κἀγὼ* ὁ τάλας καὶ εὕρω* βασιλείας οὐρανῶν* τὴν ἄῤῥητον ἀπόλαυσιν.

Μὴ εἰσέλθῃς μετ' ἐμοῦ* εἰς κρίσιν, φέρων μου τὰ πρακτέα,* λόγους ἐκζητῶν* καὶ εὐθύνων ὁρμάς'* ἀλλ' ἐν οἰκτιρμοῖς σου* παρορῶν μου τὰ δεινά,* σῶσόν με, παντοδύναμε.

Δόξα. Τριαδικόν.

Τρισυπόστατε Μονάς,* ἀρχικωτάτη, κυρία πάντων,* τελεταρχική,* ὑπεράρχιε,* αὐτὴ ἡμᾶς σῶσον,* ὁ Πατὴρ καὶ ὁ Υἱὸς* καὶ Πνεῦμα τὸ πανάγιον.

Καὶ νῦν. Θεοτοκίον.

Τίς ἐγέννησεν Υἱὸν* τὸν μὴ σπαρέντα πατρῴῳ νόμῳ;* τοῦτον οὖν γεννᾷ* ὁ Πατὴρ πλὴν μητρός'* παράδοξον τέρας!* σὺ γὰρ ἔτεκες, ἀγνή,* Θεὸν ὁμοῦ καὶ ἄνθρωπον.

Ὠδὴ γ'. (Στερέωσον, Κύριε).

Ο Κύριος ἔρχεται,* καὶ τίς ὑποίσει αὐτοῦ τὸν φόβον;* τῷ προσώπῳ τίς ὀφθῇ αὐτοῦ;* ἀλλ' ἑτοίμη* γενοῦ, ὦ ψυχή, πρὸς ὑπάντησιν.

Προφθάσωμεν, κλαύσωμεν,* καταλλαγῶμεν Θεῷ πρὸ τέλους'* φοβερὸν γὰρ τὸ κριτήριον,* ἐν ᾧ πάντες* τετραχηλισμένοι στησόμεθα.

Ἐλέησον, Κύριε,* ἐλέησόν με, ἀναβοῶ σοι,* ὅτε ἧξεις μετ' ἀγγέλων σου* ἀποδοῦναι* πᾶσι κατ' ἀξίαν τῶν πράξεων.

Τὴν ἄστεκτον, Κύριε,* ὀργὴν πῶς οἴσω τῆς κρίσεώς σου*, παρακούσας σου τὸ πρόσταγμα;* ἀλλὰ φεῖσαι,* φεῖσαί μου ἐν ὥρᾳ τῆς κρίσεως.

Ἐπίστρεψον, στέναξον,* ψυχὴ ἀθλία, πρὶν ἢ τοῦ βίου* πέρας λάβῃ ἡ πανήγυρις,* πρὶν τὴν θύραν* κλείσῃ τοῦ νυμφῶνος ὁ Κύριος.

Ημάρτηκα, Κύριε,* καθάπερ ἄλλος οὐδεὶς ἀνθρώπων,* πλημμελήσας ὑπὲρ ἄνθρωπον·* πρό τῆς δίκης* ἵλεως γενοῦ μοι, φιλάνθρωπε.

Δόξα. Τριαδικόν.

Τριὰς ἁπλῆ, ἄκτιστε,* ἄναρχε φύσις, ἡ ἐν τριάδι* ὑμνουμένη ὑποστάσεων,* ἡμᾶς σῶσον* πίστει προσκυνοῦντας τὸ κράτος σου.

Καὶ νῦν. Θεοτοκίον.

Εβλάστησας, ἄχραντε,* ἀσπόρῳ τόκῳ τὸν ζῶντα Λόγον,* σαρκωθέντα ἐν τῇ μήτρᾳ σου,* οὐ τραπέντα.* Δόξα, Θεομῆτορ, τῷ τόκῳ σου.

Κάθισμα. Ἦχος α΄. (Τὸν τάφον σου, Σωτῆρ).

Τὸ βῆμα σου φρικτὸν* καὶ ἡ κρίσις δικαία,* τὰ ἔργα μου δεινά·* ἀλλ᾽ αὐτός, ἐλεῆμον,* προφθάσας με διάσωσον* καὶ κολάσεως λύτρωσαί·* ῥῦσαι, Δέσποτα,* τῆς τῶν ἐρίφων μερίδος* καὶ ἀξίωσον* ἐκ δεξιῶν σοῦ με στῆναι,* κριτὰ δικαιότατε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὸν πάντων ποιητὴν* καὶ Θεόν σου καὶ κτίστην,* πανάμωμε ἁγνή,* διὰ Πνεύματος θείου* ἐν μήτρᾳ σου ἐχώρησας* καὶ φθορᾶς δίχα τέτοκας·* ὃν δοξάζοντες,* σὲ ἀνυμνοῦμεν, Παρθένε,* ὡς παλάτιον* τοῦ βασιλέως τῆς δόξης* καὶ κόσμου ἀντίλυτρον.

Ἕτερον κάθισμα. Ἦχος πλ. β΄.

Εννοῶ τὴν ἡμέραν* τὴν φοβερὰν* καὶ θρηνῶ μου τὰς πράξεις* τὰς πονηράς.* Πῶς ἀπολογήσομαι* τῷ ἀθανάτῳ βασιλεῖ;* Ποία δὲ παῤῥησία* ἀτενίσω τῷ κριτῇ* ὁ ἄσωτος ἐγώ;* Εὔσπλαγχνε Πάτερ,* Υἱὲ μονογενές,* τὸ Πνεῦμα τὸ ἅγιον,* ἐλέησόν με.

Δόξα. Ἦχος ὁ αὐτός.

Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος,* εἰς τὸν τόπον, ὃν διέθου,* ὅταν καθίσῃς, ἐλεῆμον,* ποιῆσαι δικαίαν κρί-

σιν,* μὴ δημοσιεύσῃς μου τὰ κεκρυμμένα,* μηδὲ καταισχύνῃς με ἐνώπιον τῶν ἀγγέλων,* ἀλλὰ φεῖσαί μου, ὁ Θεός,* καὶ ἐλέησόν με.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἐλπὶς τοῦ κόσμου ἀγαθή,* Θεοτόκε Παρθένε,* τὴν σὴν καὶ μόνην φοβερὰν* προστασίαν αἰτοῦμεν·* σπλαγχνίσθητι εἰς εὐπερίστατον λαόν·* δυσώπησον τὸν ἐλεήμονα Θεὸν* ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν* ἐκ πάσης ἀπειλῆς,* μόνη εὐλογημένη.

Κοντάκιον. Ἦχος α΄.

Ὅταν ἔλθῃς, ὁ Θεός,* ἐπὶ γῆς μετὰ δόξης,* καὶ τρέμουσι τὰ σύμπαντα,* ποταμὸς δὲ τοῦ πυρὸς* πρὸ τοῦ βήματος ἕλκῃ,* καὶ βίβλοι ἀνοίγωνται* καὶ τὰ κρυπτὰ δημοσιεύωνται,* τότε ῥῦσαί με* ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου* καὶ ἀξίωσον* ἐκ δεξιῶν σού με στῆναι,* κριτὰ δικαιότατε.

Ὁ οἶκος.

Τὸ φοβερόν σου κριτήριον* ἐνθυμούμενος,* ὑπεράγαθε Κύριε,* καὶ τὴν ἡμέραν τῆς κρίσεως,* φρίττω καὶ πτοοῦμαι,* ὑπὸ τῆς συνειδήσεως* τῆς ἐμῆς ἐλεγχόμενος·* ὅταν μέλλῃς καθέζεσθαι* ἐπὶ τοῦ θρόνου σου* καὶ ποιεῖν τὴν ἐξέτασιν,* τότε ἀρνεῖσθαι* τὰς ἁμαρτίας* οὐδεὶς οὐκ ἐξισχύσει,* ἀληθείας ἐλεγχούσης* καὶ δειλίας κατεχούσης·* μέγα μὲν ἠχήσει* πῦρ τὸ τῆς γεέννης·* ἁμαρτωλοὶ δὲ βρύξουσι·* διό με ἐλέησον* πρὸ τέλους καὶ φεῖσαί μου,* κριτὰ δικαιότατε.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῇ αὐτῇ ἡμέρᾳ τῆς δευτέρας καὶ ἀδεκάστου παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μνείαν ποιούμεθα.

Στίχοι.

Ὅτε κρίνων γῆν ὁ κριτὴς πάντων κάθῃ,
τῆς, Δεῦτε, φωνῆς ἄξιον κἀμὲ κρίνοις.

Τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεός, τῆς εὐκταίας σου φωνῆς ἡμᾶς καταξίωσον καὶ τοῖς ἐκ δεξιῶν σου συναρίθμησον καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος πλ. β΄.

Ὠδὴ α΄.

Βοηθὸς καὶ σκεπαστὴς* ἐγένετό μοι εἰς σωτηρίαν·* οὗτός μου Θεός,* καὶ δοξάσω αὐτόν·* Θεὸς τοῦ Πατρός μου,* καὶ ὑψώσω αὐτόν·* ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ΄.

Στερέωσον, Κύριε,* ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου* σαλευθεῖσαν τὴν καρδίαν μου,* ὅτι μόνος* ἅγιος ὑπάρχεις καὶ Κύριος.

Ὠδὴ δ΄.

Ἀκήκοεν ὁ προφήτης* τὴν ἔλευσίν σου, Κύριε,* καὶ ἐφοβήθη,* ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι* καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν·* Ἀκήκοα τὴν ἀκοήν σου* καὶ ἐφοβήθην·* δόξα τῇ δυνάμει σου.

Ὠδὴ ε΄.

Ἐκ νυκτὸς ὀρθρίζοντα,* φιλάνθρωπε,* φώτισον, δέομαι,* καὶ ὁδήγησον κἀμέ* ἐν τοῖς προστάγμασί σου* καὶ δίδαξόν με, Σωτήρ,* ποιεῖν τὸ θέλημά σου.

Ὠδὴ ς΄.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου* πρὸς τὸν οἰκτίρμονα Θεόν,* καὶ ἐπήκουσέ μου* ἐξ ᾅδου κατωτάτου,* καὶ ἀνήγαγεν* ἐκ φθορᾶς τὴν ζωήν μου.

Ὠδὴ ζ΄.

Ἡμάρτομεν,* ἠνομήσαμεν,* ἠδικήσαμεν ἐνώπιόν σου·* οὐδὲ συνετηρήσαμεν, οὐδὲ* ἐποιήσαμεν,* καθὼς ἐνετείλω ἡμῖν·* ἀλλὰ μὴ παραδῴῃς ἡμᾶς εἰς τέλος,* ὁ τῶν πατέρων Θεός.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η'.

Ὃν στρατιαὶ* οὐρανῶν δοξάζουσι,* καὶ φρίττει τὰ Χερουβὶμ* καὶ τὰ Σεραφίμ,* πᾶσα πνοὴ καὶ κτίσις,* ὑμνεῖτε, εὐλογεῖτε* καὶ ὑπερυψοῦτε* αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου (σ. 108 κ.ἑ.) ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία.

Ὠδὴ θ'.

Ἀσπόρου συλλήψεως* ὁ τόκος ἀνερμήνευτος,* μητρὸς ἀνάνδρου* ἄσπορος ἡ κύησις* Θεοῦ γὰρ ἡ γέννησις* καινοποιεῖ τὰς φύσεις* διό σε πᾶσαι αἱ γενεαί,* ὡς Θεόνυμφον μητέρα,* ὀρθοδόξως μεγαλύνομεν.

Ἐξαποστειλάριον, τὸ ἑωθινόν (σ. 121). Εἶτα τὰ παρόντα.

(Τοῖς μαθηταῖς συνέλθωμεν).

Τὴν φοβερὰν τῆς κρίσεως* καὶ ἀῤῥήτου σου δόξης* ἡμέραν ἐνθυμούμενος,* φρίττω, Κύριε, ὅλως* καὶ τρέμων φόβῳ κραυγάζω·* Ἐπὶ γῆς ὅταν ἔλθῃς* κρῖναι, Χριστέ, τὰ σύμπαντα,* ὁ Θεός, μετὰ δόξης,* τότε οἰκτρὸν* ἀπὸ πάσης ῥῦσαί με τιμωρίας,* ἐκ δεξιῶν σου, Δέσποτα,* ἀξιώσας με στῆναι.

Ἄλλο. (Γυναῖκες, ἀκουτίσθητε).

Ἰδοὺ ἡμέρα ἔρχεται* Κυρίου παντοκράτορος·* καὶ τίς ὑποίσει τὸν φόβον* τῆς παρουσίας ἐκείνου;* ἡμέρα γὰρ θυμοῦ ἐστι,* καὶ κλίβανος καιόμενος,* ἐν ᾗ κριτὴς καθέζεται,* τὰ κατ' ἀξίαν ἑκάστῳ* τῶν πράξεων ἀπονέμων.

Θεοτοκίον. Ὅμοιον.

Τὴν ὥραν τῆς ἐτάσεως* καὶ τῆς φρικτῆς ἐλεύσεως* τοῦ φιλανθρώπου Δεσπότου* κατανοῶν, ὅλως τρέμω* καὶ σκυθρωπάζων κράζω σοι·* Κριτά μου δικαιότατε* καὶ μόνε πολυέλεε,* μετανοοῦντά με δέξαι* τῆς Θεοτόκου πρεσβείαις.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου ε', καὶ τῆς Ἀπόκρεω τὰ παρόντα ἰδιόμελα τρία.

Ἦχος πλ. β'.

Ἐννοῶ τὴν ἡμέραν ἐκείνην* καὶ τὴν ὥραν,* ὅταν μέλλωμεν πάντες,* γυμνοὶ καὶ ὡς κατάκριτοι,* τῷ ἀδεκάστῳ κριτῇ παρίστασθαι·* τότε σάλπιγξ ἠχήσει μέγα,* καὶ τὰ θεμέλια τῆς γῆς σεισθήσονται,* καὶ οἱ νεκροὶ ἐκ τῶν μνημάτων* ἐξαναστήσονται,* καὶ ἡλικία μία* πάντες γενήσονται·* καὶ πάντων τὰ κρυπτὰ* φανερὰ παρίστανται ἐνώπιόν σου·* καὶ κόψονται* καὶ κλαύσονται,* καὶ εἰς τὸ πῦρ τὸ ἐξώτερον* ἀπελεύσονται* οἱ μηδέποτε μετανοήσαντες·* καὶ ἐν χαρᾷ καὶ ἀγαλλιάσει* ὁ τῶν δικαίων κλῆρος εἰσελεύσεται* εἰς παστάδα οὐράνιον.

Ὁποία ὥρα τότε* καὶ ἡμέρα φοβερά,* ὅταν καθίσῃ ὁ κριτὴς* ἐπὶ θρόνου φοβεροῦ!* Βίβλοι ἀνοίγονται* καὶ πράξεις ἐλέγχονται* καὶ τὰ κρυπτὰ τοῦ σκότους* δημοσιεύονται.* Ἄγγελοι περιτρέχουσιν,* ἐπισυνάγοντες πάντα τὰ ἔθνη.* Δεῦτε ἀκούσατε,* βασιλεῖς καὶ ἄρχοντες,* δοῦλοι καὶ ἐλεύθεροι,* ἁμαρτωλοὶ καὶ δίκαιοι,* πλούσιοι καὶ πένητες,* ὅτι ἔρχεται κριτής,* ὁ μέλλων κρῖναι πᾶσαν τὴν οἰκουμένην·* καὶ τίς ὑποστήσεται* ἀπὸ προσώπου αὐτοῦ,* ὅταν ἄγγελοι παρίστανται,* ἐλέγχοντες τὰς πράξεις,* τὰς διανοίας, τὰς ἐνθυμήσεις,* τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ;* Ὢ ποία ὥρα τότε!* Ἀλλὰ πρὸ τοῦ φθάσαι τὸ τέλος,* σπούδασον κράζουσα, ψυχή·* Ὁ Θεός, ἐπίστρεψον, σῶσόν με,* ὡς μόνος εὔσπλαγχνος.

Ἦχος πλ. δ'.

Δανιὴλ ὁ προφήτης,* ἀνὴρ ἐπιθυμιῶν γενόμενος,* τὸ ἐξουσιαστικὸν Θεοῦ θεωρήσας,* οὕτως ἐβόα·* Κριτήριον ἐκάθισε,* καὶ βίβλοι ἠνεῴχθησαν.* Βλέπε, ψυχή μου·* νηστεύεις;* τὸν πλησίον σου μὴ ἀθέτει·* βρωμάτων ἀπέχῃ;* τὸν ἀδελφόν σου μὴ κατακρίνῃς·* ἵνα μὴ τῷ πυρὶ παραπεμπομένη,* κατακαῇς ὡσεὶ κηρός,* ἀλλ' ἀνεμποδίστως* εἰσάξῃ σε Χριστὸς* εἰς τὴν βασιλείαν αὐτοῦ.

Δόξα. Ἦχος α΄.

Προκαθάρωμεν ἑαυτούς, ἀδελφοί,* τῇ βασιλίδι τῶν ἀρετῶν·* ἰδοὺ γὰρ παραγέγονε,* πλοῦτον ἡμῖν* ἀγαθῶν κομίζουσα·* τῶν παθῶν κατευνάζει τὰ οἰδήματα* καὶ τῷ Δεσπότῃ καταλλάττει τοὺς πταίσαντας·* διὸ μετ' εὐφροσύνης* ταύτην ὑποδεξώμεθα,* βοῶντες Χριστῷ τῷ Θεῷ·* Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,* ἀκατακρίτους ἡμᾶς διαφύλαξον,* δοξολογοῦντάς σε* τὸν μόνον ἀναμάρτητον.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη καὶ τροπάριον ἀναστάσιμον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον, τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ ναοῦ καὶ τὸ κοντάκιον Ὅταν ἔλθῃς ὁ Θεὸς (σ. 836).

Προκείμενον. Ἦχος γ΄.

Μέγας ὁ Κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.
Στίχ. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου (η΄ 13 - θ΄ 2).

Ἀδελφοί, βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα. Βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν. Ἐὰν γάρ τις ἴδῃ σε, τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν. Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθε-

νοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

Οὐκ εἰμὶ ἀπόστολος; Οὐκ εἰμὶ ἐλεύθερος; Οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; Εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κε΄ 31-46).

Εἶπεν ὁ Κύριος· Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων.

Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν; ἢ διψῶντα καὶ ἐποτίσαμεν; πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγομεν, ἢ γυμνὸν καὶ περιεβάλομεν; πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε; Καὶ ἀποκριθεὶς ὁ βασιλεύς, ἐρεῖ αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με·

ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΤΥΡΙΝΗΣ

Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν ἀσκήσει λαμψάντων ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν καθημερινῶν, σ. 239-240).

Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια δευτεροῦντες αὐτά.

Ἦχος πλ. δ'. Αὐτόμελον.

Δεῦτε, ἅπαντες πιστοί,* τὰς τῶν ὁσίων πατέρων* χορείας ὑμνήσωμεν·* Ἀντώνιον τὸν κορυφαῖον,* τὸν φαεινὸν Εὐθύμιον,* καὶ ἕκαστον καὶ πάντας ὁμοῦ·* καὶ τούτων,* ὥσπερ παράδεισον ἄλλον τρυφῆς,* τὰς πολιτείας νοητῶς* διεξερχόμενοι, τερπνῶς* ἀνακράξωμεν·* Ταῦτα τὰ ξύλα,* ἃ ἐφύτευσεν ὁ Θεὸς ἡμῶν,* τὰ αὐτὰ* τοὺς ἀφθάρτους καρποὺς* τῆς ζωῆς ἐξανθήσαντα,* προσήγαγον τῷ Χριστῷ,* ἐκτρέφοντα ἡμῶν τὰς ψυχάς·* πρὸς οὓς βοήσωμεν·* Θεοφόροι μακάριοι,* πρεσβεύσατε,* τοῦ σωθῆναι ἡμᾶς.

Χαῖρε, Αἴγυπτε πιστή·* χαῖρε, Λιβύη ὁσία·* χαῖρε, Θηβαΐς ἐκλεκτή·* χαῖρε, πᾶς τόπος, πόλις καὶ χώρα* ἡ τοὺς πολίτας θρέψασα* τῆς βασιλείας τῶν οὐρανῶν,* καὶ τούτους* ἐν ἐγκρατείᾳ καὶ πόνοις αὐξήσασα* καὶ τῶν ἐπιθυμιῶν* τελείους ἄνδρας τῷ Θεῷ* ἀναδείξασα.* Οὗτοι φωστῆρες* τῶν ψυχῶν ἡμῶν ἀνεφάνησαν·* οἱ αὐτοῖ* τῶν θαυμάτων τῇ αἴγλῃ* καὶ τῶν ἔργων τοῖς τέρασιν* ἐξέλαμψαν νοητῶς* εἰς τὰ πέρατα ἅπαντα.* Αὐτοῖς βοήσωμεν·* Πατέρες παμμακάριστοι,* πρεσβεύσατε* τοῦ σωθῆναι ἡμᾶς.

Τίς ἐξείποι γηγενῶν* τοὺς θαυμαστοὺς ὑμῶν βίους,* πατέρες παγκόσμιοι;* ποία δὲ γλῶσσα λαλήσει* τοὺς ἱεροὺς ἐν Πνεύματι* ἀγῶνας καὶ ἱδρῶτας ὑμῶν,* τὰ ἄθλα* τῶν ἀρετῶν, τὴν τῆξιν τοῦ σώματος,* τὰς παλαίστρας τῶν παθῶν* ἐν ἀγρυπνίαις καὶ εὐχαῖς* καὶ τοῖς δάκρυσιν;* ὑμεῖς ἐν κόσμῳ,* ὥσπερ ἄγγελοι ὄντως ὤφθητε·* οἱ αὐτοῖ* τὰς δαιμόνων δυνάμεις* τελείως καθείλετε,* τελέσαντες θαυμαστὰ* καὶ ἐξαίσια τέρατα·* διὸ πρεσβεύσατε* σὺν ὑμῖν, παμμακάριστοι,* τυχεῖν ἡμᾶς* τῆς ἀλήκτου χαρᾶς.

Δόξα. Ἦχος πλ. β΄.

Τὸ κατ' εἰκόνα* τηρήσαντες ἀλώβητον,* νοῦν ἡγεμόνα* κατὰ παθῶν ὁλεθρίων* ἀσκητικῶς ἐνστησάμενοι,* εἰς τὸ καθ' ὁμοίωσιν,* ὡς δυνατόν, ἀνελήλυθατε·* ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενοι,* ἐσπεύσατε τὸ χεῖρον* καθυποτάξαι τῷ κρείττονι* καὶ τὴν σάρκα* δουλῶσαι τῷ πνεύματι·* ὅθεν μοναζόντων* ἀνεδείχθητε ἀκρότης,* πολισταὶ τῆς ἐρήμου,* εὐδρομούντων ἀλεῖπται,* κανόνες ἀρετῆς ἀκριβέστατοι.* Καὶ νῦν ἐν οὐρανοῖς,* τῶν ἐσόπτρων λυθέντων, πανόσιοι,* καθαρῶς ἐποπτεύετε* τὴν ἁγίαν Τριάδα,* ἐντυγχάνοντες ἀμέσως* ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ὑμᾶς.

Καὶ νῦν. Τὸ α΄ Θεοτοκίον τοῦ ἤχου.

Φῶς ἱλαρόν. Προκείμενον. Ἦχος βαρύς.

Ὁ Θεός, ἀντιλήπτωρ μου εἶ· τὸ ἔλεός σου προφθάσει με.

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα (η΄ 19-23).

Τάδε λέγει Κύριος παντοκράτωρ· Νηστεία ἡ τετάρτη καὶ νηστεία ἡ πέμπτη καὶ νηστεία ἡ ἑβδόμη καὶ νηστεία ἡ δεκάτη ἔσονται τῷ οἴκῳ Ἰούδα καὶ τῷ οἴκῳ Ἰσραὴλ εἰς χαρὰν καὶ εὐφροσύνην καὶ εἰς ἑορτὰς ἀγαθάς, καὶ εὐφραν-θήσεσθε, καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε.

Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι ἥξουσι λαοὶ πολ-λοὶ καὶ κατοικοῦντες πόλεις πολλάς, καὶ συνελεύσονται κατοικοῦντες πέντε πόλεις εἰς μίαν πόλιν λέγοντες· Πορευ-θῶμεν δεηθῆναι τοῦ προσώπου Κυρίου καὶ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος ἐν Ἱερουσαλὴμ καὶ ἐξι-λάσασθαι τὸ πρόσωπον Κυρίου παντοκράτορος.

Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐν ταῖς ἡμέραις ἐκεί-ναις ἐπιλήψονται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν καὶ ἐπιλήψονται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου λέ-γοντες· Πορευσόμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν ὅτι ὁ Θεὸς μεθ᾽ ὑμῶν ἐστιν.

Προκείμενον. Ἦχος πλ. β΄.

Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Στίχ. Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρί-σθησαν οἱ ὀφθαλμοί μου.

Τὸ Καταξίωσον Κύριε, αἱ δεήσεις καὶ ἡ εὐχὴ τῆς κεφα-λοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον, τὸ παρὸν ἰδιόμελον. Ἦχος β΄.

Καθαρίσωμεν ἑαυτούς, ἀδελφοί,* ἀπὸ παντὸς μολυ-σμοῦ* σαρκὸς καὶ πνεύματος·* τὰς λαμπάδας τῶν ψυ-χῶν ἡμῶν φαιδρύνωμεν* διὰ φιλοπτωχείας,* μὴ κατεσθίον-τες ἀλλήλους* τῇ συκοφαντίᾳ·* ἔφθασε γὰρ ὁ καιρός,* ὅταν ὁ Νυμφίος ἐλεύσεται,* πᾶσιν ἀποδοῦναι* κατὰ τὰ ἔργα αὐ-τοῦ.* Συνεισέλθωμεν Χριστῷ* μετὰ τῶν φρονίμων παρθέ-

νων,* τὴν φωνὴν ἐκείνην τοῦ λῃστοῦ* πρὸς αὐτὸν ἀνακράζοντες·* Μνήσθητι ἡμῶν, Κύριε,* ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. (Δὶς)

Μαρτυρικόν. Ἦχος ὁ αὐτός.

Τῶν ἁγίων μαρτύρων* πρεσβευόντων ὑπὲρ ἡμῶν* καὶ τὸν Χριστὸν ὑμνούντων,* πᾶσα πλάνη πέπαυται* καὶ τῶν ἀνθρώπων τὸ γένος* πίστει διασῴζεται.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν μοναστῶν τὰ πλήθη* τοὺς καθηγητὰς νῦν τιμῶμεν,* πατέρες ὅσιοι·* δι' ὑμῶν γὰρ τὴν τρίβον* τὴν ὄντως εὐθεῖαν* πορεύεσθαι ἔγνωμεν·* μακάριοί ἐστε,* τῷ Χριστῷ δουλεύσαντες* καὶ ἐχθροῦ θριαμβεύσαντες τὴν δύναμιν,* ἀγγέλων συνόμιλοι,* δικαίων ὁμόσκηνοι καὶ ἁγίων·* μεθ' ὧν πρεσβεύσατε τῷ Κυρίῳ* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. (Ὦ τοῦ παραδόξου θαύματος).

Χαῖρε, ἀγνείας κειμήλιον·* χαῖρε, ἄῦλου φωτὸς* καθαρὸν ἐνδιαίτημα·* χαῖρε, τὸ κεφάλαιον* τῆς ἡμῶν σωτηρίας τε·* τῶν ἀποστόλων,* χαῖρε, τὸ κήρυγμα·* καὶ τῶν μαρτύρων,* χαῖρε, τὸ καύχημα·* χαῖρε, τὸ πλήρωμα* προφητῶν, πανάμωμε,* καὶ ἀσκητῶν,* μοναστῶν ἀγλάϊσμα,* καὶ σωτηρία πιστῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν,* ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν* κατὰ τὴν σὴν ἐπιείκειαν,* μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν,* ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις* ἐν εἰρήνῃ κυβέρνησον* τὴν ζωὴν ἡμῶν.

Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον... (σ. 428).

Κατανυκτικὴ (σ. 229) καὶ ἀπόλυσις.

ΤΩ ΣΑΒΒΑΤΩ ΠΡΩΙ΄

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν ἑορτῶν, σ. 83-137).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ (σ. 83-99) εἰς τὸ Θεὸς Κύριος, τὸ ἀπολυτίκιον καὶ τὸ Θεοτοκίον ὡς ἀνωτέρω.

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα.

Ἦχος πλ. δ΄. (Τὸ προσταχθὲν μυστικῶς).

Ταῖς τῶν πατέρων ἀστραπαῖς* καταυγασθέντες,* ὡς εἰς παράδεισον τερπνὸν* νῦν εἰσιόντες,* τῆς τρυφῆς τοῦ χειμάρρου* καταπολαύσωμεν* καὶ τούτων τὰς ἀριστείας* θαμβητικῶς* σκοποῦντες, ἀμιλληθῶμεν* ταῖς ἀρεταῖς,* τῷ Σωτῆρι κραυγάζοντες·* Εὐχαῖς αὐτῶν, ὁ Θεός,* μετόχους ἡμᾶς ποίησον* οὐρανῶν βασιλείας σου.

Δόξα. Ὅμοιον.

Τὸν ἀρχηγὸν τῶν μοναστῶν,* Παῦλον συμφώνως* σὺν Ἀντωνίῳ τῷ σοφῷ* καὶ Εὐθυμίῳ* ἀνυμνήσωμεν πάντες* σὺν τοῖς λοιποῖς πατράσι·* καὶ τοῦτους καθικετεύσωμεν,* ὅπως Χριστὸν* ἀπαύστως ἐκδυσωπῶσιν* ὑπὲρ ἡμῶν,* τῶν τὴν θείαν καὶ πάμφωτον* ἐπιτελούντων μνήμην αὐτῶν,* ἐν ᾄσμασι δοξάζοντες* τὸν Σωτῆρα καὶ Κύριον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Εὐχαριστοῦμέν σοι ἀεί,* Θεοτόκε,* καὶ μεγαλύνομεν, ἁγνή,* καὶ προσκυνοῦμεν,* ἀνυμνοῦντες τὸν τόκον σου,* Κεχαριτωμένη,* βοῶντες ἀκαταπαύστως·* Σῶσον ἡμᾶς,* Παρθένε παντελεῆμον,* ὡς ἀγαθή,* καὶ δαιμόνων ἐξάρπασον* λογοθεσίου φοβεροῦ* ἐν ὥρᾳ τῆς ἐτάσεως,* μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Μετὰ τὴν β΄ στιχολογίαν, καθίσματα.

Ἦχος πλ. δ΄. (Αὐλῶν ποιμενικῶν).

Αντώνιον ὁμοῦ* καὶ Εὐθύμιον πάντες* σὺν πᾶσι τοῖς λοιποῖς* θεοφόροις πατράσιν* εὐφημήσωμεν ὕμνοις,* αὐτῶν τὴν μνήμην πανηγυρίζοντες·* οὗτοι γὰρ τῷ Κυρίῳ* ὑπὲρ τοῦ κόσμου παντὸς πρεσβεύουσιν,* ἵνα ῥυσθῶμεν τῆς ἀρχαίας ἀρᾶς,* λυτρωθέντες κολάσεως.

Δόξα. (Τὸ προσταχθὲν μυστικῶς).

Ὡς εἰς λειμῶνα ἀρετῶν* ἀνθηφοροῦντα* τῶν θεοφόρων ἀσκητῶν* περιπατοῦντες,* τῆς ὁσμῆς πληρούμεθα* τῆς ἡδυπνόου* τοῖς ἄθλοις γὰρ στομωθέντες* τῶν πειρασμῶν,* τὸ σῶμα τῇ ἐγκρατείᾳ* δουλοπρεπῶς* καθυπέταξαν πνεύματι,* ἀγγελικὴν ἐπὶ γῆς* πολιτείαν βιώσαντες·* δόξης οὖν ἠξιώθησαν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῶν ἀσωμάτων σου, Χριστέ,* καὶ τοῦ Προδρόμου,* τῶν μαθητῶν, τῶν προφητῶν* καὶ τῶν μαρτύρων,* τῶν ἁγίων ἁπάντων τε* καὶ τῶν ὁσίων* πρεσβείαις, τῆς ἀπειράνδρου* καὶ ἀγαθῆς* Μητρός σου ἐκδυσωποῦμενος,* δὸς ἡμῖν* τῷ φωτί σου πορεύεσθαι* καὶ καταξίωσον ἡμᾶς* τυχεῖν τῆς βασιλείας σου* διὰ σπλάγχνα ἐλέους σου.

Ὁ Ν' Ψαλμός (σ. 103).. Ὁ κανὼν τῶν ἁγίων πατέρων. Ποίημα Θεοδώρου τοῦ Στουδίτου. Ἦχος πλ. δ'.

Ὠδὴ α'. Ὁ εἱρμός.

Ἄσμα ἀναπέμψωμεν, λαοί,* τῷ θαυμαστῷ Θεῷ ἡμῶν,* τῷ ἀπαλλάξαντι* τὸν Ἰσραὴλ ἐκ δουλείας,* ᾠδὴν ἐπινίκιον* ᾄδοντες καὶ βοῶντες·* Ἄσωμέν σοι, τῷ μόνῳ Δεσπότῃ.

Τροπάρια.

Πάντες ἐν ᾠδαῖς πνευματικαῖς* τοὺς ἐν ἀσκήσει λάμψαντας* θείους πατέρας ἡμῶν* ὑμνήσωμεν συμφώνως,* οὓς ἤνεγκεν Αἴγυπτος,* Θηβαΐς καὶ Λιβύη,* ἅπας τόπος καὶ πόλις καὶ χώρα.

Χαίροις, μοναστῶν ὁ ἀρχηγός,* Ἀντώνιε πανένδοξε,* Ἀμμοῦν ὁ θεοφόρος,* τὸ τῆς Νιτρίας κλέος,* Ἀρσέ-

νιε ἄγγελε,* κράτος τῆς ἡσυχίας,* καὶ Ἀμμωνᾶς ὁ πνευματοφόρος.

Τέρπου, σκεῦος ὄντως τοῦ Θεοῦ,* Ἀγάθων ἱερόψυχε·* Ἀχιλλᾶ καὶ Ἀμώη,* τὰ ἄνθη τῆς ἐρήμου·* Ἀνοὺβ καὶ Ἀλώνιε,* Ἀμοναθὰ καὶ Ἄνθιμε,* τῶν ἀρετῶν φαιδροὶ μαργαρῖται.

Λύχνοι διακρίσεως ἡμῖν* ὑμνείσθω Ἄρης σήμερον,* καὶ Ἀπολλὼς ὁ μέγας·* ὑπακοῆς δὲ φῶτα,* Ἀθρὲ καὶ Ἀκάκιος·* τούτοις καὶ Ἀββακύρης* συνεκλάμπει, ὥς τις ἑωσφόρος.

Ὄρος πολιτείας ὑψηλῆς* ἀνέφανεν Αὐξέντιος·* ἀθλητὴς δὲ ἁγνείας* Ἀβράμιος ὁ μέγας·* μεθ' ὧν Ἀφροδίσιος* στῦλος τῆς ἐγκρατείας* ἀνεδείχθη, σὺν Ἀθηνοδώρῳ.

Λάμπει ὡς ἀστὴρ ἐν οὐρανῷ,* ἐν ἀσκηταῖς Ἀμμώνιος* καὶ ὁ θεῖος Ἀνίνας·* αὐγάζει δὲ σὺν τούτοις* καὶ ὁ μέγας Ἀντίοχος,* Ἀγαπητὸς ὁ πάνυ,* εἴ τις ἄλλος, σὺν τούτοις αὐγάζει.

Ὑμνοις εὐφημοῦμεν ἱεροῖς* τὸν μέγαν Ἀθανάσιον,* τὸν ἐν τῷ ὄρει λαμπρῶς* ἀσκήσαντα τοῦ Ἄθω,* φωστῆρα τὸν μέγιστον* πάσης τῆς οἰκουμένης·* οὗ πρεσβείαις σῳζόμεθα πάντες.

Βίοις θεοπνεύστοις ἀληθῶς* παράδεισος ἐδείχθητε* τῆς Ἐκκλησίας Χριστοῦ,* μακάριοι πατέρες·* οἱ πάντες κατ' ὄνομα* ὑπὲρ ἡμῶν πρεσβείαν* τῷ Κυρίῳ ποιεῖτε ἀπαύστως.

Μαρτυρικόν.

Δεῦτε, φιλομάρτυρες πιστοί,* τιμήσωμεν τοὺς μάρτυρας* ἐν ἐτησίοις ᾠδαῖς* καὶ ᾄσμασιν ἐν πίστει,* Χριστῷ τῷ Θεῷ ἡμῶν* ᾄδοντες καὶ βοῶντες·* Ἄσωμέν σοι, τῷ μόνῳ Δεσπότῃ.

Δόξα. Τριαδικόν.

Τρία μιᾶς φύσεως ὑμνῶ* πρόσωπα αὐθυπόστατα·* ἀγέννητον Πατέρα,* Υἱὸν τὸν γεννηθέντα,* καὶ Πνεῦμα τὸ ἅγιον·* ἄναρχον βασιλείαν,* ἐξουσίαν, Θεότητα μίαν.

Καὶ νῦν. Θεοτοκίον.

Χαίροις, ὁ πανάγιος ναός,* ὁ πόκος ὁ θεόδροσος,* ἐσφραγισμένη πηγὴ* τοῦ ἀθανάτου ῥείθρου·* τὴν πόλιν σου, Δέσποινα,* φύλαττε ἐκ παντοίων* πολεμίων ἀπολιορκήτως.

Ὠδὴ β'. Ὁ εἱρμός.

Ἴδετε, ἴδετε,* ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,* ὁ πρὸ τῶν αἰώνων* γεννηθεὶς ἐκ τοῦ Πατρὸς* καὶ ἐκ τῆς Παρθένου* ἐπ' ἐσχάτων πλὴν ἀνδρὸς κυηθεὶς* καὶ λύσας τὴν ἁμαρτίαν* τοῦ προπάτορος Ἀδὰμ ὡς φιλάνθρωπος.

Τροπάρια.

Ὀσμῆς νῦν πληρούμεθα,* ὡς εἰς παράδεισον ἄλλον θέοντες,* τῶν θεοφυτεύτων* ἀρετῶν τῶν ἀσκητῶν·* ἃς ἐν ἐγκρατείᾳ* καὶ δάκρυσιν ἤνθησαν,* ποικίλως καρποφοροῦντες* πολιτείας τῷ Θεῷ οἱ ὁσιώτατοι.

Μέγας Βησσαρίων,* πτηνῶν τὸν βίον ζῶν, ἄλλος ἄγγελος,* νέος Ἰὼβ πάλιν* ὁ στερρὸς Βενιαμίν·* ἀλλὰ καὶ Βιτάλιος* λαμπτήρ, πόρνας σῴζων Θεῷ·* Βυτίμιος δὲ ὁ θεῖος* καὶ ὁ κλεινὸς Βαβύλας σὺν τούτοις ὑμνείσθωσαν.

Ὑψει πολιτείας* οὐράνιος γέγονας, ὦ Βενέδικτε,* οἶκος δὲ σοφίας* ὁ ποιμὴν Βασιανός·* ἀλλὰ καὶ Βασίλειός τις* ἦρε στέφανον ὑπακοῆς·* τῷ τάφῳ γὰρ ζῶν οἰκήσας,* διαδείκνυσιν ἡμῖν ὑπακοῆς τὸ λαμπρόν.

Ὑμνος Γελασίῳ·* οὗτος ἀοίδιμος βασιλεῦς παθῶν·* αἶνος Γερασίμῳ,* ᾧ δεδούλευκεν ὁ θήρ·* εἶκε γὰρ αὐτῷ* δι' ἀρετῆς τελειότητα·* δόξα καὶ Γερμανῷ τῷ πατρί,* σὺν Γαΐῳ τῷ σοφῷ θεραπευτῇ τοῦ Χριστοῦ.

Δαβὶδ Θεσσαλονίκης* γέρας καὶ καύχημα· ὁ θεόληπτος* Δανιὴλ αἰνείσθω,* ὁ ἐν θαύμασι πολύς·* ἔργῳ δὲ καὶ

λόγῳ* Δανιὴλ ὁ τῆς Σκήτεως,* Διὸς τε καὶ Δάλματος,* ἀρχηγοὶ τῶν μοναστῶν, ἔρεισμα πίστεως.

Ἀστέρων διαυγείας* ὑποταγὴ πολλῷ κρείττους ἔδειξεν,* ὡς δύο φωστῆρας* καταλάμποντας ἡμᾶς,* Δομετιανόν τε* καὶ Δομέτιον τοὺς θεόφρονας·* σὺν τούτοις καὶ οἱ ἀνώνυμοι,* ἐνδόξως ἀνυμνείσθωσαν.

Μαρτυρικόν.

Ὄλβος ἀκένωτος* πιστῶν τὴν λάρνακα προκατέλαβε* τῶν ὑπὲρ Κυρίου* ἀθλησάντων εὐσεβῶς·* δεῦτε οἱ πιστοί* μαρτυρικῶς τούτοις ᾄσωμεν,* καρπούμενοι τὰς ἰάσεις* τῶν ψυχῶν καὶ σωμάτων διὰ πίστεως.

Δόξα. Τριαδικόν.

Ὑπερτελεστάτη* Μονάς, ὑπέρθεε, τρισυπόστατε,* ἀγέννητε Πάτερ* καὶ Υἱὲ μονογενές,* Πνεῦμα ἐκ Πατρὸς* ἐκπορευθέν, δι' Υἱοῦ δὲ φανέν,* οὐσία μία καὶ φύσις,* κυριότης, βασιλεία, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Μόνη εἰσῆγαγες* τῇ ἀνθρωπότητι ξένην γέννησιν·* μόνη οὐχ ὑπέστης* τῆν ἐκ φύσεως φθοράν,* ἄσπορον ἀφθόρως* τοκετὸν ὑπομείνασα·* διό σε ὡς Θεοτόκον* κατὰ χρέος οἱ πιστοί, ἁγνῆ δοξάζομεν.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Οὐκ ἔστιν ἅγιος,* ὡς ὁ Κύριος,* καὶ οὐκ ἔστι δίκαιος,* ὡς ὁ Θεὸς ἡμῶν,* ὃν ὑμνεῖ πᾶσα κτίσις·* οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε φιλάνθρωπε.

Τροπάρια.

Εἰς ἄλλον παράδεισον* εἰσιόντες ἀρετῶν* τῶν θεσπεσίων πατέρων,* τῆς τούτου γευσώμεθα,* ἀειζωοπαρόχου* ἐμψύχου τρυφῆσεως,* πιστῶς ἀνευφημοῦντες αὐτούς.

Τιμάσθω Εὐθύμιος,* ὁ φανότατος ἀστὴρ,* ὁ ἑωσφόρος Ἑλλάδιος,* Ἐφραὶμ ὁ θεόπνευστος,* σὺν Εὐλογίῳ τῷ πάνυ,* οἱ ἔργοις καὶ θαύμασιν* ἀστράψαντες τοῖς πέρασιν.

Υμνείσθω ἐν ᾄσμασι* Ζωσιμᾶς ὁ θαυμαστὸς* καὶ Ζαχαρίας ὁ πάντιμος* καὶ Ζήνων καὶ Ζώϊλος,* Ἡσαΐας ὁ μέγας,* Ἠλίας ὁ ἔνδοξος* σὺν τούτοις γεραιρέσθωσαν.

Τῆς Φέρμης Θεόδωρον* τὸν πανάγαστον ὑμνῶ* καὶ τοῦ Ἐνάτου τὸν πάνυμνον* μεθ' ὧν καὶ Θεόδουλον* σὺν Θεωνᾷ ἀναμέλπω* τιμῶ τὸν θεσπέσιον* καὶ μέγαν Θεοδόσιον.

Αἰνείσθω Θεόκτιστος,* ὁ πανάριστος ποιμήν,* καὶ ὁ ὑψίνους Θαλάσσιος,* ὁ μέγας Θεόδωρος,* ὁ κληθεὶς Συκεώτης,* σημείοις καὶ τέρασι* φανεὶς ἐπὶ τῆς γῆς ὑψηλός.

Ἀστέρες ἀνίσχουσιν* ἄλλοι πάλαι παμφαεῖς,* ὁ κολοβὸς Ἰωάννης* σὺν τοῖς ἐν τῇ κλίμακι* τρισὶ φαεσφόροις,* σὺν πλείοσιν ἄλλοις τε* ἐνδόξως καταλάμποντες.

Μαρτυρικόν.

Τιμήσωμεν ᾄσμασι* καὶ ᾠδαῖς πνευματικαῖς* οἱ συνελθόντες φιλέορτοι* μαρτύρων τὴν πάνσεπτον* καὶ ἐτήσιον μνήμην* ἀεὶ γὰρ πρεσβεύουσι* Χριστῷ ὑπὲρ τοῦ γένους ἡμῶν.

Δόξα. Τριαδικόν.

Τριὰς ὁμοούσιε* καὶ ὑπέρθεε Μονάς,* ἡ διαιρέσει τὴν ἕνωσιν* καὶ ἔμπαλιν ἔχουσα* τοῖς προσώποις τὴν φύσιν,* εἰς ἓν ἡμᾶς σύναψον* θέλημα τῶν σῶν ἐντολῶν.

Καὶ νῦν. Θεοτοκίον.

Σκηνὴν σε θεότευκτον* προδιέγραψε Μωσῆς,* τοῖς Σεραφὶμ συγκαλύπτουσαν* ἁγίων τὰ ἅγια,* προτυπῶν σου, Παρθένε,* τὸν τόκον τὸν ἄχραντον* Χριστὸν σαρκὶ τραφήσεσθαι.

Κάθισμα. Ἦχος πλ. δ'. (Τὴν Σοφίαν).

Ἀντωνίου τὸ πρᾶον καὶ καθαρόν,* Εὐθυμίου τὸ μέγα καὶ θαυμαστόν,* Παύλου Ἀρσενίου τε* τὸ ἀμιγὲς καὶ ἡσύχιον,* Θεοκτίστου τὸ κλέος* καὶ τῶν λοιπῶν ὁσίων* ἁπάντων τὰ τάγματα* οἱ πιστοὶ δοξάσωμεν* ἐν ᾠδαῖς σὺν

τούτοις* Εὐπραξίαν τὴν παρθένον* σὺν πάσαις ὑμνήσωμεν* γυναικῶν ταῖς θεόφροσι,* καὶ συμφώνως βοήσωμεν·* Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα. Ὅμοιον.

Τοὺς δεσμοὺς διαῤῥήξαντες τῶν παθῶν,* ἐκολλήθητε πόθῳ τῶν ἀγαθῶν·* δόξαν ὑπερκόσμιον* ἐν Χριστῷ ἐνεδύσασθε,* ἐξ οἰκείων κόπων* εὑρόντες ἀνάπαυσιν,* καὶ ἐγκρατείας πόνοις* τυχόντες τῆς ἄνω ζωῆς·* ὅθεν ἐπαξίως* συνευφραίνεσθε ἅμα* ταῖς ἄνω δυνάμεσι,* γηθοσύνως ἐν ᾄσμασι* τῷ Θεῷ παριστάμενοι.* Θεοφόροι πατέρες ἡμῶν,* τῶν πταισμάτων ἄφεσιν αἰτήσασθε* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Εἷς ἰλὺν ἐνεπάγην ἁμαρτιῶν,* καὶ οὐκ ἔστιν ὑπόστασις ἐν ἐμοί·* δεινῶς κατεπόντισε* καταιγὶς τῶν πταισμάτων μου·* ἀλλ' ὡς τεκοῦσα Λόγον,* τὸν μόνον φιλάνθρωπον,* ἐπ' ἐμὲ τὸν δοῦλόν σου* ἐπίβλεψον, δέομαι·* ῥῦσαι ἁμαρτίας* καὶ παθῶν ψυχοφθόρων* καὶ πάσης κακώσεως* τοῦ ἀλάστορος, Δέσποινα,* ἵνα ψάλλω γηθόμενος·* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι·* σὲ γὰρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλός σου.

Κοντάκιον. Ἦχος πλ. δ'. (Ὡς ἀπαρχὰς τῆς φύσεως).

Ὡς εὐσεβείας κήρυκας* καὶ ἀσεβείας φίμωτρα* τῶν θεοφόρων τὸν δῆμον ἐφαίδρυνας,* τὴν ὑφήλιον λάμποντα.* Ἐν εἰρήνῃ τελείᾳ,* ταῖς αὐτῶν ἱκεσίαις,* τοὺς σὲ δοξάζοντας* καὶ μεγαλύνοντας* διαφύλαξον, ψάλλειν καὶ ᾄδειν σοι·* Ἀλληλούϊα.

Ὁ οἶκος. (Οἱ ἐν πάσῃ τῇ γῇ).

Τοῖς τοῦ βίου τερπνοῖς ἐνητένισα,* λογισμῷ θεωρῶν τὰ γινόμενα,* καὶ σκοπήσας αὐτῶν τὰ ἐπώδυνα,* τὴν ζωὴν τῶν βροτῶν ἐταλάνισα·* ὑμᾶς δὲ μόνους ἐμακάρισα,* τοὺς μερίδα καλὴν ἐπιλεξαμένους,* τὸ ποθεῖν τὸν Χριστὸν*

καὶ συμμένειν αὐτῷ* καὶ συμψάλλειν τερπνῶς* τῷ προφήτῃ Δαβίδ·* Ἀλληλούια.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν

Τῇ αὐτῇ ἡμέρᾳ μνείαν ἐπιτελοῦμεν πάντων τῶν ἐν ἀσκήσει λαμψάντων ἁγίων, ἀνδρῶν τε καὶ γυναικῶν.

Στίχοι.

Ψυχαῖς δικαίων, ὧν ἀεὶ μνήμη μένει,
χοὰς μενούσας προσκομίζω τοὺς λόγους.

Ταῖς τῶν ὁσίων σου πάντων πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος πλ. δ'.

Ὠδὴ α'.

Ἆσμα ἀναπέμψωμεν, λαοί (σ. 847).

Ὠδὴ β'.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι (σ. 849).

Ὠδὴ γ'.

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος (σ. 850).

Ὠδὴ δ'.

Ἐξ ὄρους κατασκίου,* Λόγε, ὁ προφήτης,* τῆς μόνης Θεοτόκου,* μέλλοντος σαρκοῦσθαι,* θεοπτικῶς κατενόησε* καὶ ἐν τρόμῳ* ἐδοξολόγει σου τὴν δύναμιν.

Ὠδὴ ε'.

Τῆς τῶν παθῶν με ἀχλύος,* ὡς ἐκ νυκτὸς βαθυτάτης λυτρούμενος,* ὀρθρίζειν ἀξίωσον* τὸ πνεῦμά μου, δέομαι,* ἐν φωτὶ ἡμέρας* τῶν σῶν προσταγμάτων, Χριστέ.

Ὠδὴ στ'.

Συνεχόμενον δέξαι με,* φιλάνθρωπε,* ἐκ πταισμάτων πολλῶν* καὶ προσπίπτοντα* τοῖς οἰκτιρμοῖς σου,* ὡς τὸν προφήτην, Κύριε,* καὶ σῶσόν με.

Ὠδὴ ζ'.

Οτοὺς παῖδας δροσίσας ἐν καμίνῳ,* καὶ Παρθένον φυλάξας* τὴν τεκοῦσάν σε μετὰ τόκον,* εὐλογητὸς εἶ, Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η'.

Τὸν ἐν ὄρει* ἁγίῳ δοξασθέντα* καὶ ἐν βάτῳ* πυρὶ τὸ τῆς Παρθένου* τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα* Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Μετὰ δὲ τὴν Τιμιωτέραν·

Ὠδὴ θ'.

Τὸν προδηλωθέντα* ἐν ὄρει τῷ νομοθέτῃ* ἐν πυρὶ καὶ βάτῳ τόκον* τὸν τῆς Ἀειπαρθένου* εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν* ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν.

Ἐξαποστειλάριον. (Γυναῖκες, ἀκουτίσθητε).

Οἱ κόσμον ἀρνησάμενοι* καὶ τὸν Σταυρὸν ἀράμενοι,* πληθὺς ὁσίων πατέρων* σὺν τοῖς χοροῖς τῶν μαρτύρων,* ἱεραρχῶν ὁμήγυρις* καὶ γυναικῶν τὸ σύνταγμα,* ἡμᾶς καταφαιδρύνατε* τοῦ ἀνυμνῆσαι ἀξίως* ὑμῶν τὴν πάμφωτον μνήμην.

Ἕτερον. (Τοῖς μαθηταῖς συνελθωμεν).

Τοὺς ἐν ἀσκήσει λάμψαντας* θεοφόρους πατέρας* καὶ ἱεράρχας, ἅμα τε* γυναικῶν τὰς ὁσίας* καὶ τῶν ἱερομαρτύρων* τὰς χορείας ἐν ὕμνοις* φαιδρῶς ἀνευφημήσωμεν,* ὅπως ἁγιασθῶμεν* καὶ ταῖς εὐχαῖς* τούτων, καὶ πρεσβείαις* τῆς Θεοτόκου* τὸν δρόμον διανύσωμεν* εὐμαρῶς τῆς νηστείας.

Εἰς τοὺς αἴνους, στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ'. (Ὁ ἐν Ἐδὲμ παράδεισος).

Τὴν τῶν πατέρων ἅπαντες πληθύν,* ὁσίως ἀσκήσασαν,* ἐν ᾠδαῖς ἐγκωμιάσωμεν, πιστοί·* τοὺς ἱεράρχας δὲ

Χριστοῦ* εὐφημῆσωμεν ἅσμασι* θεοφρόνως, ὁμοψύχως, ἀδελφοί·* ἐν ἐγκρατείᾳ γὰρ ἔζησαν* καὶ ἐν νηστείᾳ καθαρᾷ,* καὶ τοῦ Χριστοῦ κατετράνωσαν* τὸ Εὐαγγέλιον ἡμῖν·* μεθ' ὧν ἀνυμνήσωμεν* γυναικῶν τὰς θεοφόρους καὶ λαμπράς,* τὴν αὐτῶν πολιτείαν* θεοπρεπῶς ζηλοῦντες ἐν ψυχῇ,* ἵνα εὕρωμεν ἐκεῖ* πλημμελημάτων τὴν συγχώρησιν.

Τοὺς ἐν ἀσκήσει λάμψαντας φαιδρῶς,* ὁσίως τε ζήσαντας* εὐφημήσωμεν ἐνδόξως, ἀδελφοί·* ὡς βιοτεύσαντας καλῶς,* πρὸς ζωὴν τὴν αἰώνιον* εὐσεβῶς μετοικισθέντας ἐν χαρᾷ,* πρὸς λῆξίν τε τὴν ἀνώλεθρον* καὶ μακαρίαν τὴν ἐκεῖ* δι' ἀρετῆς καὶ σεμνότητος* εὐθυδρομήσαντας, ἰδοὺ* ἀξίως τιμήσωμεν,* ὅπως τύχωμεν ἐλέους ἐκ Θεοῦ* τῇ αὐτῶν παρακλήσει* καὶ αἰωνίου δόξης καὶ χαρᾶς* καὶ ῥυσθῶμεν τῶν ἐκεῖ* ἀπαραιτήτων κολάσεων.

Ἱεραρχῶν ἁπάντων ὁ χορός,* δικαίων ὁμήγυρις,* ἀσκητῶν τε καὶ ὁσίων γυναικῶν,* τῶν βιωσάντων εὐσεβῶς,* δυσωπούμενοι χάριτι,* ἱκετεύσατε τὸν μόνον ἀγαθὸν* καὶ πανοικτίρμονα Κύριον* τοῦ οἰκτειρῆσαι καὶ ἡμᾶς·* καὶ τῆς ἐκεῖ κατακρίσεως* ῥυσθείημεν διὰ παντὸς* ταῖς προσευχαῖς ὑμῶν, σοφοί,* καὶ μελλούσης ἀπολαύσεως τρυφᾶν* διηνεκῶς, εἰς αἰῶνας αἰώνων,* ἀγαλλιώμενοί τε καὶ ἡμεῖς,* αἶνον ὕμνοις ἀπαύστως* τῷ ζωοδότῃ ἀνακράζοντες.

Θεοπρεπῆ πανήγυριν, πιστοί,* κροτήσωμεν σήμερον,* ἐν τῇ μνήμῃ τῶν ἁγίων δαψιλῶς* ἱεραρχῶν καὶ ἀσκητῶν* καὶ ἱερομαρτύρων,* καὶ ὁσίων γυναικῶν καὶ εὐσεβῶν·* τῶν γὰρ φθαρτῶν κατεφρόνησαν* καὶ τῶν προσκαίρων ἀληθῶς,* καὶ ὡς ἀράχνην ἡγήσαντο* καὶ ὥσπερ σκύβαλα αὐτά,* ἵνα κερδήσωσι* τὸν Χριστὸν καὶ τὰ βασίλεια αὐτοῦ* καὶ τὰ θεῖα ἐκεῖνα,* ἃ ὀφθαλμὸς οὐκ εἶδεν, οὐς οὐδὲ ἤκουσε ποτέ·* ὧν πρεσβείαις, ὁ Θεός,* ῥῦσαι φθορᾶς τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. β'.

Ὅσιοι πατέρες,* εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν* ὁ φθόγγος τῶν κατορθωμάτων ὑμῶν,* δι' ὧν ἐν τοῖς οὐρανοῖς*

εὕρετε μισθὸν τῶν καμάτων ὑμῶν·* τῶν δαιμόνων* ὠλέσατε τὰς φάλαγγας,* τῶν ἀγγέλων* ἐφθάσατε τὰ τάγματα,* ὧν τὸν βίον ἀμέμπτως ἐζηλώσατε·* παῤῥησίαν ἔχοντες πρὸς Κύριον,* εἰρήνην αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς.* Σὲ ἱκετεύομεν·* Πρέσβευε, Δέσποινα,* μετὰ τῶν ὁσίων* καὶ πάντων τῶν ἁγίων,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον Ὁ Θεὸς τῶν πατέρων ἡμῶν (σ. 955).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(σ. 287-319).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον τὸ ἀπολυτίκιον Ὁ Θεὸς τῶν πατέρων ἡμῶν (σ. 845), τὸ τοῦ ναοῦ καὶ κοντάκιον Προστασία τῶν Χριστιανῶν (σ. 208).

Προκείμενον. Ἦχος πλ. δ΄. (Ψαλμὸς ρμθ΄).

Καυχήσονται ὅσιοι ἐν δόξῃ.
Στίχ. Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν.

Ο ΑΠΟΣΤΟΛΟΣ(*)

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου (ιδ΄ 19-26).

Ἀδελφοί, τὰ τῆς εἰρήνης διώκωμεν καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους. Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. Πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι. Καλὸν τὸ μὴ φαγεῖν κρέα μηδὲ πιεῖν οἶνον μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ. Σὺ πίστιν ἔχεις; Κατὰ σεαυτὸν ἔ-

(*) Εἰς τὰς ἑνορίας λέγεται συνήθως ὁ Ἀπόστολος τῶν ὁσίων.

χε ἐνώπιον τοῦ Θεοῦ. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει. Ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστί.

Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν, διά τε γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, μόνῳ σοφῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

Ἕτερος τῶν Ὁσίων.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου (ε' 22 - ς' 2).

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (στ' 1-13).

Εἶπεν ὁ Κύριος· Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀν-

θρώπων· Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου· ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ.

Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ.

Προσευχόμενοι δὲ μὴ βαττολογήσητε ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.

Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299 κ.ἑ.)

Καταβασία.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.

ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΙΝΗΣ

Ἀνάμνησιν ποιούμεθα τῆς ἀπὸ τοῦ παραδείσου τῆς τρυφῆς ἐξορίας τοῦ πρωτοπλάστου Ἀδάμ.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ Κύριε, ἐκέκραξα, ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ς' καὶ προσόμοια τοῦ Τριῳδίου δ'.

Ἦχος πλ. β'. (Ὅλην ἀποθέμενοι).

Ὁ πλάστης μου Κύριος,* χοῦν ἐκ τῆς γῆς προσλαβών με,* ζωηρῷ φυσήματι* ψυχώσας ἐζώωσε* καὶ ἐτίμησεν* ἐπὶ γῆς ἄρχοντα* ὁρατῶν ἁπάντων* καὶ ἀγγέλοις ὁμοδίαιτον.* Σατὰν δ' ὁ δόλιος,* ὀργάνῳ τῷ ὄφει χρησάμενος,* ἐν βρώσει ἐδελέασε* καὶ Θεοῦ τῆς δόξης ἐχώρισε* καὶ τῷ κατωτάτῳ* θανάτῳ παραδέδωκεν εἰς γῆν.* Ἀλλ' ὡς Δεσπότης καὶ εὔσπλαγχνος* πάλιν ἀνακάλεσαι.

Στολὴν θεοῦφαντον* ἀπεξεδύθην ὁ τάλας,* σοῦ τὸ θεῖον πρόσταγμα* παρακούσας, Κύριε,* συμβουλίᾳ ἐχθροῦ* καὶ συκῆς φύλλα δὲ* καὶ τοὺς δερματίνους* νῦν χιτῶνας περιβέβλημαι.* Ἱδρῶτι κέκριμαι* ἄρτον μοχθηρὸν κατεσθίειν γάρ.* Ἀκάνθας καὶ τριβόλους δὲ* φέρειν μοι ἡ γῆ κεκατήραται.* Ἀλλ' ὁ ἐν ὑστέροις* τοῖς χρόνοις ἐκ Παρθένου σαρκωθείς,* ἀνακαλέσας εἰσάγαγε* πάλιν εἰς παράδεισον.

Παράδεισε πάντιμε,* τὸ ὡραιότατον κάλλος,* θεόκτιστον σκήνωμα,* εὐφροσύνη ἄληκτε* καὶ ἀπόλαυσις,* δόξα τῶν δικαίων,* προφητῶν τερπνότης* καὶ ἁγίων οἰκητήριον,* ἤχῳ τῶν φύλλων σου* πλάστην τὸν τῶν ὅλων ἱκέτευε* τὰς πύλας ὑπανοῖξαί μοι,* ἃς τῇ παραβάσει ἀπέκλεισα,* καὶ ἀξιωθῆναι* τοῦ ξύλου τῆς ζωῆς μεταλαβεῖν* καὶ τῆς χαρᾶς, ἧς τὸ πρότερον* ἐν σοὶ κατετρύφησα.

Ἀδὰμ ἐξωστράκισται* παρακοῇ παραδείσου* καὶ τρυφῆς ἐκβέβληται,* γυναικὸς τοῖς ῥήμασιν* ἀπατώμενος,* καὶ γυμνὸς κάθηται* τοῦ χωρίου οἴμοι!* ἐναντίον ὀδυρόμενος.* Διὸ σπουδάσωμεν* πάντες τὸν καιρὸν ὑποδέξασθαι* νηστείας, ὑπακούοντες* εὐαγγελικαῖς παραδόσεσιν·* ἵνα διὰ τούτων* εὐάρεστοι γενόμενοι Χριστῷ,* τοῦ παραδείσου τὴν οἴκησιν* πάλιν ἀπολάβωμεν.

Δόξα. Ἦχος πλ. β΄.

Ἐκάθισεν Ἀδὰμ* ἀπέναντι τοῦ παραδείσου* καὶ τὴν ἰδίαν γύμνωσιν θρηνῶν ὠδύρετο·* Οἴμοι!* τὸν ἀπάτῃ πονηρᾷ πεισθέντα καὶ κλαπέντα* καὶ δόξης μακρυνθέντα·* οἴμοι!* τὸν ἁπλότητι γυμνὸν* νῦν δὲ ἠπορημένον.* Ἀλλ' ὦ παράδεισε,* οὐκέτι σου τῆς τρυφῆς ἀπολαύσω·* οὐκέτι ὄψομαι τὸν Κύριον* καὶ Θεόν μου καὶ πλάστην·* εἰς γῆν γὰρ ἀπελεύσομαι,* ἐξ ἧς καὶ προσελήφθην.* Ἐλεῆμον, οἰκτίρμον, βοῶ σοι·* Ἐλέησόν με τὸν παραπεσόντα.

Καὶ νῦν. Τὸ α΄ Θεοτοκίον τοῦ ἤχου.

Ἀπόστιχα τὰ ἀναστάσιμα.

Δόξα. Ἦχος πλ. β΄.

Ἐξεβλήθη Ἀδὰμ τοῦ παραδείσου* διὰ τῆς βρώσεως·* διὸ καὶ καθεζόμενος* ἀπέναντι τούτου,* ὠδύρετο ὀλολύζων* ἐλεεινῇ τῇ φωνῇ,* καὶ ἔλεγεν·* Οἴμοι,* τί πέπονθα ὁ τάλας ἐγώ!* μίαν ἐντολὴν παρέβην τὴν τοῦ Δεσπότου,* καὶ τῶν ἀγαθῶν* παντοίων ἐστέρημαι.* Παράδεισε ὡραιότατε,* ὁ δι' ἐμὲ πεφυτευμένος* καὶ διὰ τὴν Εὔαν κεκλεισμένος,* ἱκέτευε τῷ σὲ ποιήσαντι* κἀμὲ πλάσαντι,* ὅπως τῶν σῶν ἀνθέων πλησθήσομαι.* Διὸ καὶ πρὸς αὐτὸν ὁ Σωτήρ·* Τὸ ἐμὸν πλάσμα* οὐ θέλω ἀπολέσθαι,* ἀλλὰ βούλομαι τοῦτο σῴζεσθαι* καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν·* ὅτι τὸν ἐρχόμενον πρός με* οὐ μὴ ἐκβάλω ἔξω.

Καὶ νῦν. Ὁ ποιητὴς καὶ λυτρωτής μου (σ. 457).

Τὸ ἀναστάσιμον ἀπολυτίκιον καὶ τὸ Θεοτοκίον.

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΪ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Ὁ κανὼν τοῦ Τριῳδίου.
Ποίημα Χριστοφόρου τοῦ πρωτασηκρίτου. Ἦχος πλ. β΄.

Ὠδὴ α΄. (Ὡς ἐν ἠπείρῳ πεζεύσας).

Δεῦρο, ψυχή μου ἀθλία,* κλαῦσον τὰ σοὶ* πεπραγμένα, σήμερον* μνημονεύουσα τῆς πρὶν* ἐν Ἐδὲμ γυμνώσεως, δι' ἧς* ἐξεβλήθης τῆς τρυφῆς* καὶ τῆς ἀλήκτου χαρᾶς.

Ὑπὸ πολλῆς εὐσπλαγχνίας* καὶ οἰκτιρμῶν,* πλαστουργὲ τῆς κτίσεως* καὶ τῶν ὅλων ποιητά,* ἐκ χοὸς ζωώσας με τὸ πρὶν* ἐνετείλω σὲ ὑμνεῖν* σὺν τοῖς ἀγγέλοις σου.

Διὰ χρηστότητος πλοῦτον* σὺ φυτουργεῖς,* πλαστουργὲ καὶ Κύριε,* παραδείσου τὴν τρυφὴν* ἐν Ἐδέμ, κελεύων με τρυφᾶν* τῶν ὡραίων καὶ τερπνῶν* καὶ μὴ ῥεόντων καρπῶν.

Οἴμοι, ψυχή μου ἀθλία!* τῶν ἐν Ἐδὲμ* ἀπολαύειν εἴληφας* ἐξουσίαν ἐκ Θεοῦ* μὴ φαγεῖν δὲ γνώσεως καρπὸν* προσετάγης· ἵνα τί* παρέβης νόμον Θεοῦ;

Θεοτοκίον.

Θεοκυῆτορ Παρθένε,* ὡς τοῦ Ἀδὰμ* κατὰ γένος θύγατερ,* κατὰ χάριν δὲ Χριστοῦ* τοῦ Θεοῦ γεννήτρια, ἐμὲ* τὸν ἐξόριστον Ἐδὲμ* νῦν ἀνακάλεσαι.

Ὠδὴ γ΄. (Οὐκ ἔστιν ἅγιος ὡς σύ).

Ὄφις ὁ δόλιος ποτὲ* τὴν τιμήν μου φθονήσας,* ἐψιθύρισε δόλον* τῆς Εὔας ἐν τοῖς ὠσίν'* ἐξ ἧς ἐγὼ πλανηθεὶς* ἐξωρίσθην* οἴμοι! τοῦ χοροῦ τῆς ζωῆς.

Τὴν χεῖρα τείνας προπετῶς,* ἐγευσάμην τοῦ ξύλου* τοῦ τῆς γνώσεως, οὗπερ* προσέταξέ μοι Θεός* μηδόλως μεταλαβεῖν,* καὶ τῆς θείας* δόξης ἀπερρίφην πικρῶς.

Οἴμοι, ἀθλία μου ψυχή!* πῶς οὐκ ἔγνως τὸν δόλον;* πῶς οὐκ ἤσθου τῆς πλάνης* καὶ τοῦ φθόνου τοῦ ἐχθροῦ;* ἀλλ' ἐσκοτίσθης τὸν νοῦν* καὶ παρέβης* ἐντολὴν τοῦ κτίστου σου;

Θεοτοκίον.

Ἐλπὶς καὶ σκέπη μου, σεμνή,* ἡ τὴν γύμνωσιν πάλαι* περιστείλασα μόνη* τὴν τοῦ πεσόντος Ἀδάμ,* τῷ τοκετῷ σου, ἁγνή,* ἀφθαρσίαν* αὖθίς με ἀμφίασον.

Κάθισμα. Ἦχος δ'. (Κατεπλάγη Ἰωσήφ).

Ἐξεβλήθη ὁ Ἀδὰμ* τοῦ παραδείσου τῆς τρυφῆς* διὰ βρώσεως πικρᾶς,* ἐν ἀκρασίᾳ ἐντολὴν* μὴ φυλάξας τὴν τοῦ Δεσπότου,* καὶ κατεκρίθη* ἐργάζεσθαι τὴν γῆν,* ἐξ ἧς ἐλήφθη αὐτός,* ἱδρῶτι δὲ πολλῷ* ἐσθίειν ἄρτον αὐτοῦ.* Διὸ ἡμεῖς ποθήσωμεν ἐγκράτειαν,* ἵνα μὴ ἔξω θρηνήσωμεν* τοῦ παραδείσου,* ὥσπερ ἐκεῖνος,* ἀλλ' εἰς αὐτὸν ἐλευσώμεθα.

Δόξα. Ἦχος δ'. (Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ).

Νῦν ὁ καιρὸς τῶν ἀρετῶν ἐπεφάνη,* καὶ ἐπὶ θύραις ὁ κριτής· μὴ στυγνάσωμεν,* ἀλλὰ δεῦτε νηστεύοντες προσάξωμεν* δάκρυα, κατάνυξιν* καὶ ἐλεημοσύνην,* κράζοντες· Ἡμάρτομεν* ὑπὲρ ψάμμον θαλάσσης.* Ἀλλ' ἄνες πᾶσι, πάντων Λυτρωτά,* ἵνα καὶ σχῶμεν* τὸν ἄφθαρτον στέφανον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,* τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·* εἰ μὴ γὰρ σὺ προῆστασο πρεσβεύουσα,* τίς ἡμᾶς ἐῤῥύσατο* ἐκ τοσούτων κινδύνων;* τίς δὲ διεφύλαξεν* ἕως νῦν ἐλευθέρους;* Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·* σοὺς γὰρ δούλους σῴζεις ἀεί* ἐκ παντοίων δεινῶν.

Κοντάκιον εὐτόμελον. Ἦχος πλ. β'.

Τῆς σοφίας ὁδηγέ,* φρονήσεως χορηγέ,* τῶν ἀφρόνων παιδευτὰ* καὶ πτωχῶν ὑπερασπιστά,* στήριξον, συνέτισον* τὴν καρδίαν μου, Δέσποτα·* σὺ δίδου μοι λόγον,* ὁ

τοῦ Πατρὸς Λόγος·* ἰδοὺ γὰρ τὰ χείλη μου* οὐ μὴ κωλύσω ἐν τῷ κράζειν σοι·* Ἐλεῆμον, ἐλέησόν με* τὸν παραπεσόντα.

Οἱ οἶκοι.

Ἐκάθισεν Ἀδὰμ τότε* καὶ ἔκλαυσεν ἀπέναντι* τῆς τρυφῆς τοῦ παραδείσου,* χερσὶ τύπτων τὰς ὄψεις,* καὶ ἔλεγεν·* Ἐλεῆμον, ἐλέησόν με* τὸν παραπεσόντα.

Ἰδὼν Ἀδὰμ τὸν ἄγγελον* ὠθήσαντα καὶ κλείσαντα* τὴν τοῦ θείου κήπου θύραν,* ἀνεστέναξε μέγα* καὶ ἔλεγεν·* Ἐλεῆμον, ἐλέησόν με* τὸν παραπεσόντα.

Συνάλγησον, παράδεισε,* τῷ κτήτορι πτωχεύσαντι,* καὶ τῷ ἤχῳ σου τῶν φύλλων* ἱκέτευσον τὸν πλάστην,* μὴ κλείσῃ σε.* Ἐλεῆμον, ἐλέησόν με* τὸν παραπεσόντα.

Παράδεισε πανάρετε,* πανάγιε, πανόλβιε,* ὁ δι' Ἀδὰμ πεφυτευμένος* καὶ διὰ τὴν Εὔαν κεκλεισμένος,* ἱκέτευσον Θεὸν διὰ τὸν παραπεσόντα.* Ἐλεῆμον, ἐλέησόν με* τὸν παραπεσόντα.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν

Τῇ αὐτῇ ἡμέρᾳ ἀνάμνησιν ποιούμεθα τῆς ἀπὸ τοῦ παραδείσου τῆς τρυφῆς ἐξορίας τοῦ πρωτοπλάστου Ἀδάμ.

Στίχοι.

Κόσμος γενάρχαις πικρὰ συνθρηνησάτω
βρώσει γλυκείᾳ συμπεσὼν πεπτωκόσι.

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς τρυφῆς τοῦ παραδείσου ἡμᾶς καταξίωσον καὶ ἐλέησον ὡς μόνος φιλάνθρωπος. Ἀμήν.

Αἱ καταβασίαι.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

(Ἥτοι τῇ Κυριακῇ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου, σ. 788-789).

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου (σ. 108 κ.ἑ.), ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία Θεὸν ἀνθρώποις (σ. 909).

Ἐξαποστειλάριον ἀναστάσιμον, (σ. 121) καὶ τὸ παρόν.
(Γυναῖκες, ἀκουτίσθητε).

Τῆς ἐντολῆς σου, Κύριε,* παρήκουσα ὁ ἄθλιος,* καὶ γυμνωθεὶς τῆς σῆς δόξης,* αἰσχύνης πέπλησμαι, οἴμοι!* καὶ τῆς τρυφῆς ἐκβέβλημαι* τοῦ παραδείσου, εὔσπλαγχνε.* Ἐλεῆμον, ἐλέησον* τὸν στερηθέντα δικαίως* τῆς ἀγαθότητος τῆς σῆς.

Ἕτερον. (Τοῖς μαθηταῖς συνέλθωμεν).

Ἀποικισθέντας, Κύριε,* παραδείσου τὸ πρῶτον* διὰ τῆς ξύλου βρώσεως,* ἀντεισήγαγες πάλιν* διὰ Σταυροῦ καὶ τοῦ πάθους* σοῦ, Σωτὴρ καὶ Θεέ μου* δι' οὗ ἡμᾶς ὀχύρωσον* τὴν νηστείαν πληρῶσαι* ἀγνοπρεπῶς,* καὶ τὴν θείαν ἔγερσιν* προσκυνῆσαι,* τὸ Πάσχα τὸ σωτήριον,* σὲ τεκούσης πρεσβείαις.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου ε' καὶ τοῦ Τριῳδίου ἰδιόμελα γ'.

Ἦχος πλ. α'.

Οἴμοι!* ὁ Ἀδὰμ ἐν θρήνῳ κέκραγεν,* ὅτι ὀφις καὶ γυνὴ* θεϊκῆς παῤῥησίας με ἔξωσαν,* καὶ παραδείσου τῆς τρυφῆς* ξύλου βρῶσις ἠλλοτρίωσεν.* Οἴμοι!* οὐ φέρω λοιπὸν τὸ ὄνειδος·* ὁ ποτὲ βασιλεὺς* τῶν ἐπιγείων πάντων κτισμάτων Θεοῦ,* νῦν αἰχμάλωτος ὤφθην* ὑπὸ μιᾶς ἀθέσμου συμβουλῆς·* καὶ ὁ ποτὲ* δόξαν ἀθανασίας ἠμφιεσμένος,* τῆς νεκρώσεως τὴν δορὰν* ὡς θνητὸς ἐλεεινῶς περιφέρω.* Οἴμοι!* τίνα τῶν θρήνων* συνεργάτην ποιήσωμαι;* Ἀλλὰ σύ, φιλάνθρωπε,* ὁ ἐκ γῆς δημιουργήσας με,* εὐσπλαγχνίαν φορέσας,* τῆς δουλείας τοῦ ἐχθροῦ* ἀνακάλεσαι καὶ σῶσόν με.

Τὸ στάδιον τῶν ἀρετῶν ἠνέῳκται·* οἱ βουλόμενοι ἀθλῆσαι,* εἰσέλθετε,* ἀναζωσάμενοι τὸν καλὸν* τῆς νηστείας ἀγῶνα·* οἱ γὰρ νομίμως ἀθλοῦντες* δικαίως στεφανοῦνται·* καὶ ἀναλαβόντες τὴν πανοπλίαν τοῦ Σταυροῦ* τῷ ἐχθρῷ ἀντιμαχησώμεθα,* ὡς τεῖχος ἄῤῥηκτον κατέχοντες

τὴν πίστιν,* καὶ ὡς θώρακα τὴν προσευχήν,* καὶ περικεφαλαίαν* τὴν ἐλεημοσύνην·* ἀντὶ μαχαίρας τὴν νηστείαν,* ἥτις ἐκτέμνει* ἀπὸ καρδίας πᾶσαν κακίαν.* Ὁ ποιῶν ταῦτα,* τὸν ἀληθινὸν κομίζεται στέφανον* παρὰ τοῦ παμβασιλέως Χριστοῦ* ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἦχος πλ. β΄.

Ἀδὰμ τοῦ παραδείσου διώκεται,* τροφῆς μεταλαβὼν ὡς παρήκοος·* Μωσῆς θεόπτης ἐχρημάτισε,* νηστείᾳ τὰ ὄμματα* τῆς ψυχῆς καθηράμενος.* Διὸ τοῦ παραδείσου* οἰκήτορες γενέσθαι ἐπιποθοῦντες,* ἀπαλλαγῶμεν* τῆς ἀλυσιτελοῦς τροφῆς,* καὶ Θεὸν καθορᾶν ἐφιέμενοι,* ὡσαϊκῶς τὴν τετράδα* τῆς δεκάδος νηστεύσωμεν·* προσευχῇ καὶ τῇ δεήσει* εἰλικρινῶς προσκαρτεροῦντες,* κατευνάσωμεν* τῆς ψυχῆς τὰ παθήματα,* ἀποσοβήσωμεν* τῆς σαρκὸς τὰ οἰδήματα·* κοῦφοι πρὸς τὴν ἄνω* πορείαν μετίωμεν,* ὅπου αἱ τῶν ἀγγέλων χορεῖαι* ἀσιγήτοις φωναῖς* τὴν ἀδιαίρετον ἀνυμνοῦσι Τριάδα,* καθορᾶν τὸ ἀμήχανον κάλλος* καὶ δεσποτικόν.* Ἐκεῖ ἀξίωσον ἡμᾶς,* Υἱὲ Θεοῦ ζωοδότα,* τοὺς ἐπὶ σοὶ πεποιθότας,* συγχορεῦσαι ταῖς τῶν ἀγγέλων στρατιαῖς·* ταῖς τῆς τεκούσης σε Μητρός,* Χριστέ, πρεσβείαις,* καὶ ἀποστόλων καὶ τῶν μαρτύρων* καὶ πάντων τῶν ἁγίων.

Δόξα. Ἦχος πλ. β΄.

Ἐφθασε καιρός,* ἡ τῶν πνευματικῶν ἀγώνων ἀρχή,* ἡ κατὰ τῶν δαιμόνων νίκη,* ἡ πάνοπλος ἐγκράτεια,* ἡ τῶν ἀγγέλων εὐπρέπεια,* ἡ πρὸς Θεὸν παῤῥησία·* δι' αὐτῆς γὰρ Μωϋσῆς* γέγονε τῷ κτίστῃ συνόμιλος* καὶ φωνὴν ἀοράτως* ἐν ταῖς ἀκοαῖς ὑπεδέξατο.* Κύριε,* δι' αὐτῆς ἀξίωσον καὶ ἡμᾶς* προσκυνῆσαί σου τὰ πάθη* καὶ τὴν ἁγίαν ἀνάστασιν,* ὡς φιλάνθρωπος.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη καὶ τροπάριον ἀναστάσιμον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον, τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ ναοῦ καὶ τὸ κοντάκιον Τῆς σοφίας ὁδηγὲ (σ. 862).

Προκείμενον. Ἦχος γ΄. (Ψαλμὸς μστ΄).

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.
Στίχ. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου (ιγ΄ 11 - ιδ΄ 4).

Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ, ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ Κυρίῳ στήκει ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (στ΄ 14-21).

Εἶπεν ὁ Κύριος· Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· Ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ.

Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι. Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

Καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Χρυσοστόμου (σ. 287-319).

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΙΝΗΣ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῆς Μ. Τεσσαρακοστῆς, σ. 241-244).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ τυχόντος ἤχου δ' (σ. 499 κ.ἑ.), εἶτα τὰ παρόντα γ' προσόμοια τοῦ Τριῳδίου.

Ποίημα τοῦ κυρίου Ἰωσήφ.
Ἦχος β'. (Ἄγγελος μὲν τὸ χαῖρε).

Ἐγκρατείᾳ τὴν σάρκα* ταπεινῶσαι πάντες σπουδάσωμεν,* τὸ θεῖον ὑπερχόμενοι στάδιον* τῆς ἀμώμου νηστείας·* καὶ εὐχαῖς καὶ δάκρυσι Κύριον* τὸν σώζοντα ἡμᾶς ἐκζητῆσωμεν·* καὶ λήθην τῆς κακίας* παντελῆ ποιήσωμεν, βοῶντες·* Ἡμάρτομέν σοι, σῶσον,* ὡς πάλαι Νινευΐτας, Χριστὲ βασιλεῦ,* καὶ κοινωνοὺς ἡμᾶς* οὐρανίου βασιλείας* ποίησον, εὔσπλαγχνε.

Ἐμαυτὸν ἀπελπίζω* ἐννοῶν τὰ ἔργα μου, Κύριε,* τὰ πάσης τιμωρίας ἐπάξια·* ἰδοὺ γὰρ παραβλέψας* τὰ σεπτά σου, Σῶτερ, ἐντάλματα,* ἀσώτως μου τὸν βίον ἠνάλωσα·* διό σε ἱκετεύω·* μετανοίας ὄμβροις με καθάρας,* νηστείᾳ καὶ δεήσει,* ὡς μόνος ἐλεήμων, ἐκλάμπρυνον·* καὶ μὴ βδελύξῃ με,* εὐεργέτα τῶν ἁπάντων* καὶ ὑπεράγαθε.

Ἕτερον, τοῦ κυρίου Θεοδώρου.
Ἦχος β΄. (Τῶν ὑπὲρ νοῦν ἀγαθῶν).

Τὸν τῆς νηστείας καιρὸν* φαιδρῶς ἀπαρξώμεθα,* πρὸς ἀγῶνας πνευματικοὺς* ἑαυτοὺς ὑποβάλλοντες·* ἁγνίσωμεν τὴν ψυχήν,* τὴν σάρκα καθάρωμεν·* νηστεύσωμεν,* ὥσπερ ἐν τοῖς βρώμασιν,* ἐκ παντὸς πάθους,* τὰς ἀρετὰς τρυφῶντες τοῦ Πνεύματος,* ἐν αἷς διατελοῦντες πόθῳ,* ἀξιωθείημεν πάντες κατιδεῖν* τὸ πάνσεπτον πάθος Χριστοῦ τοῦ Θεοῦ* καὶ τὸ ἅγιον Πάσχα,* πνευματικῶς ἐναγαλλιώμενοι.

Καὶ τοῦ Μηναίου προσόμοια γ΄.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἴσοδος μετὰ τοῦ θυμιατοῦ. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος πλ. δ΄.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι· ταχὺ ἐπάκουσόν μου· πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν.

Στίχ. Ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτό μου.

Στίχ. Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν.

Καὶ πάλιν γεγωνοτέρᾳ φωνῇ·

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου...

Ἡ ἐκτενής. Τὸ Καταξίωσον, Κύριε, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὰ ἀπόστιχα τὸ παρὸν ἰδιόμελον.
Ἦχος δ΄.

Ἔλαμψεν ἡ χάρις σου, Κύριε·* ἔλαμψεν ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν·* ἰδοὺ καιρὸς εὐπρόσδεκτος·* ἰδοὺ καιρὸς μετανοίας.* Ἀποθώμεθα τὰ ἔργα τοῦ σκότους* καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός,* ὅπως διαπλεύσαντες* τὸ τῆς νηστείας μέγα πέλαγος,* εἰς τὴν τριήμερον ἀνάστασιν καταντῆσωμεν* τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν* Ἰησοῦ Χριστοῦ,* τοῦ σώζοντος τὰς ψυχὰς ἡμῶν.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου. (σ. 239).

Καὶ πάλιν τὸ ἰδιόμελον.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς (σ. 239).

Μαρτυρικόν.

Ὁ ἐνδοξαζόμενος* ἐν ταῖς μνείαις τῶν ἁγίων σου,* Χριστὲ ὁ Θεός,* ὑπ' αὐτῶν δυσωπούμενος,* κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἦχος ὁ αὐτός. (Ὡς γενναῖον ἐν μάρτυσιν).

Τῶν ἀγγέλων αἱ τάξεις σε,* Θεομῆτορ, δοξάζουσι·* τὸν Θεὸν γάρ, πάναγνε,* ἀπεκύησας,* τὸν σὺν Πατρὶ καὶ τῷ Πνεύματι* ἀεὶ συνυπάρχοντα* καὶ ἀγγέλων στρατιὰς* ἐκ μὴ ὄντος βουλήματι* ὑποστήσαντα·* ὃν ἱκέτευε σῶσαι,* καὶ φωτίσαι* τὰς ψυχὰς τῶν ὀρθοδόξως* σὲ ἀνυμνούντων, πανάχραντε.

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὰ τροπάρια Θεοτόκε Παρθένε (σ. 242). Τὸ Κύριε ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Σοφία· ὁ ὢν εὐλογητὸς καὶ τὸ Ἐπουράνιε βασιλεῦ. Αἱ τρεῖς μεγάλαι μετάνοιαι μετὰ τῆς εὐχῆς τοῦ ὁσίου Ἐφραὶμ (σ. 243) καὶ ἀπόλυσις, ἐν ᾗ πρὸ τοῦ Δι' εὐχῶν ψάλλεται τὸ Θεοτοκίον Πάντων προστατεύεις, ἀγαθὴ (σ. 273). Καὶ ἀπέρχονται πάντες λαβόντες συγχώρησιν παρὰ τοῦ ἱερέως.



Η ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΣΣΑΡΑΚΟΣΤΗ

ΤΗ ΔΕΥΤΕΡΑ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ὄρθρος τῶν καθημερινῶν τῆς Μ. Τεσσαρακοστῆς, σ. 151-177).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ (σ. 83-99) ψάλλεται τὸ Ἀλληλούια μετὰ τῶν στίχων αὐτοῦ καὶ τὰ τριαδικὰ τοῦ τυχόντος ἤχου (σ. 153-157).

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα τῆς Ὀκτωήχου.
Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα τοῦ κυρίου Ἰωσήφ.
Ἦχος β΄. (Εὐσπλαγχνίας ὑπάρχουσα πηγή).

Τῆς νηστείας τῇ θείᾳ ἀπαρχῇ* κατάνυξιν κτησώμεθα ψυχῆς,* ἐκβοῶντες·* Δέσποτα Χριστέ, τὴν προσευχήν ἡμῶν* δέξαι, ἐκλεκτὸν ὥσπερ θυμίαμα,* καὶ ῥῦσαι, δεόμεθα,* δυσώδους φθορᾶς ἡμᾶς* καὶ κολάσεως φρικτῆς,* ὡς μόνος ὑπάρχων εὐδιάλλακτος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή,* συμπαθείας ἀξίωσον ἡμᾶς,* Θεοτόκε·* βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα,* δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου·* εἰς σὲ γὰρ ἐλπίζοντες,* τὸ Χαῖρε βοῶμέν σοι,* ὡς ποτε ὁ Γαβριήλ,* ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Μετὰ δὲ τὴν γ΄ στιχολογίαν, κάθισμα τοῦ κυρίου Θεοδώρου.

Ἦχος β'. (Τὴν ἄχραντον εἰκόνα σου).

Τὴν πάνσεπτον ἐγκράτειαν* ἐναρξώμεθα φαιδρῶς,* ἀκτῖνας ἀπολάμποντες* τῶν ἁγίων ἐντολῶν* Χριστοῦ τοῦ Θεοῦ·* ἀγάπης τὴν λαμπρότητα,* προσευχῆς τὴν ἀστραπήν,* ἁγνείας καθαρότητα,* εὐανδρίας τὴν ἰσχύν·* ὅπως λαμπροφόροι προφθάσωμεν* εἰς τὴν ἁγίαν καὶ τριήμερον ἀνάστασιν,* τὴν καταλάμπουσαν* ἀφθαρσίαν τῷ κόσμῳ.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν ἄμαχον πρεσβείαν σου* κεκτημένος ἐν δεινοῖς,* λυτροῦμαι τῶν θλιβόντων με* παρ' ἐλπίδα θαυμαστῶς,* ὦ Μῆτερ Θεοῦ·* προφθάνεις γὰρ σὺ πάντοτε* τοῖς αἰτοῦσί σε πιστῶς,* τὸν ζόφον ἐκδιώκουσα* τῶν πολλῶν ἁμαρτιῶν.* Ὅθεν εὐχαρίστως βοῶμέν σοι·* Δέξαι, Δέσποινα, βραχέα χαριστήρια,* ἀνθ' ὧν ὑπάρχεις μοι* ἐν πᾶσι βοήθεια.

Ὁ Ν' Ψαλμός, τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν σου, (σ. 103-104) καὶ ἡ στιχολογία τῶν ἐννέα ᾠδῶν (σ. 158-173). Εἶτα ὁ κανὼν τοῦ Μηναίου καὶ τὰ τριῴδια.

Τὸ τριῴδιον τοῦ κυρίου Ἰωσήφ. Ἦχος β'.
ὨΙδὴ α'. (Δεῦτε λαοί).

Πῶς τὴν ἐμὴν* νῦν ἀποκλαύσομαι ἔκπτωσιν;* ποίαν ἀρχὴν ποιήσομαι* τῆς σωτηρίας μου* ὁ ἀσώτως βιώσας;* Οἰκτίρμον, οἷς περ οἶδας* κρίμασι, σῶσόν με.

Ἰδε καιρός,* ἴδε ἡμέρα σωτήριος,* ἡ τῆς νηστείας εἴσοδος·* ψυχή, γρηγόρησον* καὶ παθῶν τὰς εἰσόδους* ἀπόκλεισον, Κυρίῳ* ἐνατενίζουσα.

Ἁμαρτιῶν* ἡ τρικυμία χειμάζουσα,* ἐπὶ βυθὸν καθέλκει με* τῆς ἀπογνώσεως·* ἀλλὰ σοῦ τῷ πελάγει* προστρέχω τοῦ ἐλέους·* σῶσόν με Κύριε.

Μόνος ἐγὼ* τῇ ἁμαρτίᾳ δεδούλωμαι·* μόνος ἐγὼ τοῖς πάθεσι* θύραν ἠνέῳξα,* εὐδιάλλακτε Λόγε·* ἐπίστρεψόν με, σῶσον* τῇ εὐσπλαγχνίᾳ σου.

Θεοτοκίον.

Ἣ τὴν πηγὴν* τῆς ἀπαθείας κυήσασα,* τραυματισθέντα πάθεσι,* Κόρη, θεράπευσον* καὶ πυρὸς αἰωνίου* ἐξάρπασόν με, μόνη* Θεοχαρίτωτε.

Ἕτερον τριῴδιον, τοῦ κυρίου Θεοδώρου.
Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Δεῦτε, λαοί,* σήμερον ὑποδεξώμεθα* τῶν νηστειῶν τὸ χάρισμα* ὡς θεοδώρητον* καιρὸν τῆς μετανοίας* ἐν ταύτῃ τὸν Σωτῆρα* ἱλεωσώμεθα.

Ἔφθασε νῦν,* εἰσῆκται ὁ τῶν ἀγώνων καιρός,* τὸ τῆς νηστείας στάδιον·* προθύμως ἅπαντες* ἀπαρξώμεθα ταύτης,* τὰς ἀρετὰς Κυρίῳ* ὡς δῶρα φέροντες.

Δόξα. Τριαδικόν.

Μονὰς ἁπλῆ,* τρίφωτε, ἀρχικωτάτη Ἑνάς,* πανσθενεστάτη, πάνζωε,* Θεὲ καὶ Κύριε,* Πατὴρ ὁ παντοκράτωρ,* ὁ Υἱὸς καὶ τὸ Πνεῦμα,* σῷζε τὸν κόσμον σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ τοῦ Θεοῦ* ἅγιον ὄρος ὑμνήσωμεν,* Μαρίαν τὴν ἀμίαντον,* ἐξ ἧς ἀνέτειλεν* ὁ τῆς δικαιοσύνης* ἥλιος τοῖς ἐν σκότει* Χριστός, ἡ πάντων ζωή.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἅρμα πυρὸς* ἔλαβεν Ἠλίαν τὸν θαυμαστόν,* νηστείᾳ ὁπλισάμενον·* Μωσῆν ἀνέδειξε* θεατὴν τῶν ἀῤῥήτων·* καὶ ἡμεῖς ταύτην ἐλόντες,* ὀψόμεθα τὸν Χριστόν.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βρῶσιν Ἀδὰμ* ἔφαγε, καὶ παραδείσου αὐτὸν* ἡ ἀκρασία ἔξωσεν·* ἡμᾶς δέ, Κύριε,* ἡ νηστεία λαβοῦσα,* ἀξίους μετανοίας* δείξει, φιλάνθρωπε.

Μετὰ τὴν γ' ᾠδὴν τὰ καθίσματα τοῦ Μηναίου· μετὰ δὲ τὴν στ' τὸ μαρτυρικὸν τῆς ἡμέρας καὶ τὸ συναξάριον τοῦ Μηναίου. Μετὰ τοὺς κανόνας

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὁ εἱρμὸς τῆς η΄ ᾠδῆς.

Τὸν πάλαι δροσίσαντα* τῶν Ἑβραίων τοὺς παῖδας ἐν φλογὶ* καὶ φλέξαντα Κύριον* τοὺς Χαλδαίους παραδόξως ἐν αὐτῇ* ἀνυμνήσωμεν λέγοντες·* Εὐλογεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Καὶ στιχολογεῖται ἡ Τιμιωτέρα (σ. 119).

Ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς.

Τὴν ὑπερφυῶς σαρκὶ* συλλαβοῦσαν ἐν γαστρὶ* τὸν ἐκ Πατρὸς ἀχρόνως* προεκλάμψαντα Λόγον,* ἐν ὕμνοις ἀσιγήτοις* μεγαλύνωμεν, πιστοί.

Καὶ τὸ Ἄξιόν ἐστιν.

Εἶτα τὸ φωταγωγικὸν τοῦ ἤχου (σ. 175). Οἱ αἶνοι (σ. 126-128) ἄνευ στιχηρῶν, τὸ Σοὶ δόξα πρέπει καὶ ἡ δοξολογία χῦμα (σ. 148), αἱ δεήσεις καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 135-137).

Εἰς τὸν στίχον τὸ παρὸν ἰδιόμελον.
Ἦχος πλ. α΄.

Ἐλήλυθεν ἡ νηστεία,* ἡ μήτηρ τῆς σωφροσύνης,* ἡ κατήγορος τῆς ἁμαρτίας* καὶ συνήγορος τῆς μετανοίας,* ἡ πολιτεία τῶν ἀγγέλων* καὶ σωτηρία τῶν ἀνθρώπων·* οἱ πιστοὶ ἀνακράξωμεν·* Ὁ Θεός, ἐλέησον ἡμᾶς.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου (σ. 150).

Καὶ πάλιν τὸ ἰδιόμελον.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης (σ. 150).

Μαρτυρικόν.

Εὐλογημένος ὁ στρατὸς* τοῦ βασιλέως τῶν οὐρανῶν·* εἰ γὰρ καὶ γηγενεῖς* ὑπῆρχον οἱ ἀθλοφόροι,* ἀλλὰ ἀγγελικὴν* ἀξίαν ἔσπευδον φθάσαι,* τῶν σωμάτων καταφρονήσαντες* καὶ διὰ τῶν παθημάτων* τῆς τῶν ἀσωμάτων ἀξιωθέντες τιμῆς.* Εὐχαῖς αὐτῶν, Κύριε,* σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν τοῦ Θεοῦ Μητέρα* καὶ Παρθένον ἁγνὴν* καὶ τῶν Χερουβὶμ ἁγιωτέραν* ἐν φωναῖς ἀσμάτων μεγαλύνομεν* ὅτι ψυχῇ καὶ σώματι* Θεοτόκον ὁμολογοῦμεν,* ὡς κυρίως γεννήσασαν* Θεὸν σεσαρκωμένον* πρέσβευε, πάναγνε,* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τὸ Τρισάγιον καὶ τὰ λοιπὰ τοῦ Ὄρθρου (σ. 176-177).

Μετὰ δὲ τὰς μεγάλας μετανοίας καὶ τὴν εὐχὴν τοῦ ὁσίου Ἐφραὶμ ἀναγινώσκονται αἱ Ὧραι καὶ οἱ Μακαρισμοὶ (σ. 178-209) καὶ ἐν συνεχείᾳ τελεῖται ὁ Ἑσπερινός.

ΤΗ ΔΕΥΤΕΡΑ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῆς Μ. Τεσσαρακοστῆς, σ. 241-244).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ [καὶ τὰ Πρὸς Κύριον] εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Τριῳδίου γ΄.

Ποίημα τοῦ κυρίου Ἰωσήφ.

Ἦχος β΄. (Πάντας ὑπερβαίνω τῇ ἁμαρτίᾳ).

Πᾶσαν ἁμαρτίαν διεπραξάμην,* πάντας ὑπερέβην τῇ ἀσωτίᾳ* ἐὰν θελήσω μετανοῆσαι,* οὐκ ἔχω δακρύων ὀχετούς* ἐὰν ῥαθύμως καὶ νῦν βιώσω,* κολάσει ὑπόδικός εἰμι.* Ἀλλὰ δός μοι διόρθωσιν,* μόνε ἀγαθέ,* ὁ Θεός, καὶ ἐλέησόν με.

Ὄμβρους μοι παράσχου, Χριστέ, δακρύων* ἐν τῇ τῆς νηστείας τερπνῇ ἡμέρᾳ,* ὅπως πενθήσω καὶ ἀποπλύνω* τὸν ῥύπον τὸν ἐκ τῶν ἡδονῶν,* καὶ ἐποφθῶ σοι κεκαθαρμένος,* ἡνίκα κριτὴς ἐξ οὐρανοῦ* μέλλῃς ἔρχεσθαι, Κύριε,* κρῖναι τοὺς βροτούς,* ὡς κριτὴς καὶ δίκαιος μόνος.

Ἕτερον, τοῦ κυρίου Θεοδώρου.
Ἦχος πλ. α΄. (Ὅσιε πάτερ, νικητής).

Δεῦτε προθύμως,* τὸ στερρὸν ὅπλον τῆς νηστείας* ἔχοντες ὡς θυρεόν,* πᾶσαν μεθοδείαν* πλάνης τοῦ ἐχθροῦ* ἀποστρέψωμεν, πιστοί·* μὴ θελχθῶμεν ταῖς ἡδοναῖς τῶν παθῶν·* μὴ τὸ πῦρ τῶν πειρασμῶν δειλιάσωμεν,* δι' ὧν Χριστὸς ὁ φιλάνθρωπος* βραβείοις τῆς ὑπομονῆς* στεφανώσει ἡμᾶς·* ὅθεν παῤῥησίᾳ προσευχόμενοι,* προσπίπτομεν κραυγάζοντες,* αἰτούμενοι εἰρήνην τῷ κόσμῳ* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὸ Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς γ΄.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Στίχ. Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;

Γενέσεως τὸ ἀνάγνωσμα (α΄ 1-13).

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν...
(Βλ. εἰς τὸν Ἑσπερινὸν τῶν Θεοφανείων, σ. 592).

Προκείμενον. Ἦχος πλ. α΄. Ψαλμὸς δ΄.

Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου.

Παροιμιῶν τὸ ἀνάγνωσμα (α΄ 1-20).

Παροιμίαι Σολομῶντος υἱοῦ Δαβίδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραήλ, γνῶναι σοφίαν καὶ παιδείαν, καὶ νοῆσαι λόγους φρονήσεως, δέξασθαί τε στροφὰς λόγων, νοῆσαί τε δικαιοσύνην ἀληθῆ καὶ κρῖμα κατευθύνειν· ἵνα δῷ ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν. Τῶν δὲ γὰρ ἀκούσας σοφὸς σοφώτερος ἔσται, ὁ δὲ νοήμων κυβέρ-

νησιν κτήσεται· νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα.

Ἀρχὴ σοφίας φόβος Κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν· εὐσέβεια δὲ εἰς Θεὸν ἀρχὴ αἰσθήσεως· σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν. Ἄκουε, υἱέ, παιδείαν πατρός σου καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.

Υἱέ, μή σε πλανήσωσιν ἀσεβεῖς ἄνδρες, μηδὲ βουληθῇς, ἐὰν παρακαλέσωσί σε λέγοντες· Ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, καταπίωμεν δὲ αὐτὸν ὥσπερ ᾅδης ζῶντα, καὶ ἄρωμεν τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τῆς γῆς· τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα, πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων· τὸν δὲ κλῆρόν σου βάλε ἐν μέσῳ ἡμῶν, κοινὸν δὲ βαλάντιον κτησώμεθα πάντες, καὶ μαρσίππιον ἓν γενηθήτω ἡμῖν.

Υἱέ μου, μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν, ἔκκλινον δὲ τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν· οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα. Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς· αὐτοὶ γὰρ οἱ αἱμάτων μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά· ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή. Αὗται αἱ ὁδοί εἰσι πάντων τῶν συντελούντων τὰ ἄνομα· τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται. Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει.

Τὸ Καταξίωσον, Κύριε, αἱ δεήσεις καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὰ ἀπόστιχα τὸ ἰδιόμελον τῆς ἡμέρας.
Ἦχος γ'.

Νηστεύσωμεν νηστείαν δεκτήν,* εὐάρεστον τῷ Κυρίῳ.* Ἀληθὴς νηστεία* ἡ τῶν κακῶν ἀλλοτρίωσις,* ἐγκράτεια γλώσσης,* θυμοῦ ἀποχή,* ἐπιθυμιῶν χωρισμός,* καταλαλιᾶς,* ψεύδους καὶ ἐπιορκίας·* ἡ τούτων ἔνδεια* νηστεία ἐστὶν* ἀληθὴς καὶ εὐπρόσδεκτος.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σ. 239).

Καὶ πάλιν τὸ ἰδιόμελον.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σ. 239).

Μαρτυρικόν.

Μεγάλη* τῶν μαρτύρων σου, Χριστέ, ἡ δύναμις!* ἐν μνήμασι γὰρ κεῖνται* καὶ πνεύματα διώκουσι,* καὶ κατήργησαν ἐχθροῦ τὴν ἐξουσίαν,* τῇ πίστει τῆς Τριάδος* ἀγωνισάμενοι* ὑπὲρ τῆς εὐσεβείας.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, ἡ προστασία* πάντων τῶν δεομένων,* εἰς σὲ θαῤῥοῦμεν,* εἰς σὲ καυχώμεθα,* ἐν σοὶ πάσα ἡ ἐλπὶς ἡμῶν ἐστι·* πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι* ὑπὲρ ἀχρείων δούλων σου.

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ τροπάρια Θεοτόκε Παρθένε, καὶ τὰ λοιπὰ τοῦ Ἑσπερινοῦ (σ. 242-243) καὶ ἀπόλυσις.

ΤΗ ΑΥΤΗ ΕΣΠΕΡΑ

ΕΙΣ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

(Ἀκολουθία τοῦ Μεγάλου Ἀποδείπνου, σ. 246-274).

Ἀναγινώσκεται τὸ Μέγα Ἀπόδειπνον μέχρι καὶ τῆς δοξολογίας (σ. 246-267). Εἶτα ψάλλεται τὸ α΄ τμῆμα τοῦ Μεγάλου Κανόνος (ὅρα ἔμπροσθεν, τῇ Τετάρτῃ τῆς Ε΄ ἑβδομάδος τῶν νηστειῶν ἑσπέρας, σ. 982 κ.ἑ.).

Μετὰ τὴν θ΄ ᾠδὴν τὸ Τρισάγιον, τὸ Κύριε τῶν δυνάμεων, καὶ τὰ λοιπὰ τοῦ Ἀποδείπνου (σ. 267-274). Πρὸ δὲ τῆς εὐχῆς τῆς ἀπολύσεως ὁ ἱερεὺς λέγει Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ. καὶ ἀναγινώσκει τὸ

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κα΄ 8-36).

Εἶπεν ὁ Κύριος· Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικε. Μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ᾽ οὐκ εὐθέως τὸ τέλος. Τότε ἔλεγεν αὐτοῖς· Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ λιμοὶ καὶ λοιμοὶ ἔσονται, φόβητρά τε καὶ σημεῖα ἀπ᾽ οὐρανοῦ μεγάλα ἔσται.

Πρὸ δὲ τούτων ἁπάντων ἐπιβαλοῦσιν ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλήμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν, καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν, ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ. Καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη, καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν.

Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐ-

πι τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν.

Καὶ εἶπε παραβολὴν αὐτοῖς· Ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα. Ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Προσέχετε δὲ ἑαυτοῖς, μή ποτε βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιοτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν ταῦτα πάντα τὰ μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου.

Εἶτα· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν. Δέσποτα πολυέλεε κ.τ.λ. (σ. 271-274).(*)

(*) Παρετέθησαν σχεδὸν πλήρεις αἱ ἀκολουθίαι τῆς πρώτης ἡμέρας τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς. Κατὰ τὴν αὐτὴν τάξιν τελοῦνται αἱ ἀκολουθίαι καὶ τῶν λοιπῶν καθημερινῶν τῆς Μ. Τεσσαρακοστῆς, αἱ ὁποῖαι βεβαίως δὲν ἠτο δυνατὸν νὰ περιληφθοῦν ὅλαι εἰς τὸ Ἀνθολόγιον. Ἐφεξῆς παρατίθενται μόνον αἱ ἀκολουθίαι τῶν Ἑσπερινῶν, τῶν Κυριακῶν καὶ τῶν ἡμερῶν, κατὰ τὰς ὁποίας τελεῖται Λειτουργία τῶν Προηγιασμένων, καθὼς καὶ ἡ διαταξις τῶν Ἀποδείπνων τῆς Α' ἑβδομάδος καὶ ὅλων τῶν Σαββάτων. Οἱ ἐκκλησιαζόμενοι ὅμως δύνανται νὰ παρακολουθοῦν ἐκ τοῦ Α' μέρους τοῦ παρόντος τόμου (Ὡρολογίου) τὰ σταθερὰ μέρη τῶν καθημερινῶν ἀκολουθιῶν, τὰ ὁποῖα ἀποτελοῦν καὶ τὸ μεγαλύτερον μέρος αὐτῶν.

ΤΗ ΤΡΙΤΗ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ

ΕΙΣ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

(Ἀκολουθία τοῦ Μεγάλου Ἀποδείπνου, σ. 246-274).

Μετὰ τὴν δοξολογίαν ψάλλεται τὸ β΄ τμῆμα τοῦ Μεγάλου Κανόνος (ὅρα ἔμπροσθεν, τῇ Τετάρτῃ τῆς Ε΄ ἑβδομάδος τῶν νηστειῶν, σ. 982 κ.ἑ.).

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος· Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν. (Ζήτει τῷ Σαββάτῳ τῆς Τυρινῆς, σ. 857).

ΤΗ ΤΕΤΑΡΤΗ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΪ

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ι΄, ἤτοι· πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος πλ. δ΄.

Νηστεύοντες, ἀδελφοί, σωματικῶς,* νηστεύσωμεν καὶ πνευματικῶς·* λύσωμεν πάντα σύνδεσμον ἀδικίας·* διαῤῥήξωμεν στραγγαλιὰς* βιαίων συναλλαγμάτων·* πᾶσαν συγγραφὴν ἄδικον διασπάσωμεν·* δώσωμεν πεινῶσιν ἄρτον* καὶ πτωχοὺς ἀστέγους* εἰσαγάγωμεν εἰς οἴκους,* ἵνα λάβωμεν* παρὰ Χριστοῦ τοῦ Θεοῦ* τὸ μέγα ἔλεος. (Δις)

Εἶτα τὸ μαρτυρικόν.

Εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος,* πρέπει τοῖς ἁγίοις·* ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας* διὰ σὲ τὸν κλίναντα οὐρανοὺς* καὶ καταβάντα·* ἐξέχεαν τὸ αἷμα αὐτῶν* διὰ σὲ τὸν κενώσαντα ἑαυτὸν* καὶ μορφὴν δούλου λαβόντα·* ἐταπεινώθησαν ἕως θανάτου,* τὴν πτωχείαν σου μιμούμενοι·* ὧν ταῖς εὐχαῖς,* κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου,* ὁ Θεός, ἐλέησον ἡμᾶς.

Εἶτα τὰ προσόμοια τοῦ κυρίου Ἰωσήφ.

Ἦχος β΄. (Ὡς ὡράθης, Χριστέ).

Φεγγοβόλους ὑμᾶς,* ὡς ἀστραπάς, εἰς πάντα κόσμον* Ἰησοῦς, ὁ νοητὸς* ὄντως ἥλιος, ἐξαποστείλας,* ἀπεμείωσε* ταῖς λαμπρότησι* τοῦ ὑμῶν ἐνθέου κηρύγματος* πλάνης τὸ σκότος,* θεόπται ἀπόστολοι,* καὶ ἐφώτισε τοὺς ἐν ζόφῳ* τῆς ἀγνωσίας* κεκρατημένους πονηρῶς·* ὅνπερ ἐκδυσωπήσατε* καταπέμψαι καὶ ἡμῖν τὸν φωτισμὸν* καὶ τὸ μέγα ἔλεος.

Ἀρετῶν Ἡλιοῦ* προσεπιβὰς ἅρματι θείῳ,* τῇ νηστείᾳ λαμπρυνθεὶς* ἀνεφέρετο ἐπὶ τὸ ὕψος* τὸ οὐράνιον.* Τοῦτον ζήλωσον,* ταπεινὴ ψυχή μου, καὶ νήστευσον* πάσης κακίας,* καὶ φθόνου καὶ ἔριδος,* καὶ τρυφῆς ἀποῤῥεούσης* καὶ ἐνηδόνου·* ὅπως ὀδύνην χαλεπὴν* ἐκφύγῃς διαιωνίζουσαν* τῆς γεέννης, ἐκβοῶσα τῷ Χριστῷ·* Κύριε, δόξα σοι.

Ἕτερον, τοῦ κυρίου Θεοδώρου.

Ἦχος πλ. α΄. (Ὅσιε πάτερ,* οὐκ ἔδωκας ὕπνον).

Ἀπόστολοι θεῖοι,* τοῦ κόσμου θερμότατοι πρεσβευταί* καὶ τῶν ὀρθοδόξων προασπισταί,* ἔχοντες παῤῥησίας τὸ κράτος* πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν,* ὑπὲρ ἡμῶν αἰτήσασθε,* δεόμεθα, πανσεβάσμιοι,* ἵνα τῶν νηστειῶν τὸν ἀγαθὸν* καιρὸν εὐμαρῶς ποιησώμεθα* καὶ τῆς ὁμοουσίου Τριάδος* τὴν χάριν δεξώμεθα.* Μεγαλοκήρυκες ἔνδοξοι,* εὔχεσθε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ τοῦ Μηναίου προσόμοια δ΄.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Καὶ γίνεται εἴσοδος μετὰ τοῦ θυμιατοῦ. Τὸ Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος πλ. α'. Ψαλμὸς ια'.

Σύ, Κύριε, φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς.

Στίχ. Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Γενέσεως τὸ ἀνάγνωσμα (α' 24 - β' 3).

Εἶπεν ὁ Θεός· Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος· καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά.

Καὶ εἶπεν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεός, λέγων· Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

Καὶ εἶπεν ὁ Θεός· Ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὃ ἐστιν ἐπάνω πάσης τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ πνοὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. Καὶ ἐγένετο οὕτω. Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη.

Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κό-

σμος αὐτῶν. Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς ιβ΄.

Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου.
Στίχ. Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;

Παροιμιῶν τὸ ἀνάγνωσμα (β΄ 1-22).

Υἱέ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ, ἐπακοῦσεται σοφίας τὸ οὖς σου, καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν, παραβαλεῖς δὲ αὐτὴν εἰς νουθέτησιν τῷ υἱῷ σου. Ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ καὶ τῇ συνέσει δῷς φωνήν σου, καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον καὶ ὡς θησαυροὺς ἐξερευνήσῃς αὐτήν, τότε συνήσεις φόβον Κυρίου καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις· ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. Καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν, ὑπερασπιεῖ δὲ τὴν πορείαν αὐτῶν τοῦ φυλάξασθαι ὁδοὺς δικαιωμάτων καὶ ὁδὸν εὐλαβουμένων αὐτὸν διαφυλάξει. Τότε συνήσεις δικαιοσύνην καὶ κρῖμα καὶ κατορθώσεις πάντας ἄξονας ἀγαθούς. Ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς σὴν διάνοιαν, ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ, βουλὴ καλὴ φυλάξει σε, ἔννοια δὲ ὁσία τηρήσει σε, ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν.

Ὦ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους! Ὦ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ! ὧν αἱ τρίβοι σκολιαὶ καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας καὶ ἀλλότριον τῆς δικαίας γνώμης. Υἱέ, μή σε καταλάβῃ βουλὴ κακή, ἡ ἀπολείπουσα διδασκαλίαν νεότητος καὶ διαθήκην θείαν ἐπιλελησμένη· ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς καὶ παρὰ τῷ ᾅδῃ μετὰ τῶν γηγενῶν τοὺς ἀξο-

νας αὐτῆς. Πάντες οἱ πορευόμενοι ἐν αὐτῇ οὐκ ἀναστρέψουσιν, οὐδὲ μὴ καταλάβωσι τρίβους εὐθείας· οὐ γὰρ καταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς. Εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθάς, εὗροσαν ἂν τρίβους τὰς τῶν δικαίων λείας. Χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ· ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν, καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ· ὁδοὶ δὲ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται, οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἀπ' αὐτῆς.

Καὶ εὐθὺς τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΕΙΣ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

(Ἀκολουθία τοῦ Μεγάλου Ἀποδείπνου, σ. 246-274).

Ψάλλομεν τὸ γ' τμῆμα τοῦ Μεγάλου Κανόνος (ὅρα ἔμπροσθεν τῇ Τετάρτῃ τῆς Ε' ἑβδομάδος ἑσπέρας, σ. 982 κ.ἑ.).

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ια' 22-26. Ματθ. ζ' 7-8).

Εἶπεν ὁ Κύριος· Ἔχετε πίστιν Θεοῦ· Ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται, ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ. Διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν. Καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται.

ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

(Ἀκολουθία τοῦ Μεγάλου Ἀποδείπνου, σ. 246-274).

Ψάλλομεν τὸ δ΄ καὶ τελευταῖον τμῆμα τοῦ Μεγάλου Κανόνος (ὅρα ἔμπροσθεν τῇ Τετάρτῃ τῆς Ε΄ ἑβδομάδος ἑσπέρας, σ. 982 κ.ἑ.).

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (ζ΄ 7-11).

Εἶπεν ὁ Κύριος· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται. Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ΄

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ Ἰδιόμελα πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος πλ. α΄.

Δεῦτε, πιστοί, ἐπεργασώμεθα* ἐν φωτὶ τὰ ἔργα τοῦ Θεοῦ·* ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν·* πᾶσαν ἄδικον* συγγραφὴν ἀφ' ἑαυτῶν* τοῦ πλησίον ἀφελώμεθα,* μὴ τιθέντες πρόσκομμα* τούτῳ ἢ σκάνδαλον·* ἀφήσωμεν* τῆς σαρκὸς τὴν εὐπάθειαν·* αὐξήσωμεν* τῆς ψυχῆς τὰ χαρίσματα·* δώσωμεν ἐνδεέσιν ἄρτον* καὶ προσέλθωμεν Χριστῷ,* ἐν μετανοίᾳ βοῶντες·* Ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. (Δὶς)

Εἶτα τὰ δ΄ μαρτυρικὰ τοῦ τυχόντος ἤχου (σ. 343 κ.ἑ.), καὶ τὰ παρόντα δ΄ ἰδιόμελα τοῦ ἁγίου Θεοδώρου.

Ἦχος β΄.

Δεῦτε, φιλομάρτυρες πάντες,* πνευματικῶς εὐφρανθῶμεν* καὶ πανηγυρίσωμεν·* σήμερον γὰρ* προτίθεται τράπεζαν μυστικὴν* ὁ μάρτυς Θεόδωρος,* εὐφραίνουσαν τοὺς φιλεόρτους ἡμᾶς,* τοῦ βοῆσαι πρὸς αὐτόν·* Χαίροις, ἀθλοφόρε ἀήττητε,* ὁ τὰς ἀπειλὰς τῶν τυράννων* ἐπὶ γῆς καταστρεψάμενος·* χαίροις, ὁ τὸ πήλινόν σου σῶμα* διὰ Χριστὸν τὸν Θεὸν* ἐκδεδωκὼς ταῖς βασάνοις·* χαίροις,* ὁ ἐν ποικίλοις κινδύνοις* δόκιμος στρατιώτης ἀναδειχθεὶς* τῆς οὐρανίου στρατιᾶς.* Διὸ δυσωποῦμέν σε,* μαρτύρων ἐγκαλλώπισμα,* πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὴν θεοδώρητον χάριν* τῶν θαυμάτων σου, μάρτυς Θεόδωρε,* πᾶσιν ἐφαπλοῖς* τοῖς πίστει σοι προστρέχουσι·* δι' ἧς εὐφημοῦμέν σε λέγοντες·* Αἰχμαλώτους λυτροῦσαι,* θεραπεύεις νοσοῦντας,* πενομένους πλουτίζεις* καὶ διασῴζεις πλέοντας·* μάταιον δρασμὸν* ἐπέχεις οἰκετῶν* καὶ ζημίας φανέρωσιν ποιεῖς* τοῖς συληθεῖσιν, ἀθλητά·* καὶ στρατιώτας παιδεύεις* τῆς ἁρπαγῆς ἀπέχεσθαι·* νηπίοις χαρίζῃ* συμπαθῶς τὰ αἰτήματα·* θερμὸς εὑρίσκῃ προστάτης* τοῖς ἐπιτελοῦσί σου τὸ ἱερὸν μνημόσυνον·* μεθ' ὧν καὶ ἡμῖν,* ἀθλητὰ ἱερώτατε,* τοῖς ἀνυμνοῦσί σου τὸ μαρτύριον,* αἴτησαι παρὰ Χριστοῦ* τὸ μέγα ἔλεος.

Δῶρον Θεοῦ ὑπέρτατον* ἀνεδείχθης, μάρτυς Θεόδωρε·* ὅτι καὶ μετὰ τέλος, ὡς ζῶν,* τοῖς προστρέχουσι παρέχεις τὰς αἰτήσεις·* ὅθεν υἱὸν* ἁρπαγέντα γυναίου ποτὲ* δορυάλωτον ἐν ἀλλοπίστῳ στρατῷ* ἐπιστᾶσα ἡ χήρα* τοῖς δάκρυσι τὸν ναόν σου κατέβρεχεν·* αὐτὸς δέ, ὡς συμπαθής,* ἐφ᾽ ἵππῳ λευκῷ ἐπιβάς,* ταύτῃ τὸν παῖδα* ἀοράτως παρέστησας·* καὶ μετὰ τοῦτο* σὺν τούτῳ ἐνεργῶν* τοῖς θαύμασιν οὐκ ἔλιπες·* ἀλλ᾽ αἴτησαι Χριστὸν τὸν Θεὸν* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θείων δωρεῶν* ἐπώνυμόν σε γεραίρω,* τρισμάκαρ Θεόδωρε·* τοῦ φωτὸς γὰρ τοῦ θείου* ἄδυτος φωστὴρ ἀναδειχθείς,* κατέλαμψας ἄθλοις σου* τὴν σύμπασαν κτίσιν·* καὶ πυρὸς ἀκμαιότερος φανείς,* τὴν φλόγα κατέσβεσας* καὶ τοῦ δολίου δράκοντος* τὴν κάραν συνέτριψας·* διὸ ἐν τοῖς ἄθλοις σου* Χριστὸς ἐπικαμφθείς,* ἐστεφάνωσε τὴν θείαν κάραν σου.* Μεγαλομάρτυς ἀθλητά,* ὡς ἔχων παῤῥησίαν πρὸς Θεόν,* ἐκτενῶς ἱκέτευε* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. β΄.

Ὀργάνῳ χρησάμενος ὁ δυσμενὴς* τῷ συναποστάτῃ τυράννῳ,* δι᾽ ἐπινοίας χαλεπῆς* τὸν νηστείᾳ καθαγνιζόμενον λαὸν εὐσεβῆ* τοῖς ἐκ μιαρῶν θυσιῶν* κεχραμένοις βρώμασιν* ἐπειρᾶτο καταμιαίνειν·* ἀλλ᾽ αὐτὸς* τὸ ἐκείνου μηχάνημα* σοφωτέρᾳ διέλυσας ἐπινοίᾳ,* ὅναρ ἐπιστὰς* τῷ τότε ἀρχιερεῖ* καὶ τὸ βαθὺ τῆς γνώμης ἀνακαλύπτων* καὶ τὸ ἄτοπον τοῦ ἐγχειρήματος ὑποδηλῶν·* καὶ δή σοι* χαριστήρια θύοντες,* σωτῆρα ἐπιγραφόμεθα,* ἐτήσιον ἀνάμνησιν* τοῦ γενομένου ποιούμενοι,* καὶ τὸ λοιπὸν ἐξαιτούμενοι* τῶν ἐπινοιῶν τοῦ πονηροῦ* ἀβλαβεῖς περισῴζεσθαι* ταῖς πρὸς Θεόν σου πρεσβείαις,* μάρτυς Θεόδωρε.

Καὶ νῦν. Τὸ α΄ Θεοτοκίον τοῦ ἤχου.

Εἴσοδος· τὸ Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος πλ. α΄. Ψαλμὸς ιθ΄.

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως.
Στίχ. Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Γενέσεως τὸ ἀνάγνωσμα (β΄ 20 - γ΄ 20).

Ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς· τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. Καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς. Καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ. Καὶ εἶπεν Ἀδάμ· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε Κύριος ὁ Θεός. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· Τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; Καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φαγόμεθα, ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός· Οὐ μὴ φάγητε ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ θανάτῳ ἀποθανεῖσθε. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· Οὐ θανάτῳ ἀποθανεῖσθε· ᾔδει γὰρ ὁ Θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς Θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν. Καὶ εἶδεν ἡ γυνή, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, καὶ λαβοῦσα ἡ γυνὴ ἀπὸ τοῦ καρποῦ αὐτοῦ ἔφαγε· καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μετ' αὐτῆς, καὶ ἔφαγον· καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν, καὶ ἔῤῥαψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.

Καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦν-

τος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. Καὶ ἐκάλεσε Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν αὐτῷ· Ἀδάμ, ποῦ εἶ; Καὶ εἶπεν αὐτῷ· Τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. Καὶ εἶπεν αὐτῷ ὁ Θεός· Τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; Καὶ εἶπεν Ἀδάμ· Ἡ γυνή, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. Καὶ εἶπεν ὁ Θεὸς τῇ γυναικί· Τί τοῦτο ἐποίησας; Καὶ εἶπεν ἡ γυνή· Ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον.

Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ ὄφει· Ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς· ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φαγῇ πᾶσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. Καὶ τῇ γυναικὶ εἶπε· Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Καὶ τῷ Ἀδὰμ εἶπεν· Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ. Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. Καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων.

Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς κ΄.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου.

Στίχ. Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς.

Παροιμιῶν τὸ ἀνάγνωσμα (γ' 19-34).

Ο Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. Ἐν αἰσθήσει αὐτοῦ ἄβυσσοι ἐρράγησαν, νέφη δὲ ἐρρύησαν δρόσον. Υἱέ, μὴ παραρρυῇς, τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζήσῃ ἡ ψυχή σου, καὶ χάρις ᾖ ἐπὶ σῷ τραχήλῳ. Ἔσται δὲ ἴασις ταῖς σαρξί σου καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου, ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου, ὁ δὲ πούς σου μὴ προσκόψῃ· ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις, καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας· ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ σαλευθῇς.

Μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῖ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς· Ἐπανελθὼν ἐπάνηκε καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Μὴ τέκταινε ἐπὶ σὸν φίλον κακὰ παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί. Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, ἵνα μή τι εἰς σὲ ἐργάσηται κακόν. Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζήλου τὰς ὁδοὺς αὐτῶν· ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος· ἐν δὲ δικαίοις οὐ συνεδριάζει. Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν, ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ ΕΣΠΕΡΑΣ

Τελείται τὸ Μικρὸν Ἀποδεῖπνον (σ. 274-284). Μετὰ δὲ τὸ Ἄξιόν ἐστιν ψάλλεται ὁ κανὼν τοῦ Ἀκαθίστου Ἀνοίξω τὸ στόμα μου καὶ ἀναγινώσκεται ἡ Α' στάσις τῶν οἴκων τῆς Θεοτόκου (Ζητεῖς τὴν ἀκολουθίαν τοῦ Ἀκαθίστου Ὕμνου εἰς τὸ Παράρτημα τοῦ παρόντος τόμου, σ. 1313 κ.ἑ.).

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ

Ἀνάμνησις τοῦ διὰ κολλύβων θαύματος τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν ἑορτῶν, σ. 83-137).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ (σ. 83-99) εἰς τὸ Θεὸς Κύριος ψάλλομεν τὸ ἀπολυτίκιον τοῦ ἁγίου Θεοδώρου.

Ἦχος β΄.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα!* ἐν τῇ πηγῇ τῆς φλογός,* ὡς ἐπὶ ὕδατος ἀναπαύσεως,* ὁ ἅγιος μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθείς,* ὡς ἄρτος ἡδὺς* τῇ Τριάδι προσήνεκται.* Ταῖς αὐτοῦ ἱκεσίαις,* Χριστὲ ὁ Θεός,* σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.
Πάντα ὑπὲρ ἔννοιαν (σ. 399).

Μετὰ τὴν α΄ στιχολογίαν, καθίσματα τῆς Ὀκτωήχου.

Μετὰ δὲ τὴν β΄ στιχολογίαν, καθίσματα τοῦ ἁγίου Θεοδώρου.

Ἦχος γ΄. (Θείας πίστεως).

Ζέων πίστεως* ὀρθοδοξίᾳ,* πλάνην ἔσβεσας* κακοδοξίας,* καταργήσας τῶν εἰδώλων τὸ ἄθεον,* καὶ ὁλοκαύτωμα θεῖον γενόμενος,* θαυματουργίαις δροσίζεις τὰ πέρατα.* Μάρτυς ἔνδοξε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ὅμοιον.

Θεῖον δῶρόν σε* πρὸς σωτηρίαν* πάσῃ δέδωκε* τῇ οἰκουμένῃ* ὁ ἐν τοῖς ἄθλοις δυναμώσας σε Κύριος,* τὰς ψυχικὰς ἡμῶν νόσους ἰώμενος* καὶ τῶν σωμάτων τὰ πάθη τροπούμενος.* Μάρτυς Θεόδωρε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. (Τὴν ὡραιότητα).

Ἡτὸν ἀχώρητον* Θεὸν ἐν μήτρᾳ σου,* Παρθένε ἄχραντε,* κυοφορήσασα,* τὸν πρὸ αἰώνων ἐκ Πατρὸς* ἀρρεύστως ἀνατείλαντα* Λόγον ἐνυπόστατον* καὶ Υἱὸν ὁμοούσιον,* τοῦτον ἐκδυσώπησον* σὺν προφήταις καὶ μάρτυσιν,* ὁσίοις, ἀσκηταῖς καὶ δικαίοις,* δοῦναι ἡμῖν λύσιν πλημμελημάτων.

Εἶτα τὸν Ν′ Ψαλμὸν καὶ τοὺς δύο κανόνας τοῦ ἁγίου.

Κανὼν α′. Ποίημα Ἰωάννου, μητροπολίτου Εὐχαΐτων.
Ἦχος δ′. Ὠδὴ α′. Ὁ εἱρμός.

Ἀνοίξω τὸ στόμα μου* καὶ πληρωθήσεται Πνεύματος* καὶ λόγον ἐρεύξομαι* τῇ βασιλίδι Μητρί* καὶ ὀφθήσομαι* φαιδρῶς πανηγυρίζων* καὶ ᾄσω γηθόμενος* ταύτης τὰ θαύματα.

Τροπάρια.

Ὁπάντων ἐπέκεινα* σὲ τὴν ἀῤῥήτως γεννήσασαν* ἁπάντων προέθηκε* τῶν ἑαυτοῦ ἐκλεκτῶν* ὅθεν σήμερον* τὸν τούτου στεφανίτην* ὑμνοῦντες, πανύμνητε,* σοὶ προεξάρχομεν.

Τὸν μέγαν ἐν μάρτυσι,* τὸν ἀθλητὴν τὸν ὑπέρλαμπρον,* τὸν ὀνομαστότατον* καὶ περιβόητον,* τὸν ἐν θαύμασιν* ἀπ᾽ ἄκρων γῆς εἰς ἄκρα* ἐπίσημον ᾄσματι* μέλψω Θεόδωρον.

Ἡμέρα εὐφρόσυνος* ἐν ταῖς πενθίμοις ἀνέτειλε* καὶ τὴν σκυθρωπότητα* τούτων ἐφαίδρυνε,* προεόρτια* προοίμια μακρόθεν* ἐκλάμψασα χάριτι* τοῦ θείου μάρτυρος.

Ῥαντίζει καθάρσια* τὴν Ἐκκλησίαν τοῖς αἵμασι* τὸ ἅγιον σφάγιον,* ὃ προσελάβετο* ὁ τεθυμένος* καὶ θῦμα δεδεγμένος* τὸν ὑπεραθλήσαντα* τῆς θείας δόξης αὐτοῦ.

Θεοτοκίον.

Ὡραῖον, κἂν ἄωρον,* τὸ ἑορτάζειν νενόμισται* ἡ γὰρ ὡραΐσασα* τὰ πάντα Δέσποινα* καὶ νῦν ἔδειξε* τῆς

μνήμης κοινωνοῦσα* τῷ προκινδυνεύοντι* ταύτης δι' αἵματος.

Κανὼν β΄. Ποίημα τοῦ αὐτοῦ. Ἦχος πλ. β΄.
Ὠδὴ α΄. (Ὡς ἐν ἠπείρῳ πεζεύσας).

Ὁ θαυμαστὸς ἐν ἁγίοις* ὄντως Θεός,* ἐν ἐμοὶ θαυμάστωσον* τὰ ἐλέη σου, Χριστέ,* λόγον μοι δωρούμενος, ὡς ἂν* τᾶ θαυμάσια τοῦ σοῦ* αἰνέσω μάρτυρος.

Τὸ σταθερὸν ἐν τοῖς ἄθλοις* καὶ καρτερὸν* ἐν τοῖς πόνοις ἔδειξας,* ἀθλοφόρε τοῦ Χριστοῦ* τὸ ταχὺ δὲ πάλιν ἐφ' ἡμᾶς* βοηθείας φανερῶν* τῆς σῆς, Θεόδωρε.

Τὴν εὐσεβῆ τῶν πατέρων* πίστιν ψυχῆς* τῆς αὐτοῦ ὁ τύραννος,* ἀπωσάμενος κακῶς,* ἀσεβῆ ἠθέλησε βουλήν,* τῷ Θεῷ προσκεκρουκὼς* ἀεί, πορεύεσθαι.

Θεοτοκίον.

Θεορρήμονων προρρήσεις* πάλαι ἀνδρῶν* ἐπὶ σοὶ πεπλήρωνται,* Μητροπάρθενε, σαφῶς* ὡς Θεὸν τεκοῦσαν ἀληθῆ* καὶ Θεὸν ἀληθινὸν* ὑπερφυῶς καὶ φρικτῶς.

Ὠδὴ γ΄. Ὁ εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,* ὡς ζῶσα καὶ ἄφθονος πηγή,* θίασον συγκροτήσαντας* πνευματικόν, στερέωσον* καὶ ἐν τῇ θείᾳ δόξῃ σου* στεφάνων δόξης ἀξίωσον.

Τροπάρια.

Ἰδεῖν τὴν ἡμέραν τοῦ Υἱοῦ σου* ποθῶν ὁ χριστώνυμος λαός,* εἰς τύπον ταύτης, Δέσποινα,* ταχὺν προεορτάζουσι,* σὲ φέρουσαν ὑπόθεσιν* καὶ τὸν κλεινὸν ἀθλοφόρον σου.

Νικᾷ πᾶσι τρόποις τὰ βελτίω* ὁ μέγιστος γὰρ ἐν ἀθληταῖς* εἰς εὐφροσύνην ἤμειψε* τὴν τοῦ καιροῦ κατήφειαν,* τῆς εὐαγοῦς τὸ σύντονον* νηστείας τρέψας εἰς ἄνεσιν.

Οἰκεῖον καὶ πρέπον σοι τὸ δῶρον* καὶ γὰρ ἐξ οἰκείων, ἀθλητά* οὓς γὰρ αὐτὸς κατῴκισας* ἐν ταύτῃ τῇ με-

ρίδι σου,* περιχαρῶς τὰ δῶρά σοι* τὰ τῶν ἐπαίνων προσάγομεν.

Καλλίστην κρηπῖδα κατεβάλου* ταῖς σαῖς ἀριστείαις, ἀριστεῦ,* τὸν θῆρα τὸν ὀλέθριον,* τὸν πῦρ καὶ φόνον πνέοντα,* καταβαλὼν ὡς πάρεργον* ὑπερφυοῦς γενναιότητος.

Λυττῆσας ὁ νέος ἀποστάτης* κατ' ἴσον δεινῶς τῷ παλαιῷ,* καθάρματα τοῖς βρώμασιν* ὥσπερ ἰῷ συνέφυρεν* ἀλλὰ ψευσθεὶς ὁ δείλαιος* κατεσοφίσθη τῷ μάρτυρι.

Θεοτοκίον.

Ἐπλήσθη μὲν σύμπασα, Παρθένε,* τοῦ γνῶναι τὸν Κύριον ἡ γῆ,* ἐκ σοῦ τῷ κόσμῳ φάναντα* ἀλλὰ τοῖς θείοις μάρτυσι* χάρις πολλὴ, κρατύνασι* δι' ἑαυτῶν τὴν ἀλήθειαν.

Εἱρμὸς ἄλλος. (Οὐκ ἔστιν ἅγιος).

Πρὶν τῆς Εὔας τοῖς ὠσὶ* ψιθυρίσας δολίως,* τὸν Ἀδὰμ δι' αὐτῆς δὲ* ἀπατήσας δολερῶς* αὐτὸς καὶ νῦν τὸν ἰὸν* τῆς κακίας* πρὸς ἀπάτην κέχυκε.

Τὸν δόλον εἶχε κατ' αὐτοῦ* ἔτρεφε τὴν μανίαν* κατὰ τῶν εὐθηνούντων* καιρὸν ἐζήτει εὐθῆ,* καθ' ὃν τὸ μύσος τελεῖν* ἐμελέτα* ὁ παρανομώτατος.

Τῶν ἡμερῶν ἡ ἀπαρχὴ* τῶν ἁγίων ἐπέστη* νηστειῶν, ἐν αἷς ἅπας* Χριστιανὸς ἑαυτὸν* δι' ἐγκρατείας πολλῆς* ἐκκαθαίρει,* πάντων ἀπεχόμενος.

Θεοτοκίον.

Ἐλπὶς τοῦ κόσμου κραταιά,* σκέπη καὶ προστασία,* Παναγία Παρθένε,* μὴ παρίδῃς, ἀγαθή,* τὴν δέησιν οἰκετῶν,* τῶν ἐκ πόθου* σὲ μακαριζόντων ἀεί.

Κάθισμα. Ἦχος πλ. δ'. (Τὴν Σοφίαν).

Θεϊκὴν παντευχίαν* ἀναλαβὼν* καὶ εἰδώλων τὴν πλάνην* καταβαλών,* ἀγγέλους διήγειρας* εὐφημεῖν τοὺς ἀγῶνάς σου* τῷ γὰρ θείῳ πόθῳ* τὸν νοῦν πυρπολούμενος,*

τοῦ ἐν πυρὶ θανάτου* στερρῶς κατεφρόνησας΄* ὅθεν φερωνύμως* τοῖς αἰτοῦσί σε νέμεις* τὰ θεῖα δωρήματα,* ἰαμάτων χαρίσματα.* Ἀθλοφόρε Θεόδωρε,* πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.

Μαξιμίνου θωπείαις* μὴ ἐκλυθείς,* τοῦ Χριστοῦ δὲ τοῖς λόγοις* ἀνδρειωθείς,* εἰδώλων τὸ τέμενος* ἐν πυρὶ ἀπετέφρωσας,* ἀθλητικῶς νικήσας* καλῶς τὸν ἀντίπαλον΄* προφητικῶς διῆλθες* τὸ ὕδωρ ὡς ἐν ὕδατι΄* ὅθεν ἐπαξίως* ἀμοιβὴν τῶν ἀγώνων* πηγάζεις ἰάματα* τοῖς αἰτοῦσιν ἐκ πίστεως.* Ἀθλοφόρε Θεόδωρε,* πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὡς πανάμωμος νύμφη* τοῦ ποιητοῦ,* ὡς ἀπείρανδρος Μήτηρ* τοῦ Λυτρωτοῦ,* δοχεῖον ὡς ὑπάρχουσα* τοῦ Ὑψίστου, πανύμνητε,* ἀνομιῶν με ὄντα* αἰσχρὸν καταγώγιον* καὶ ἐν γνώσει γενόμενον* τοῖς δαίμοσι παίγνιον* σπεῦσον καὶ τῆς τούτων* κακουργίας με ῥῦσαι,* λαμπρὸν οἰκητήριον* ἀρετῆς ἀπαρτίσασα.* Φωτοδόχε ἀκήρατε,* δίωξον τὸ νέφος τῶν παθῶν* καὶ τῆς ἄνω λαμπρότητος ἀξίωσον* καὶ ἀκιβδήλου αἴγλης* φωτὸς ἀνεσπέρου σου.

Κοντάκιον. Αὐτόμελον. Ἦχος πλ. δ΄.

Πίστιν Χριστοῦ, ὡσεὶ θώρακα,* ἔνδον λαβὼν ἐν καρδίᾳ σου,* τὰς ἐναντίας δυνάμεις* κατεπάτησας, πολύαθλε,* καὶ στέφει οὐρανίῳ* ἐστέφθης αἰωνίως,* ὡς ἀήττητος.

Ὁ οἶκος. (Οἱ ἐν πάσῃ τῇ γῇ).

Τὸν ἐν θρόνῳ φωτὸς ἐποχούμενον* εὐχαρίστως ἐν πίστει ὑμνοῦμέν σε* ὅτι δώρημα θεῖον δεδώρησαι* τὸν γενναῖον τοῖς ἄθλοις Θεόδωρον,* τὸν ἐν τῷ βίῳ τρισμακάριστον,* ὡς ὑπέρμαχον ὄντα τῆς ἀληθείας΄* εὐσεβεῖ λογισμῷ*

κεκτημένος Χριστόν,* νικητὴς ἀνεδείχθη* κατὰ τοῦ δολεροῦ,* ὡς ἀήττητος.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, τὸ διὰ κολλύβων παράδοξον θαῦμα τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ἑορτάζομεν.

Στίχοι.

Τροφῇ κολλύβων ἑστιᾷ Τήρων πόλιν,
τροφὴν τιθεὶς ἄπρακτον ἠλισγημένην.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι Ἀνοίξω τὸ στόμα μου (σ. 106), ἡ Τιμιωτέρα καὶ ἡ καταβασία τῆς θ' ᾠδῆς Ἅπας γηγενὴς (σ. 119).

Ἐξαποστειλάριον. (Τοῖς μαθηταῖς συνέλθωμεν).

Στεφανηφόρος, ἅγιε,* παρεστὼς σὺν ἀγγέλοις* τῷ τοῦ Χριστοῦ νῦν βήματι* καὶ φωτὸς τοῦ ἐκεῖθεν* πληρούμενος, ἀθλοφόρε,* τὴν εἰρήνην τῷ κόσμῳ* ἀδιαλείπτως πρέσβευε* καὶ ἡμῖν σωτηρίαν* τοῖς εὐσεβῶς* τὴν φωσφόρον μνήμην σου* ἐκτελοῦσι,* Θεόδωρε πανόλβιε,* μάρτυς ἡγλαϊσμένε.

Θεοτοκίον. Ὅμοιον.

Ἐν τῇ γαστρί σου Κύριος,* ἀπολλύμενον κόσμον* φθορᾶς ἀνακαλέσασθαι* βουληθείς, ὥσπερ οἶδεν,* ἐσκήνωσε, Θεοτόκε.* Σωτηρίαν οὖν πάντες* εὑρόντες, ἐκβοῶμέν σοι* Χαῖρε τὸ τοῦ ἀγγέλου* πανευκλεές,* γυναιξὶν ἐν πάσαις* εὐλογημένη* καὶ γὰρ χαρὰν ἐκύησας* πάσῃ τῇ οἰκουμένῃ.

Εἰς τοὺς αἴνους ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια τοῦ ἁγίου.

Ἦχος α'. (Τῶν οὐρανίων ταγμάτων).

Τὸν ἀριστέα τῆς ἄνω* στρατολογίας, πιστοί,* ὡς καρτερὸν ὁπλίτην* τῆς ἡμῶν εὐσεβείας,* συμφώνως συνελθόντες,* ᾠδαῖς μυστικαῖς* εὐφημήσωμεν, λέγοντες * Ἀξιοθαύμαστε μάρτυς τοῦ Ἰησοῦ,* εὔχου ὑπὲρ τῶν τιμώντων σε.

Τῇ φερωνύμῳ σου κλήσει,* δῶρον Θεοῦ ἀληθῶς,* τοῖς θλιβομένοις πᾶσι* θυμηδία ἐδόθης,* Θεόδωρε τρισμάκαρ* πᾶς γὰρ τῷ σῷ* προσπελάζων ναῷ ἀληθῶς,* μετ' εὐφροσύνης λαμβάνων τὰς ἀμοιβὰς* τῶν θαυμάτων σου, γεραίρει Χριστόν.

Τῆς εὐσεβείας τὸν πλοῦτον* καὶ τὴν λαμπρότητα* ἀθλητικοῖς καμάτοις* σεαυτῷ θησαυρίσας,* πᾶσαν τὴν ἰσχύν σου* δῶρον δεκτὸν* τῷ Θεῷ προσενήνοχας,* ἀναπληρῶν ἐν τοῖς ἄθλοις μετὰ σπουδῆς* θεοδώρητόν σου πρόσκλησιν.

Τῇ παμφαεῖ πανηγύρει* τοῦ θείου μάρτυρος* εὐωχηθῶμεν πάντες* καὶ πιστῶς εὐφρανθῶμεν,* φιλέορτοι, τιμῶντες* φαιδρὰν ἑορτὴν* τῆς αὐτοῦ τελειώσεως,* ἀσματικῶς ἀνυμνοῦντες τὸν Ἰησοῦν,* τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

Δόξα. Ἦχος πλ. β'.

Ἁγιωσύνης δωρεὰ* καὶ πλοῦτος θείας ζωῆς* πεφανέρωσαι* τῷ κόσμῳ, Θεόδωρε* Χριστὸς γάρ σου, σοφέ,* τὴν μνήμην ἐδόξασεν* ἐν ᾗ συμφώνως οἱ πιστοί* γεγηθότες, ὑμνοῦμεν* τοὺς ἀγῶνας τῶν πόνων σου.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς* σὲ ἱκετεύομεν * Πρέσβευε, Δέσποινα,* μετὰ τοῦ ἀθλοφόρου* καὶ πάντων τῶν ἁγίων,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολογία μεγάλη (σ. 133) καὶ τὸ ἀπολυτίκιον Μεγάλα τὰ τῆς πίστεως κατορθώματα (σ. 891).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(σ. 287-319)

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον, τὸ ἀπολυτίκιον **Μεγάλα τὰ τῆς πίστεως κατορθώματα** (σ. 891), τὸ τοῦ ναοῦ καὶ **κοντάκιον Προστασία τῶν Χριστιανῶν** (σ. 208).

Ο ΑΠΟΣΤΟΛΟΣ(*)

Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς ξγ΄).

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (α΄ 1-12).

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ὑμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾽ ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»; Καὶ πάλιν· «Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν»; Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· «Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ». Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»· πρὸς δὲ τὸν Υἱόν· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρι-

(*) Κατὰ τὸ Τυπικὸν λέγεται ὁ Ἀπόστολος τοῦ ἁγίου.

σέ σε, ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου». Καί· «Σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι».

Ἕτερος τοῦ ἁγίου Θεοδώρου.

Πρὸς Τιμόθεον Β' Ἐπιστολῆς Παύλου (β' 1-10).

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι...
(Βλ. τῇ Ι' Φεβρουαρίου, σ. 748).

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (β' 23 - γ' 5).

Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς τοῖς Σάββασι διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας. Καὶ οἱ φαρισαῖοι ἔλεγον αὐτῷ· Ἴδε, τί ποιοῦσιν ἐν τοῖς Σάββασιν, ὃ οὐκ ἔξεστι. Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· Οὐδέποτε ἀνέγνωτε, τί ἐποίησε Δαβίδ, ὅτε χρείαν ἔσχε καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ ἀρχιερέως καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν, εἰ μὴ τοῖς ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι; Καὶ ἔλεγεν αὐτοῖς· Τὸ Σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ Σάββατον· ὥστε κύριός ἐστιν ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου.

Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα. Καὶ παρετήρουν αὐτόν, εἰ τοῖς Σάββασι θεραπεύσει αὐτόν, ἵνα κατηγορήσωσιν αὐτοῦ. Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· Ἔγειρε εἰς τὸ μέσον. Καὶ λέγει αὐτοῖς· Ἔξεστι τοῖς Σάββασιν ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι; Οἱ δὲ ἐσιώπων. Καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν,

λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου· καὶ ἐξέτεινε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299 κ.ἑ.).

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούια.

ΚΥΡΙΑΚΗ Α΄ ΤΩΝ ΝΗΣΤΕΙΩΝ
(ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ)

Ἀνάμνησιν ποιούμεθα τῆς ἀναστηλώσεως τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ **Κύριε, ἐκέκραξα**, ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ς΄ καὶ προσόμοια τοῦ Τριῳδίου δ΄.

Ἦχος πλ. β΄. (Ὅλην ἀποθέμενοι).

Σὲ τὸν ἀκατάληπτον* πρὸ ἑωσφόρου ἀνάρχως* ἐξ ἀΰλου λάμψαντα* ἀσωμάτου τε γαστρὸς* τοῦ Γεννήτορος,* οἱ προφῆται, Κύριε,* οἱ τῷ σῷ Πνεύματι* ἐμπνευσθέντες, προηγόρευσαν* παιδίον ἔσεσθαι* ἐξ ἀπειρογάμου σαρκούμενον,* ἀνθρώποις συναπτόμενον* καὶ τοῖς ἐπὶ γῆς καθορώμενον·* δι᾽ ὧν, ὡς οἰκτίρμων,* ἐλλάμψεως ἀξίωσον τῆς σῆς* τοὺς ἀνυμνοῦντας τὴν ἄφραστον* σοῦ σεπτὴν ἀνάστασιν.

Λόγῳ σε κηρύξαντες* οἱ θεηγόροι προφῆται* καὶ ἔργοις τιμήσαντες,* ἀτελεύτητον ζωὴν* ἐκαρπώσαντο·* τῇ γὰρ κτίσει, Δέσποτα,* παρὰ σὲ τὸν κτίσαντα* μὴ λατρεύειν καρτερήσαντες,* τὸν κόσμον ἅπαντα* εὐαγγελικῶς ἀπεστράφησαν,* καὶ σύμμορφοι γεγόνασιν,* οὗπερ προηγόρευσαν πάθους σου·* ὧν ταῖς ἱκεσίαις* ἀξίωσον ἀμέμπτως διελθεῖν* τῆς ἐγκρατείας τὸ στάδιον,* μόνε πολυέλεε.

Φύσει ἀπερίγραπτος* τῇ θεϊκῇ σου ὑπάρχων,* ἐπ᾽ ἐσχάτων, Δέσποτα,* σαρκωθεὶς ἠξίωσας* περιγράφεσθαι᾽* τῆς σαρκὸς προσλήψει γὰρ* καὶ τὰ ἰδιώματα* ἀνελάβου ταύτης ἅπαντα᾽* διὸ τὸ εἶδός σου* τὸ τῆς ἐμφερείας ἐγγράφοντες,* σχετικῶς ἀσπαζόμεθα,* πρὸς τὴν σὴν ἀγάπην ὑψούμενοι᾽* καὶ τῶν ἰαμάτων* τὴν χάριν ἀπαντλοῦμεν ἐξ αὐτοῦ,* τῶν ἀποστόλων ἑπόμενοι* θείαις παραδόσεσιν.

Ὑπέρτιμον κόσμησιν* ἡ τοῦ Χριστοῦ Ἐκκλησία* τῶν σεπτῶν ἀπείληφε* καὶ ἁγίων εἰκόνων* τοῦ Σωτῆρος Χριστοῦ* καὶ τῆς Θεομήτορος* καὶ ἁγίων πάντων* φαιδροτάτην ἀναστήλωσιν᾽* δι᾽ ἧς φαιδρύνεται* καὶ καταγλαΐζεται χάριτι,* καὶ στῖφος ἀποβάλλεται* τῶν αἱρετικῶν ἐκδιώκουσα᾽* καὶ ἀγαλλομένη* δοξάζει τὸν φιλάνθρωπον Θεὸν,* τὸν δι᾽ αὐτὴν ὑπομείναντα* πάθη τὰ ἑκούσια.

Δόξα. Ἦχος β′.

Ἡ χάρις ἐπέλαμψε τῆς ἀληθείας᾽* τὰ προτυπούμενα πάλαι σκιωδῶς* νῦν ἀναφανδὸν ἐκτετέλεσται᾽* ἰδοὺ γὰρ ἡ Ἐκκλησία* τὴν ἔνσωμον εἰκόνα Χριστοῦ* ὡς ὑπερκόσμιον κόσμον ἐπαμφιέννυται,* τῆς σκηνῆς τοῦ μαρτυρίου* τὸν τύπον προϋπογράφουσα* καὶ τὴν ὀρθόδοξον πίστιν κατέχουσα᾽* ἵνα ὃν σεβόμεθα,* τούτου καὶ τὴν εἰκόνα* διακρατοῦντες μὴ πλανώμεθα.* Ἐνδυσάσθωσαν αἰσχύνην* οἱ οὕτω μὴ πιστεύοντες᾽* ἡμῖν γὰρ δόξα* τοῦ σαρκωθέντος ἡ μορφή,* εὐσεβῶς προσκυνουμένη,* οὐ θεοποιουμένη.* Ταύτην κατασπαζόμενοι,* πιστοί, βοήσωμεν᾽* Ὁ Θεός,* σῶσον τὸν λαόν σου,* καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ νῦν. Τὸ α′ Θεοτοκίον τοῦ ἤχου.

Ἀπόστιχα τὰ ἀναστάσιμα.

Δόξα. Ἦχος β′.

Οἱ ἐξ ἀσεβείας* εἰς εὐσέβειαν προβάντες* καὶ τῷ φωτὶ τῆς γνώσεως ἐλλαμφθέντες* ψαλμικῶς τὰς χεῖρας κροτήσωμεν,* εὐχαριστήριον αἶνον* Θεῷ προσάγοντες᾽* καὶ τὰς ἐν τοίχοις καὶ πίναξι* καὶ ἱεροῖς σκεύεσιν* ἐγχαραχθεί-

σας ἱερὰς Χριστοῦ εἰκόνας,* τῆς πανάγνου* καὶ πάντων τῶν ἁγίων,* τιμητικῶς προσκυνήσωμεν,* ἀποβαλλόμενοι τὴν δυσσεβῆ* τῶν κακοδόξων θρησκείαν·* ἡ γὰρ τιμὴ τῆς εἰκόνος,* ὥς φησι Βασίλειος,* ἐπὶ τὸ πρωτότυπον διαβαίνει·* αἰτούμενοι ταῖς πρεσβείαις* τῆς ἀχράντου σου Μητρός,* Χριστὲ ὁ Θεὸς ἡμῶν,* καὶ πάντων τῶν ἁγίων,* δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὦ θαύματος καινοῦ (σ. 399).

Ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Δόξα. Ἦχος β΄.

Τὴν ἄχραντον εἰκόνα σου* προσκυνοῦμεν, ἀγαθέ,* αἰτούμενοι συγχώρησιν* τῶν πταισμάτων ἡμῶν,* Χριστὲ ὁ Θεός·* βουλήσει γὰρ ηὐδόκησας* ἀνελθεῖν ἐν τῷ Σταυρῷ,* ἵνα ῥύσῃ οὓς ἔπλασας* ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ·* ὅθεν εὐχαρίστως βοῶμέν σοι·* Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν,* παραγενόμενος* εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ νῦν. Θεοτοκίον.
Πάντα ὑπὲρ ἔννοιαν (σ. 399).

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Ὁ κανὼν τοῦ Τριῳδίου. Ποίημα Θεοφάνους.
Ἦχος δ΄. Ὠδὴ α΄ (Θαλάσσης τὸ ἐρυθραῖον).

Σκιρτῶντες* μετ᾽ εὐφροσύνης σήμερον,* πιστοί, βοήσωμεν·* Ὡς θαυμαστὰ τὰ ἔργα σου, Χριστέ,* καὶ μεγάλη ἡ δύναμις,* ὁ τὴν ἡμῶν ὁμόνοιαν* καὶ συμφωνίαν ἐργασάμενος.

Ἡμέραν* χαρμονικήν, θεόφρονες,* δεῦτε τελέσωμεν·* νῦν οὐρανὸς εὐφραίνεται καὶ γῆ* καὶ ἀγγέλων τὰ τά-

γματα* καὶ τῶν βροτῶν συστήματα,* διαφερόντως ἑορτάζοντα.

Μεγίστην* εὐεργεσίαν βλέποντες,* χεῖρας κροτήσωμεν,* τὰ διεστῶτα μέλη τοῦ Χριστοῦ* συνηγμένα πρὸς ἕνωσιν·* καὶ τὸν Θεὸν αἰνέσωμεν,* τὸν τὴν εἰρήνην πρυτανεύσαντα.

Ἐδόθη* τῇ Ἐκκλησίᾳ σήμερον* τὰ νικητήρια,* θεοκινήτῳ νεύσει καὶ βουλῇ* Μιχαὴλ Θεοδώρας τε,* τῶν εὐσεβῶς τῆς πίστεως* ἀντεχομένων βασιλέων ἡμῶν.

Θεοτοκίον.

Ῥομφαῖαι* τῶν δυσσεβῶν ἐξέλιπον* σαφῶς αἱρέσεων·* τὸν γὰρ ναόν σου, πάναγνε σεμνῆ,* ἐν εἰκόσι κοσμούμενον* πανευσεβῶς θεώμενοι,* νῦν πανιέρως ἀγαλλόμεθα.

Ὠδὴ γ'. (Εὐφραίνεται ἐπὶ σοί).

Οὐκέτι τῶν ἀσεβῶν* αἱρετικῶν νῦν ἡ ὀφρὺς αἴρεται·* ἡ γὰρ Θεοῦ δύναμις* τὴν ὀρθοδοξίαν ἐκράτυνε.

Νεφέλαι προφητικῶς* ζωοποιὸν ἐξ οὐρανοῦ σήμερον* δρόσον ἡμῖν ῥανάτωσαν* ἐπὶ τῇ ἐγέρσει τῆς πίστεως.

Εὐήχως αἱ μυστικαὶ* τῶν ἀποστόλων τοῦ Χριστοῦ σάλπιγγες* ὑπερφυῶς βοάτωσαν* τῶν σεπτῶν εἰκόνων ἀνόρθωσιν.

Υμνήσωμεν τὸν Χριστόν,* τὸν ἀναδείξαντα ἡμῖν ἄνασσαν* θεοσεβῆ, φιλόχριστον,* σὺν τῷ θεοστέπτῳ βλαστήματι.

Θεοτοκίον.

Σκηνήν σου τὴν ἱερὰν* καταλαβόντες οἱ πιστοί, πάναγνε,* φωτοειδεῖ χάριτι* νῦν καταυγασθῆναι δεόμεθα.

Καθίσματα. Ἦχος α'. (Χορὸς ἀγγελικός).

Τὴν θείαν σου μορφὴν* ἐν εἰκόνι τυποῦντες,* τὴν γέννησιν, Χριστέ,* ἀριδήλως βοῶμεν,* τὰ θαύματα τὰ ἄῤῥητα,* τὴν ἑκούσιον σταύρωσιν·* ὅθεν δαίμονες* ἀπο-

διώκονται φόβῳ* καὶ κακόδοξοι* ἐν κατηφείᾳ θρηνοῦσιν* ὡς τούτων συμμέτοχοι.

Δόξα. Ὅμοιον.

Μορφὰς τῶν προφητῶν,* ἀποστόλων τὰ εἴδη,* μαρτύρων ἱερῶν* καὶ ἁγίων ἁπάντων* εἰκόνας καὶ μορφώματα* ἱερῶς ὡραΐζεται,* τοῦ Νυμφίου δὲ* τοῦ νοητοῦ καὶ τῆς νύμφης* ἀγλαΐζεται* ταῖς νοεραῖς ἀγλαΐαις* ἡ μήτηρ, ἡ ἄνω Σιών.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τοῖς πόθῳ σου, σεμνή,* τὴν ἁγίαν εἰκόνα* τιμῶσι, καὶ Θεοῦ* ἀληθῆ σε Μητέρα* συμφώνως καταγγέλλουσι* καὶ πιστῶς προσκυνοῦσί σε,* φύλαξ φάνηθι* καὶ κραταιὰ προστασία,* ἀποτρέπουσα* πᾶν δυσχερὲς πόρρω τούτων,* ὡς πάντα ἰσχύουσα.

Κοντάκιον αὐτόμελον. Ἦχος πλ. δ'.

Ὁ ἀπερίγραπτος Λόγος τοῦ Πατρός* ἐκ σοῦ, Θεοτόκε,* περιεγράφη σαρκούμενος,* καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα* εἰς τὸ ἀρχαῖον ἀναμορφώσας,* τῷ θείῳ κάλλει συγκατέμιξεν.* Ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν,* ἔργῳ καὶ λόγῳ* ταύτην ἀνιστοροῦμεν.

Ὁ οἶκος.

Τοῦτο τὸ τῆς οἰκονομίας μυστήριον* πάλαι προφῆται* θειωδῶς ἐμπνευσθέντες,* δι' ἡμᾶς τοὺς εἰς τὰ τέλη* τῶν αἰώνων καταντήσαντας* προκατήγγειλαν,* τῆς τούτου τυχόντες ἐλλάμψεως.* Γνῶσιν οὖν θείαν* παρ' αὐτοῦ λαβόντες,* ἕνα Κύριον* τὸν Θεὸν γινώσκομεν* ἐν τρισὶν ὑποστάσεσι προσκυνούμενον'* καὶ αὐτῷ μόνῳ λατρεύοντες,* μίαν πίστιν,* ἓν βάπτισμα ἔχοντες,* Χριστὸν ἐνδεδύμεθα.* Ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν,* ἔργῳ καὶ λόγῳ* ταύτην ἀνιστοροῦμεν.

Συναξάριον τοῦ Μηναίου, εἰτα τὸ παρόν

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πρώτῃ τῶν νηστειῶν, ἀνάμνη-

σιν ποιούμεθα τῆς ἀναστηλώσεως τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, γενομένης παρὰ τῶν ἀειμνήστων αὐτοκρατόρων Κωνσταντινουπόλεως Μιχαὴλ καὶ τῆς μητρὸς αὐτοῦ Θεοδώρας ἐπὶ τῆς πατριαρχίας τοῦ ἁγίου καὶ ὁμολογητοῦ Μεθοδίου.

Στίχοι.

Τὰς οὐ πρεπόντως ἐξορίστους εἰκόνας
χαίρω πρεπόντως προσκυνουμένας βλέπων.

Ἡ ἀπαράλλακτος εἰκὼν τοῦ Πατρός, πρεσβείαις τῶν ἁγίων σου ὁμολογητῶν ἐλέησον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος δ΄.

Ὠδὴ α΄.

Θαλάσσης* τὸ ἐρυθραῖον πέλαγος* ἀβρόχοις ἴχνεσιν* ὁ παλαιὸς πεζεύσας Ἰσραήλ,* σταυροτύπως Μωσέως χερσὶ* τοῦ Ἀμαλὴκ τὴν δύναμιν* ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Ὠδὴ γ΄.

Εὐφραίνεται ἐπὶ σοὶ* ἡ Ἐκκλησία σου, Χριστέ, κράζουσα·* Σύ μου ἰσχύς, Κύριε,* καὶ καταφυγὴ καὶ στερέωμα.

Ὠδὴ δ΄.

Επαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία* ἐπὶ Σταυροῦ, τὸν ἥλιον* τῆς δικαιοσύνης,* ἔστη ἐν τῇ τάξει αὐτῆς,* εἰκότως κραυγάζουσα·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε΄.

Σύ, Κύριέ μου, φῶς* εἰς τὸν κόσμον ἐλήλυθας,* φῶς ἅγιον ἐπιστρέφον* ἐκ ζοφώδους ἀγνοίας* τοὺς πίστει ἀνυμνοῦντάς σε.

Ὠδὴ ς΄.

Θύσω σοι* μετὰ φωνῆς αἰνέσεως, Κύριε,* ἡ Ἐκκλησία βοᾷ σοι,* ἐκ δαιμόνων λύθρου κεκαθαρμένη* τῷ δι' οἴκτου* ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Ὠδὴ ζ΄.

Ἐν τῇ καμίνῳ* Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ,* πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλογὶ* πυρπολούμενοι ἐκραύγαζον* Εὐλογημένος εἶ* ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η΄.

Χεῖρας ἐκπετάσας Δανιὴλ* λεόντων χάσματα* ἐν λάκκῳ ἔφραξε* πυρὸς δὲ δύναμιν ἔσβεσαν* ἀρετὴν περιζωσάμενοι* οἱ εὐσεβείας ἐρασταί* παῖδες, κραυγάζοντες* Εὐλογεῖτε,* πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου (σ. 108 κ.ἑ.), ἡ Τιμιωτέρα (σ. 119) καὶ ἡ καταβασία.

Ὠδὴ θ΄.

Λίθος ἀχειρότμητος ὄρους* ἐξ ἁλαξεύτου σου, Παρθένε,* ἀκρογωνιαῖος ἐτμήθη,* Χριστὸς συνάψας* τὰς διεστῶσας φύσεις* διὸ ἐπαγαλλόμενοι* σέ, Θεοτόκε, μεγαλύνομεν.

Ἐξαποστειλάριον ἀναστάσιμον (σ. 121-125) καὶ τὰ παρόντα.

(Γυναῖκες, ἀκουτίσθητε).

Σκιρτήσατε, κροτήσατε,* μετ' εὐφροσύνης ᾄσατε* Ὡς θαυμαστά σου καὶ ξένα,* Χριστέ, βοῶντες, τὰ ἔργα!* καὶ τίς ἰσχύσει ἐξειπεῖν,* Σῶτερ, τὰς δυναστείας σου,* τοῦ τὴν ἡμῶν ὁμόνοιαν* καὶ συμφωνίαν εἰς μίαν* ἑνώσαντος Ἐκκλησίαν;

Θεοτοκίον. Ὅμοιον.

Ρομφαῖαι νῦν ἐξέλιπον* τῆς δυσμενοῦς αἱρέσεως,* καὶ τὸ μνημόσυνον ταύτης* ἐξηφανίσθη μετ' ἤχου* τὸν γὰρ ναόν σου, πάναγνε,* πανευπρεπῶς θεώμενοι* κεκοσμημένον χάρισι* τῶν σεβασμίων εἰκόνων,* χαρᾶς πληρούμεθα πάντες.

Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου δ' καὶ τοῦ Τριῳδίου προσόμοια δ'.

Ἦχος δ'. (Ἔδωκας σημείωσιν).

Εν σοὶ νῦν ἀγάλλεται* ἡ Ἐκκλησία, φιλάνθρωπε,* τῷ νυμφίῳ καὶ κτίστῃ αὐτῆς,* τῷ ταύτην θελήματι* θεοπρεπεστάτῳ* ἐξ εἰδώλων πλάνης* λυτρωσαμένῳ, καὶ σαυτῷ* ἁρμοσαμένῳ τιμίῳ αἵματι,* φαιδρῶς ἀπολαμβάνουσαν* τὴν ἱερὰν ἀναστήλωσιν* τῶν εἰκόνων, καὶ χαίρουσα* σὲ ὑμνεῖ καὶ δοξάζει πιστῶς. (Δὶς)

Σαρκὸς τὸ ἐκτύπωμα* ἀναστηλοῦντές σου, Κύριε,* σχετικῶς ἀσπαζόμεθα,* τὸ μέγα μυστήριον* τῆς οἰκονομίας* τῆς σῆς ἐκδηλοῦντες·* οὐ γὰρ δοκήσει, ὡς φασὶν* οἱ θεομάχοι παῖδες τοῦ Μάνεντος,* ἡμῖν ὤφθης, φιλάνθρωπε,* ἀλλ' ἀληθείᾳ καὶ φύσει σαρκός·* δι' αὐτοῦ ἀναγόμενοι* πρὸς σὸν πόθον καὶ ἔρωτα.

Ημέρα χαρμόσυνος* καὶ εὐφροσύνης ἀνάπλεως* πεφανέρωται σήμερον·* φαιδρότης δογμάτων γὰρ* τῶν ἀληθεστάτων* ἀστράπτει, καὶ λάμπει* ἡ Ἐκκλησία τοῦ Χριστοῦ,* κεκοσμημένη ἀναστηλώσεσιν* εἰκόνων τῶν ἁγίων νῦν,* ἐκτυπωμάτων καὶ λάμψεσι·* καὶ ὁμόνοια γίνεται* τῶν πιστῶν θεοβράβευτος.

Δόξα. Ἦχος πλ. β'.

Μωσῆς τῷ καιρῷ τῆς ἐγκρατείας* νόμον ἐδέξατο* καὶ λαὸν ἐπεσπάσατο·* Ἠλίας νηστεύσας* οὐρανοὺς ἀπέκλεισε·* τρεῖς δὲ παῖδες Ἀβραμιαῖοι* τύραννον παρανομοῦντα* διὰ νηστείας ἐνίκησαν.* Δι' αὐτῆς καὶ ἡμᾶς, Σωτήρ, ἀξίωσον* τῆς ἀναστάσεως τυχεῖν,* οὕτω βοῶντας·* Ἅγιος ὁ Θεός,* ἅγιος ἰσχυρός,* ἅγιος ἀθάνατος,* ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη καὶ τροπάριον ἀναστάσιμον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-299 καὶ 320-342).

Ψάλλομεν τὰ παρόντα ἀντίφωνα.

Ἀντίφωνον Α'. Ἦχος β'.

Στίχ. α'. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. β'. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Στίχ. γ'. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;

Στίχ. δ'. Εἰπάτωσαν οἱ λελυτρωμένοι, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ.

Δόξα, καὶ νῦν.

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. α'. Ἐξομολογησάσθωσαν τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν...

Στίχ. β'. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ καὶ ἐν καθέδρᾳ πρεσβυτέρων.

Στίχ. γ'. Ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Στίχ. δ'. Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.

Δόξα, καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς (σ. 293).

Ἀντίφωνον Γ'. Ἦχος β'.

Στίχ. α' Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.

Τὴν ἀχραντον εἰκόνα σου (σ. 903).

Στίχ. β'. Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Στίχ. γ'. Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

Μετὰ δὲ τὴν εἴσοδον τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ Τὴν ἄχραντον εἰκόνα σου (σ. 903), τὸ τοῦ ναοῦ καὶ κοντάκιον Τῇ ὑπερμάχῳ.

Προκείμενον. Ἦχος δ'. Ὕμνος τριῶν Παίδων (Δανιὴλ γ').

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (ια' 24-26, 32-40).

Ἀδελφοί, πίστει Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ, μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν.

Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψὼν καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν, οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν

οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ δρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (α΄ 44-52).

Τῷ καιρῷ ἐκείνῳ, ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε. Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. Ἀπεκρίθη Ναθαναὴλ καὶ λέγει αὐτῷ· Ῥαββί, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. Καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου (σ. 320-342).

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῆς Μ. Τεσσαρακοστῆς, σ. 241-244).

Μετά τόν προοιμιακόν καί τά εἰρηνικά (σ. 210-217), εἰς τό **Κύριε, ἐκέκραξα** ψάλλομεν στιχηρά κατανυκτικά τοῦ τυχόντος ἦχου δ΄ (σ. 499 κ.ἑ.), εἶτα τά παρόντα γ΄ προσόμοια τοῦ Τριῳδίου.

Ποίημα τοῦ κυρίου Ἰωσήφ.

Ἦχος δ΄. (Ἔδωκας σημείωσιν).

Δίδου μοι κατάνυξιν* καί τῶν κακῶν ἀλλοτρίωσιν* καί τελείαν διόρθωσιν,* εἰς πάθη τοῦ σώματος* νῦν βεβυθισμένῳ* καί μεμακρυσμένῳ* ἐκ σοῦ, Θεέ παμβασιλεῦ,* καί μηδαμόθεν ἐλπίδα ἔχοντι* καί σῶσόν με τόν ἄσωτον* διά πολλήν ἀγαθότητα,* Ἰησοῦ ὑπεράγαθε,* ὁ Σωτήρ τῶν ψυχῶν ἡμῶν.

Μωσῆς ὁ θεσπέσιος* διά νηστείας τεθέαται* καθαρθείς τόν ποθούμενον* τοῦτον οὖν ζηλώσασα,* ταπεινή ψυχή μου,* σπεῦσον, ἐν ἡμέρᾳ* τῆς ἐγκρατείας, τῶν κακῶν* ἐκκαθαρθῆναι, ὅπως τόν Κύριον,* διδόντα σοι τήν ἄφεσιν* νῦν θεωρήσῃς, ὑπάρχοντα* ἀγαθόν καί φιλάνθρωπον,* παντοδύναμον Κύριον.

Ἄλλο, τοῦ κυρίου Θεοδώρου.

Ἦχος πλ. β΄. (Ἀρχαγγελικῶς ἀνυμνήσωμεν).

Τά τῶν νηστειῶν* νῦν δισέβδομα φαιδρῶς* ἐναρξώμεθα, τελοῦντες* ἡμέραν ἐξ ἡμέρας, ἀδελφοί,* ἅρμα πυρός ἐργασάμενοι ἡμῖν,* ὡς Ἠλίας ὁ Θεσβίτης,* τάς τέσσαρας μεγάλας ἀρετάς* τόν νοῦν ἀνυψώσωμεν* ἀπαθείᾳ, τήν σάρκα ὁπλίσωμεν* τῇ ἁγνείᾳ, τρέποντες* καί νικῶντες τόν ἐχθρόν.

Καί τοῦ Μηναίου. Δόξα, καί νῦν. Θεοτοκίον.

Εἱρμός. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος πλ. δ΄.

Ἐδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου, Κύριε.

Στίχ. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.

Στίχ. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Στίχ. Οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας.

Καὶ πάλιν γεγωνοτέρᾳ φωνῇ

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου, Κύριε.

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν Στίχον, τὸ ἰδιόμελον τῆς ἡμέρας. Ἦχος πλ. δ΄.

Δεῦτε ἐκκαθάρωμεν ἑαυτοὺς* ἐν ἐλεημοσύναις* καὶ οἰκτιρμοῖς πενήτων,* μὴ σαλπίζοντες,* μὴ δημοσιεύοντες* ἡμῶν τὴν εὐποιΐαν* μὴ ἐπιγνώτω ἡ ἀριστερὰ* τῆς δεξιᾶς τὸ ἔργον* μὴ σκορπίσῃ ἡ κενοδοξία* τὸν καρπὸν τῆς ἐλεημοσύνης* ἀλλ' ἐν κρυπτῷ* τῷ τὰ κρυπτὰ εἰδότι κράξωμεν* Πάτερ, ἄφες* τὰ παραπτώματα ἡμῶν,* ὡς φιλάνθρωπος.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σ. 239).

Καὶ πάλιν τὸ ἰδιόμελον.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σ. 239).

Μαρτυρικόν.

Μάρτυρες Κυρίου,* πάντα τόπον ἁγιάζετε,* καὶ πᾶσαν νόσον θεραπεύετε* καὶ νῦν πρεσβεύσατε* ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ* τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Τὰ οὐράνια ὑμνεῖ σε,* κεχαριτωμένη,* Μῆτερ ἀνύμφευτε,* καὶ ἡμεῖς δοξολογοῦμεν* τὴν ἀνεξιχνίαστόν σου γέννησιν.* Θεοτόκε, πρέσβευε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ τροπάρια Θεοτόκε

Παρθένε, κ.τ.λ. (σ. 242-243. Βλ. καὶ τῇ Κυριακῇ τῆς Τυρινῆς ἑσπέρας, σ. 869).

ΤΗ ΤΕΤΑΡΤΗ ΤΗΣ Β΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΪ

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ι΄, ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος α΄.

Τὴν πνευματικήν, ἀδελφοί,* ἀναλαβόντες νηστείαν,* τῇ γλώσσῃ μὴ λαλεῖτε τὰ δόλια,* μηδὲ τίθεσθε πρόσκομμα* τῷ ἀδελφῷ εἰς σκάνδαλον·* ἀλλὰ τῇ μετανοίᾳ φαιδρύναντες* τὴν τῆς ψυχῆς λαμπάδα,* τοῖς δάκρυσι βοήσωμεν τῷ Χριστῷ·* Ἄφες ἡμῖν τὰ παραπτώματα ἡμῶν,* ὡς φιλάνθρωπος. (Δὶς)

Εἶτα τὸ μαρτυρικόν.

Πανεύφημοι μάρτυρες, ὑμᾶς* οὐχ ἡ γῆ κατέκρυψεν,* ἀλλ᾽ οὐρανὸς ὑπεδέξατο·* ἠνοίγησαν ὑμῖν* παραδείσου πύλαι,* καὶ ἐντὸς γενόμενοι* τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε.* Χριστῷ πρεσβεύσατε* δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν* τὴν εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Εἶτα στιχηρὰ προσόμοια τοῦ κυρίου Ἰωσήφ.

Ἦχος γ΄. (Μεγάλη τοῦ Σταυροῦ σου).

Τῶν θείων* ἀποστόλων, Κύριε, δεήσεσι,* τὸν τῆς νηστείας χρόνον* καλῶς ἡμᾶς τελέσαι* κατανύξει δια-

νοίας καταξίωσον,* ὡς ἀγαθός, εὐσπλαγχνε,* ἵνα σωζόμενοι* σὲ δοξάζωμεν πάντες.

Μεγάλη* καὶ φρικτή σου, Κύριε, ἡ ἔλευσις,* ἐν ᾗ καθίσας, κρίσιν* δικαίαν ἐκτελέσεις!* Μὴ οὖν κρίνῃς με τὸν κατακεκριμένον,* ἀλλ' ὡς Θεὸς φεῖσαί μου,* τῶν ἀποστόλων σου* εὐπροσδέκτοις πρεσβείαις.

Ἕτερον στιχηρὸν προσόμοιον, τοῦ κυρίου Θεοδώρου Ἦχος πλ. β΄. (Ὅλην ἀποθέμενοι).

Χριστοῦ οἱ ἀπόστολοι,* τῶν γηγενῶν οἱ φωστῆρες,* θησαυροὶ κοσμόπλουτοι* τῆς πανσόφου γνώσεως* τοῦ Θεοῦ ἡμῶν,* τοὺς ὑμᾶς μέλποντας* πειρασμῶν ῥύσασθε* ταῖς ἁγίαις προσευχαῖς ὑμῶν,* καὶ τὸν καιρὸν ἡμῖν* τὸν τῶν νηστειῶν διεξάγετε* νεανικῶς, βραβεύοντες* ἐν εἰρήνῃ νῦν τὴν ζωὴν ἡμῶν* ἵνα εὐαρέστως* προφθάσαντες τὸ πάθος τοῦ Χριστοῦ,* ἐν παῤῥησίᾳ προσφέρωμεν* ὕμνους τῷ Θεῷ ἡμῶν.

Καὶ τοῦ Μηναίου προσόμοια δ΄.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἴσοδος μετὰ τοῦ θυμιατοῦ. Τὸ Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς λα΄.

Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε, δίκαιοι.

Στίχ. Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Γενέσεως τὸ ἀνάγνωσμα (δ΄ 16-26).

Ἐξῆλθε Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναΐδ, κατέναντι Ἐδέμ. Καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώχ. Καὶ ἦν οἰκοδομῶν πόλιν καὶ ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ, Ἐνώχ. Ἐγεννήθη δὲ τῷ Ἐνὼχ Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ.

Καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας· ὄνομα τῇ μιᾷ Ἀδά, καὶ ὄνομα τῇ δευτέρᾳ Σελλά. Καὶ ἔτεκεν Ἀδὰ τὸν Ἰωβήλ· οὗτος ἦν πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρό-

φων. Καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν. Σελλὰ δὲ καὶ αὐτὴ ἔτεκε τὸν Θόβελ· καὶ ἦν σφυροκόπος, χαλκεὺς χαλκοῦ καὶ σιδήρου. Ἀδελφὴ δὲ Θόβελ Νοεμά.

Εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξίν· Ἀδὰ καὶ Σελλά, ἀκούσατε τῆς φωνῆς μου, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους, ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί· ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.

Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα· Ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν. Καὶ τῷ Σὴθ ἐγένετο υἱός, ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ.

Προκείμενον. Ἦχος α′. Ψαλμὸς λβ′.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.
Στίχ. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.

Παροιμιῶν τὸ ἀνάγνωσμα (ε′ 15 - ς′ 3).

Υἱέ, πῖνε ὕδατα ἀπὸ σῶν ἀγγείων καὶ ἀπὸ σῶν φρεάτων πηγῆς. Ὑπερεκχείσθω σοι ὕδατα ἐκ τῆς σῆς πηγῆς· εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα. Ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι. Ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου. Ἔλαφος φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, ἡ δὲ ἰδία ἠγείσθω σου καὶ συνέστω σοι ἐν παντὶ καιρῷ· ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος, πολλοστὸς ἔσῃ. Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν, μηδὲ συνέχου ἀγκάλαις τῆς μὴ ἰδίας. Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός· εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει. Παρανομίαι ἄνδρα ἀγρεύουσι, σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. Οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων, ἐκ δὲ πλήθους τῆς ἑαυτοῦ βιότητος ἐξερρίφη, καὶ ἀπώλετο δι' ἀφροσύνην.

Υἱέ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, παραδώσεις σὴν χεῖρα ἐχθρῷ· παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος. Ποίει, υἱέ, ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σῴζου.

Καὶ εὐθὺς τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Β΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΪ

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ε΄, ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος δ΄.

Νῦν καιρὸς εὐπρόσδεκτος,* νῦν ἡμέρα σωτηρίας·* ἐν τῷ πλήθει τοῦ ἐλέους σου* ἐπίσκεψαί μου τὴν ψυχήν* καὶ τὸ φορτίον τῶν ἀνομιῶν μου* ἄνες, μόνε φιλάνθρωπε. (Δις)

Εἶτα τὰ δ΄ μαρτυρικὰ τοῦ τυχόντος ἤχου (σ. 505 κ.ἑ.) καὶ δ΄ προσόμοια τοῦ Μηναίου.

Δόξα. Τὸ νεκρώσιμον τοῦ ἤχου.

Καὶ νῦν. Τὸ α΄ θεοτοκίον τοῦ ἤχου.

Εἴσοδος. Τὸ Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς λθ΄.

Τὸ ἔλεός σου, Κύριε, καὶ ἡ ἀλήθειά σου εἰς τὸν αἰῶνα.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.

Γενέσεως τὸ ἀνάγνωσμα (ε′ 32 - ς′ 8).

Νῶε ἦν ἐτῶν πεντακοσίων· καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. Καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο. Καὶ εἶπε Κύριος ὁ Θεός· Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας· ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσιν ἔτη. Οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ μετ' ἐκεῖνο, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν αὐτοῖς· ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί.

Ἰδὼν δὲ Κύριος ὁ Θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας, καὶ ἐνεθυμήθη ὁ Θεός, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη, καὶ εἶπεν ὁ Θεός· Ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ· ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτούς. Νῶε δὲ εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ.

Προκείμενον. Ἦχος πλ. β′. Ψαλμὸς μ′.

Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με.

Στίχ. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα.

Παροιμιῶν τὸ ἀνάγνωσμα (ς′ 20 - ζ′ 1).

Υἱέ, φύλασσε νόμους πατρός σου καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· ἄφαψαι δὲ αὐτοὺς ἐπὶ σῇ ψυχῇ διὰ παντὸς καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ. Ἡνίκα ἂν περιπατῇς, ἐ-

πάγου αὐτὴν καὶ μετὰ σοῦ ἔστω· ὡς δ' ἂν καθεύδῃς, φυλασσέτω σε, ἵνα ἐγειρομένῳ συλλαλῇ σοι. Ὅτι λύχνος ἐντολὴ νόμου καὶ φῶς, ὁδὸς ζωῆς καὶ ἔλεγχος καὶ παιδεία, τοῦ διαφυλάσσειν σε ἀπὸ γυναικὸς ὑπάνδρου καὶ ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας.

Υἱέ, μὴ σε νικήσῃ κάλλους ἐπιθυμία, μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς, μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων· τιμὴ γὰρ πόρνης ὅση καὶ ἑνὸς ἄρτου, γυνὴ δὲ ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει. Ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει; οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον, οὐκ ἀθῳωθήσεται, οὐδὲ ὁ ἁπτόμενος αὐτῆς. Οὐ θαυμαστόν, ἐὰν ἁλῷ τις κλέπτων· κλέπτει γάρ, ἵνα ἐμπλήσῃ τὴν ψυχὴν αὐτοῦ πεινῶσαν· ἐὰν δὲ ἁλῷ, ἀποτίσει ἑπταπλάσια, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ δοὺς ῥύσεται ἑαυτόν. Ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται, ὀδύνας τε καὶ ἀτιμίας ὑποφέρει, τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα. Μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς· οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως, οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων.

Υἱέ, φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ. Υἱέ, τίμα τὸν Κύριον, καὶ ἰσχύσεις· πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον.

Τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ ΕΣΠΕΡΑΣ

Τελεῖται τὸ Μικρὸν Ἀπόδειπνον (σ. 274-284). Μετὰ δὲ τὸ Ἄξιόν ἐστιν ψάλλεται ὁ κανὼν τοῦ Ἀκαθίστου Ἀνοίξω τὸ στόμα μου καὶ ἀναγινώσκεται ἡ Β΄ στάσις τῶν οἴκων τῆς Θεοτόκου (Ζήτει τὴν ἀκολουθίαν τοῦ Ἀκαθίστου Ὕμνου εἰς τὸ Παράρτημα τοῦ παρόντος τόμου, σ. 1313 κ.ἑ.).

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Β΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ΄

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία τοῦ Ὄρθρου τῶν Σαββάτων, σ. 138-151).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ (σ. 83-99) ψάλλεται τὸ **Ἀλληλούϊα** μετὰ τῶν νεκρωσίμων στίχων (σ. 141) καὶ τὰ ἀπολυτίκια **Ἀπόστολοι, μάρτυρες** κ.λ.π. (σ. 140).

Μετὰ τὴν α΄ στιχολογίαν τὰ μαρτυρικὰ καθίσματα τοῦ τυχόντος ἤχου (σ. 506 κ.ἑ.). Εἶτα [ὁ ἄμωμος καὶ] τὰ νεκρώσιμα εὐλογητάρια, ἡ δέησις ὑπὲρ τῶν κεκοιμημένων καὶ τὰ καθίσματα **Ἀνάπαυσον, Σωτὴρ ἡμῶν** κ.τ.λ. (σ. 143-144).

Ὁ Ν΄ Ψαλμός. Ὁ κανὼν τοῦ Μηναίου καὶ τὰ τετραῴδια τῆς ἡμέρας. Μετὰ τὴν γ΄ ᾠδὴν τὰ καθίσματα τοῦ Μηναίου. Μετὰ τὴν ς΄ ᾠδὴν τὸ κοντάκιον **Μετὰ τῶν ἁγίων** (σ. 146) καὶ τὸ συναξάριον τοῦ Μηναίου. **Ἐξαποστειλάριον** τοῦ Σαββάτου (σ. 148).

Εἰς τοὺς αἴνους τὰ μαρτυρικὰ τοῦ τυχόντος ἤχου (σ. 507 κ.ἑ.). Τὸ **Σοὶ δόξα πρέπει** (σ. 148), τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας. Ἀπόστιχα τὰ νεκρώσιμα τοῦ ἤχου (σ. 509 κ.ἑ.).

Τὸ **Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι**, τὸ Τρισάγιον καὶ τὰ ἀπολυτίκια **Ἀπόστολοι μάρτυρες** κ.λ.π. (σ. 140).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Ψάλλομεν τὰ ἀντίφωνα τῶν καθημερινῶν (σ. 291, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον τὰ ἀπολυτίκια **Ἀπόστολοι μάρτυρες** καὶ **Μνήσθητι Κύριε** (σ. 140), τὸ τοῦ ναοῦ καὶ τὸ κοντάκιον **Ὡς ἀπαρχὰς** τῆς φύσεως (σ. 146).

Προκείμενον. Ἦχος πλ. β΄.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.

Στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (γ΄ 12-16).

Ἀδελφοί, βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος, ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν ἄχρις οὗ τό «σήμερον» καλεῖται, ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις ἀπάτῃ τῆς ἁμαρτίας· μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν, ἐν τῷ λέγεσθαι· «Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ». Τίνες γὰρ ἀκούσαντες παρεπίκραναν; Ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως;

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (α΄ 35-44).

Τῷ καιρῷ ἐκείνῳ, ἀπῆλθεν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο. Καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ' αὐτοῦ, καὶ εὑρόντες αὐτὸν λέγουσιν αὐτῷ ὅτι πάντες σε ζητοῦσι. Καὶ λέγει αὐτοῖς· Ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα. Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν εἰς ὅλην τὴν Γαλιλαίαν καὶ τὰ δαιμόνια ἐκβάλλων.

Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακαλῶν αὐτὸν καὶ γονυπετῶν αὐτὸν καὶ λέγων αὐτῷ ὅτι, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. Ὁ δὲ Ἰησοῦς σπλαγχνισθείς, ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ καὶ λέγει αὐτῷ· Θέλω, καθαρίσθητι. Καὶ εἰπόντος αὐτοῦ, εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη. Καὶ ἐμβριμησάμενος αὐτῷ εὐθέως ἐξέβαλεν αὐτὸν καὶ λέγει αὐτῷ· Ὅρα μηδενὶ μηδὲν εἴπῃς ἀλλ' ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, ἃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

Κοινωνικόν.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.

ΚΥΡΙΑΚΗ Β΄ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ς΄ καὶ τοῦ ἁγίου προσόμοια δ΄.

Ἦχος β΄. (Ποίοις εὐφημιῶν στέμμασιν).

Ποίοις εὐφημιῶν ἀσμασιν* ἀνυμνήσωμεν τὸν ἱεράρχην;* τῆς θεολογίας τὴν σάλπιγγα,* τὸ πυρίπνουν στόμα τῆς χάριτος,* τὸ σεπτὸν τοῦ Πνεύματος δοχεῖον,* τὸν στῦλον τῆς Ἐκκλησίας τὸν ἀκράδαντον,* τὸ μέγα τῆς οἰκουμένης ἀγαλλίαμα,* τὸν ποταμὸν τῆς σοφίας,* τοῦ φωτὸς τὸν λύχνον,* τὸν ἀστέρα τὸν φαεινόν,* τὸν τὴν κτίσιν καταλαμπρύνοντα. (Δὶς)

Ποίοις ὑμνῳδιῶν ἄνθεσι* στεφανώσωμεν τὸν ἱεράρχην;* τὸν τῆς εὐσεβείας ὑπέρμαχον* καὶ τῆς ἀσεβείας ἀντίπαλον,* τὸν θερμὸν τῆς πίστεως προστάτην,* τὸν μέγαν καθηγεμόνα καὶ διδάσκαλον,* τὴν λύραν τὴν παναρμόνιον τοῦ Πνεύματος,* τὴν χρυσαυγίζουσαν γλῶσσαν,* τὴν πηγὴν τὴν βρύουσαν* ἰαμάτων νάματα πιστοῖς,* τὸν μέγαν καὶ ἀξιάγαστον Γρηγόριον.

Ποίοις οἱ γηγενεῖς χείλεσιν* εὐφημήσωμεν τὸν ἱεράρχην;* τὸν τῆς Ἐκκλησίας διδάσκαλον,* τοῦ φωτὸς τοῦ θείου τὸν κήρυκα,* τὸν οὐρανομύστην τῆς Τριάδος,* τὸ μέγα τῶν μοναζόντων ἐγκαλλώπισμα,* τὸν πράξει καὶ θεωρίᾳ διαλάμποντα,* Θεσσαλονίκης τὸ κλέος,* συμπολίτην ἔχοντα* μυροβλύτην ἐν οὐρανοῖς,* τὸν θεῖον καὶ ὑπερθαύμαστον Δημήτριον.

Δόξα. Ἦχος πλ. β'.

Οσιε τρισμάκαρ,* ἀγιώτατε πάτερ,* ὁ ποιμὴν ὁ καλὸς* καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής,* ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων'* αὐτὸς καὶ νῦν, πατὴρ ἡμῶν,* θεοφόρε Γρηγόριε,* αἴτησαι πρεσβείαις σου* δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τὸ α' Θεοτοκίον τοῦ ἤχου.

Ἀπόστιχα τὰ ἀναστάσιμα.

Δόξα. Ἦχος πλ. δ'.

Ηγρήγορος γλῶσσά σου πρὸς διδασκαλίαν,* ἐν τοῖς ὠσὶ τῶν καρδιῶν ἐνηχοῦσα,* τὰς τῶν ῥαθύμων ψυχὰς διανίστησι* καὶ θεοφθόγγοις λόγοις σου* κλῖμαξ εὑρίσκεται,* τοὺς ἐκ γῆς πρὸς Θεὸν ἀναφέρουσα'* διό, Γρηγόριε, Θετταλίας τὸ θαῦμα,* μὴ παύσῃ πρεσβεύων Χριστῷ* φωτισθῆναι τῷ θείῳ φωτὶ τοὺς τιμῶντάς σε.

Καὶ νῦν. Ἀνύμφευτε Παρθένε (σ. 485).

Ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Δόξα. Τοῦ ἁγίου. Ἦχος πλ. δ'.

Ορθοδοξίας ὁ φωστήρ,* Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε,* τῶν μοναστῶν ἡ καλλονή,* τῶν θεολόγων ὑπέρμαχος ἀπροσμάχητος,* Γρηγόριε θαυματουργέ,* Θεσσαλονίκης τὸ καύχημα,* κῆρυξ τῆς χάριτος,* ἱκέτευε διαπαντὸς* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθείς (σ. 485).

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ΄

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Ὁ κανὼν τοῦ ἁγίου. Ποίημα Γεωργίου.
Ἦχος δ΄. Ὠδὴ α΄. (Ἀνοίξω τὸ στόμα μου).

Ρητόρων οἱ ἔνθεοι* καὶ θεολόγων οἱ πρόκριτοι,* καὶ γλῶσσαι θεόφθογγοι* δεῦτε συνέλθετε* εἰς ἑνότητα,* ὑμνῆσαι κατ' ἀξίαν* τὸν πνευματορρήτορα* θεῖον Γρηγόριον.

Στῦλος τῆς πίστεως,* τῆς Ἐκκλησίας ὁ πρόμαχος,* ὁ μέγας Γρηγόριος* ἀνευφημείσθω μοι,* ὁ πανάριστος* ποιμὴν Θεσσαλονίκης,* ὁ κόσμος τοῦ τάγματος* ἱεραρχῶν ἀληθῶς.

Ἐκ βρέφους ἐπόθησας* κρείττονα βίον καὶ τέλειον,* πάτερ, ἐκ νεότητος* ἔστερξας φρόνημα* καὶ ὁμότροπος* καὶ σύμφρων ἀνεδείχθης* τοῦ συνωνυμοῦντός σοι,* θεῖε Γρηγόριε.

Θεοτοκίον.

Γενοῦ μοι, πανάμωμε,* ζωῆς ὁδὸς ὁδηγοῦσά με* πρὸς θεῖα σκηνώματα* ἀπεπλανήθην γάρ* καὶ πρὸς βάραθρα* κακίας ὁλισθαίνω,* ἐξ ὧν με ἀνάγαγε* τῇ μεσιτείᾳ σου.

Ὠδὴ γ΄. (Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε).

Τὰ ῥεῖθρα τῶν θείων διδαχῶν σου* φυλάττοντες, πᾶσαν μηχανὴν* τῶν κακοδόξων φεύγομεν,* καὶ πάσας ἐκκρουόμεθα* σοῖς ἱεροῖς συγγράμμασι* φάλαγγας τούτων, Γρηγόριε.

Σοφίας μωρὰς τῶν κακοδόξων* διέλυσας, μάκαρ, τοῦ Θεοῦ* σοφίαν ἐνυπόστατον* ἔχων ἐν τῇ καρδίᾳ σου,* δι' ἧς μετ' ἤχου ἔθραυσας* τὰ σαθρὰ τούτων φρυάγματα.

Νεκρώσας σαρκὸς τῆς φθειρομένης* πᾶσαν ἡδυπάθειαν, σοφέ,* ἀσκητικῶς ἐζώωσας* ψυχῆς σου τὰ κινήματα* καὶ ταύτην θεῖον ὄργανον* θεολογίας ἀνέδειξας.

Θεοτοκίον.

Εν γνώσει φρενῶν καὶ προαιρέσει* αἰσχράν τε καὶ ἄσωτον ζωὴν* ἐπιμελῶς ἠγάπησα·* ἀλλὰ στοργῇ τῇ θείᾳ με,* Παρθένε Θεονύμφευτε,* δέσμευσον θείᾳ πρεσβείᾳ σου.

Κάθισμα. Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Τὴν πλάνην κατέφλεξας* τῶν κακοδόξων, σοφέ,* τὴν πίστιν ἐτράνωσας* τῶν ὀρθοδόξων καλῶς* καὶ κόσμον ἐφώτισας·* ὅθεν τροπαιοφόρος* νικητὴς ἀνεδείχθης,* στῦλος τῆς Ἐκκλησίας,* ἀληθὴς ἱεράρχης·* πρεσβεύων μὴ ἐλλίπῃς Χριστῷ* σωθῆναι πάντας ἡμᾶς.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ταχὺ δέξαι, Δέσποινα,* τὰς ἱκεσίας ἡμῶν* καὶ ταύτας προσάγαγε* τῷ σῷ Υἱῷ καὶ Θεῷ,* Κυρία πανάμωμε·* σβέσον τὰς περιστάσεις* τῶν δυσφήμων γλωσσάλγων,* πράϋνον μηχανίας* καὶ κατάβαλε θράσος* τῶν ὀπλιζομένων ἀθέων,* κατὰ τῶν δούλων σου.

Κοντάκιον. (Τῇ ὑπερμάχῳ στρατηγῷ).

Τὸ τῆς σοφίας ἱερὸν καὶ θεῖον ὄργανον,* θεολογίας τὴν λαμπρὰν συμφώνως σάλπιγγα,* ἀνυμνοῦμέν σε, Γρηγόριε Θεορρῆμον.* Ἀλλ᾽ ὡς νοῦς Νοῒ τῷ πρώτῳ παριστάμενος,* πρὸς αὐτὸν τὸν νοῦν ἡμῶν, πάτερ, ὁδήγησον,* ἵνα κράζωμεν·* Χαῖρε, κῆρυξ τῆς χάριτος.

Ὁ οἶκος. (Ἄγγελος πρωτοστάτης).

Αγγελος ἀνεφάνης* ἐπὶ γῆς τῶν ἀῤῥήτων* τὰ θεῖα τοῖς βροτοῖς ἐξαγγέλλων·* ταῖς γὰρ τῶν ἀσωμάτων φωναῖς* ἀνθρωπίνῳ νοΐ τε* καὶ σαρκὶ χρώμενος,* ἐξέστησας ἡμᾶς καὶ βοᾶν σοι,* Θεορρῆμον, ἔπεισας ταῦτα·

Χαῖρε, δι᾽ οὗ* τὸ σκότος ἠλάθη·* χαῖρε, δι᾽ οὗ* τὸ φῶς ἀντεισῆλθε.

Χαῖρε, τῆς ἀκτίστου* Θεότητος ἄγγελε·* χαῖρε, τῆς κτιστῆς* καὶ μωρᾶς ὄντως ἔλεγχε.

Χαῖρε, ὕψος ἀνεπίβατον* τὴν Θεοῦ φύσιν εἰπών·* χαῖρε, βάθος δυσθεώρητον* τὴν ἐνέργειαν εἰπών.

Χαῖρε, ὅτι τὴν δόξαν* τοῦ Θεοῦ καλῶς εἶπας·* χαῖρε, ὅτι τὰς δόξας* τῶν κακούργων ἐξεῖπας.

Χαῖρε, φωστὴρ* ὁ δείξας τὸν ἥλιον·* χαῖρε, κρατὴρ* τοῦ νέκταρος πάροχε.

Χαῖρε, δι' οὗ* ἡ ἀλήθεια λάμπει·* χαῖρε, δι' οὗ* ἐσκοτίσθη τὸ ψεῦδος.

Χαῖρε, κῆρυξ τῆς χάριτος.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ δευτέρᾳ τῶν νηστειῶν, μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ Παλαμᾶ.

Στίχοι.

Φωτὸς λαμπρὸν κήρυκα νῦν ὄντως μέγαν
πηγῆ φάους ἄδυτον ἄγει πρὸς φέγγος.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Καταβασίαι Ἀνοίξω τὸ στόμα μου (σ. 106).

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου (σ. 108 κ.ἑ.), ἡ Τιμιωτέρα καὶ ἡ καταβασία Ἅπας γηγενὴς (σ. 119-120).

Ἐξαποστειλάριον ἀναστάσιμον (σ. 121-125) καὶ τοῦ ἁγίου τὸ παρόν.

(Τοῖς μαθηταῖς συνέλθωμεν).

Χαῖρε, πατέρων καύχημα,* Θεολόγων τὸ στόμα,* τῆς ἡσυχίας σκήνωμα,* τῆς σοφίας ὁ οἶκος,* τῶν διδασκάλων ἀκρότης,* πέλαγος τὸ τοῦ λόγου·* πράξεως, χαῖρε, ὄργανον,* θεωρίας ἀκρότης,* θεραπευτὰ* καὶ τῶν νόσων, χαῖρε,* τῶν ἀνθρωπίνων·* Πνεύματος, χαῖρε, τέμενος,* καὶ θανὼν καὶ ζῶν, πάτερ.

Θεοτοκίον. Ὅμοιον.

Δέσποινα πάντων ἄνασσα,* πρόφθασον ἐν κινδύνοις,* πρόφθασον ἐν ταῖς θλίψεσι,* πάρεσο ἐν ἀνάγκαις,* τῆς τελευταίας ἡμέρας,* μὴ σατὰν ἡμᾶς λάβῃ,* μὴ ᾅδης,* μὴ ἀπώλεια·* βήματι τοῦ Υἱοῦ σου* τῷ φοβερῷ* ἀνευθύνους ἅπαντας* παραστῆναι,* ὦ Θεομῆτορ Δέσποινα,* ποίησον σαῖς πρεσβείαις.

Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου δ' καὶ τοῦ ἁγίου δ'.

Ἦχος α'. (Τῶν οὐρανίων ταγμάτων).

Τὴν μακαρίαν ἐν κόσμῳ* ζωὴν διήνυσας,* καὶ νῦν τῶν μακαρίων* συνευφραίνῃ τοῖς δήμοις,* καὶ γῆν τὴν τῶν πραέων* ὡς πρᾶος οἰκεῖς,* ἱεράρχα Γρηγόριε·* χάριν θαυμάτων πλουτεῖς δὲ παρὰ Θεοῦ,* ἣν παρέχεις τοῖς τιμῶσί σε. (Δὶς)

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Ὀρθοδοξίας τὰ δόγματα* κατεφύτευσας,* κακοδοξίας, μάκαρ,* ἐκτεμὼν τὰς ἀκάνθας·* καὶ πίστεως τὸν σπόρον* πληθύνας καλῶς,* τῇ ἐπομβρίᾳ τῶν λόγων σου,* ἑκατοστεύοντα στάχυν ὡς πρακτικὸς* γεωργὸς Θεῷ προσήνεγκας.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Τὴν τοῦ ἀμέμπτου σου βίου,* μάκαρ, λαμπρότητα,* ἐθαύμασαν ἀγγέλων* καὶ ἀνθρώπων οἱ δῆμοι·* καὶ γὰρ τῇ προαιρέσει* στερρὸς ἀθλητὴς* καὶ ἀσκητὴς ἀναδέδειξαι* καὶ ἱεράρχης καὶ ἄξιος λειτουργὸς* τοῦ Θεοῦ καὶ φίλος γνήσιος.

Δόξα. Ἰδιόμελον τοῦ Τριῳδίου. Ἦχος πλ. β'.

Τοῖς ἐν σκότει ἁμαρτημάτων πορευομένοις,* φῶς ἀνέτειλας, Χριστέ,* τῷ καιρῷ τῆς ἐγκρατείας·* καὶ τὴν

εὔσημον ἡμέραν τοῦ πάθους σου* δεῖξον ἡμῖν,* ἵνα βοῶμέν σοι* Ἀνάστα, ὁ Θεός,* ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη καὶ τροπάριον ἀναστάσιμον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-299 καὶ 320-342).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον, τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ ἁγίου Ὀρθοδοξίας ὁ φωστὴρ (σ. 924), τὸ τοῦ ναοῦ καὶ κοντάκιον Τῇ ὑπερμάχῳ.

Προκείμενον τοῦ ἤχου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (α΄ 10 - β΄ 3).

Κατ᾽ ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοὶ αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι». Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε· «Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»; Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραρρυῶμεν. Εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; Ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (β΄ 1-12).

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ, καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι. Καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. Καὶ ἔρχονται πρὸς αὐτὸν παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων. Καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβατον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο. Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ· Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν· Τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας εἰμὴ εἷς, ὁ Θεός; Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτω διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; Τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν· Ἔγειρε καὶ ἆρον τὸν κράβατόν σου καὶ περιπάτει; Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας – λέγει τῷ παραλυτικῷ· Σοὶ λέγω, ἔγειρε καὶ ἆρον τὸν κράβατόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. Καὶ ἠγέρθη εὐθέως, καὶ ἆρας τὸν κράβατον ἐξῆλθεν ἐναντίον πάντων ὥστε ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν Θεὸν λέγοντας, ὅτι οὐδέποτε οὕτως εἴδομεν.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου (σ. 320-342).

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ Β΄ ΕΒΔΟΜΑΔΟΣ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῆς Μ. Τεσσαρακοστῆς, σ. 241-244).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) εἰς

τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ τυχόντος ἤχου δ΄ (σ. 499 κ.ἑ.), εἶτα τὰ παρόντα γ΄ προσόμοια τοῦ Τριῳδίου.

Ποίημα τοῦ κυρίου Ἰωσήφ.
Ἦχος πλ. δ΄. (Ἀμέτρητος ὑπάρχει).

Ἀμέτρητά σοι πταίσας,* ἀμετρήτους κολάσεις ἐκδέχομαι,* βρυγμὸν ὀδόντων* καὶ κλαυθμὸν ἀπαράκλητον,* γέενναν πυρός,* καὶ σκότος καὶ τάρταρον,* κριτὰ δικαιότατε·* δάκρυα οὖν μοι δώρησαι,* δι' ὧν εὕρω τὴν ἄφεσιν* καὶ κακῶν μου τὴν λύσιν,* νηστεύων καὶ κράζων σοι·* Δέσποτα Χριστέ,* οἰκτείρησόν με* διὰ μέγα καὶ πλούσιον ἔλεος.

Ἐμὲ τὸν πλανηθέντα* ἐπὶ ὄρη δεινῶν παραβάσεων* ζήτησον, Λόγε,* καὶ πρὸς σὲ ἀνακάλεσαι,* ἤθη πονηρὰ* ἐκ τῆς διανοίας μου* μακρὰν ἀπωθούμενος·* θνήξαντα πάλιν ζώωσον* καὶ νηστείᾳ καθάρισον,* ἐν κλαυθμῷ διηνεκεῖ* βοῶντα καὶ λέγοντα·* Δέσποτα Χριστέ,* οἰκτείρησόν με,* διὰ μέγα καὶ πλούσιον ἔλεος.

Ἕτερον, τοῦ κυρίου Θεοδώρου.
Ἦχος ὁ αὐτός. (Τὴν ἔνδοξον καὶ ἄχραντον).

Νηστείας ἐναρξάμενοι* ἑβδομάδος τῆς τρίτης,* τὴν Τριάδα τὴν σεπτὴν* εὐφημήσωμεν οἱ πιστοί,* τὸ ἑξῆς περιχαρῶς* διανύοντες·* τῆς σαρκὸς δὲ τὰ πάθη* ἀπομαράναντες,* ἐκ ψυχῆς ἡμῶν ἄνθη* θεῖα δρεψώμεθα,* στεφάνους πλεξάμενοι* τῆς κυρίας τῶν ἡμερῶν·* ἵνα πάντες τὸν Χριστὸν ὡς νικητὴν* στεφανηφοροῦντες ἀνυμνήσωμεν.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Φῶς ἱλαρόν. Προκείμενον. Ἦχος πλ. δ΄.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου... (σ. 868).

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον, τὸ παρὸν ἰδιόμελον.

Ἦχος πλ. δ΄.

Χαλινοὺς ἀποπτύσας* τοὺς πατρικοὺς ἀστάτῳ φρενί,* τοῖς κτηνώδεσι τῆς ἁμαρτίας* λογισμοῖς συνέζησα,* ὅλον μου τὸν βίον* δαπανήσας ἀσώτως ὁ τάλας ἐγώ·* τροφῆς δὲ λειπόμενος* βεβαιούσης καρδίαν,* πρὸς καιρὸν λιπαίνουσαν* ἡδονὴν ἐσιτούμην.* Ἀλλά, Πάτερ ἀγαθέ,* μὴ κλείσῃς μοι* τὰ φιλάνθρωπα σπλάγχνα,* ἀλλ᾽ ἀνοίξας δέξαι με,* ὡς τὸν ἄσωτον υἱόν,* καὶ σῶσόν με.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σ. 239).

Καὶ πάλιν τὸ ἰδιόμελον.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σ. 239).

Μαρτυρικόν.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε... (σ. 913).

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη... (σ. 913).

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ τροπάρια Θεοτόκε Παρθένε κ.τ.λ. (σ. 242-243. Βλ. καὶ τῇ Κυριακῇ τῆς Τυρινῆς ἑσπέρας, σ. 869).

ΤΗ ΤΕΤΑΡΤΗ ΤΗΣ Γ΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ΄

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ι΄, ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος δ΄.

Ἀσώτως διασπείρας* τὸν πατρικόν μου πλοῦτον,* ἔρημος γέγονα* ἐν τῇ χώρᾳ οἰκήσας* τῶν πονηρῶν πολιτῶν'* καὶ τῇ ἀλογίᾳ* ὡμοιώθην ἀνοήτοις κτήνεσι,* καὶ πάσης γεγύμνωμαι θείας χάριτος'* διὸ ἐπιστρέψας βοῶ σοι,* τῷ εὐσπλάγχνῳ καὶ οἰκτίρμονι Πατρί'* Ἥμαρτον, δέξαι με* μετανοοῦντα, ὁ Θεός,* καὶ ἐλέησόν με. (Δὶς)

Μαρτυρικόν.

Ἱερεῖα ἔμψυχα,* ὁλοκαυτώματα λογικά,* μάρτυρες Κυρίου,* θύματα τέλεια Θεοῦ,* Θεὸν γινώσκοντα* καὶ Θεῷ γινωσκόμενα πρόβατα,* ὧν ἡ μάνδρα* λύκοις ἀνεπίβατος,* πρεσβεύσατε* καὶ ἡμᾶς συμποιμανθῆναι ὑμῖν* ἐπὶ ὕδατος ἀναπαύσεως.

Εἶτα στιχηρὰ προσόμοια τοῦ κυρίου Ἰωσήφ.

Ἦχος πλ. β΄. (Ὅλην ἀποθέμενοι).

Ἡλίου αὐγάσματα* τοῦ νοητοῦ δεδειγμένοι,* θεόπται ἀπόστολοι,* φωτισμὸν αἰτήσατε* ταῖς ψυχαῖς ἡμῶν* καὶ παθῶν ῥύσασθε* ἀχλυώδους σκότους* καὶ ἡμέραν τὴν σωτήριον* ἰδεῖν πρεσβεύσατε,* διὰ νηστειῶν καὶ δεήσεων* καρδίας ἐκκαθάραντες,* ἃς ὁ πονηρὸς ἐτραυμάτισεν'* ὅπως ὑμᾶς πίστει* σῳζόμενοι γεραίρωμεν ἀεί,* τοὺς τῷ πανσόφῳ κηρύγματι* κόσμον διασώσαντας.

Εἰς χώραν ὁ ἄσωτος* ἀποδημήσας κακίας,* κακῶς ἐδαπάνησα* ὅπερ, Πάτερ εὐσπλαγχνε,* πλοῦτον δέδωκας,* καὶ λιμῷ τήκομαι* ἀγαθῶν πράξεων* καὶ αἰσχύνην παραβάσεως* ἰδοὺ ἐνδέδυμαι,* χάριτος ἐνθέου γυμνούμενος'* καὶ κράζω σοι τὸ Ἥμαρτον'* οἶδα γὰρ τὴν σὴν ἀγαθότητα'* δέξαι με ὡς ἕνα,* οἰκτίρμον, τῶν μισθίων σου, Χριστέ,* τῶν ἀποστόλων δεήσεσι* τῶν ἠγαπηκότων σε.

Ἕτερον, τοῦ κυρίου Θεοδώρου.

Ἦχος ὁ αὐτός. (Ἐκ δεξιῶν τοῦ Σωτῆρος).

Ἀπόστολοι τοῦ Σωτῆρος,* φωστῆρες οἰκουμένης* καὶ εὐεργέται καὶ σῶσται,* οἱ Θεοῦ τῆς δόξης* ὡς οὐρανοὶ

διηγήτορες* καὶ πεποικιλμένοι* τοῖς ἄστροις τῶν θαυμάτων* καὶ τοῖς τέρασι τῶν ἰάσεων,* ἐκτενῶς ὑπὲρ ἡμῶν* τὰς ἱκετηρίας* τῷ Κυρίῳ προσάγετε,* εἰς ὁσμὴν ἄχραντον* τὰς εὐχὰς δεχθῆναι ἡμῶν,* καὶ ἀξιωθῆναι* τὸν ζωηφόρον Σταυρὸν* καὶ προσπτύξασθαι* καὶ βλέψαι, φόβῳ ἅπαντας* αὐτοῦ τῇ προσκυνήσει* κατάπεμψον ἡμῖν* τὰ ἐλέη σου, Σωτήρ, ὡς φιλάνθρωπος.

Καὶ τοῦ Μηναίου προσόμοια δ'.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς να'.

Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα.
Στίχ. Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός;

Γενέσεως τὸ ἀνάγνωσμα (ζ' 6-9).

Νῶε ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς. Εἰσῆλθε δὲ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβωτὸν διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ. Καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν καὶ ἀπὸ πάντων τῶν ἑρπόντων ἐπὶ τῆς γῆς δύο δύο εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβωτόν, ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο ὁ Θεὸς τῷ Νῶε.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς νβ'.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ.
Στίχ. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.

Παροιμιῶν τὸ ἀνάγνωσμα (θ' 12-18).

Υἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἂν ἀντλήσεις κακά. Υἱὸς πεπαιδευμένος σοφὸς ἔσται, τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται. Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέ-

μους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα· ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται· διαπορεύεται δὲ δι' ἀνύδρου ἐρήμου καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν.

Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται, ἡ οὐκ ἐπίσταται αἰσχύνην· ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις, προσκαλουμένη τοὺς παριόντας καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν· Ὅς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδεέσι φρονήσεως παρακελεύομαι λέγουσα· Ἄρτων κρυφίων ἡδέως ἄψασθε καὶ ὕδατος κλοπῆς γλυκεροῦ πίετε. Ὁ δὲ οὐκ οἶδεν ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται, καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ. Ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ, μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν· οὕτω γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον· ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολὺν ζήσῃς χρόνον, προστεθῇ δέ σοι ἔτη ζωῆς.

Καὶ εὐθὺς τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Γ' ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος βαρύς.

Ἀσώτου δίκην ἀπέστην* τῆς χάριτός σου, Κύριε,* καὶ τὸν πλοῦτον δαπανήσας τῆς χρηστότητος,* ἐπὶ σὲ ἔδραμον,* εὔσπλαγχνε, κραυγάζων σοι·* Ὁ Θεός, ἥμαρτον· ἐλέησόν με. (Δίς)

Εἶτα τὰ δ΄ μαρτυρικὰ τοῦ τυχόντος ἤχου (σ. 505 κ.έ.) καὶ δ΄ προσόμοια τοῦ Μηναίου.

Δόξα. Τὸ νεκρώσιμον τοῦ ἤχου.

Καὶ νῦν. Τὸ α΄ θεοτοκίον τοῦ ἤχου.

Εἴσοδος. Τὸ Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς νθ΄.

Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου.

Στίχ. Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς.

Γενέσεως τὸ ἀνάγνωσμα (η΄ 4-21).

Ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός, ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ. Τὸ δὲ ὕδωρ ἠλαττονοῦτο ἕως τοῦ δεκάτου μηνός· καὶ ἐν τῷ δεκάτῳ μηνί, τῇ πρώτῃ τοῦ μηνός, ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων.

Καὶ ἐγένετο μετὰ τεσσαράκοντα ἡμέρας ἠνέῳξε Νῶε τὴν θυρίδα τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ ἀπέστειλε τὸν κόρακα τοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ· καὶ ἐξελθών, οὐκ ἀνέστρεψεν ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς. Καὶ ἀπέστειλε τὴν περιστερὰν ὀπίσω αὐτοῦ, ἰδεῖν εἰ κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς. Καὶ οὐχ εὗροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς, ἀνέστρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτόν, ὅτι ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ ἐκτείνας τὴν χεῖρα ἔλαβεν αὐτήν, καὶ εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν.

Καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστερὰν ἐκ τῆς κιβωτοῦ. Καὶ ἀνέστρεψε πρὸς αὐτὸν ἡ περιστερὰ τὸ πρὸς ἑσπέραν, καὶ εἶχε φύλλον ἐλαίας κάρ-

φος ἐν τῷ στόματι αὐτῆς, καὶ ἔγνω Νῶε, ὅτι κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς. Καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστεράν, καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι.

Καὶ ἐγένετο ἐν τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μηνός, μιᾷ τοῦ μηνός, ἐξέλιπε τὸ ὕδωρ ἀπὸ τῆς γῆς· καὶ ἀπεκάλυψε Νῶε τὴν στέγην τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς. Ἐν δὲ τῷ δευτέρῳ μηνὶ ἐξηράνθη ἡ γῆ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός.

Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε λέγων· Ἔξελθε ἐκ τῆς κιβωτοῦ, σὺ καὶ ἡ γυνή σου καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ καὶ πάντα τὰ θηρία, ὅσα ἐστὶ μετὰ σοῦ, καὶ πᾶσα σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς ἐξάγαγε μετὰ σεαυτοῦ· καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς.

Καὶ ἐξῆλθε Νῶε καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ· καὶ πάντα τὰ θηρία. Καὶ πάντα τὰ κτήνη, καὶ πᾶν πετεινόν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν, ἐξῆλθοσαν ἐκ τῆς κιβωτοῦ. Καὶ ᾠκοδόμησε Νῶε θυσιαστήριον τῷ Κυρίῳ, καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν καὶ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν ἐπὶ τὸ θυσιαστήριον. Καὶ ὠσφράνθη Κύριος ὁ Θεὸς ὀσμὴν εὐωδίας.

Προκείμενον. Ἦχος πλ. β'. Ψαλμὸς ξ'.

Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς τῆς δεήσεώς μου· πρόσχες τῇ προσευχῇ μου.

Στίχ. Οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας.

Παροιμιῶν τὸ ἀνάγνωσμα (ι' 31 - ια' 12).

Στόμα δικαίου ἀποστάζει σοφίαν...

(Βλ. εἰς τὸ τέλος τοῦ Τριῳδίου, σ. 1310).

Τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ ΕΣΠΕΡΑΣ

Τελεῖται τὸ Μικρὸν Ἀπόδειπνον (σ. 274-284). Μετὰ δὲ τὸ Ἄξιόν ἐστιν ψάλλεται ὁ κανὼν τοῦ Ἀκαθίστου Ἀνοίξω τὸ στόμα μου καὶ ἀναγινώσκεται ἡ Γ΄ στάσις τῶν οἴκων τῆς Θεοτόκου (Ζήτει τὴν ἀκολουθίαν τοῦ Ἀκαθίστου Ὕμνου εἰς τὸ Παράρτημα τοῦ παρόντος τόμου, σ. 1313 κ.ἑ.).

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Γ΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΪ΄

Ἡ ἀκολουθία τοῦ Ὄρθρου καὶ τῆς Θ. Λειτουργίας τελεῖται ἀπαραλλάκτως κατὰ τὴν τάξιν τοῦ Σαββάτου τῆς Β΄ ἑβδομάδος (σ. 920).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 289-319)

Προκείμενον. Ἦχος πλ. β΄.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.
Στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (ι΄ 32-38).

Ἀδελφοί, ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. Καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν. Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν.

«Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται».

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (β' 14-17).

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς εἶδε Λευῒν τὸν τοῦ Ἀλφαίου, καθήμενον ἐπὶ τὸ τελῶνιον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοί, καὶ ἠκολούθησαν αὐτῷ. Καὶ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· Τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει; Καὶ ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

Κοινωνικόν.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.



ΚΥΡΙΑΚΗ Γ΄ ΤΩΝ ΝΗΣΤΕΙΩΝ
(ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ)

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ
ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ς΄ καὶ τοῦ τιμίου Σταυροῦ προσόμοια δ΄.

Ἦχος πλ. α΄. (Χαίροις, ἀσκητικῶν ἀληθῶς).

Λάμψον, ὁ τοῦ Κυρίου Σταυρός,* ταῖς φεγγοβόλοις ἀστραπαῖς σου τῆς χάριτος* καρδίας τῶν σὲ τιμώντων* καὶ θεολήπτῳ στοργῇ* περιπτυσσομένων, κοσμοπόθητε·* δι' οὗ τῶν δακρύων* ἐξηφανίσθη κατήφεια,* καὶ τοῦ θανάτου* τῶν παγίδων ἐρρύσθημεν* καὶ πρὸς ἄληκτον* εὐφροσύνην μετήλθομεν·* δεῖξον τῆς ὡραιότητος* τῆς σῆς τὴν εὐπρέπειαν,* τὰς ἀντιδόσεις παρέχων* τῆς ἐγκρατείας τοῖς δούλοις σου,* πιστῶς αἰτουμένοις* σὴν πλουσίαν προστασίαν* καὶ μέγα ἔλεος.

Χαίροις, ὁ ζωηφόρος Σταυρός,* τῆς Ἐκκλησίας ὁ ὡραῖος παράδεισος,* τὸ ξύλον τῆς ἀφθαρσίας,* τὸ ἐξανθῆσαν ἡμῖν* αἰωνίου δόξης τὴν ἀπόλαυσιν·* δι' οὗ τῶν δαιμόνων* ἀποδιώκονται φάλαγγες* καὶ τῶν ἀγγέλων* συνευφραίνονται τάγματα* καὶ συστήματα* τῶν πιστῶν ἑορτάζουσιν·* ὅπλον ἀκαταγώνιστον,* κραταίωμα ἄῤῥηκτον,* τῶν βασιλέων τὸ νῖκος,* τῶν ἱερέων τὸ καύχημα·* Χριστοῦ νῦν τὰ πάθη* καὶ ἡμῖν δίδου προφθάσαι* καὶ τὴν ἀνάστασιν.

Χαίροις, ὁ ζωηφόρος Σταυρός,* τῆς εὐσεβείας τὸ ἀήττητον τρόπαιον,* ἡ θύρα τοῦ παραδείσου,* ὁ τῶν πιστῶν στηριγμός,* τὸ τῆς Ἐκκλησίας περιτείχισμα·* δι' οὗ ἐξηφάνισται* ἡ ἀρά, καὶ κατήργηται* καὶ κατεπόθη* τοῦ θανάτου ἡ δύναμις,* καὶ ὑψώθημεν* ἀπὸ γῆς πρὸς οὐρανία,* ὅπλον ἀκαταμάχητον,* δαιμόνων ἀντίπαλε,* δόξα μαρτύρων, ὁσίων* ὡς ἀληθῶς ἐγκαλλώπισμα,* λιμὴν σωτηρίας,* ὁ δωρούμενος τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Δεῦρο, τῶν πρωτοπλάστων δυάς,* ἡ τῆς χορείας ἐκπεσοῦσα τῆς ἄνωθεν* τῷ φθόνῳ τοῦ βροτοκτόνου,* διὰ πικρᾶς ἡδονῆς* τῆς τοῦ ξύλου πάλαι ἀπογεύσεως·* ἰδοὺ τὸ πανσέβαστον* ὄντως ξύλον προέρχεται,* ᾧ προσδραμόντες* ἐν χαρᾷ περιπτύξασθε* καὶ βοήσατε* πρὸς αὐτὸ μετὰ πίστεως·* Σὺ ἡμῶν ἡ ἀντίληψις,* Σταυρὲ πανσεβάσμιε,* οὗ τοῦ καρποῦ μετασχόντες,* τῆς ἀφθαρσίας ἐτύχομεν,* Ἐδὲμ τὴν προτέραν* κομισάμενοι βεβαίαν* καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος γ'.

Χριστέ, ὁ Θεὸς ἡμῶν,* ὁ τὴν ἑκούσιον σταύρωσιν* εἰς κοινὴν ἐξανάστασιν* τοῦ γένους τῶν ἀνθρώπων καταδεξάμενος* καὶ τῷ καλάμῳ τοῦ Σταυροῦ* βαφαῖς ἐρυθραῖς* τοὺς σαυτοῦ δακτύλους αἱματώσας,* τοῖς ἀφεσίμοις ἡμῖν* βασιλικῶς ὑπογράψαι φιλανθρωπευσάμενος,* μὴ παρίδης ἡμᾶς* κινδυνεύοντας καὶ πάλιν* τὴν ἀπὸ σοῦ διάστασιν·* ἀλλ' οἰκτείρησον, μόνε μακρόθυμε,* τὸν ἐν περιστάσει λαόν σου* καὶ ἀνάστηθι,* πολέμησον τοὺς πολεμοῦντας ἡμᾶς,* ὡς παντοδύναμος.

Καὶ νῦν. Τὸ α' θεοτοκίον τοῦ ἤχου.

Ἀπόστιχα τὰ ἀναστάσιμα.

Δόξα, καὶ νῦν. Ἦχος δ'.

Ο συμμαχήσας, Κύριε,* τῷ πραοτάτῳ Δαβὶδ* ὑποτάξαι τὸν ἀλλόφυλον,* τῷ πιστῷ ἡμῶν βασιλεῖ συμπολέμησον* καὶ τῷ ὅπλῳ τοῦ Σταυροῦ* κατάβαλε τοὺς ἐχθροὺς ἡμῶν·* δεῖξον, εὔσπλαγχνε, εἰς ἡμᾶς* τὰ ἀρχαῖα ἐλέη σου·* καὶ γνώτωσαν ἀληθῶς,* ὅτι σὺ εἶ Θεός,* καὶ ἐν σοὶ πεποιθό-

τες νικῶμεν,* πρεσβευούσης συνήθως* τῆς ἀχράντου σου Μητρὸς* δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Δόξα. Τοῦ Σταυροῦ. Ἦχος α΄.

Σῶσον, Κύριε, τὸν λαόν σου* καὶ εὐλόγησον τὴν κληρονομίαν σου,* νίκας τοῖς βασιλεῦσι* κατὰ βαρβάρων δωρούμενος* καὶ τὸ σὸν φυλάττων* διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Καὶ νῦν. Θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου (σ. 385).

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ΄

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Εἰς τὸ Θεὸς Κύριος ψάλλομεν τὰ ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ.

[Ἡ στιχολογία τοῦ Ψαλτηρίου καὶ ὁ πολυέλεος].

Καθίσματα ψάλλομεν τὰ ἀναστάσιμα καὶ τὸ παρὸν τοῦ Σταυροῦ.

Ἦχος πλ. δ΄. (Τὸ προσταχθὲν μυστικῶς).

Ἐν παραδείσῳ μὲν τὸ πρὶν* ξύλῳ ἐγύμνωσεν,* ἐπὶ τῇ γεύσει ὁ ἐχθρὸς* εἰσφέρων νέκρωσιν·* τοῦ σταυροῦ δὲ τὸ ξύλον* τῆς ζωῆς τὸ ἔνδυμα* ἀνθρώποις φέρον, ἐπάγη* ἐπὶ τῆς γῆς,* καὶ κόσμος ὅλος ἐπλήσθη* πάσης χαρᾶς·* ὃν ὁρῶντες προσκυνούμενον,* Θεῷ ἐν πίστει, λαοί,* συμφώνως ἀνακράξωμεν·* Πλήρης δόξης ὁ οἶκος αὐτοῦ. (Δις)

Τὰ εὐλογητάρια δὲν ψάλλονται, ἀλλ᾽ εὐθὺς ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου. Εἶτα ψάλλεται ὁ κανὼν τοῦ Σταυροῦ. Λέγομεν δὲ εἰς τὸ α΄ τροπάριον ἑκάστης ᾠδῆς· Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε· εἰς τὰ λοιπά· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι· εἰς δὲ τὰ δύο τελευταῖα· Δόξα, καὶ νῦν.

Ὁ κανὼν τοῦ Σταυροῦ. Ἦχος α'.
Ποίημα τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου.

Ὠδὴ α'. Ὁ εἱρμός. (Ἀναστάσεως ἡμέρα).

Θειότατος προετύπωσε* πάλαι Μωσῆς,* ἐν ἐρυθρᾷ θαλάσσῃ* διαβιβάσας Ἰσραήλ,* τὸν Σταυρόν σου, τὴν ὑγρὰν* τῇ ῥάβδῳ τεμών,* ᾠδήν σοι ἐξόδιον* ἀναμέλπων, Χριστὲ ὁ Θεός. (Δις)

Τροπάρια.

Πανηγύρεως ἡμέρα'* τῇ ἐγέρσει Χριστοῦ* θάνατος φροῦδος ὤφθη,* ζωῆς ἀνέτειλεν αὐγή'* ὁ Ἀδὰμ ἐξαναστὰς* χορεύει χαρᾷ'* διὸ ἀλαλάξωμεν* ἐπινίκιον ᾄδοντες.

Προσκυνήσεως ἡμέρα* τοῦ τιμίου Σταυροῦ'* δεῦτε πρὸς τοῦτον πάντες'* τῆς γὰρ ἐγέρσεως Χριστοῦ* τὰς αὐγὰς φωτοβολῶν,* προτίθεται νῦν'* αὐτὸν ἀσπασώμεθα* ψυχικῶς ἀγαλλόμενοι.

Ἐπιφάνηθι, ὁ μέγας* τοῦ Κυρίου Σταυρός'* δεῖξόν μοι ὄψιν θείαν* τῆς ὡραιότητός σου νῦν,* ἄξιον προσκυνητὴν* γενέσθαι με σόν'* καὶ γὰρ ὡς ἐμψύχῳ σοι* καὶ φωνῶ καὶ προσπτύσσομαι.

Αἰνεσάτωσαν συμφώνως* οὐρανὸς καὶ ἡ γῆ,* ὅτι πρόκειται πᾶσιν,* ὁ παμμακάριστος Σταυρός,* ᾧ παγεὶς σωματικῶς* ἐτύθη Χριστός'* αὐτὸν ἀσπασώμεθα,* ψυχικῶς ἀγαλλόμενοι.

Δόξα. Τριαδικόν.

Ω Τριὰς τοῖς χαρακτῆρσιν,* ὦ Μονὰς τῇ μορφῇ,* Πάτερ, Υἱὲ καὶ Πνεῦμα,* ἡ ὁμοδύναμος Ἑνὰς* ἐν θελήσει καὶ βουλῇ* καὶ κράτους ἀρχῇ,* τὸν κόσμον σου φύλαττε,* τὴν εἰρήνην βραβεύουσα.

Καὶ νῦν. Θεοτοκίον.

Πεῖραν ὅλως ἡ Παρθένος* μὴ εἰδυῖα ἀνδρός,* ἄσπορον τίκτεις βρέφος,* ἄχραντον φέρεις τοκετόν,* τὸν τῶν ὅλων ποιητήν,* Χριστὸν τὸν Θεόν'* αὐτὸν ἐκδυσώπησον* εἰρηνεῦσαι τὰ σύμπαντα.

Ὠδὴ γ'. Ὁ εἱρμός. (Δεῦτε πόμα πίωμεν).

Στερέωσον, Δέσποτα Χριστέ,* τῷ Σταυρῷ σου ἐν πέτρᾳ* με τῇ τῆς πίστεως,* μὴ σαλευθῆναι τὸν νοῦν* ἐχθροῦ προσβολαῖς τοῦ δυσμενοῦς·* μόνος γὰρ εἶ ἅγιος. (Δὶς)

Τροπάρια.

Δεῦτε, ᾄσμα ᾄσωμεν καινόν,* τὴν κατάλυσιν ᾅδου* παρηγυρίζοντες·* ἐκ γὰρ τοῦ τάφου Χριστὸς* ἀνέστη, τὸν θάνατον ἑλὼν* καὶ σώσας τὰ σύμπαντα.

Δεῦτε ἀρυσώμεθα, πιστοί,* οὐκ ἐκ κρήνης βρυούσης* ὕδωρ φθειρόμενον,* ἀλλὰ πηγὴν φωτισμοῦ,* Σταυροῦ προσκυνῆσει τοῦ Χριστοῦ,* ἐν ᾧ καὶ καυχώμεθα.

Πάλαι ὂν ἐτύπου Μωϋσῆς* ταῖς παλάμαις Σταυρόν σου,* νῦν προσπτυσσόμενοι,* τὸν νοητὸν Ἀμαλὴκ* τροπούμεθα, Δέσποτα Χριστέ,* δι' οὗ καὶ σεσώσμεθα.

Ὀμμασι καὶ χείλεσιν ἁγνοῖς* ἀνακρούοντες μέλος* ἀγαλλιάσεως,* τὸν τοῦ Κυρίου Σταυρὸν* χαρᾷ προσκυνήσωμεν, πιστοί,* κροτοῦντες ἐν ᾄσμασιν.

Δόξα. Τριαδικόν.

Ἕνα ὑποστάσεσι τρισὶ* Θεὸν ἄναρχον σέβω,* μὴ διαιρούμενον* τῇ τῆς οὐσίας μορφῇ,* Πατέρα, Υἱὸν καὶ Πνεῦμα ζῶν,* ἐν οἷς βεβαπτίσμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν βάτῳ Μωσῆς σου τυπικῶς* τὸ μυστήριον πάλαι,* σεμνή, ἐώρακεν·* ὡς γὰρ ἐκείνην ἡ φλόξ,* τὸ πῦρ τῆς Θεότητος τὴν σὴν* νηδὺν οὐ κατέφλεξεν.

Καθίσματα σταυρώσιμα. Ἦχος πλ. β'.

Ὁ Σταυρός σου, Κύριε, ἠγίασται·* ἐν αὐτῷ γὰρ γίνονται ἰάματα* τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις·* δι' αὐτοῦ σοι προσπίπτομεν·* Ἐλέησον ἡμᾶς.

Στιχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Σήμερον* τὸ προφητικὸν πεπλήρωται λόγιον·* ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον,* οὗ ἔστησαν οἱ πόδες σου, Κύριε,* καὶ ξύλου σωτηρίας γευσάμενοι,* τῶν ἐξ ἁμαρτίας παθῶν* ἐλευθερίας ἐτύχομεν* πρεσβείαις τῆς Θεοτόκου,* μόνε φιλάνθρωπε.

Δόξα.

Μόνον ἐπάγη* τὸ ξύλον, Χριστέ, τοῦ Σταυροῦ σου,* τὰ θεμέλια ἐσαλεύθη* τοῦ θανάτου, Κύριε·* ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης,* ἀπέλυσε τρόμῳ·* ἔδειξας ἡμῖν* τὸ σωτήριόν σου, ἅγιε,* καὶ δοξολογοῦμέν σε,* Υἱὲ Θεοῦ· ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε,* ἱκέτευε τὸν Υἱόν σου,* τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ* καὶ ἀναστάντα ἐκ νεκρῶν,* Χριστὸν τὸν Θεὸν ἡμῶν,* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον αὐτόμελον. Ἦχος βαρύς.

Οὐκέτι φλογίνη* ῥομφαία φυλάττει* τὴν πύλην τῆς Ἐδέμ·* αὐτῇ γὰρ ἐπῆλθε* παράδοξος δέσις,* τὸ ξύλον τοῦ Σταυροῦ·* θανάτου τὸ κέντρον* καὶ ᾅδου τὸ νῖκος* ἐλήλαται·* ἐπέστης δέ, Σωτὴρ μου,* βοῶν τοῖς ἐν ᾅδῃ* Εἰσάγεσθε* πάλιν εἰς τὸν παράδεισον.

Ὁ οἶκος.

Τρεῖς σταυροὺς ἐπήξατο* ἐν Γολγοθᾷ ὁ Πιλάτος,* δύο τοῖς λῃστεύσασι* καὶ ἕνα τῷ ζωοδότῃ·* ὃν εἶδεν ὁ ᾅδης* καὶ εἶπε τοῖς κάτω·* Ὦ λειτουργοί μου* καὶ δυνάμεις μου,* τίς ὁ ἐμπήξας* ἥλον τῇ καρδίᾳ μου;* ξυλίνη με λόγχῃ* ἐκέντησεν ἄφνω,* καὶ διαῤῥήσομαι·* τὰ ἔνδον μου πονῶ,* τὴν κοιλίαν μου ἀλγῶ,* τὰ αἰσθητήριά μου·* μαιμάσσει τὸ πνεῦμά μου,* καὶ ἀναγκάζομαι ἐξερεύξασθαι* τὸν Ἀδὰμ καὶ τοὺς ἐξ Ἀδάμ,* ξύλῳ δοθέντας μοι* ξύλον γὰρ τούτους εἰσάγει* πάλιν εἰς τὸν παράδεισον.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν·

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τρίτῃ τῶν νηστειῶν, τὴν προσκύνησιν ἑορτάζομεν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

Στίχοι.

Τὸν Σταυρὸν γῆ σύμπασα προσκυνησάτω,
δι' οὗ περ ἔγνωκε σὲ προσκυνεῖν, Λόγε.

Τῇ αὐτοῦ δυνάμει, Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τῶν τοῦ πονηροῦ διαφύλαξον ἐπηρειῶν, καὶ τὰ θεῖά σου πάθη καὶ τὴν ζωηφόρον ἀνάστασιν προσκυνῆσαι ἀξίωσον, τὸ τεσσαρακονθήμερον εὐμαρῶς διανύσαντας στάδιον καὶ ἐλέησον ἡμᾶς ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Αἱ καταβασίαι. Ἦχος α'.

Ὠδὴ α'.

Ὁ θειότατος προετύπωσε... (σ. 943).

Ὠδὴ γ'.

Στερέωσον, Δέσποτα Χριστέ... (σ. 944).

Ὠδὴ δ'. (Ἐπὶ τῆς θείας φυλακῆς).

Ἐπὶ Σταυροῦ σε, δυνατέ,* φωστὴρ ὁ μέγας κατιδών,* τρόμῳ ἐπαρθείς, τὰς ἀκτῖνας* συνέστειλεν, ἔκρυψε* πᾶσα δὲ κτίσις ὕμνησεν ἐν φόβῳ* τὴν σὴν μακροθυμίαν* καὶ γὰρ ἐπλήσθη ἡ γῆ* τῆς σῆς αἰνέσεως.

Ὠδὴ ε'. (Ὀρθρίσωμεν ὄρθρου βαθέος).

Ὀρθρίζοντες σὲ ἀνυμνοῦμεν,* Σωτὴρ τοῦ κόσμου,* εἰρήνην εὑράμενοι τῷ Σταυρῷ σου,* δι' οὗ ἀνεκαίνισας* τὸ γένος τὸ ἀνθρώπινον,* φῶς πρὸς ἀνέσπερον ἄγων ἡμᾶς.

Ὠδὴ ς'. (Κατῆλθες ἐν τοῖς κατωτάτοις).

Τὸν τύπον* τοῦ θείου Σταυροῦ Ἰωνᾶς* ἐν κοιλίᾳ τοῦ κήτους* τεταμέναις παλάμαις* προδιεχάραξε,* καὶ ἀνέθορε,* σεσωσμένος τοῦ θηρὸς* τῇ δυνάμει σου, Λόγε.

Ὠδὴ ζ'. (Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος).

Φλογώσεως ὁ παῖδας ῥυσάμενος,* σάρκα προσλαβόμενος* ἦλθεν ἐπὶ γῆς* καὶ τῷ Σταυρῷ προσηλωθείς,*

σωτηρίαν ἡμῖν ἐδωρήσατο,* ὁ μόνος εὐλογητὸς* τῶν πατέρων Θεὸς* καὶ ὑπερένδοξος.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η΄. (Αὕτη ἡ κλητή).

Χεῖρας, ἐν τῷ λάκκῳ βληθεὶς τῶν λεόντων,* ὁ μέγας ἐν προφήταις* σταυροειδῶς ἐκπετάσας* Δανιήλ, ἀβλαβὴς* ἐκ τῆς τούτων καταβρώσεως σέσωσται,* εὐλογῶν Χριστὸν* τὸν Θεὸν εἰς τοὺς αἰῶνας.

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου (σ. 108 κ.ἑ.), ἢ Τιμιωτέρα καὶ ἡ καταβασία΄

Ὠδὴ θ΄. (Φωτίζου φωτίζου).

Ὦ Μῆτερ Παρθένε* καὶ Θεοτόκε ἀψευδής,* ἡ τεκοῦσα ἀσπόρως* Χριστὸν τὸν Θεὸν ἡμῶν,* τὸν ἐν Σταυρῷ ὑψωθέντα σαρκί,* σὲ οἱ πιστοὶ* ἅπαντες ἀξίως* σὺν τούτῳ νῦν μεγαλύνομεν.

Τὸ ἀναστάσιμον ἐξαποστειλάριον (σ. 121-125) καὶ τὸ παρὸν τοῦ Σταυροῦ.

(Τοῖς μαθηταῖς συνέλθωμεν).

Σταυρὸν Χριστοῦ τὸν τίμιον* σήμερον προτεθέντα* ἰδόντες προσκυνήσωμεν* καὶ πιστῶς εὐφρανθῶμεν* κατασπαζόμενοι πόθῳ,* τὸν ἐν τούτῳ θελήσει* σταυρωθέντα αἰτούμενοι* Κύριον, ἀξιῶσαι* πάντας ἡμᾶς* τὸν Σταυρὸν τὸν τίμιον* προσκυνῆσαι* καὶ φθάσαι τὴν ἀνάστασιν* πάντας ἀκατακρίτως.

Θεοτοκίον. Ὅμοιον.

Τὸ ξύλον ἐν ᾧ, πάνσεμνε,* τὰς ἀχράντους παλάμας* ὑπὲρ ἡμῶν ἐξέτεινε* προσπαγεὶς ὁ Υἱός σου,* νῦν εὐσεβῶς προσκυνοῦμεν* δὸς ἡμῖν τὴν εἰρήνην,* καὶ τὰ κοσμοσωτήρια* φθάσαι πάνσεπτα πάθη* καὶ τὴν λαμπρὰν* καὶ κοσμοχαρμόσυνον προσκυνῆσαι* τοῦ Πάσχα κυριώνυμον* καὶ φωσφόρον ἡμέραν.

Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα δ΄ καὶ τοῦ τιμίου Σταυροῦ τὰ παρόντα δ΄.

Ἦχος δ΄. (Ὡς γενναῖον ἐν μάρτυσιν).

Εν φωναῖς ἀλαλάξωμεν,* ἐν ᾠδαῖς μεγαλύνωμεν* τὸν Σταυρὸν τὸν τίμιον* ἀσπαζόμενοι,* καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν·* Σταυρὲ πανσεβάσμιε,* καθαγίασον ἡμῶν* τὰς ψυχὰς καὶ τὰ σώματα* τῇ δυνάμει σου* καὶ παντοίας ἐκ βλάβης* ἐναντίων* διατήρησον ἀτρώτους* τοὺς εὐσεβῶς προσκυνοῦντάς σε. (Δις)

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Προσελθόντες ἀρύσατε* μὴ κενούμενα νάματα,* τοῦ Σταυροῦ τῇ χάριτι* προερχόμενα,* ἰδού, προκείμενον βλέποντες* τὸ ξύλον τὸ ἅγιον,* χαρισμάτων τὴν πηγήν,* ἀρδομένην τῷ αἵματι* καὶ τῷ ὕδατι* τοῦ Δεσπότου τῶν ὅλων,* τοῦ ἐν τούτῳ* ἑκουσίως ὑψωθέντος,* καὶ τοὺς βροτοὺς ἀνυψώσαντος.

Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Εκκλησίας ἑδραίωμα,* βασιλέων κραταίωμα,* μοναζόντων καύχημα* καὶ διάσωσμα* σὺ εἶ, Σταυρὲ πανσεβάσμιε·* διὸ προσκυνοῦντές σε,* καὶ καρδίας καὶ ψυχὰς* φωτιζόμεθα σήμερον* θείᾳ χάριτι* τοῦ ἐν σοὶ προσπαγέντος* καὶ τὸ κράτος* τοῦ δολίου καθελόντος* καὶ τὴν ἀρὰν ἀφανίσαντος.

Δόξα. Ἰδιόμελον τοῦ Τριῳδίου. Ἦχος πλ. δ΄.

Τὴν ὑψηλόφρονα γνώμην* τῶν κακίστων φαρισαίων* ὁ πάντων Κύριος* παραβολικῶς* ἐκφεύγειν ταύτην ἐδίδαξε,* καὶ μὴ ὑψηλοφρονεῖν* παρ᾽ ὃ δεῖ φρονεῖν,* πάντας ἐπαίδευσεν·* ὑπογραμμὸς καὶ τύπος* ὁ αὐτὸς γενόμενος,* μέχρι σταυροῦ καὶ θανάτου* ἑαυτὸν ἐκένωσεν·* εὐχαριστοῦντες οὖν* σὺν τῷ τελώνῃ εἴπωμεν·* Ὁ παθὼν ὑπὲρ

ἡμῶν* καὶ ἀπαθὴς διαμείνας Θεός,* τῶν παθῶν ἡμᾶς ῥῦσαι* καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σελ. 132).

Δοξολογία μεγάλη (σ. 133).

Καὶ γίνεται ἡ εἴσοδος τοῦ τιμίου Σταυροῦ καὶ ἡ τελετὴ τῆς Σταυροπροσκυνήσεως.

Τελεσθείσης τῆς δοξολογίας καὶ τοῦ τρισαγίου, λέγει ὁ ἱερεύς· Σοφία· ὀρθοί. Καὶ λέγομεν τὸ τροπάριον· Σῶσον, Κύριε, τὸν λαόν σου, ἐκ γ΄. Εἶτα προσκυνεῖ τὸν τίμιον Σταυρὸν ψάλλων·

Ἦχος πλ. β΄.

Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα,* καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν.

Τὸ αὐτὸ καὶ οἱ χοροί. Καὶ προσκυνοῦσι πάντες τὸν τίμιον Σταυρόν, ψαλλομένων τῶν κάτωθι ἰδιομέλων.

Ποίημα Λέοντος τοῦ Σοφοῦ. Ἦχος β΄.

Δεῦτε, πιστοί,* τὸ ζωοποιὸν ξύλον προσκυνήσωμεν·* ἐν ᾧ Χριστὸς ὁ βασιλεὺς τῆς δόξης* ἑκουσίως χεῖρας ἐκτείνας,* ὕψωσεν ἡμᾶς* εἰς τὴν ἀρχαίαν μακαριότητα,* οὓς πρὶν ὁ ἐχθρός,* δι' ἡδονῆς συλήσας,* ἐξορίστους Θεοῦ πεποίηκε.* Δεῦτε, πιστοί,* ξύλον προσκυνήσωμεν,* δι' οὗ ἠξιώθημεν* τῶν ἀοράτων ἐχθρῶν συντρίβειν τὰς κάρας.* Δεῦτε, πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν,* τὸν Σταυρὸν τοῦ Κυρίου ὑμνοις τιμήσωμεν·* Χαίροις, Σταυρέ,* τοῦ πεσόντος Ἀδὰμ* ἡ τελεία λύτρωσις.* Ἐν σοὶ οἱ πιστότατοι* βασιλεῖς ἡμῶν καυχῶνται,* ὡς τῇ σῇ δυνάμει* Ἰσμαηλίτην λαὸν* κραταιῶς ὑποτάττοντες.* Σὲ νῦν μετὰ φόβου* Χριστιανοὶ ἀσπαζόμεθα* καὶ τὸν ἐν σοὶ προσπαγέντα Θεὸν* δοξάζομεν λέγοντες·* Κύριε,* ὁ ἐν αὐτῷ προσπαγείς,* ἐλέησον ἡμᾶς,* ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος πλ. δ΄.

Σήμερον* ὁ Δεσπότης τῆς κτίσεως* καὶ Κύριος τῆς δόξης* τῷ Σταυρῷ προσπήγνυται,* καὶ τὴν πλευρὰν κεν-

ταται᾽* χολῆς καὶ ὄξους γεύεται* ὁ γλυκασμὸς τῆς Ἐκκλησίας᾽* στέφανον ἐξ ἀκανθῶν περιβάλλεται* ὁ καλύπτων οὐρανὸν τοῖς νέφεσι᾽* χλαῖναν ἐνδύεται χλεύης* καὶ ῥαπίζεται πηλίνῃ χειρὶ* ὁ τῇ χειρὶ πλάσας τὸν ἄνθρωπον᾽* τὸν νῶτον φραγγελλοῦται* ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις᾽* ἐμπτυσμοὺς καὶ μάστιγας δέχεται,* ὀνειδισμοὺς καὶ κολαφισμούς,* καὶ πάντα ὑπομένει* δι᾽ ἐμὲ τὸν κατάκριτον* ὁ Λυτρωτής μου καὶ Θεός,* ἵνα σώσῃ κόσμον ἐκ πλάνης* ὡς εὔσπλαγχνος.

Δόξα. Ἦχος ὁ αὐτός.

Σήμερον* ὁ ἀπρόσιτος τῇ οὐσίᾳ* προσιτός μοι γίνεται* καὶ πάσχει πάθη,* ἐλευθερῶν με τῶν παθῶν᾽* ὁ φῶς παρέχων τυφλοῖς* ὑπὸ ἀνόμων χειλέων ἐμπτύεται* καὶ δίδωσι τὸν νῶτον* ὑπὲρ αἰχμαλώτων εἰς μάστιγας.* Τοῦτον ἡ ἀγνὴ* Παρθένος καὶ Μήτηρ* ἐπὶ Σταυροῦ θεωροῦσα,* ὀδυνηρῶς ἐφθέγγετο᾽* Οἴμοι, τέκνον ἐμόν!* τί τοῦτο πεποίηκας;* ὁ ὡραῖος κάλλει* παρὰ πάντας βροτούς,* ἄπνους, ἄμορφος φαίνῃ,* οὐκ ἔχων εἶδος οὐδὲ κάλλος!* Οἴμοι, τὸ ἐμὸν φῶς!* οὐ δύναμαι ὑπνοῦντα καθορᾶν σε᾽* τὰ σπλάγχνα τιτρώσκομαι,* καὶ δεινή μοι ῥομφαία* τὴν καρδίαν διέρχεται.* Ἀνυμνῶ σου τὰ πάθη,* προσκυνῶ σου τὸ εὔσπλαγχνον᾽* μακρόθυμε Κύριε, δόξα σοι.

Καὶ νῦν. Ἦχος πλ. β′.

Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον... (σ. 945).

Καὶ τὸ ἀναστάσιμον τροπάριον (σ. 134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Ψαλμ. σ. 287-299 καὶ 320-342).

Ψάλλομεν τὰ παρόντα ἀντίφωνα.

Ἀντίφωνον Α′. Ἦχος β′.

Στίχ. α′. Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. β'. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.

Στίχ. γ'. Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις.

Στίχ. δ'. Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὀνομά σου, Κύριε.

Δόξα, καὶ νῦν.

Ἀντίφωνον Β'. Ἦχος β.

Στιχ. α'. Εἶδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν...

Στίχ. β'. Προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

Στίχ. γ'. Ὁ δὲ Θεός, βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Στίχ. δ'. Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.

Δόξα, καὶ νῦν.

Ὁ μονογενὴς Υἱός (σ. 293).

Ἀντίφωνον Γ'. Ἦχος α'.

Στίχ. α'. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Σῶσον, Κύριε, τὸν λαόν σου... (σ. 942).

Στίχ. β'. Σῶσον, ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Στίχ. γ'. Καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Μετὰ δὲ τὴν εἴσοδον τὸ ἀναστάσιμον ἀπολυτίκιον, Τὸ Σῶσον, Κύριε, τὸν λαόν σου (σ. 942), τὸ τοῦ ναοῦ καὶ κοντάκιον Τῇ ὑπερμάχῳ.

Ἀντὶ τοῦ τρισαγίου ψάλλομεν Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα...

Προκείμενον. Ἦχος πλ. β΄.

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (δ΄ 14 - ε΄ 6).

Ἀδελφοί, ἔχοντες ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀσθενοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»· καθὼς καὶ ἐν ἑτέρῳ λέγει· «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ».

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (η΄ 34 - θ΄ 1).

Εἶπεν ὁ Κύριος· Ὅς τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὅς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν

ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου (σ. 320-342).

Κοινωνικόν.

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Ἀλληλούϊα.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ Γ' ΕΒΔΟΜΑΔΟΣ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῆς Μ. Τεσσαρακοστῆς, σ. 221-244).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ τυχόντος ἤχου δ' (σ. 499 κ.ἑ.), εἶτα τὰ παρόντα γ' προσόμοια τοῦ Τριῳδίου.

Προσόμοια τοῦ κυρίου Ἰωσήφ.

Ἦχος πλ. δ'. (Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης).

Κύριε,* ὁ ἐπὶ Σταυροῦ ἑκουσίως* ὑφαπλώσας τὰς παλάμας σου,* τοῦτον κατανύξει καρδίας* προσκυνεῖν ἡμᾶς ἀξίωσον,* λελαμπρυσμένους νοΐ,* νηστείαις καὶ δεήσεσι* καὶ ἐγκρατείᾳ καὶ εὐποιΐᾳ,* ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

Κύριε,* τῶν ἁμαρτιῶν μου τὰ πλήθη* κατὰ τὸ πλῆθος ἐξάλειψον* τῶν σῶν οἰκτιρμῶν, πανοικτίρμον,* καὶ

τὸν Σταυρόν σου ἀξίωσον* ἐν καθαρᾷ τῇ ψυχῇ* καὶ βλέπειν καὶ προσπτύσσεσθαι* ἐν τῇ παρούσῃ τῆς ἐγκρατείας* ἑβδομάδι, ὡς φιλάνθρωπος.

Ἕτερον στιχηρὸν προσόμοιον, ποίημα Θεοδώρου.
Ἦχος γ'. (Μέγιστον θαῦμα).

Μέγιστον θαῦμα!* τὸ ξύλον ὁρᾶται,* ἐν ᾧ Χριστὸς σαρκὶ ἐσταυρώθη·* προσκυνεῖ ὁ κόσμος* καὶ φωτιζόμενος ἀνακράζει·* Ὢ τοῦ Σταυροῦ τῇ δυνάμει!* καὶ θεωρούμενος* δαίμονας καίει,* καὶ ἐκτυπούμενος* τούτους φλέγων δείκνυται.* Μακαρίζω σε, τὸ ἄχραντον ξύλον,* τιμῶ καὶ προσκυνῶ ἐν φόβῳ* καὶ Θεὸν δοξάζω,* τὸν διὰ σοῦ μοι χαριζόμενον* ζωὴν τὴν αἰώνιον.

Καὶ τοῦ Μηναίου γ'. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἴσοδος. Φῶς ἱλαρόν, καὶ τὸ Προκείμενον. Ἦχος πλ. δ'.

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις... (σ. 913).

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον τὸ παρὸν ἰδιόμελον. Ἦχος πλ. δ'.

Ἀτενίσαι τὸ ὄμμα εἰς οὐρανὸν* οὐ τολμῶ ὁ τάλας ἐγώ,* ἐκ τῶν πονηρῶν μου πράξεων,* ἀλλ' ὡς ὁ τελώνης στενάξας κραυγάζω σοι·* Ὁ Θεός,* ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ,* καὶ φαρισαϊκῆς* ὑποκρίσεως ῥῦσαί με,* ὡς μόνος εὔσπλαγχνος.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σ. 239).

Καὶ πάλιν τὸ ἰδιόμελον.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σ. 239).

Μαρτυρικόν.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε... (σ. 913).

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη... (σ. 913).

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ τροπάρια Θεοτόκε

Παρθένε κ.τ.λ. (σ. 242-243. Βλ. καὶ Κυριακῇ τῆς Τυρινῆς ἑσπέρας, σ. 869).

ΤΗ ΤΕΤΑΡΤΗ ΤΗΣ Δ΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ΄

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ **Κύριε, ἐκέκραξα** ψάλλομεν στιχηρὰ ι΄, ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος δ΄.

Ἡ τῶν ἀγαθῶν πρόξενος νηστεία* τὴν ἑαυτῆς μεσότητα νῦν ἐπήγαγε,* ταῖς προλαβούσαις ἡμέραις* εὐαρεστήσασα* καὶ ταῖς ἑφεξῆς* τὴν ὠφέλειαν προτιθεῖσα·* καὶ γὰρ τῶν χρηστῶν ἡ ἐπίτασις* πλείω τὴν εὐεργεσίαν ποιεῖται.* Διὸ τῷ πάντων καλῶν δοτῆρι Χριστῷ* εὐαρεστοῦντες βοῶμεν·* Ὁ νηστεύσας ὑπὲρ ἡμῶν* καὶ Σταυρὸν ὑπομείνας,* ἀκατακρίτους ἡμᾶς* ἀξίωσον μετασχεῖν* καὶ τοῦ θείου Πάσχα σου,* ἐν εἰρήνῃ βιοτεύοντας* καὶ ἀξίως σὺν Πατρί σε* καὶ Πνεύματι δοξάζοντας.

Ἕτερον. Ἦχος πλ. α΄.

Οἱ ἐν κρυπτῷ ἀρετὰς ἐργαζόμενοι,* πνευματικὰς ἀμοιβὰς ἐκδεχόμενοι,* οὐ μέσον τῶν πλατειῶν* θριαμβεύουσι ταύτας,* ἀλλ' ἔνδον τῶν καρδιῶν* ἀποφέρουσι μᾶλλον·* καὶ ἀπάντων ὁ βλέπων* τὰ ἐν κρυπτῷ γινόμενα* τὸν μισθὸν τῆς ἐγκρατείας παρέχει ἡμῖν.* Νηστείαν τελέσωμεν,* μὴ σκυθρωπάζοντες τὰ πρόσωπα·* ἀλλ' ἐν τοῖς τα-

μείοις τῶν ψυχῶν ἡμῶν* προσευχόμενοι, ἀπαύστως βοήσωμεν·* Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς,* μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,* δεόμεθα,* ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Μαρτυρικόν. Ἦχος ὁ αὐτός.

Ακορέστῳ διαθέσει ψυχῆς* Χριστὸν οὐκ ἀρνησάμενοι,* ἅγιοι μάρτυρες,* οἵτινες διαφόρους αἰκισμοὺς* παθημάτων ὑπομείναντες,* τῶν τυράννων τὰ θράση κατηδαφίσατε·* ἀκλινῆ καὶ ἄτρωτον* τὴν πίστιν φυλάξαντες,* εἰς οὐρανοὺς μετέστητε·* ὅθεν καὶ παῤῥησίας τυχόντες* πρὸς αὐτόν,* αἰτήσασθε δωρηθῆναι* εἰρήνην τῷ κόσμῳ* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Εἶτα στιχηρὰ προσόμοια τοῦ κυρίου Ἰωσήφ.
Ἦχος α΄. (Πανεύφημοι μάρτυρες).

Νηστείας ἐν ὕδατι ψυχὰς* πάντες ἀπονίψωμεν,* καὶ προσελθόντες, τὸν τίμιον* καὶ πανσεβάσμιον* Σταυρὸν τοῦ Κυρίου* πιστῶς προσκυνήσωμεν,* τὸν θεῖον φωτισμὸν ἀρυόμενοι* καὶ τὴν αἰώνιον* σωτηρίαν νῦν καρπούμενοι* καὶ εἰρήνην* καὶ τὸ μέγα ἔλεος.

Αποστόλων καύχημα, Σταυρέ,* ὄνπερ περιέπουσιν* ἀρχαί, δυνάμεις, ἀρχάγγελοι,* τοὺς προσκυνοῦντάς σε* πάσης βλάβης σῷζε,* καὶ τὸ θεῖον στάδιον* ἡμᾶς τῆς ἐγκρατείας ἀξίωσον* καλῶς ἀνύσαντας,* τὴν ἡμέραν τῆς ἐγέρσεως* ἐπιφθάσαι,* δι᾽ ἧσπερ σῳζόμεθα.

Ἕτερον στιχηρὸν προσόμοιον, ποίημα Θεοδώρου.
Ἦχος βαρύς. (Σήμερον γρηγορεῖ ὁ Ἰούδας).

Σήμερον* τὸν Σταυρὸν τοῦ Κυρίου* προσκυνοῦντες, βοήσωμεν·* Χαῖρε, ζωῆς ξύλον,* ᾅδου καθαιρέτα,* χαῖρε, χαρὰ κόσμου,* φθορᾶς ἀναιρέτα·* χαῖρε, ὁ τοὺς δαίμονας* σκορπίζων τῇ δυνάμει σου·* τῶν πιστῶν τὸ καύχημα,* τὸ ὅπλον τὸ ἄῤῥηκτον,* τοὺς ἀσπαζομένους σε* φρούρησον, ἁγίασον, δεόμεθα.

Καὶ τοῦ Μηναίου δ΄.

Δόξα, καὶ νῦν. Ἰδιόμελον. Ἦχος πλ. δ΄.

Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ... (σ. 950).

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς οα΄.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

Γενέσεως τὸ ἀνάγνωσμα (θ΄ 18 - ι΄ 1).

Ἦσαν οἱ υἱοὶ Νῶε, οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ, Σήμ, Χάμ, Ἰάφεθ· Χὰμ δὲ ἦν πατὴρ Χαναάν. Τρεῖς οὗτοί εἰσιν υἱοὶ Νῶε· ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν.

Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς καὶ ἐφύτευσεν ἀμπελῶνα. Καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. Καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω. Καὶ λαβόντες Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν καὶ ἐπορεύθησαν ὀπισθοφανῶς καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν· καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανῶς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον.

Ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος. Καὶ εἶπεν· Ἐπικατάρατος Χαναάν· παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. Καὶ εἶπεν· Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς οἰκέτης αὐτοῦ. Πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σήμ, καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ. Ἔζησε δὲ Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τριακόσια πεντήκοντα. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἐνακόσια πεντήκοντα ἔτη, καὶ ἀπέθανεν.

Αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νῶε, Σήμ, Χάμ, Ἰάφεθ, καὶ ἐγεννήθησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς οβ'.

Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι.

Στίχ. Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ, τοῖς εὐθέσι τῇ καρδίᾳ!

Παροιμιῶν τὸ ἀνάγνωσμα (ιβ' 23 - ιγ' 9).

Ἀνὴρ συνετὸς θρόνος αἰσθήσεως, καρδία δὲ ἀφρόνων συναντήσεται ἀραῖς. Χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς, δόλιοι δὲ ἔσονται εἰς προνομήν. Φοβερὸς λόγος καρδίαν ἀνδρὸς δικαίου ταράσσει, ἀγγελία δὲ ἀγαθὴ εὐφραίνει αὐτόν. Ἐπιγνώμων δίκαιος ἑαυτοῦ φίλος ἔσται, αἱ δὲ γνῶμαι τῶν ἀσεβῶν ἀνεπιεικεῖς. Ἁμαρτάνοντας καταδιώξεται κακά, ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐτούς. Οὐκ ἐπιτεύξεται δόλιος θήρας, κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός. Ἐν ὁδοῖς δικαιοσύνης ζωή, ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον.

Υἱὸς πανοῦργος ὑπήκοος πατρί, υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ. Ἀπὸ καρπῶν δικαιοσύνης φάγεται ἀγαθός, ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι. Ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ προπετὴς χείλεσι πτοήσει ἑαυτόν. Ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός, χεῖρες δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ. Λόγον ἄδικον μισεῖ δίκαιος, ἀσεβὴς δὲ αἰσχύνεται, καὶ οὐχ ἕξει παῤῥησίαν. Δικαιοσύνη φυλάσσει ἀκάκους, τοὺς δὲ ἀσεβεῖς φαύλους ποιεῖ ἁμαρτία. Εἰσὶν οἱ πλουτίζοντες ἑαυτοὺς μηδὲν ἔχοντες, καὶ εἰσὶν οἱ ταπεινοῦντες ἑαυτοὺς ἐν πολλῷ πλούτῳ. Λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος, πτωχὸς δὲ οὐχ ὑφίσταται ἀπειλήν. Φῶς δικαίοις διὰ παντός, φῶς δὲ ἀσεβῶν σβέννυται. Ψυχαὶ δόλιαι πλανῶνται ἐν ἁμαρτίαις, δίκαιοι δὲ οἰκτείρουσι καὶ ἐλεοῦσι.

Κατευθυνθήτω

καὶ τοὺς τ... καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375), ἐν ᾗ ἀπὸ σήμερον λέγονται καὶ αἱ δεήσεις ὑπὲρ τῶν προτιθεμένων.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Δ΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ΄

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ι΄, ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος βαρύς.

Τοῖς πάθεσι δουλώσας* τῆς ψυχῆς μου τὸ ἀξίωμα,* κτηνώδης ἐγενόμην,* καὶ οὐκ ἰσχύω ἀτενίσαι πρὸς σέ, Ὑψιστε·* ἀλλὰ κάτω νενευκώς,* Χριστέ, ὡς ὁ τελώνης,* δέομαι κραυγάζων σοι·* Ὁ Θεός,* ἱλάσθητί μοι, καὶ σῶσόν με. (Δὶς)

Εἶτα τὰ δ΄ μαρτυρικὰ τοῦ τυχόντος ἤχου (σ. 505 κ.ἑ.) καὶ δ΄ προσόμοια τοῦ Μηναίου.

Δόξα. Τὸ νεκρώσιμον τοῦ ἤχου.

Καὶ νῦν. Τὸ α΄ θεοτοκίον τοῦ ἤχου.

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς οθ΄.

Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες.

Στίχ. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ἐμφάνηθι.

Γενέσεως τὸ ἀνάγνωσμα (ιβ΄ 1-7).

Εἶπε Κύριος τῷ Ἄβραμ· Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω· καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ εὐλογήσω σε καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος· καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε καὶ

τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Καὶ ἐπορεύθη Ἄβραμ, καθάπερ ἐλάλησεν αὐτῷ Κύριος, καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ. Ἄβραμ δὲ ἦν ἐτῶν ἑβδομήκοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαρράν. Καὶ ἔλαβεν Ἄβραμ Σάραν τὴν γυναῖκα αὐτοῦ καὶ τὸν Λὼτ υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο, καὶ πᾶσαν ψυχήν, ἣν ἐκτήσαντο ἐκ Χαρράν, καὶ ἐξήλθοσαν πορευθῆναι εἰς γῆν Χαναάν. Καὶ διώδευσεν Ἄβραμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς ἕως τοῦ τόπου Συχέμ, ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν· οἱ δὲ Χαναναῖοι τότε κατῴκουν τῆν γῆν. Καὶ ὤφθη Κύριος τῷ Ἄβραμ καὶ εἶπεν αὐτῷ· Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἄβραμ θυσιαστήριον Κυρίῳ τῷ ὀφθέντι αὐτῷ.

Προκείμενον. Ἦχος β'. Ψαλμὸς π'.

Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν.
Στίχ. Λάβετε ψαλμὸν καὶ δότε τύμπανον.

Παροιμιῶν τὸ ἀνάγνωσμα (ιδ' 15-26).

Ακακος πιστεύει παντὶ λόγῳ, πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν. Σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ, ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυται ἀνόμῳ. Ὀξύθυμος πράσσει μετὰ ἀβουλίας, ἀνὴρ δὲ φρόνιμος πολλὰ ὑποφέρει. Μεριοῦνται ἄφρονες κακίαν, οἱ δὲ πανοῦργοι κρατήσουσιν αἰσθήσεως. Ὀλισθήσουσι κακοὶ ἔναντι ἀγαθῶν, καὶ ἀσεβεῖς θεραπεύσουσι θύρας δικαίων. Φίλοι μισήσουσι φίλους πτωχούς, φίλοι δὲ πλουσίων πολλοί. Ὁ ἀτιμάζων πένητας ἁμαρτάνει, ἐλεῶν δὲ πτωχοὺς μακαριστός. Πλανώμενοι τεκταίνουσι κακά, ἔλεον δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί. Οὐκ ἐπίστανται ἔλεον καὶ πίστιν τέκτονες κακῶν, ἐλεημοσύναι δὲ καὶ πίστεις παρὰ τέκτοσιν ἀγαθοῖς. Ἐν παντὶ μεριμνῶντι ἔνεστι περισσόν, ὁ δὲ ἠδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται. Στέφανος σοφῶν πλοῦτος αὐτῶν, ἡ δὲ διατριβὴ ἀφρόνων κακή. Ῥύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός, ἐκκαίει δὲ ψευδῆ δόλιος. Ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος, τοῖς δὲ τέκνοις αὐτοῦ καταλείπει ἔρεισμα.

Τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ ΕΣΠΕΡΑΣ

Τελεῖται τὸ Μικρὸν Ἀπόδειπνον (σ. 274-284). Μετὰ δὲ τὸ Ἄξιόν ἐστιν ψάλλεται ὁ κανὼν τοῦ Ἀκαθίστου Ἀνοίξω τὸ στόμα μου καὶ ἀναγινώσκεται ἡ Δ΄ στάσις τῶν οἴκων τῆς Θεοτόκου (Ζήτει τὴν ἀκολουθίαν τοῦ Ἀκαθίστου εἰς τὸ Παράρτημα τοῦ παρόντος τόμου, σ. 1313 κ.ἑ.).

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Δ΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ΄

Ἡ ἀκολουθία τοῦ Ὄρθρου καὶ τῆς Θ. Λειτουργίας τελεῖται ἀπαραλλάκτως κατὰ τὴν τάξιν τοῦ Σαββάτου τῆς Β΄ ἑβδομάδος (σ. 520).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 289-319).

Προκείμενον. Ἦχος πλ. β΄.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.
Στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου (ς΄ 9-12).

Ἀγαπητοί, πεπείσμεθα περὶ ὑμῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες. Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν

διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ζ' 31-37).

Τῷ καιρῷ ἐκείνῳ, ἐξελθὼν ὁ Ἰησοῦς ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως. Καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. Καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστέναξε καὶ λέγει αὐτῷ· Ἐφφαθά, ὅ ἐστι, Διανοίχθητι. Καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαὶ καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς. Καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον. Καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες· Καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν καὶ τοὺς ἀλάλους λαλεῖν.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

Κοινωνικόν.

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.

ΚΥΡΙΑΚΗ Δ΄ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Μνῆμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ συγγραφέως τῆς Κλίμακος.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ς΄ καὶ τοῦ ὁσίου προσόμοια δ΄.

Ἦχος πλ. δ΄ (Ὦ τοῦ παραδόξου θαύματος).

Πάτερ Ἰωάννη ὅσιε,* διὰ παντὸς ἀληθῶς* τοῦ Θεοῦ ἐν τῷ λάρυγγι* τὰς ὑψώσεις ἔφερες,* μελετῶν πρακτικώτατα* τὰ θεόπνευστα λόγια, πάνσοφε,* καὶ τὴν ἐκεῖθεν ἀναπηγάζουσαν* χάριν ἐπλούτησας,* γεγονὼς μακάριος,* τῶν ἀσεβῶν* πάντων τὰ βουλεύματα* καταστρεψάμενος. (Δὶς)

Πάτερ Ἰωάννη ἔνδοξε,* ταῖς τῶν δακρύων πηγαῖς* τὴν ψυχὴν καθαιρόμενος* καὶ παννύχοις στάσεσι* τὸν Θεὸν ἱλασκόμενος,* ἀνεπτερώθης πρὸς τὴν ἀγάπησιν* τὴν τούτου, μάκαρ, καὶ ὡραιότητα* ἧς ἐπαξίως νῦν* ἀπολαύεις ἄληκτα* χαρμονικῶς* μετὰ τῶν συνάθλων σου,* θεόφρον ὅσιε.

Πάτερ Ἰωάννη ὅσιε,* ἀναπτερώσας τὸν νοῦν* πρὸς Θεὸν διὰ πίστεως,* κοσμικῆς συγχύσεως* ἐβδελύξω τὸ ἄστατον* καὶ τὸν σταυρόν σου ἀναλαβόμενος,* τῷ παν-

τεπόπτῃ κατηκολούθησας,* σῶμα δυσήνιον* ἀγωγαῖς ἀσκήσεως* τῷ λογισμῷ* σθένει δουλωσάμενος* τοῦ θείου Πνεύματος.

Δόξα. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ,* τῆς φωνῆς τοῦ Εὐαγγελίου* τοῦ Κυρίου ἀκούσας,* τὸν κόσμον κατέλιπες,* τὸν πλοῦτον καὶ τὴν δόξαν* εἰς οὐδὲν λογισάμενος·* ὅθεν πᾶσιν ἐβόας·* Ἀγαπήσατε τὸν Θεόν,* καὶ εὑρήσετε χάριν αἰώνιον·* μηδὲν προτιμήσητε* τῆς ἀγάπης αὐτοῦ,* ἵνα, ὅταν ἔλθῃ* ἐν τῇ δόξῃ αὐτοῦ,* εὕρητε ἀνάπαυσιν* μετὰ πάντων τῶν ἁγίων·* ὧν ταῖς ἱκεσίαις, Χριστέ,* φύλαξον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τὸ α΄ θεοτοκίον τοῦ ἤχου.

Ἀπόστιχα τὰ ἀναστάσιμα.

Δόξα. Τοῦ ὁσίου. Ἦχος β΄.

Τὸν ἐπὶ γῆς ἄγγελον* καὶ ἐν οὐρανοῖς ἄνθρωπον Θεοῦ,* τοῦ κόσμου τὴν εὐκοσμίαν,* τὴν τρυφὴν τῶν ἀγαθῶν καὶ τῶν ἀρετῶν,* τῶν ἀσκητῶν τὸ καύχημα,* Ἰωάννην τιμήσωμεν·* πεφυτευμένος γὰρ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ* ἐξήνθησε δικαίως·* καὶ ὡσεὶ κέδρος ἐν ἐρήμῳ* ἐπλήθυνε τὰ ποίμνια Χριστοῦ* τῶν λογικῶν προβάτων,* ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

Καὶ νῦν. Ὦ θαύματος καινοῦ (σ. 399).

Ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Δόξα. Τοῦ ὁσίου. Ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς* τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας* καὶ τοῖς ἐκ βάθους στεναγμοῖς* εἰς ἐκατὸν τοὺς πόνους ἐκαρποφόρησας* καὶ γέγονας φωστὴρ* τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν,* Ἰωάννη πατὴρ ἡμῶν ὅσιε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου (σ. 485).

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ΄

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Ὁ κανὼν τοῦ Τριῳδίου. Ἦχος πλ. α΄.

Ὠδὴ α΄. (Τῷ σωτῆρι Θεῷ).

Ὡμοιώθην, Χριστέ,* τῷ ἐν χερσὶ τῶν λῃστῶν* περιπεσόντι* καὶ τυπτήμασιν* ἡμιθανεῖ ὑπὸ τούτων* καταλειφθέντι, Σωτῆρ·* κἀγὼ οὕτω πέπληγμαι* ταῖς ἁμαρτίαις μου.

Μὴ παρίδῃς ἐμέ,* τὸν ἀσθενοῦντα δεινῶς,* ἐβόα, Σῶτερ,* ὀδυρόμενος,* εἰς τοὺς λῃστὰς ὁ τὸν πλοῦτον* ἀποσυλήσας σου·* κἀγὼ οὕτω δέομαι·* Οἰκτειρον, σῶσόν με.

Ἰατρεύσας ἐμέ,* τὸν μαστιχθέντα τὸν νοῦν* ταῖς ἁμαρτίαις* ἐν ταῖς μάστιξιν* ὑπὸ λῃστῶν, τῶν ἀδίκων* καὶ πονηρῶν λογισμῶν,* Χριστὲ Σωτήρ, σῶσόν με* ὡς πολυέλεος.

Θεοτοκίον.

Ἀχραντε Μήτηρ Χριστοῦ,* τὸν σαρκωθέντα ἐκ σοῦ* καὶ ἐκ τῶν κόλπων* τοῦ Γεννήτορος* μὴ ἐκφοιτήσαντα Θεὸν* ἀπαύστως πρέσβευε* ἐκ πάσης περιστάσεως* σῶσαι οὓς ἔπλασεν.

Ἕτερος κανὼν τοῦ ὁσίου. Ἦχος πλ. δ΄.

Ὠδὴ α΄. (Ὑγρὰν διοδεύσας).

Ἐν φωτὶ ἀΰλῳ καὶ νοητῷ* ἐκ τῆς κατηφείας* τῶν ἐνύλων ἀναδραμών,* Ἰωάννη ὅσιε, λιταῖς σου* ταῖς πρὸς τὸν Κύριόν με φώτισον.

Ὡς τῆς ἐγκρατείας τὸν γλυκασμὸν* θηλάσας, ἀπώσω* τὴν πικρίαν τῶν ἡδονῶν·* ὅθεν ὑπὲρ μέλι καὶ κηρίον* ἡδύνεις, πάτερ, τὰς αἰσθήσεις ἡμῶν.

Ἐπιβὰς τῷ ὕψει τῶν ἀρετῶν* καὶ τὰς χαμαιζήλους* διαπτύσας τῶν ἡδονῶν,* γλυκασμὸς ἐδείχθης σωτηρίας,* ὅσιε πάτερ, τῷ ποιμνίῳ σου.

Θεοτοκίον.

Σοφίαν καὶ Λόγον ἡ τοῦ Πατρὸς* ἀφράστως τεκοῦσα,* τῆς ψυχῆς μου τὸ χαλεπὸν* θεράπευσον τραῦμα καὶ καρδίας* τὴν ἀλγηδόνα καταπράϋνον.

Ὠδὴ γ'. Τοῦ Τριῳδίου. (Δυνάμει τοῦ Σταυροῦ σου).

Ὁδῷ ἐν τῇ τοῦ βίου, Χριστέ,* δεινῶς ὁδεύων τετραυμάτισμαι* ὑπὸ ληστῶν ἐν τοῖς πάθεσιν* ἀλλ' ἀνάστησόν με δέομαι.

Ἐσύλησαν τὸν νοῦν μου λῃσταί* καὶ ἔλιπόν με ἐν τοῖς μώλωψιν* ἡμιθανῆ τῶν πταισμάτων μου* ἀλλὰ ἴασαί με, Κύριε.

Ἐγύμνωσάν με, Σῶτερ Χριστέ,* τῶν ἐντολῶν σου τὰ παθήματα,* καὶ ἡδοναῖς μεμαστίγωμαι* ἀλλ' ἐπίχεέ μοι ἔλεος.

Θεοτοκίον.

Ἱκέτευε ἀπαύστως, ἁγνή,* τὸν προελθόντα ἐκ λαγόνων σου* ῥυσθῆναι πλάνης διαβόλου* τοὺς ὑμνοῦντάς σε, Θεόνυμφε.

Τοῦ ὁσίου. (Σὺ εἶ τὸ στερέωμα).

Ἐφλεξας τῷ ἄνθρακι* τῷ τῆς ἀσκήσεως, ὅσιε,* τὴν τῶν παθῶν* ἄκανθαν καὶ θάλπεις* μοναστῶν τὰ συστήματα.

Μύρον ἁγιάσματος* ἐκ τῶν ἀσκητικῶν, ὅσιε,* ἀρωμάτων* ὅλος συνετέθης* εἰς ὀσμὴν εὐωδίας Θεοῦ.

Νόμοις τοῖς ἀσκήσεως* ἐμμελετῶν, τὰ πάθη ἐβύθισας,* ὥσπερ ἄλλους* πρὶν Φαραωνίτας,* τῇ ῥοῇ τῶν δακρύων σου.

Θεοτοκίον.

Στῆσόν μου τὸν ἄστατον* τῶν λογισμῶν, ἀγνή, τάραχον,* Μῆτερ Θεοῦ,* τὴν πρὸς τὸν Υἱόν σου* κατευθύνουσα κίνησιν.

Κάθισμα τοῦ Τριῳδίου.

Ἦχος πλ. α'. (Τὸ ξένον τῆς Παρθένου).

Τὸν ἄχραντον Σταυρόν σου, Σωτὴρ ἡμῶν,* ὡς ὅπλον σωτηρίας κατέχοντες,* ἐν αὐτῷ σοι βοῶμεν· Σῶσον ἡμᾶς,* ὁ παθὼν ἑκουσίως ὑπὲρ ἡμῶν,* ὁ πάντων Θεός, ὡς πολυέλεος.

Δόξα. Τοῦ ὁσίου. Ἦχος δ'. (Ὁ ὑψωθείς).

Ταῖς ἀρεταῖς πρὸς οὐρανὸν* ἀναλάμψας,* καταπηξάμενος σαφῶς* ἐπανῆλθες* πρὸς θεωρίας ἄπλετον* βυθὸν εὐσεβῶς·* πάσας στηλιτεύσας μὲν* τῶν δαιμόνων ἐνέδρας,* σκέπεις ἐκ τῆς λώβης δὲ* τοὺς ἀνθρώπους τῆς τούτων,* ὦ Ἰωάννη, κλῖμαξ ἀρετῶν·* καὶ νῦν πρεσβεύεις* σωθῆναι τοὺς δούλους σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὁ ἐπὶ θρόνου Χερουβὶμ* καθεζόμενος* καὶ ἐν τοῖς κόλποις τοῦ Πατρὸς* αὐλιζόμενος,* ὡς ἐπὶ θρόνου κάθηται* ἁγίου αὐτοῦ,* Δέσποινα, ἐν κόλποις σου* σαρκικῶς· ὁ Θεὸς γὰρ* ὄντως ἐβασίλευσεν* ἐπὶ πάντα τὰ ἔθνη·* καὶ συνετῶς νῦν ψάλλομεν αὐτῷ·* ὃν ἐκδυσώπει* σωθῆναι τοὺς δούλους σου.

Κοντάκιον. Ἦχος δ'. (Ἐπεφάνης σἠμερον).

Ἐν τῷ ὕψει Κύριος* τῆς ἐγκρατείας* ἀληθῆ σε ἔθετο* ὥσπερ ἀστέρα ἀπλανῆ,* φωταγωγοῦντα τὰ πέρατα,* καθηγητὰ* Ἰωάννη πατὴρ ἡμῶν.

Ὁ οἶκος. (Τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν).

Οἶκον Θεοῦ ὡς ἀληθῶς* σαυτὸν εἰργάσω, πάτερ,* ταῖς θείαις ἀρεταῖς σου,* σαφῶς κατακοσμήσας,* ὥσπερ χρυσίον τηλαυγές,* πίστιν, ἐλπίδα* καὶ ἀγάπην ἀληθῆ,*

θείους θεσμοὺς ἐκθέμενος˙* ἐγκρατείᾳ ἀσκήσας, ὡς ἄσαρκος,* φρόνησιν,* ἀνδρείαν, σωφροσύνην,* κτησάμενος ταπείνωσιν,* δι᾽ ἧς ἀνυψώθης˙* διὸ καὶ ἐφωτίσθης* εὐχαῖς ἀενάοις,* καὶ τοῦ οὐρανοῦ* κατέλαβες τὰς σκηνώσεις,* καθηγητὰ* Ἰωάννη πατὴρ ἡμῶν.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν˙

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τετάρτῃ τῶν νηστειῶν, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, τοῦ συγγραφέως τῆς Κλίμακος, ἐν εἰρήνῃ τελειωθέντος.

Στίχοι.

Ὁ σάρκα καὶ ζῶν νεκρὸς ὢν Ἰωάννης
αἰωνίως ζῇ καὶ νεκρὸς φανεὶς ἄπνους.

Σύγγραμμα λιπὼν Κλίμακα τῇ ἀνόδῳ
δείκνυσιν αὐτοῦ πορείαν τῆς ἀνόδου.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι˙ Ἀνοίξω τὸ στόμα μου (σ. 106).

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου (σ. 108 κ.ἑ.), ἡ Τιμιωτέρα καὶ ἡ καταβασία Ἅπας γηγενής.

Τὸ ἀναστάσιμον ἐξαποστειλάριον (σ. 121-125) καὶ τοῦ ὁσίου.

(Γυναῖκες, ἀκουτίσθητε).

Τοῦ κόσμου τὴν εὐπάθειαν* ὡς μοχθηρὰν ἐξέκλινας˙* καὶ ἀτροφίᾳ τὴν σάρκα* μαράνας, ἀνεκαίνισας* ψυχῆς τὸν τόνον, ὅσιε˙* καὶ δόξαν κατεπλούτησας* οὐράνιον, ἀοίδιμε* διὸ μὴ παύσῃ πρεσβεύων* ὑπὲρ ἡμῶν, Ἰωάννη.

Θεοτοκίον. Ὅμοιον.

Κυρίως Θεοτόκον σε* ὁμολογοῦμεν, Δέσποινα,* οἱ διὰ σοῦ σεσωσμένοι˙* καὶ γὰρ Θεὸν ἐκύησας* ἀπορρήτως, τὸν λύσαντα* διὰ Σταυροῦ τὸν θάνατον,* πρὸς ἑαυτὸν δ᾽ ἑλκύσαντα* ὁσίων δήμους, μεθ᾽ ὧν σε* ἀνευφημοῦμεν, Παρθένε.

Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα δ΄ καὶ τοῦ ὁσίου δ΄ τὰ τοῦ Ἑσπερινοῦ (σ. 963).

Δόξα. Ἰδιόμελον τοῦ Τριῳδίου. Ἦχος α΄.

Δεῦτε, ἐργασώμεθα* ἐν τῷ μυστικῷ ἀμπελῶνι,* καρποὺς μετανοίας* ἐν τούτῳ ποιούμενοι,* οὐκ ἐν βρώμασι καὶ πόμασι κοπιῶντες,* ἀλλ' ἐν προσευχαῖς καὶ νηστείαις* τὰς ἀρετὰς κατορθοῦντες·* τούτοις ἀρεσκόμενος* ὁ Κύριος τοῦ ἔργου,* δηνάριον παρέχει,* δι' οὗ ψυχὰς λυτροῦται* χρέους ἁμαρτίας,* ὁ μόνος πολυέλεος.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη καὶ τροπάριον ἀναστάσιμον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-299 καὶ 320-342).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ ὁσίου Ταῖς τῶν δακρύων σου ροαῖς (σ. 964), τὸ τοῦ ναοῦ καὶ κοντάκιον Τῇ ὑπερμάχῳ.

Προκείμενον τοῦ ἤχου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (ς΄ 13-20).

Ἀδελφοί, τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων· «Ἢ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε»· καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος· ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον

ψεύσασθαι Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος· ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν καὶ εἰσερχομένην «εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος», ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, «κατὰ τὴν τάξιν Μελχισεδὲκ» ἀρχιερεὺς γενόμενος «εἰς τὸν αἰῶνα».

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (θ΄ 17-31).

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ γονυπετῶν αὐτὸν καὶ λέγων· Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρὸς σέ, ἔχοντα πνεῦμα ἄλαλον. Καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν, καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται· καὶ εἶπον τοῖς μαθηταῖς σου, ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν. Ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει· Ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με. Καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν.

Καὶ ἰδὼν αὐτόν, εὐθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν, καὶ πεσὼν ἐπὶ τῆς γῆς, ἐκυλίετο ἀφρίζων. Καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· Πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ; Ὁ δὲ εἶπε· Παιδιόθεν. Καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ' ἡμᾶς. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ τὸ Εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι. Καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου μετὰ δακρύων ἔλεγε· Πιστεύω Κύριε· βοήθει μου τῇ ἀπιστίᾳ.

Ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ λέγων αὐτῷ· Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν, ἐγώ σοι ἐπιτάσσω· Ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. Καὶ κράξαν καὶ πολλὰ σπαράξαν αὐτὸν ἐξῆλθε, καὶ ἐγένετο ὡσεὶ νεκρός, ὥστε πολλοὺς λέγειν, ὅτι ἀπέθανεν. Ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς ἤγειρεν αὐτόν, καὶ ἀνέστη.

Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ ἐπη-

ρώτων αὐτὸν κατ' ἰδίαν· Ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό. Καὶ εἶπεν αὐτοῖς· Τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Καὶ ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ· ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς· Ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου (σ. 320-342).

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ Δ΄ ΕΒΔΟΜΑΔΟΣ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῆς Μ. Τεσσαρακοστῆς, σ. 221-244).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-217) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ τυχόντος ἤχου δ΄ (σ. 499 κ.ἑ.), εἶτα τὰ παρόντα γ΄ προσόμοια τοῦ Τριωδίου.

Στιχηρὰ προσόμοια τοῦ κυρίου Ἰωσήφ.
Ἦχος γ΄. (Μεγάλη τοῦ Σταυροῦ σου).

Μείστους* ἐν καιρῷ, πιστοί, ἐπιδειξώμεθα* τῆς ἐγκρατείας πόνους,* ὅπως μελλούσης δόξης* ἐπιτύχωμεν, ἐλέει τοῦ μεγάλου* Θεοῦ καὶ βασιλέως* ἀπολυτρούμενοι* τῆς φλογὸς τῆς γεέννης.

Τὸν χρόνον* τῆς νηστείας νῦν ὑπερμεσάσαντες,* ἀρχὴν ἐνθέου βίου* σαφῶς ἐπιδειξώμεθα* καὶ εἰς τέλος ἐναρέτου πολιτείας* φθάσαι θερμῶς σπεύσωμεν,* ὅπως ληψώμεθα* τὴν τρυφὴν τὴν ἀγήρω.

Ἕτερον, τοῦ κυρίου Θεοδώρου.
Ἦχος βαρύς. (Καταφρονήσαντες πάντων).

Υπερμεσάσαντες ταύτην* τὴν ἱερὰν τῆς νηστείας περίοδον,* πρὸς τὸ μέλλον ἐν χαρᾷ* διευθυδρομήσωμεν,*

εὐποιΐας ἐλαίῳ* τὰς ψυχὰς ἀλειφόμενοι˙* ἵνα πάντες ἀξιωθῶμεν* Χριστοῦ τοῦ Θεοῦ ἡμῶν* καὶ τὰ θεῖα παθήματα* προσκυνῆσαι, προφθάσαι* καὶ τὴν φρικτὴν καὶ ἁγίαν ἀνάστασιν.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ἦχος πλ. δ΄.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου... (σ. 978).

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον τὰ ἰδιόμελα τῆς ἡμέρας. Ἦχος βαρύς.

Ὁτὸν ἀμπελῶνα φυτεύσας* καὶ τοὺς ἐργάτας καλέσας,* ἐγγὺς ὑπάρχει Σωτήρ˙* δεῦτε οἱ τῆς νηστείας ἀγωνισταί,* μισθὸν ἀπολάβωμεν,* ὅτι πλούσιος ὑπάρχει* ὁ δοτὴρ καὶ ἐλεήμων˙* μικρὸν ἐργασάμενοι,* κομισώμεθα τὸ τῆς ψυχῆς ἔλεος.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σ. 239).

Ἦχος πλ. β΄.

Λησταῖς λογισμοῖς* περιπεσὼν ὁ Ἀδάμ,* ἐκλάπη τὸν νοῦν,* τραυματισθεὶς τὴν ψυχήν,* καὶ ἔκειτο γυμνὸς ἀντιλήψεως˙* οὔτε* ἱερεὺς ὁ πρὸ τοῦ νόμου* προσέσχεν αὐτῷ,* οὔτε* λευΐτης μετὰ νόμον* ἐπεῖδεν αὐτόν,* εἰ μὴ σὺ* ὁ παραγενόμενος Θεὸς* οὐκ ἐκ Σαμαρείας,* ἀλλ᾽ ἐκ τῆς Θεοτόκου.* Κύριε, δόξα σοι.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σ. 239).

Μαρτυρικόν.

Οἱ μάρτυρές σου, Κύριε,* οὐκ ἠρνήσαντό σε,* οὐκ ἀπέστησαν* ἀπὸ τῶν ἐντολῶν σου˙* ταῖς αὐτῶν πρεσβείαις* ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἀρχαγγελικῶς* ἀνυμνήσωμεν, πιστοί,* τὴν οὐράνιον παστάδα* καὶ πύλην σφραγισθεῖσαν ἀληθῶς˙* χαῖρε,

δι᾽ ἧς ἀνεβλάστησεν ἡμῖν* ὁ Σωτὴρ ὁ τῶν ἁπάντων,* Χριστὸς ὁ ζωοδότης καὶ Θεός·* κατάβαλε, Δέσποινα,* τοὺς ἀθέους τυράννους ἐχθροὺς ἡμῶν* τῇ χειρί σου, ἄχραντε,* ἡ ἐλπὶς Χριστιανῶν.

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ τροπάρια Θεοτόκε Παρθένε κ.τ.λ. (σ. 242-243. Βλ. καὶ Κυριακῇ τῆς Τυρινῆς ἑσπέρας, σ. 869).

ΤΗ ΤΕΤΑΡΤΗ ΤΗΣ Ε΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ΄

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν τὰ κάτωστιχηρὰ ἰδιόμελα καὶ προσόμοια.

Στίχ. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω.

Στιχηρὸν ἰδιόμελον. Ἦχος πλ. δ΄.

Τοῖς τῶν ἐμῶν λογισμῶν* λῃσταῖς περιπεσών,* ἐσυλήθην ὁ τάλας τὸν νοῦν,* καὶ δεινῶς πληγωθείς,* ὅλην μου τὴν ψυχὴν τετραυμάτισμαι,* καὶ ἔνθεν κεῖμαι γυμνὸς ἀρετῶν* ἐν τῇ τοῦ βίου ὁδῷ.* Ἱερεὺς δὲ ἰδών με* τῷ μώλωπι ὀδυνώμενον,* διὰ τὸ ἀνίατον* παρορῶν, οὐκ ἐπιβλέπει με·* Λευΐτης δὲ πάλιν* μὴ φέρων τὴν ψυχοφθόρον ἀλγηδόνα,* καὶ αὐτὸς κατιδών,* ἀντιπαρῆλθέ μοι·* σὺ δέ, ὁ εὐδοκήσας* οὐκ ἐκ Σαμαρείας,* ἀλλ᾽ ἐκ Μαρίας σαρκωθῆναι,* Χριστὲ ὁ Θεός,* τῇ φιλανθρωπίᾳ σου* παράσχου μοι τὴν ἴασιν,* ἐπιχέων ἐπ᾽ ἐμὲ* τὸ μέγα σου ἔλεος.

Στίχ. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

Πάλιν τὸ αὐτό.

Στίχ. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

Μαρτυρικόν.

Εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος,* πρέπει τοῖς ἁγίοις·* ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας* διὰ σέ, τὸν κλίναντα οὐρανοὺς* καὶ καταβάντα·* ἐξέχεαν τὸ αἷμα αὐτῶν* διὰ σέ, τὸν κενώσαντα ἑαυτὸν* καὶ μορφὴν δούλου λαβόντα·* ἐταπεινώθησαν ἕως θανάτου,* τὴν πτωχείαν σου μιμούμενοι·* ὧν ταῖς εὐχαῖς,* κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου,* ὁ Θεός, ἐλέησον ἡμᾶς.

Στιχηρὰ προσόμοια τοῦ κυρίου Ἰωσήφ.

Ἦχος πλ. δ΄. (Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης).

Στίχ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Κύριε,* σὺ τοὺς ἱεροὺς μαθητάς σου* λογικοὺς οὐρανοὺς ἔδειξας·* τούτων ἱεραῖς μεσιτείαις* τῶν τῆς γῆς κακῶν με λύτρωσαι,* δι' ἐγκρατείας ὑψῶν* συνέσεως ἑκάστοτε* τῆς πρὸς τὰ πάθη τὸν λογισμόν μου,* ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

Στίχ. Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

Ἔχοντες* πάντες τὸν καιρὸν τῆς νηστείας* ὡς συνεργὸν θείων πράξεων,* κλαύσωμεν ἐξ ὅλης καρδίας,* καὶ τῷ Σωτῆρι βοήσωμεν·* Διὰ τῶν σῶν μαθητῶν,* Κύριε πολυέλεε,* σῶσον τοὺς φόβῳ ἀνυμνοῦντας* τὴν πολλὴν φιλανθρωπίαν σου.

Ἕτερον, τοῦ κυρίου Θεοδώρου.

Ἦχος ὁ αὐτός. (Τὴν ἔνδοξον καὶ ἀχραντον).

Στίχ. Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

Ἀπόστολοι πανεύφημοι,* οἱ τοῦ κόσμου πρεσβευταί,* ἀσθενούντων ἰατροί,* τῆς ὑγείας φύλακες,* ἀμφοτέρωθεν ἡμᾶς* συντηρήσατε* τῆς νηστείας τὸν χρόνον διϊπεύοντας,* ἐν ἀλλήλοις ἐνθέως* εἰρηνεύοντας,* τὸν νοῦν ἀνενόχλητον* τῶν παθῶν φυλάττοντας,* ἵνα ᾄσωμεν Χριστῷ, ὡς νικητῇ* ἐξαναστάντι, ὕμνον ἅπαντες.

Ἕτερα στιχηρὰ προσόμοια κατ' ἀλφάβητον.
Ποίημα Συμεὼν τοῦ Μεταφραστοῦ.
Ἦχος δ'. (Ἤθελον δάκρυσιν ἐξαλεῖψαι).

Στίχ. Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

Ἅπας ὁ βίος μου μετὰ πορνῶν* καὶ τελωνῶν ἐκδεδαπάνηται·* ἆρα δυνήσομαι κἂν ἐν γήρᾳ* μεταγνῶναι ἅπερ ἐξήμαρτον;* Δημιουργὲ τῶν ἁπάντων,* καὶ ἰατρὲ τῶν νοσούντων* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐκέκραξα πρός σέ, Κύριε, εἶπα· σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

Βάρει συνέχομαι ἀμελείας,* τῷ βορβόρῳ ἐγκυλινδούμενος,* βέλει κεντούμενος τοῦ Βελίαρ,* καὶ μολύνω τὸ κατ' εἰκόνα μου.* Ἐπιστροφεῦ ἀμελούντων,* καὶ λυτρωτὰ ἐπταισμένων,* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

Γέγονα πρόσκομμα τῶν ἀνθρώπων,* γεωργήσας ὡς γηγενὴς γεηρά* γάμῳ ὡμίλησα σῇ προστάξει* καὶ παρέβην, μιάνας κοίτην ἐμήν.* Ὁ ἀπὸ γῆς πλαστουργήσας,* τὸ πλάσμα σου μὴ παρίδῃς,* Κύριε* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Δήμιος γέγονα τῇ ψυχῇ μου,* τῆς σαρκός μου πρόνοιαν ποιησάμενος·* δαίμοσι παίγνιον κατεστάθην,* ἡδοναῖς δουλεύων καὶ ἀτοπήμασι.* Τῇ εὐσπλαγχνίᾳ σου φεῖσαι,* φυ-

γαδευτὰ τῶν δαιμόνων,* Κύριε·* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἑκὼν ἐξήμαρτον ὑπὲρ πάντας,* διὰ τοῦτο ἐγκαταλέλειμμαι·* ἔχω ἀντίδικον τῆς ψυχῆς μου* τῆς σαρκὸς τὸ φρόνημα, καὶ σκοτίζομαι.* Ὁ φωτισμὸς τῶν ἐν σκότει,* καὶ ὁδηγὸς πλανωμένων,* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

Ζήσεται, ἔλεγεν ὁ προφήτης,* ἡ ψυχή μου, Κύριε, καὶ αἰνέσει σε·* ζήτησον πρόβατον πλανηθέν με* καὶ ἀρίθμησόν με τῇ ποίμνῃ σου·* δός μοι καιρὸν μετανοίας,* ἵνα στενάζων βοῶ σοι·* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Ἥμαρτον, ἥμαρτον ἀθετήσας* τὰ προστάγματά σου, Χριστὲ ὁ Θεός·* ἵλεως γενοῦ μοι, ὦ εὐεργέτα,* ἵνα βλέψω τοῖς ἔνδοθεν ὀφθαλμοῖς* καὶ ἀποφύγω τοῦ σκότους* καὶ μετὰ φόβου βοήσω·* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Θῆρες με ἄγριοι περιέσχον,* ἀλλ' ἐξ αὐτῶν με ἅρπασον, Δέσποτα·* θέλεις γὰρ ἅπαντας τοῦ σωθῆναι,* καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν* πάντας ἀνθρώπους, ὡς κτίστης,* καὶ μετὰ πάντων με σῶσον·* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἅμα γίνου μοι, εὐεργέτα,* Λυτρωτὰ Σωτήρ μου, καὶ μὴ ἀπώσῃ με·* ἴδε με κείμενον ἀνομίαις,* καὶ ἀνάστησόν με

ὡς παντοδύναμος,* ἵνα κἀγὼ ἐξαγγέλλω* τὰς πράξεις μου καὶ βοῶ σοι* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Κρύψας τὸ τάλαντον τὸ δοθέν μοι,* ὡς ἀγνώμων δοῦλος, τῇ γῇ κατέχωσα* καὶ γὰρ ὡς ἄχρηστος κατεκρίθην* καὶ οὐ τολμῶ λοιπὸν ἐξαιτῆσαί σοι* ὡς ἀνεξίκακος οἰκτειρόν με,* ἵνα κἀγὼ ἀνακράζω* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Λίμνην ἐξήρανας παθημάτων* τῆς αἱμορρόου σης ἁφῇ κρασπέδου σου* λήψομαι ἄφεσιν ἐγκλημάτων,* ἀδιστάκτῳ πίστει σοι προσερχόμενος.* Δέξαι κἀμὲ ὡς ἐκείνην* καὶ ἴασαί μου τὸ ἄλγος* Κύριε,* πρὶς εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Μέλλεις καθέζεσθαι ἐπὶ θρόνου,* ὁ ποιήσας λόγῳ τὸν οὐρανὸν καὶ τὴν γῆν* μέλλομεν ἅπαντες παραστῆναι,* ἐξαγγέλλοντές σοι τὰς ἁμαρτίας ἡμῶν* πρὸ τῆς ἡμέρας ἐκείνης* ἐν μετανοίᾳ με δέξαι* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Νεῦσον τῷ ὄμματι τῷ εὐσπλάγχνῳ* καὶ γενοῦ μοι ἵλεως, μόνε Σωτήρ* νάματα δώρησαι ἰαμάτων* τῇ ἀθλίᾳ μου καὶ ταλαιπώρῳ ψυχῇ* ἀπόσμηξον ἐκ τοῦ ῥύπου* τῶν ἔργων μου, ἵνα μέλψω* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Εἶφη ἠὐτρέπισεν ὁ Βελίαρ,* ἐκθηρεῦσαι σπεύδων τὴν ταπεινήν μου ψυχήν·* ξένον ἐποίησέ με, οἰκτίρμον,* φωτισμοῦ τῆς γνώσεως τοῦ προσώπου σου.* Ὁ κραταιὸς ἐν ἰσχύϊ,* τούτου σκευῶν ἅρπασόν με·* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

Ὅλος τοῖς πάθεσιν ἐδουλώθην,* ἐγκαταλείψας νόμον καὶ θείας γραφάς·* ὅλον με ἴασαι, εὐεργέτα,* δι' ἐμὲ κατ' ἐμὲ γεγονώς, ἀγαθέ·* ἐπίστρεψόν με, οἰκτίρμον,* ὁ τῶν παθῶν καθαιρέτης·* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Πόρνη τοῖς δάκρυσι καταβρέχει* τοὺς ἀχράντους τε καὶ τιμίους πόδας σου,* πάντας προτρέπουσα τοῦ προστρέχειν* καὶ λαμβάνειν λύσιν τῶν ἐγκλημάτων αὐτῶν.* Αὐτῆς τὴν πίστιν παράσχου* κἀμοί, Σωτήρ, τοῦ βοᾶν σοι·* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ρύπον καθάρισον τῆς ψυχῆς μου,* ὁ δι' ἐμὲ πτωχεύσας καὶ νηπιάσας σαρκί·* ῥανίδα ἐλέους σου καταπέμψας* τῷ ἀσθενεῖ καὶ τεθλασμένῳ Χριστέ·* ἀπόπλυνον ἐκ τοῦ ῥύπου,* ἰάτρευσον ἀσθενοῦντα·* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Στήριξον, Δέσποτα, τὴν ψυχήν μου,* σοὶ προστρέχειν καὶ σοὶ δουλεύειν ἀεί·* σκέπη ὑπάρχεις γάρ μου καὶ φύλαξ*

καὶ ἀντίληψις καὶ βοήθειά* ἀξίωσον, Θεὲ Λόγε,* βοᾶν με ἐν παῤῥησίᾳ.* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τεῖχος ἀπόρθητον ἡμῖν γενοῦ,* Ἰησοῦ Σωτὴρ καὶ ἐλεῆμον Θεέ* τρόποις καὶ ἔργοις ἀπατηλοῖς γὰρ* συμπεπτώκαμεν, ἀλλ' ἀνάστησον* ὡς εὐεργέτης τὸ πλάσμα* καὶ διαλλάγηθι ὡς οἰκτίρμον* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Υἱὸς ὁ ἄσωτος ἐγενόμην* διασκορπίσας τὸν πλοῦτον, λιμῷ νῦν τήκομαι* ὑπὸ τὴν σκέπην σου καταφεύγω* ὥσπερ ἐκεῖνον δέξαι με, Πάτερ ἀγαθέ,* καὶ μέτοχον τῆς τραπέζης* ἀξίωσον τοῦ βοᾶν σοι* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Φθόνῳ ἐξέβαλε παραδείσου* τὸν πρωτόπλαστον ὁ ἀρχέκακος* φάσκων τὸ Μνήσθητι ἐπὶ ξύλου* ὁ λῃστὴς ἀπέλαβε τὸν παράδεισον* ἐγὼ δὲ πίστει καὶ φόβῳ* τὸ Μνήσθητί μου βοῶ σοι* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Χεῖρά μοι ἔκτεινον ὡς τῷ Πέτρῳ* καὶ ἀνάγαγε τοῦ βυθοῦ, ὁ Θεός* χάριν καὶ ἔλεός μοι παράσχου* τῇ πρεσβείᾳ τῆς παναμώμου Μητρὸς* τῆς σὲ τεκούσης ἀσπόρως* καὶ τῶν ἁγίων σου πάντων* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ψάλλοντα δέξαι με καθ' ἑκάστην,* ὁ Ἀμνὸς ὁ αἴρων τὴν ἁμαρτίαν μου* ψυχὴν καὶ σῶμά μου ὁλοκλήρως* εἰς τὰς χεῖράς σου παρατίθημι* καὶ ἐν νυκτὶ καὶ ἡμέρᾳ* χρεωστικῶς ἐκβοῶ σοι* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὠτῆς ἀφάτου σου εὐσπλαγχνίας,* ὑπεράγαθε, ἀνεξίκακε Κύριε!* Ὦ ἀναμάρτητε καὶ οἰκτίρμον,* μή με ἀποῤῥίψῃς ἀπὸ τοῦ προσώπου σου,* ὅπως κἀγὼ εὐχαρίστως* χαίρων καὶ ψάλλων βοῶ σοι·* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὠτῇ ἀῤῥήτῳ συγκαταβάσει!* ὦ τοῦ ξένου τόκου τὸ ὑπερθαύμαστον!* ὦ πῶς Παρθένος βρέφος σε φέρει* ἐν ἀγκάλαις αὐτῆς, τὸν ποιητὴν καὶ Θεόν.* Ὁ ἐξ αὐτῆς σαρκωθῆναι* καταδεξάμενος, εὐεργέτα,* Κύριε,* πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς ῾γ'.

Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο.

Στίχ. Ὑψώθητι, ὁ κρίνων τὴν γῆν.

Γενέσεως τὸ ἀνάγνωσμα (ιζ' 1-9).

Ἐγένετο Ἄβραμ ἐτῶν ἐνενηκονταεννέα, καὶ ὤφθη Κύριος τῷ Ἄβραμ καὶ εἶπεν αὐτῷ· Ἐγώ εἰμι ὁ Θεός σου· εὐαρέστει ἐνώπιον ἐμοῦ καὶ γίνου ἄμεμπτος. Καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ καὶ πληθυνῶ σε σφόδρα. Καὶ ἔπεσεν Ἄβραμ ἐπὶ πρόσωπον αὐτοῦ, καὶ ἐλάλησεν αὐτῷ ὁ Θεὸς λέγων· Καὶ ἐγὼ ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ, καὶ ἔσῃ πατὴρ πλήθους ἐθνῶν. Καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἄβραμ, ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. Καὶ αὐξανῶ σε σφόδρα σφόδρα, καὶ θήσω σε εἰς ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. Καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σέ, εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον, εἶναί σου Θεός, καὶ τοῦ σπέρματός σου μετὰ σέ. Καὶ δώσω σοὶ καὶ τῷ σπέρματί σου μετὰ σὲ τὴν γῆν, ἣν παροικεῖς, πᾶσαν τὴν γῆν Χαναὰν εἰς κατάσχεσιν αἰώνιον· καὶ ἔσομαι αὐτοῖς

εἰς Θεόν. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἀβραάμ. Σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν.

Προκείμενον. Ἦχος πλ. β'. Ψαλμὸς ϟε'.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Στίχ. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ.

Παροιμιῶν τὸ ἀνάγνωσμα (ιε' 20 - ις' 9).

Υἱὸς σοφὸς εὐφραίνει πατέρα, υἱὸς δὲ ἄφρων μυκτηρίζει μητέρα αὐτοῦ. Ἀνοήτου τρίβοι ἐνδεεῖς φρενῶν, ἀνὴρ δὲ φρόνιμος κατευθύνων πορεύεται. Ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια, ἐν δὲ καρδίαις βουλευομένων μένει βουλή. Οὐ μὴ ὑπακούσει ὁ κακὸς αὐτῇ, οὐ δὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ. Ὁδοὶ ζωῆς διανοήματα συνετοῦ, ἵνα ἐκκλίνας ἐκ τοῦ ᾅδου σωθῇ. Οἴκους ὑβριστῶν κατασπᾷ Κύριος, ἐστήριξε δὲ ὅριον χήρας.

Βδέλυγμα Κυρίῳ λογισμὸς ἄδικος, ἁγνῶν δὲ ῥήσεις σεμναί. Ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήπτης, ὁ δὲ μισῶν δώρων λήψεις σῴζεται. Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, τῷ δὲ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. Καρδίαι δικαίων μελετῶσι πίστεις, στόμα δὲ ἀσεβῶν ἀποκρίνεται κακά. Δεκταὶ παρὰ Κυρίῳ ὁδοὶ ἀνθρώπων δικαίων, διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται. Μακρὰν ἀπέχει ὁ Θεὸς ἀπὸ ἀσεβῶν, εὐχαῖς δὲ δικαίων ἐπακούει. Θεωρῶν ὀφθαλμὸς καλὰ εὐφραίνει καρδίαν, φήμη δὲ ἀγαθὴ πιαίνει ὀστᾶ. Ὁ εἰσακούων ἐλέγχους ζωῆς ἐν μέσῳ σοφῶν αὐλισθήσεται. Ὃς ἀπωθεῖται παιδείαν μισεῖ ἑαυτόν, ὁ δὲ τηρῶν ἐλέγχους ἀγαπᾷ ψυχὴν ἑαυτοῦ. Φόβος Κυρίου παιδεία καὶ σοφία, καὶ ἀρχὴ δόξης ἀποκριθήσεται αὐτῇ. Τῷ ἀνθρώπῳ πρόθεσις καρδίας, καὶ παρὰ Κυρίου ἀπόκρισις γλώσσης. Ὅσῳ μέγας εἶ, τοσοῦτον ταπείνου σεαυτόν, καὶ ἐναντι Κυρίου τοῦ Θεοῦ σου εὑρήσεις χάριν.

Πάντα τὰ ἔργα τοῦ ταπεινοῦ φανερὰ τῷ Θεῷ, καὶ ἑδράζων πνεύματα Κύριος. Κύλισον ἐπὶ Κύριον τὰ ἔργα σου, καὶ ἑδρασθήσονται οἱ λογισμοί σου. Πάντα εἰργάσατο Κύριος

δι' ἑαυτόν, οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται. Ἀκάθαρτος παρὰ Θεῷ πᾶς ὑψηλοκάρδιος, χειρὶ δὲ χεῖρας βαλὼν ἀδίκως οὐκ ἀθωωθήσεται. Ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν δίκαια, δεκτὰ δὲ παρὰ Θεῷ μᾶλλον ἢ θύειν θυσίας. Ὁ ζητῶν τὸν Κύριον εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης, οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν εὑρήσουσιν εἰρήνην. Πάντα τὰ ἔργα τοῦ Κυρίου μετὰ δικαιοσύνης, φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν. Κρεῖσσον ὀλίγη λῆψις μετὰ δικαιοσύνης ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας. Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ τοῦ Θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ.

Καὶ εὐθὺς τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΤΕΤΑΡΤΗ ΤΗΣ Ε' ΕΒΔΟΜΑΔΟΣ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

Ψάλλομεν τὴν κατανυκτικὴν ἀκολουθίαν τοῦ Μεγάλου Κανόνος.(*)

Ἀναγινώσκεται τὸ Μικρὸν Ἀπόδειπνον μέχρι καὶ τοῦ Ἄξιόν ἐστιν (σ. 274-279). Καὶ εὐθὺς ἀρχόμεθα ψάλλειν τὸν κανόνα ἐν κατανύξει, ποιοῦντες εἰς καθὲν τροπάριον μετανοίας γ' καὶ λέγοντες Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με.

(*) Κατὰ τὴν ἐν τῷ Τριῳδίῳ τάξιν ὁ Μέγας κανὼν ψάλλεται εἰς τὸν Ὄρθρον τῆς Πέμπτης μετὰ τῶν λοιπῶν ὕμνων τῆς ἡμέρας. Εἰς τοὺς ἐνοριακοὺς ναοὺς ὅμως ψάλλεται συνήθως τὴν ἑσπέραν τῆς Τετάρτης εἰς τὸ Ἀπόδειπνον, ἐνῷ οἱ λοιποὶ ὕμνοι ψάλλονται κανονικῶς εἰς τὸν Ὄρθρον. Τὴν τάξιν αὐτὴν ἠκολουθήσαμεν.

Κατὰ τὴν Α' ἑβδομάδα τῆς Μ. Τεσσαρακοστῆς ὁ Μέγας κανὼν ψάλλεται τμηματικῶς εἰς τὰ Ἀπόδειπνα ἀπὸ τῆς Δευτέρας μέχρι τῆς Πέμπτης. Τὰ τροπάρια ἑκάστης ᾠδῆς διαιροῦνται εἰς τέσσαρα τμήματα, ὥστε ἀποτελοῦνται τέσσαρες μικρότεροι κανόνες. Εἰς ἑκάστην ᾠδὴν ψάλλεται πρῶτον ὁ εἱρμός, ἔπειτα τὰ τροπάρια τοῦ ἀντιστοίχου τμήματος καὶ τέλος τὸ τριαδικὸν καὶ

ΚΑΝΩΝ Ο ΜΕΓΑΣ

Ποίημα τοῦ ἁγίου Ἀνδρέου Κρήτης.

Ἦχος πλ. β'. Ὠδὴ α'. Ὁ εἱρμός.

Βοηθὸς καὶ σκεπαστὴς* ἐγένετό μοι εἰς σωτηρίαν·* οὗτός μου Θεός,* καὶ δοξάσω αὐτόν·* Θεὸς τοῦ Πατρός μου,* καὶ ὑψώσω αὐτόν·* ἐνδόξως γὰρ δεδόξασται. (Δὶς)

Τροπάρια.

(Τμῆμα α').

Πόθεν ἄρξομαι θρηνεῖν* τὰς τοῦ ἀθλίου μου βίου πράξεις;* ποίαν ἀπαρχὴν* ἐπιθήσω, Χριστέ,* τῇ νῦν θρηνῳδίᾳ;* ἀλλ' ὡς εὔσπλαγχνός μοι δὸς* παραπτωμάτων ἄφεσιν.

Δεῦρο, τάλαινα ψυχή,* σὺν τῇ σαρκί σου τῷ πάντων κτίστῃ* ἐξομολογοῦ,* καὶ ἀπόσχου λοιπὸν* τῆς πρὶν ἀλογίας,* καὶ προσάγαγε Θεῷ* ἐν μετανοίᾳ δάκρυα.

Τὸν πρωτόπλαστον Ἀδὰμ* τῇ παραβάσει παραζηλώσας,* ἔγνων ἐμαυτὸν* γυμνωθέντα Θεοῦ* καὶ τῆς ἀϊδίου* βασιλείας καὶ τρυφῆς* διὰ τὰς ἁμαρτίας μου.

Οἴμοι, τάλαινα ψυχή!* τί ὡμοιώθης τῇ πρώτῃ Εὔᾳ;* εἶδες γὰρ κακῶς* καὶ ἐτρώθης πικρῶς* καὶ ἤψω τοῦ ξύλου* καὶ ἐγεύσω προπετῶς* τῆς παραλόγου βρώσεως.

τὸ Θεοτοκίον. Τὰ τροπάρια τοῦ κανόνος τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας κατανέμονται εἰς τὰ δύο τελευταῖα τμήματα, ἐνῶ τὰ τοῦ ἁγίου Ἀνδρέου παραλείπονται πλὴν τοῦ τῆς θ' ᾠδῆς. Παραλείπονται ἐπίσης οἱ Μακαρισμοί.

Ἐπειδὴ δὲν ἦτο δυνατὸν νὰ παρατεθῇ δὶς ὁ Μέγας κανών, παρατίθεται ἐνταῦθα ὁλόκληρος καθ' ἣν σειρὰν ψάλλεται τῇ Τετάρτῃ τῆς Ε' ἑβδομάδος ἑσπέρας, σημειοῦται ὅμως εἰς ἑκάστην ᾠδὴν ἡ διαίρεσις τῶν τμημάτων αὐτῆς. Ἡ διαίρεσις ὅμως αὕτη δὲν εἶναι ἀπολύτως ἀκριβής, διότι μεταξὺ τῆς τμηματικῆς καὶ τῆς συνολικῆς ψαλμῳδίας τοῦ κανόνος ὑπάρχουν ἀρκεταὶ διαφοραὶ εἰς τὴν σειρὰν τῶν τροπαρίων, αἱ ὁποῖαι δὲν ἦτο δυνατὸν νὰ σημειωθοῦν ἐνταῦθα.

Ἀντὶ Εὔας αἰσθητῆς* ἡ νοητή μοι κατέστη Εὔα,* ὁ ἐν τῇ σαρκὶ* ἐμπαθὴς λογισμός,* δεικνὺς τὰ ἡδέα,* καὶ γευόμενος ἀεὶ* τῆς πικρᾶς καταπόσεως.

Ἐπαῤῥίως τῆς Ἐδὲμ* προεξερῥίφη ὡς μὴ φυλάξας* μίαν σου, Σωτήρ,* ἐντολὴν ὁ Ἀδάμ·* ἐγὼ δὲ τί πάθω,* ἀθετῶν διὰ παντὸς* τὰ ζωηρά σου λόγια;

(Τμῆμα β′).

Τὴν τοῦ Κάϊν ὑπελθὼν* μιαιφονίαν τῇ προαιρέσει,* γέγονα φονεὺς* συνειδότος ψυχῆς,* ζωώσας τὴν σάρκα,* καὶ στρατεύσας κατ᾽ αὐτῆς* ταῖς πονηραῖς μου πράξεσι.

Τῇ τοῦ Ἄβελ, Ἰησοῦ,* οὐχ ὁμοιώθην δικαιοσύνῃ·* δῶρά σοι δεκτὰ* οὐ προσῆξα ποτέ,* οὐ πράξεις ἐνθέους,* οὐ θυσίαν καθαράν,* οὐ βίον ἀνεπίληπτον.

Ὡς ὁ Κάϊν καὶ ἡμεῖς,* ψυχὴ ἀθλία, τῷ πάντων Κτίστῃ* πράξεις ῥυπαρὰς* καὶ θυσίαν ψεκτὴν* καὶ ἄχρηστον βίον* προσηγάγομεν ὁμοῦ·* διὸ καὶ κατεκρίθημεν.

Τὸν πηλὸν ὁ κεραμεὺς* ζωοπλαστήσας ἐνέθηκάς μοι* σάρκα καὶ ὀστᾶ* καὶ πνοὴν καὶ ζωήν·* ἀλλ᾽ ὦ ποιητά μου,* λυτρωτά μου καὶ κριτά,* μετανοοῦντα δέξαι με.

Ἐξαγγέλλω σοι, Σωτήρ,* τὰς ἁμαρτίας, ἃς εἰργασάμην,* καὶ τὰς τῆς ψυχῆς* καὶ τοῦ σώματός μου* πληγάς, ἃς μοι ἔνδον* μιαιφόνοι λογισμοὶ* λῃστρικῶς ἐναπέθηκαν.

Εἰ καὶ ἥμαρτον, Σωτήρ,* ἀλλ᾽ οἶδα ὅτι φιλάνθρωπος εἶ·* πλήττεις συμπαθῶς,* καὶ σπλαγχνίζῃ θερμῶς·* δακρύοντα βλέπεις,* καὶ προστρέχεις, ὡς Πατήρ,* ἀνακαλῶν τὸν ἄσωτον.

(Τμῆμα γ′).

Ἐῤῥιμμένον με, Σωτήρ,* πρὸ τῶν πυλῶν σου κᾶν ἐν τῷ γῆρει,* μή με ἀπορῥίψῃς* εἰς ᾅδου κενόν·* ἀλλὰ πρὸ τοῦ τέλους* ὡς φιλάνθρωπός μοι δὸς* παραπτωμάτων ἄφεσιν.

Ὀλῃσταῖς περιπεσὼν* ἐγὼ ὑπάρχω τοῖς λογισμοῖς μου·* ὅλως ὑπ' αὐτῶν* τετραυμάτισμαι νῦν·* ἐπλήσθην μωλώπων·* ἀλλ' αὐτός μοι ἐπιστάς,* Χριστὲ Σωτήρ, ἰάτρευσον.

Ἱερεύς με προϊδὼν* ἀντιπαρῆλθε, καὶ ὁ Λευΐτης* βλέπων ἐν δεινοῖς* ὑπερεῖδε γυμνόν·* ἀλλ' ὁ ἐκ Μαρίας* ἀνατείλας, Ἰησοῦ,* σὺ ἐπιστάς με οἴκτειρον.

(Τμῆμα δ').

Ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ,* ὁ αἴρων πάντων τὰς ἁμαρτίας,* ἆρον τὸν κλοιὸν* ἀπ' ἐμοῦ τὸν βαρύν,* τὸν τῆς ἁμαρτίας,* καὶ ὡς εὔσπλαγχνός μοι δὸς* παραπτωμάτων ἄφεσιν.

Μετανοίας ὁ καιρός·* προσέρχομαί σοι, τῷ πλαστουργῷ μου·* ἆρον τὸν κλοιὸν* ἀπ' ἐμοῦ τὸν βαρύν,* τὸν τῆς ἁμαρτίας,* καὶ ὡς εὔσπλαγχνός μοι δὸς* παραπτωμάτων ἄφεσιν.

Μὴ βδελύξῃ με, Σωτήρ·* μὴ ἀποῤῥίψῃς τοῦ σοῦ προσώπου·* ἆρον τὸν κλοιὸν* ἀπ' ἐμοῦ τὸν βαρύν,* τὸν τῆς ἁμαρτίας,* καὶ ὡς εὔσπλαγχνός μοι δὸς* παραπτωμάτων ἄφεσιν.

Τὰ ἑκούσια, Σωτήρ,* καὶ τὰ ἀκούσια πταίσματά μου,* καὶ τὰ φανερὰ* καὶ κρυπτά, καὶ γνωστὰ* καὶ ἄγνωστα πάντα* συγχωρήσας ὡς Θεός,* ἱλάσθητι καὶ σῶσόν με.

Ἐκ νεότητος, Σωτήρ,* τῶν ἐντολῶν σου καταφρονήσας,* ὅλον ἐμπαθῶς* ἀμελῶν, ῥαθυμῶν,* παρῆλθον τὸν βίον·* διὸ κράζω σοι, Σωτήρ·* Κἂν ἐν τῷ τέλει σῶσόν με.

Τὴν οὐσίαν τῆς ψυχῆς* καταναλώσας ταῖς ἀσωτίαις,* ἔρημος εἰμὶ* ἀρετῶν εὐσεβῶν,* λιμώττων δὲ κράζω·* Ὁ Πατὴρ τῶν οἰκτιρμῶν,* προφθάσας σὺ με οἴκτειρον.

Σοὶ προσπίπτω, Ἰησοῦ·* ἡμάρτηκά σοι, ἱλάσθητί μοι·* ἆρον τὸν κλοιὸν* ἀπ' ἐμοῦ τὸν βαρύν,* τὸν τῆς ἁμαρτίας,* καὶ ὡς εὔσπλαγχνός μοι δὸς* δάκρυα κατανύξεως.

Μὴ εἰσέλθῃς μετ' ἐμοῦ* ἐν κρίσει, φέρων μου τὰ πρακτέα,* λόγους ἐκζητῶν,* καὶ εὐθύνων ὁρμάς·* ἀλλ'

ἐν οἰκτιρμοῖς σου* παρορῶν μου τὰ δεινά,* σῶσόν με, παντοδύναμε.

Ἕτερος κανὼν τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας, εἰς τὸν αὐτὸν ἦχον καὶ εἱρμόν, οὗ ἡ ἀκροστιχίς

Σύ, ἡ ὁσία Μαρία, βοήθει.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σήν μοι δίδου φωταυγῆ* ἐκ θείας ἄνωθεν προμηθείας* χάριν ἐκφυγεῖν* τῶν παθῶν σκοτασμόν,* καὶ ᾄσαι προθύμως* τοῦ σοῦ βίου τὰ τερπνά,* Μαρία, κατορθώματα.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑποκύψασα Χριστοῦ* τοῖς θείοις νόμοις τούτῳ προσῆλθες,* τὰς τῶν ἡδονῶν* ἀκαθέκτους ὁρμὰς* λιποῦσα, καὶ πᾶσαν* ἀρετὴν πανευλαβῶς* ὡς μίαν κατωρθώσασα.

Τροπάριον τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκεσίαις σου ἡμᾶς,* Ἀνδρέα, ῥῦσαι παθῶν ἀτίμων,* καὶ τῆς βασιλείας* Χριστοῦ κοινωνοὺς* τοὺς πίστει καὶ πόθῳ* ἀνυμνοῦντάς σε, κλεινέ,* ἀνάδειξον, δεόμεθα.

Δόξα. Τριαδικόν.

Ὑπερούσιε Τριάς,* ἡ ἐν Μονάδι προσκυνουμένη,* ἆρον τὸν κλοιὸν* ἀπ' ἐμοῦ τὸν βαρύν,* τὸν τῆς ἁμαρτίας* καὶ ὡς εὔσπλαγχνός μοι δὸς* δάκρυα κατανύξεως.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, ἡ ἐλπίς* καὶ προστασία τῶν σὲ ὑμνούντων,* ἆρον τὸν κλοιὸν* ἀπ' ἐμοῦ τὸν βαρύν,* τὸν τῆς ἁμαρτίας,* καὶ ὡς Δέσποινα ἁγνὴ* μετανοοῦντα δέξαι με.

Ὠδὴ β'. Ὁ εἱρμός.

Πρόσεχε,* οὐρανέ, καὶ λαλήσω* καὶ ἀνυμνήσω Χριστόν,* τὸν ἐκ Παρθένου σαρκὶ* ἐπιδημήσαντα.

Τροπάρια.

(Τμῆμα α').

Πρόσεχε,* οὐρανέ, καὶ λαλήσω·* γῆ, ἐνωτίζου φωνῆς* μετανοούσης Θεῷ* καὶ ἀνυμνούσης αὐτόν.

Πρόσχες μοι,* ὁ Θεός, ὡς οἰκτίρμων,* ἰλέῳ δμματί σου,* καὶ δέξαι μου τὴν θερμὴν* ἐξομολόγησιν.

Ημάρτηκα* ὑπὲρ πάντας ἀνθρώπους·* μόνος ἡμάρτηκά σοι* ἀλλ' οἴκτειρον, ὡς Θεός,* Σωτήρ, τὸ ποίημά σου.

Ζάλη με* τῶν κακῶν περιέχει,* εὐσπλαγχνε Κύριε·* ἀλλ' ὡς τῷ Πέτρῳ, κἀμοί* τὴν χεῖρα ἔκτεινον.

Τὰ δάκρυα* τὰ τῆς πόρνης, οἰκτίρμον,* κἀγὼ προβάλλομαί* ἱλάσθητί μοι, Σωτήρ,* τῇ εὐσπλαγχνίᾳ σου.

Ημαύρωσα* τῆς ψυχῆς τὸ ὡραῖον* ταῖς τῶν παθῶν ἡδοναῖς,* καὶ ὅλως ὅλον τὸν νοῦν* χοῦν ἀπετέλεσα.

Διέῤῥηξα* νῦν τὴν στολήν μου τὴν πρώτην,* ἣν ἐξυφάνατό μοι* ὁ πλαστουργὸς ἐξ ἀρχῆς,* καὶ ἔνθεν κεῖμαι γυμνός.

Ενδέδυμαι* διερῥηγμένον χιτῶνα,* ὃν ἐξυφάνατό μοι* ὁ ὄφις τῇ συμβουλῇ,* καὶ καταισχύνομαι.

Προσέβλεψα* τοῦ φυτοῦ τὸ ὡραῖον,* καὶ ἠπατήθην τὸν νοῦν·* καὶ ἄρτι κεῖμαι γυμνὸς* καὶ καταισχύνομαι.

Ετέκταινον* ἐπὶ τὸν νῶτόν μου πάντες* οἱ ἀρχηγοὶ τῶν κακῶν,* μακρύνοντες κατ' ἐμοῦ* τὴν ἀνομίαν αὐτῶν.

(Τμῆμα β').

Απώλεσα* τὸ πρωτόκτιστον κάλλος,* καὶ τὴν εὐπρέπειάν μου·* καὶ ἄρτι κεῖμαι γυμνὸς* καὶ καταισχύνομαι.

Κατέῤῥαψε* τοὺς δερματίνους χιτῶνας* ἡ ἁμαρτία κἀμοί,* γυμνώσασά με τῆς πρὶν* θεοϋφάντου στολῆς.

Περίκειμαι* τὸν στολισμὸν τῆς αἰσχύνης,* καθάπερ φύλλα συκῆς,* εἰς ἔλεγχον τῶν ἐμῶν* αὐτεξουσίων παθῶν.

Ἐστόλισμαι* κατεστιγμένον χιτῶνα* καὶ ἠμαγμένον αἰσχρῶς* τῇ ῥύσει τῆς ἐμπαθοῦς* καὶ φιληδόνου ζωῆς.

Ἐσπίλωσα* τὸν τῆς σαρκός μου χιτῶνα,* καὶ κατεῤῥύπωσα* τὸ κατ' εἰκόνα, Σωτήρ,* καὶ καθ' ὁμοίωσιν.

Ὑπέπεσα* τῇ τῶν παθῶν ἀχθηδόνι,* καὶ τῇ ἐνύλῳ φθορᾷ* καὶ ἔνθεν νῦν ὁ ἐχθρὸς* καταπιέζει με.

Φιλόϋλον* καὶ φιλοκτήμονα βίον* τῆς ἀκτησίας, Σωτήρ,* προκρίνας, νῦν τὸν βαρὺν* κλοιὸν περίκειμαι.

Ἐκόσμησα* τὸν τῆς σαρκὸς ἀνδριάντα* τῇ τῶν αἰσχρῶν λογισμῶν* ποικίλῃ περιβολῇ,* καὶ κατακρίνομαι.

Τῆς ἔξωθεν* ἐπιμελῶς εὐκοσμίας* μόνης ἐφρόντισα,* τῆς ἔνδον ὑπεριδὼν* θεοτυπώτου σκηνῆς.

Μορφώσας μου* τὴν τῶν παθῶν ἀμορφίαν,* ταῖς φιληδόνοις ὁρμαῖς* ἐλυμηνάμην τοῦ νοῦ* τὴν ὡραιότητα.

Κατέχρωσα* τῆς πρὶν εἰκόνος τὸ κάλλος,* Σῶτερ, τοῖς πάθεσί μου* ἀλλ' ὡς ποτὲ τὴν δραχμὴν* ἀναζητήσας εὑρέ.

Ἡμάρτηκα,* ὥσπερ ἡ πόρνη βοῶ σοι* μόνος ἡμάρτηκά σοι* ὡς μύρον δέχου, Σωτήρ,* κἀμοῦ τὰ δάκρυα.

(Τμῆμα γ').

Ὠλίσθησα* ὡς ὁ Δαβὶδ ἀκολάστως,* καὶ βεβορβόρωμαι* ἀλλ' ἀποπλύναις κἀμέ,* Σωτήρ, τοῖς δάκρυσι.

Ἱλάσθητι,* ὡς ὁ Τελώνης βοῶ σοι,* Σῶτερ, ἱλάσθητί μοι* οὐδεὶς γὰρ τῶν ἐξ Ἀδὰμ* ὡς ἐγὼ ἥμαρτέ σοι.

Οὐ δάκρυα,* οὐδὲ μετάνοιαν ἔχω,* οὐδὲ κατάνυξιν* αὐτός μοι ταῦτα, Σωτήρ,* ὡς Θεὸς δώρησαι.

Τὴν θύραν σου* μὴ ἀποκλείσῃς μοι τότε,* Κύριε, Κύριε* ἀλλ' ἀνοιξόν μοι αὐτὴν* μετανοοῦντί σοι.

Φιλάνθρωπε,* ὁ πάντας θέλων σωθῆναι,* σὺ ἀνακάλεσαί με,* καὶ δέξαι ὡς ἀγαθὸς* μετανοοῦντά με.

Ἐνώτισαι* τοὺς στεναγμούς τῆς ψυχῆς μου,* καὶ τῶν ἐμῶν ὀφθαλμῶν* προσδέχου τοὺς σταλαγμούς,* Σωτήρ, καὶ σῶσόν με.

Τριαδικόν.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ἕνα σε* ἐν τρισὶ τοῖς προσώποις* Θεὸν ἁπάντων ὑμνῶ,* τὸν Πατέρα καὶ τὸν Υἱὸν* καὶ Πνεῦμα ἅγιον.

Θεοτοκίον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀχραντε* Θεοτόκε Παρθένε,* μόνη πανύμνητε,* ἱκέτευε ἐκτενῶς* εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἱρμὸς ἄλλος.

Ἴδετε, ἴδετε,* ὅτι ἐγώ εἰμι Θεός,* ὁ μάννα ἐπομβρήσας* καὶ τὸ ὕδωρ ἐκ πέτρας* πηγάσας πάλαι ἐν ἐρήμῳ* τῷ λαῷ μου* τῇ μόνῃ δεξιᾷ* καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ. (Δὶς)

Τροπάρια.

Ἴδετε, ἴδετε,* ὅτι ἐγώ εἰμι Θεός* ἐνωτίζου, ψυχή μου,* τοῦ Κυρίου βοῶντος,* καὶ ἀποσπάσθητι τῆς πρώην* ἁμαρτίας* καὶ φοβοῦ ὡς δικαστὴν* καὶ ὡς κριτὴν καὶ Θεόν.

Τίνι ὡμοιώθης,* πολυαμάρτητε ψυχή;* οἴμοι! τῷ πρώτῳ Κάϊν* καὶ τῷ Λάμεχ ἐκείνῳ,* λιθοκτονήσασα τὸ σῶμα* κακουργίαις* καὶ κτείνασα τὸν νοῦν* ταῖς παραλόγοις ὁρμαῖς.

Πάντας τοὺς πρὸ νόμου* παραδραμοῦσα, ὦ ψυχή,* τῷ Σὴθ οὐχ ὡμοιώθης,* οὐκ Ἐνὼς ἐμιμήσω,* οὐ τὸν Ἐνὼχ τῇ μεταθέσει,* οὐ τὸν Νῶε* ἀλλ' ὤφθης πενιχρὰ* τῆς τῶν δικαίων ζωῆς.

Μόνη ἐξήνοιξας* τοὺς καταῤῥάκτας τῆς ὀργῆς* τοῦ Θεοῦ σου, ψυχή μου,* καὶ κατέκλυσας πᾶσαν,* ὡς γῆν, τὴν σάρκα καὶ τὰς πράξεις* καὶ τὸν βίον* καὶ ἐμεινας ἐκτὸς* τῆς σωστικῆς κιβωτοῦ.

(Τμῆμα δ΄).

Ἄνδρα ἀπέκτεινα,* φησίν, εἰς μώλωπα ἐμοί* καὶ νεανίσκον εἰς τραῦμα,* Λάμεχ θρηνῶν ἐβόα·* σὺ δὲ οὐ τρέμεις, ὦ ψυχή μου,* ῥυπωθεῖσα* τὴν σάρκα καὶ τὸν νοῦν* κατασπιλώσασα.

Ὢπῶς ἐζήλωσα* Λάμεχ τὸν πρώην φονευτῆν,* τὴν ψυχὴν ὥσπερ ἄνδρα,* τὸν νοῦν ὡς νεανίσκον,* ὡς ἀδελφὸν δέ μου τὸ σῶμα* ἀποκτείνας,* ὡς Κάϊν ὁ φονεύς,* ταῖς φιληδόνοις ὁρμαῖς!

Πύργον ἐσοφίσω* οἰκοδομῆσαι, ὦ ψυχή,* καὶ ὀχύρωμα πῆξαι* ταῖς σαῖς ἐπιθυμίαις,* εἰ μὴ συνέχεεν ὁ κτίστης* τὰς βουλάς σου* καὶ κατέαξεν εἰς γῆν* τὰ μηχανήματά σου.

Τέτρωμαι, πέπληγμαι·* ἰδοὺ τὰ βέλη τοῦ ἐχθροῦ* τὰ καταστίξαντά μου* τὴν ψυχὴν καὶ τὸ σῶμα·* ἰδοὺ τὰ τραύματα, τὰ ἕλκη,* αἱ πηρώσεις* βοῶσι τὰς πληγὰς* τῶν αὐθαιρέτων μου παθῶν.

Ἔβρεξε Κύριος* παρὰ Κυρίου πῦρ ποτέ,* ἀνομίαν ὀργῶσαν* πυρπολήσας Σοδόμων·* σὺ δὲ τὸ πῦρ ἐξέκαυσας* τὸ τῆς γεέννης,* ἐν ᾧ μέλλεις, ψυχή,* συγκατακαίεσθαι πικρῶς.

Γνῶτε καὶ ἴδετε,* ὅτι ἐγῶ εἰμι Θεός,* ὁ ἐρευνῶν καρδίας* καὶ κολάζων ἐννοίας,* ἐλέγχων πράξεις καὶ φλογίζων* ἁμαρτίας,* καὶ κρίνων ὀρφανῷ* καὶ ταπεινῷ καὶ πτωχῷ.

Τῆς ὁσίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἥπλωσας χεῖράς σου* πρὸς τὸν οἰκτίρμονα Θεόν,* Μαρία, ἐν ἀβύσσῳ* κακῶν βυθιζομένη,* καὶ ὡς τῷ Πέτρῳ φιλανθρώπως* χεῖρα θείαν* ἐξέτεινε, τὴν σὴν* ἐπιστροφὴν πάντως ζητῶν.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὅλῃ προθυμίᾳ,* πόθῳ προσέδραμες Χριστῷ,* τὴν πρὶν τῆς ἁμαρτίας* ὁδὸν ἀποστραφεῖσα,* καὶ ἐν ἐρήμοις

ταῖς ἀβάτοις* τρεφομένη,* καὶ τούτου καθαρῶς* τελοῦσα θείας ἐντολάς.

Τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰδωμεν, ἴδωμεν* φιλανθρωπίαν, ὦ ψυχή,* τοῦ Θεοῦ καὶ Δεσπότου* διὰ τοῦτο πρὸ τέλους* αὐτῷ σὺν δάκρυσι προσπέσωμεν* βοῶντες* Ἀνδρέου ταῖς λιταῖς,* Σῶτερ, ἐλέησον ἡμᾶς.

Δόξα. Τριαδικόν.

Ἀναρχε, ἄκτιστε* Τριάς, ἀμέριστε Μονάς,* μετανοοῦντα δέξαι,* ἡμαρτηκότα σῶσον* σόν εἰμι πλάσμα· μὴ παρίδῃς,* ἀλλὰ φεῖσαι* καὶ ῥῦσαι τοῦ πυρὸς* τῆς καταδίκης με.

Καὶ νῦν. Θεοτοκίον.

Ἀχραντε Δέσποινα,* Θεογεννῆτορ, ἡ ἐλπὶς* τῶν εἰς σὲ προστρεχόντων,* καὶ λιμὴν τῶν ἐν ζάλῃ,* τὸν ἐλεήμονα καὶ κτίστην* καὶ Υἱόν σου* ἱλέωσαι κάμοί* ταῖς ἱκεσίαις ταῖς σαῖς.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Ἐπὶ τὴν ἀσάλευτον, Χριστέ,* πέτραν τῶν ἐντολῶν σου* τὴν Ἐκκλησίαν σου στερέωσον.

Τροπάρια.

(Τμῆμα α').

Πῦρ παρὰ Κυρίου, ψυχή,* Κύριος ἐπιβρέξας,* τὴν γῆν Σοδόμων πρὶν κατέφλεξεν.

Εἰς τὸ ὄρος σῴζου, ψυχή,* ὥσπερ ὁ Λὼτ ἐκεῖνος,* καὶ εἰς Σηγὼρ προανασώθητι.

Φεῦγε ἐμπρησμόν, ὦ ψυχή,* φεῦγε Σοδόμων καῦσιν,* φεῦγε φθορὰν θείας φλογώσεως.

Ἐξομολογοῦμαί σοι, Σωτήρ·* Ἥμαρτον, ἡμαρτόν σοι* ἀλλ' ἄνες, ἄφες μοι, ὡς εὔσπλαγχνος.

Ἡμαρτόν σοι μόνος ἐγώ,* ἥμαρτον ὑπὲρ πάντας·* Χριστὲ Σωτήρ, μὴ ὑπερίδῃς με.

Σὺ εἶ ὁ ποιμὴν ὁ καλός·* ζήτησόν με τὸν ἄρνα* καὶ πλανηθέντα μὴ παρίδῃς με.

Σὺ εἶ ὁ γλυκὺς Ἰησοῦς,* σὺ εἶ ὁ πλαστουργός μου·* ἐν σοί, Σωτήρ, δικαιωθήσομαι.

Τριαδικόν.

Ἁγία Τριάς, ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὦ Τριὰς Μονάς, ὁ Θεός,* σῶσον ἡμᾶς ἐκ πλάνης* καὶ πειρασμῶν καὶ περιστάσεων.

Θεοτοκίον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαῖρε, θεοδόχε γαστήρ·* χαῖρε, θρόνε Κυρίου·* χαῖρε, ἡ Μήτηρ τῆς ζωῆς ἡμῶν.

Εἱρμὸς ἄλλος.

Στερέωσον, Κύριε,* ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου* σαλευθεῖσαν τὴν καρδίαν μου,* ὅτι μόνος* ἅγιος ὑπάρχεις καὶ Κύριος. (Δίς).

Τροπάρια.

(Τμῆμα β΄).

Πηγὴν ζωῆς κέκτημαι* σὲ τοῦ θανάτου τὸν καθαιρέτην,* καὶ βοῶ σοι ἐκ καρδίας μου* πρὸ τοῦ τέλους·* Ἥμαρτον, ἱλάσθητι, σῶσόν με.

Τοὺς ἐπὶ Νῶε, Σωτήρ,* ἠσελγηκότας ἐμιμησάμην,* τὴν ἐκείνων κληρωσάμενος* καταδίκην* ἐν κατακλυσμῷ καταδύσεως.

Ἡμάρτηκα, Κύριε,* ἡμάρτηκά σοι, ἱλάσθητί μοι·* οὐ γὰρ ἔστιν ὅστις ἥμαρτεν* ἐν ἀνθρώποις,* ὃν οὐχ ὑπερέβην τοῖς πταίσμασι.

Τὸν Χὰμ ἐκεῖνον, ψυχή,* τὸν πατραλοίαν μιμησαμένη,* τὴν αἰσχύνην οὐκ ἐκάλυψας* τοῦ πλησίον,* ὀπισθοφανῶς ἀνακάμψασα.

(Τμῆμα γ΄).

Τὴν εὐλογίαν τοῦ Σὴμ* οὐκ ἐκληρώσω, ψυχὴ ἀθλία΄* οὐ πλατεῖαν τὴν κατάσχεσιν,* ὡς Ἰάφεθ,* ἔσχες ἐν τῇ γῇ τῆς ἀφέσεως.

Ἐκ γῆς Χαρρὰν ἔξελθε* τῆς ἁμαρτίας, ψυχή μου΄ δεῦρο* εἰς γῆν ῥέουσαν ἀείζωον* ἀφθαρσίαν,* ἣν ὁ Ἀβραὰμ ἐκληρώσατο.

Τὸν Ἀβραὰμ ἤκουσας* πάλαι, ψυχή μου, καταλιπόντα* γῆν πατρῴαν, καὶ γενόμενον* μετανάστην΄* τούτου τὴν προαίρεσιν μίμησαι.

Ἐν τῇ δρυῒ τῇ Μαμβρῇ* φιλοξενήσας ὁ πατριάρχης* τοὺς ἀγγέλους, ἐκληρώσατο* μετὰ γῆρας* τῆς ἐπαγγελίας τὸ θῆραμα.

Τὸν Ἰσαάκ, τάλαινα,* γνοῦσα, ψυχή μου, καινὴν θυσίαν* μυστικῶς ὁλοκαρπούμενον* τῷ Κυρίῳ,* μίμησαι αὐτοῦ τὴν προαίρεσιν.

Τὸν Ἰσμαὴλ ἤκουσας,* νῆφε, ψυχή μου, ἐκδιωχθέντα,* ὡς παιδίσκης ἀποκύημα΄* βλέπε, μήπως* ὅμοιόν τι πάθῃς λαγνεύουσα.

(Τμῆμα δ΄).

Τῇ Ἄγαρ πάλαι, ψυχή,* τῇ Αἰγυπτίᾳ παρωμοιώθης,* δουλωθεῖσα τὴν προαίρεσιν,* καὶ τεκοῦσα* νέον Ἰσμαήλ, τὴν αὐθάδειαν.

Τὴν Ἰακὼβ κλίμακα* ἔγνως, ψυχή μου, δεικνυομένην* ἀπὸ γῆς πρὸς τὰ οὐράνια΄* τί μὴ ἔσχες* βάσιν ἀσφαλῆ τὴν εὐσέβειαν;

Τὸν ἱερέα Θεοῦ* καὶ βασιλέα μεμονωμένον,* τοῦ Χριστοῦ τὸ ἀφομοίωμα* τοῦ ἐν κόσμῳ* βίου ἐν ἀνθρώποις, μιμήθητι.

Μὴ γένῃ στήλη ἁλός,* ψυχή, στραφεῖσα εἰς τὰ ὀπίσω΄* τὸ ὑπόδειγμα φοβείτω σε* τῶν Σοδόμων΄* ἄνω εἰς Σηγὼρ διασῴθητι.

Τὸν ἐμπρησμόν, ὥσπερ Λώτ,* φεῦγε, ψυχή μου, τῆς ἁμαρτίας·* φεῦγε Σόδομα καὶ Γόμορρα·* φεῦγε φλόγα* πάσης παραλόγου ὀρέξεως.

Ἐλέησον, Κύριε,* ἐλέησόν με, ἀναβοῶ σοι,* ὅτε ἤξεις μετ' ἀγγέλων σου* ἀποδοῦναι* πᾶσι κατ' ἀξίαν τῶν πράξεων.

Τὴν δέησιν, Δέσποτα,* τῶν σὲ ὑμνούντων μὴ ἀποῤῥίψῃς·* ἀλλ' οἰκτείρησον, φιλάνθρωπε,* καὶ παράσχου* πίστει αἰτουμένοις τὴν ἄφεσιν.

Τῆς ὁσίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Συνέχομαι κλύδωνι* καὶ τρικυμίᾳ, μῆτερ, πταισμάτων·* ἀλλ' αὐτή με νῦν διάσωσον,* καὶ πρὸς ὅρμον* θείας μετανοίας εἰσάγαγε.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκέσιον δέησιν* νυνί, ὁσία, προσαγαγοῦσα* πρὸς τὴν εὔσπλαγχνον πρεσβείᾳ σου* Θεοτόκον,* ἄνοιξόν μοι θείας εἰσόδους σου.

Τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς σαῖς λιταῖς δώρησαι* κἀμοὶ τὴν λύσιν τῶν ὀφλημάτων,* ὦ Ἀνδρέα, Κρήτης πρόεδρε·* μετανοίας* σὺ μυσταγωγὸς γὰρ πανάριστος.

Δόξα. Τριαδικόν.

Μονὰς ἁπλῆ, ἄκτιστε,* ἄναρχε φύσις, ἡ ἐν Τριάδι* ὑμνουμένη ὑποστάσεων,* ἡμᾶς σῶσον* πίστει προσκυνοῦντας τὸ κράτος σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἐκ Πατρὸς ἄχρονον* Υἱὸν ἐν χρόνῳ, Θεογεννῆτορ,* ἀπειράνδρως ἀπεκύησας·* ξένον θαῦμα!* μείνασα Παρθένος θηλάζουσα.

Ὠδὴ δ'. Ὁ εἱρμός.

Ἀκήκοεν ὁ προφήτης* τὴν ἔλευσίν σου, Κύριε,* καὶ ἐφοβήθη,* ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι* καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν·* Ἀκήκοα τὴν ἀκοήν σου* καὶ ἐφοβήθην·* δόξα τῇ δυνάμει σου. (Δὶς)

Τροπάρια.

(Τμῆμα α').

Τὰ ἔργα σου μὴ παρίδῃς·* τὸ πλάσμα σου μὴ παρόψῃ,* δικαιοκρίτα·* εἰ καὶ μόνος ἥμαρτον, ὡς ἄνθρωπος,* ὑπὲρ πάντα ἄνθρωπον, φιλάνθρωπε,* ἀλλ' ἔχεις, ὡς Κύριος πάντων,* τὴν ἐξουσίαν* ἀφιέναι ἁμαρτήματα.

Ἐγγίζει, ψυχή, τὸ τέλος,* ἐγγίζει, καὶ οὐ φροντίζεις,* οὐχ ἑτοιμάζῃ·* ὁ καιρὸς συντέμνει, διανάστηθι·* ἐγγὺς ἐπὶ θύραις ὁ κριτής ἐστιν·* ὡς ὄναρ, ὡς ἄνθος, ὁ χρόνος* τοῦ βίου τρέχει·* τί μάτην ταραττόμεθα;

Ἀνάνηψον, ὦ ψυχή μου·* τὰς πράξεις σου, ἃς εἰργάσω,* ἀναλογίζου,* καὶ ταύτας ἐπ' ὄψεσι προσάγαγε,* καὶ σταγόνας στάλαξον δακρύων σου·* εἰπὲ παῤῥησίᾳ τὰς πράξεις,* τὰς ἐνθυμήσεις* Χριστῷ καὶ δικαιώθητι.

Οὐ γέγονεν ἐν τῷ βίῳ* ἁμάρτημα, οὐδὲ πρᾶξις,* οὐδὲ κακία,* ἣν ἐγώ, Σωτήρ, οὐκ ἐπλημμέλησα* κατὰ νοῦν καὶ λόγον καὶ προαίρεσιν,* καὶ θέσει καὶ γνώμῃ καὶ πράξει* ἐξαμαρτήσας,* ὡς ἄλλος οὐδεὶς πώποτε.

Ἐντεῦθεν καὶ κατεκρίθην,* ἐντεῦθεν κατεδικάσθην* ἐγὼ ὁ τάλας* ὑπὸ τῆς οἰκείας συνειδήσεως,* ἧς οὐδὲν ἐν κόσμῳ βιαιότερον.* Κριτά, λυτρωτά μου καὶ γνῶστα,* φεῖσαι καὶ ῥῦσαι* καὶ σῶσόν με τὸν δείλαιον.

Ἡκλῖμαξ, ἣν εἶδε πάλαι* ὁ μέγας ἐν πατριάρχαις,* δεῖγμα, ψυχή μου,* πρακτικῆς ὑπάρχει ἐπιβάσεως,* γνωστικῆς τυγχάνει ἀναβάσεως·* εἰ θέλεις οὖν πράξει καὶ γνώσει* καὶ θεωρίᾳ* βιοῦν, ἀνακαινίσθητι.

Τὸν καύσωνα τῆς ἡμέρας* ὑπέμεινε δι' ἑνδειαν* ὁ πατριάρχης* καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκε,* καθ'

ἡμέραν κλέμματα ποιούμενος,* ποιμαίνων, πυκτεύων, δουλεύων,* ἵνα τὰς δύο* γυναῖκας εἰσαγάγηται.

Γυναῖκάς μοι δύο νόει,* τὴν πρᾶξίν τε καὶ τὴν γνῶσιν* ἐν θεωρίᾳ·* τὴν μὲν Λείαν πρᾶξιν, ὡς πολύτεκνον,* τὴν Ῥαχὴλ δὲ γνῶσιν, ὡς πολύπονον·* καὶ γὰρ ἄνευ πόνων οὐ πρᾶξις,* οὐ θεωρία,* ψυχή, κατορθωθήσεται.

(Τμῆμα β').

Γρηγόρησον, ὦ ψυχή μου,* ἀρίστευσον, ὡς ὁ μέγας* ἐν πατριάρχαις,* ἵνα κτήσῃ πρᾶξιν μετὰ γνώσεως,* ἵνα χρηματίσῃς νοῦς ὁρῶν τὸν Θεὸν* καὶ φθάσῃς τὸν ἄδυτον γνόφον* ἐν θεωρίᾳ* καὶ γένῃ μεγαλέμπορος.

Τοὺς δώδεκα πατριάρχας* ὁ μέγας ἐν πατριάρχαις* παιδοποιῆσας,* μυστικῶς ἐστήριξέ σοι κλίμακα* πρακτικῆς, ψυχή μου, ἀναβάσεως,* τοὺς παῖδας ὡς βάθρα, τὰς βάσεις* ὡς ἀναβάσεις* πανσόφως ὑποθέμενος.

Ησαῦ τὸν μεμισημένον* ζηλοῦσα, ψυχή, ἀπέδου* τῷ πτερνιστῇ σου* τὰ τοῦ πρώτου κάλλους πρωτοτόκια* καὶ τῆς πατρικῆς εὐχῆς ἐξέπεσας* καὶ δὶς ἐπτερνίσθης, ἀθλία,* πράξει καὶ γνώσει·* διὸ νῦν μετανόησον.

Εδὼμ ὁ Ἡσαῦ ἐκλήθη* δι' ἄκραν θηλυμανίας* ἐπιμιξίαν·* ἀκρασίᾳ γὰρ ἀεὶ πυρούμενος* καὶ ταῖς ἡδοναῖς κατασπιλούμενος,* Ἐδὼμ ὠνομάσθη, ὃ λέγεται* θερμασία* ψυχῆς φιλαμαρτήμονος.

Ιὼβ τὸν ἐπὶ κοπρίας* ἀκούσασα, ὦ ψυχή μου,* δικαιωθέντα,* τὴν αὐτοῦ ἀνδρείαν οὐκ ἐζήλωσας,* τὸ στερρὸν οὐκ ἔσχες τῆς προθέσεως* ἐν πᾶσιν, οἷς ἔγνως, οἷς οἶδας,* οἷς ἐπειράσθης,* ἀλλ' ὤφθης ἀκαρτέρητος.

Οπρότερον ἐπὶ θρόνου,* γυμνὸς νῦν ἐπὶ κοπρίας* καθηλκωμένος·* ὁ πολὺς ἐν τέκνοις καὶ περίβλεπτος,* ἄπαις καὶ φερέοικος αἰφνίδιον·* παλάτιον γὰρ τὴν κοπρίαν* καὶ μαργαρίτας* τὰ ἕλκη ἐλογίζετο.

Βασίλειον τὴν ἀξίαν,* διάδημα καὶ πορφύραν* ἠμφιεσμένος,* πολυκτήμων ἄνθρωπος καὶ δίκαιος,* πλού-

τῳ ἐπιβρίθων καὶ βοσκήμασιν* ἐξαίφνης τὸν πλοῦτον, τὴν δόξαν,* τὴν βασιλείαν* πτωχεύσας ἀπεκείρατο.

Εἰ δίκαιος ἦν ἐκεῖνος* καὶ ἄμεμπτος παρὰ πάντας,* καὶ οὐκ ἀπέδρα* τὰ τοῦ πλάνου ἔνδρα καὶ σκάμματα* σὺ φιλαμαρτήμων οὖσα, τάλαινα* ψυχή, τί ποιήσεις, ἐάν τι* τῶν ἀδοκήτων* συμβῇ ἐπενεχθῆναί σοι;

(Τμῆμα γ').

Τὸ σῶμα κατερρυπώθην,* τὸ πνεῦμα κατεσπιλώθην,* ὅλος ἡλκώθην* ἀλλ' ὡς ἰατρός, Χριστέ, ἀμφότερα* διὰ μετανοίας μοι θεράπευσον,* ἀπόλουσον, κάθαρον, πλῦνον* δεῖξον χιόνος,* Σωτήρ μου, καθαρώτερον.

Τὸ Σῶμά σου καὶ τὸ Αἷμα* σταυρούμενος ὑπὲρ πάντων* ἔθηκας, Λόγε* τὸ μὲν Σῶμα, ἵνα ἀναπλάσῃς με,* τὸ δὲ Αἷμα, ἵνα ἀποπλύνῃς με* τὸ πνεῦμα παρέδωκας, ἵνα* ἐμὲ προσάξῃς,* Χριστέ, τῷ σῷ Γεννήτορι.

Εἰργάσω τὴν σωτηρίαν* ἐν μέσῳ τῆς γῆς, οἰκτίρμον,* ἵνα σωθῶμεν* ἑκουσίως ξύλῳ ἀνεσταύρωσαι* ἡ Ἐδὲμ κλεισθεῖσα ἀνεῴγνυτο* τὰ ἄνω, τὰ κάτω, ἡ κτίσις,* τὰ ἔθνη πάντα* σωθέντα προσκυνοῦσί σε.

Γενέσθω μοι κολυμβήθρα* τὸ Αἷμα τὸ ἐκ πλευρᾶς σου,* ἅμα καὶ πόμα* τὸ πηγάσαν ὕδωρ τῆς ἀφέσεως,* ἵνα ἑκατέρωθεν καθαίρωμαι,* χριόμενος πίνων ὡς χρῖσμα* καὶ πόμα, Λόγε,* τὰ ζωηρά σου λόγια.

Γυμνός εἰμι τοῦ νυμφῶνος,* γυμνός εἰμι καὶ τοῦ γάμου,* ἅμα καὶ δείπνου* ἡ λαμπὰς ἐσβέσθη ὡς ἀνέλαιος* ἡ παστὰς ἐκλείσθη μοι καθεύδοντι* τὸ δεῖπνον ἐβρώθη· ἐγὼ δὲ* χεῖρας καὶ πόδας* δεθεὶς ἔξω ἐκβέβλημαι.

Κρατῆρα ἡ Ἐκκλησία* ἐκτήσατο τὴν πλευράν σου* τὴν ζωηφόρον,* ἐξ ἧς ὁ διπλοῦς ἡμῖν ἀνέβλυσε* κρουνὸς τῆς ἀφέσεως καὶ γνώσεως,* εἰς τύπον τῆς πάλαι, τῆς νέας,* τῶν δύο ἅμα* διαθηκῶν, Σωτὴρ ἡμῶν.

(Τμῆμα δ').

Ο χρόνος ὁ τῆς ζωῆς μου* ὀλίγος καὶ πλήρης πόνων* καὶ πονηρίας·* ἀλλ' ἐν μετανοίᾳ με παράλαβε* καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι·* μὴ γένωμαι κτῆμα, μὴ βρῶμα* τοῦ ἀλλοτρίου·* Σωτήρ, αὐτός με οἴκτειρον.

Υψήγορος νῦν ὑπάρχω,* θρασὺς δὲ καὶ τὴν καρδίαν* εἰκῇ καὶ μάτην·* μὴ τῷ φαρισαίῳ συνδικάσῃς με,* μᾶλλον τοῦ τελώνου τὴν ταπείνωσιν* παράσχου μοι, μόνε οἰκτίρμον* δικαιοκρίτα,* καὶ τοῦτῳ συναρίθμησον.

Εξήμαρτον ἐνυβρίσας* τὸ σκεῦος τὸ τῆς σαρκός μου,* οἶδα, οἰκτίρμον·* ἀλλ' ἐν μετανοίᾳ με παράλαβε,* καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι·* μὴ γένωμαι κτῆμα, μὴ βρῶμα* τοῦ ἀλλοτρίου·* Σωτήρ, αὐτός με οἴκτειρον.

Αὐτείδωλον ἐγενόμην,* τοῖς πάθεσι τὴν ψυχήν μου* βλάπτων, οἰκτίρμον·* ἀλλ' ἐν μετανοίᾳ με παράλαβε,* καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι·* μὴ γένωμαι κτῆμα, μὴ βρῶμα* τοῦ ἀλλοτρίου·* Σωτήρ, αὐτός με οἴκτειρον.

Οὐκ ἤκουσα τῆς φωνῆς σου,* παρήκουσα τῆς γραφῆς σου* τοῦ νομοθέτου·* ἀλλ' ἐν μετανοίᾳ με παράλαβε,* καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι·* μὴ γένωμαι κτῆμα, μὴ βρῶμα* τοῦ ἀλλοτρίου·* Σωτήρ, αὐτός με οἴκτειρον.

Τῆς ὁσίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ασώματον πολιτείαν* ἐν σώματι μετελθοῦσα* χάριν, ὁσία,* πρὸς Θεοῦ μεγίστην ὄντως εἴληφας* τῶν πιστῶς τιμώντων σε προϊστασθαι·* διὸ δυσωποῦμεν· Παντοίων* πειρατηρίων* ἡμᾶς εὐχαῖς σου λύτρωσαι.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μεγάλων ἀτοπημάτων* εἰς βάθος κατενεχθεῖσα* οὐ κατεσχέθης·* ἀλλ' ἀνέδραμες λογισμῷ κρείττονι* πρὸς τὴν ἀκροτάτην διὰ πράξεως* σαφῶς ἀρετὴν παραδόξως,* ἀγγέλων φύσιν,* Μαρία, καταπλήξασα.

Τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνδρέα πατέρων κλέος,* εὐχαῖς σου μὴ ἐπιλάθῃ* καθικετεύων* παρεστὼς Τριάδα τὴν ὑπέρθεον,* ὅπως λυτρωθῶμεν τῆς κολάσεως,* οἱ πόθῳ προστάτην σε θεῖον* ἐπικαλοῦντες,* τὸ Κρήτης ἐγκαλλώπισμα.

Δόξα. Τριαδικόν.

Ἀμέριστον τῇ οὐσίᾳ,* ἀσύγχυτον τοῖς προσώποις* θεολογῶ σε* τὴν τριαδικὴν μίαν Θεότητα,* ὡς ὁμοβασίλειον καὶ σύνθρονον,* βοῶν σοι τὸ ᾆσμα τὸ μέγα* τὸ ἐν ὑψίστοις* τρισσῶς ὑμνολογούμενον.

Καὶ νῦν. Θεοτοκίον.

Καὶ τίκτεις καὶ παρθενεύεις,* καὶ μένεις δι' ἀμφοτέρων* φύσει παρθένος* ὁ τεχθεὶς καινίζει νόμους φύσεως,* ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα* Θεὸς ὅπου θέλει, νικᾶται* φύσεως τάξις* ποιεῖ γὰρ ὅσα βούλεται.

Ὠδὴ ε'. Ὁ εἱρμός.

Ἐκ νυκτὸς ὀρθρίζοντα,* φιλάνθρωπε,* φώτισον, δέομαι,* καὶ ὁδήγησον κἀμὲ* ἐν τοῖς προστάγμασί σου* καὶ δίδαξόν με, Σωτήρ,* ποιεῖν τὸ θέλημά σου. (Δις)

Τροπάρια.

(Τμῆμα α').

Ἐν νυκτὶ τὸν βίον μου* διῆλθον ἀεί* σκότος γὰρ γέγονε* καὶ βαθεῖά μοι ἀχλὺς* ἡ νὺξ τῆς ἁμαρτίας* ἀλλ' ὡς ἡμέρας υἱόν,* Σωτήρ, ἀνάδειξόν με.

Τὸν Ῥουβὶμ μιμούμενος* ὁ τάλας ἐγὼ* ἔπραξα ἄθεσμον* καὶ παράνομον βουλὴν* κατὰ Θεοῦ ὑψίστου,* μιάνας κοίτην ἐμὴν* ὡς τοῦ πατρὸς ἐκεῖνος.

Ἐξομολογοῦμαί σοι,* Χριστὲ βασιλεῦ* Ἥμαρτον, ἥμαρτον,* ὡς οἱ πρὶν τοῦ Ἰωσὴφ* ἀδελφοὶ πεπρακότες* τὸν τῆς ἁγνείας καρπὸν* καὶ τὸν τῆς σωφροσύνης.

Ὑπὸ τῶν συγγόνων* ἡ δικαία ψυχὴ* δέδοτο˙ πέπρατο* εἰς δουλείαν ὁ γλυκύς,* εἰς τύπον τοῦ Κυρίου˙* αὐτὴ δὲ ὅλη, ψυχή,* ἐπράθης τοῖς κακοῖς σου.

Ἰωσὴφ τὸν δίκαιον* καὶ σώφρονα νοῦν* μίμησαι, τάλαινα* καὶ ἀδόκιμε ψυχή,* καὶ μὴ ἀκολασταίνου* ταῖς παραλόγοις ὁρμαῖς* ἀεὶ παρανομοῦσα.

Εἰ καὶ λάκκῳ ᾠκησε* ποτὲ Ἰωσήφ,* Δέσποτα Κύριε,* ἀλλ' εἰς τύπον τῆς ταφῆς* καὶ τῆς ἐγέρσεώς σου˙* ἐγὼ δὲ τί σοι ποτὲ* τοιοῦτο προσενέγκω;

(Τμῆμα β΄).

Τοῦ Μωσέως ἤκουσας* τὴν θίβην, ψυχή,* ὕδασι, κύμασι* φερομένην ποταμοῦ,* ὡς ἐν θαλάμῳ πάλαι,* φυγοῦσαν δράμα πικρὸν* βουλῆς Φαραωνίτου.

Εἰ τὰς μαίας ἤκουσας* κτεινούσας ποτὲ* ἄνηβον, τάλαινα,* τὴν ἀῤῥενωπόν, ψυχή,* τῆς σωφροσύνης πρᾶξιν˙* νῦν, ὡς ὁ μέγας Μωσῆς,* τιθηνοῦ τὴν σοφίαν.

Ὡς Μωσῆς ὁ μέγας* τὸν αἰγύπτιον νοῦν* πλήξασα, τάλαινα,* οὐκ ἀπέκτεινας, ψυχή,* καὶ πῶς οἰκήσεις, λέγε,* τὴν ἔρημον τῶν παθῶν* διὰ τῆς μετανοίας;

Τὰς ἐρήμους ᾤκησεν* ὁ μέγας Μωσῆς˙* δεῦρο δή, μίμησαι* τὴν αὐτοῦ διαγωγήν,* ἵνα καὶ τῆς ἐν βάτῳ* θεοφανείας, ψυχή,* ἐν θεωρίᾳ γένῃ.

Τὴν Μωσέως ῥάβδον* εἰκονίζου, ψυχή,* πλήττουσαν θάλασσαν,* καὶ πηγνύουσαν βυθὸν* τύπῳ Σταυροῦ τοῦ θείου,* δι' οὗ δυνήσῃ καὶ σὺ* μεγάλα ἐκτελέσαι.

Ἀρὼν προσέφερε* τὸ πῦρ τῷ Θεῷ* ἄμωμον, ἄδολον,* ἀλλ' Ὀφνεὶ καὶ Φινεὲς* ὡς σύ, ψυχή, προσῆγον* ἀλλότριον τῷ Θεῷ,* ῥερυπωμένον βίον.

(Τμῆμα γ΄).

Ὡς βαρὺς τῇ γνώμῃ* Φαραὼ τῷ πικρῷ* γέγονα, Κύριε,* Ἰαννῆς καὶ Ἰαμβρῆς* τὴν ψυχὴν καὶ τὸ σῶμα,* καὶ ὑποβρύχιος νοῦν˙* ἀλλὰ βοήθησόν μοι.

Τῷ πηλῷ συμπέφυρμαι* ὁ τάλας τὸν νοῦν·* πλῦνόν με, Δέσποτα,* τῷ λουτῆρι τῶν ἐμῶν* δακρύων, δέομαί σου,* τὴν τῆς σαρκός μου στολὴν* λευκάνας ὡς χιόνα.

Ἐὰν ἐρευνήσω μου* τὰ ἔργα, Σωτήρ,* ἅπαντα ἀνθρωπον* ὑπερβάντα ἐμαυτὸν* ὁρῶ ταῖς ἁμαρτίαις,* ὅτι ἐν γνώσει φρενῶν* ἥμαρτον, οὐκ ἀγνοίᾳ.

Φεῖσαι, φεῖσαι, Κύριε,* τοῦ πλάσματός σου·* ἥμαρτον, ἄνες μοι,* ὅτι φύσει καθαρὸς* αὐτὸς ὑπάρχεις μόνος,* καὶ ἄλλος πλὴν σου οὐδεὶς* ὑπάρχει ἔξω ῥύπου.

Δι' ἐμέ, Θεὸς ὤν,* ἐμορφώθης ἐμέ·* ἔδειξας θαύματα* ἰασάμενος λεπροῦς* καὶ παραλύτους σφίγξας,* αἱμόῤῥου στῆσας, Σωτήρ,* ἁφῇ κρασπέδου ῥύσιν.

(Τμῆμα δ').

Τὴν αἱμόῤῥουν μίμησαι,* ἀθλία ψυχή·* πρόσδραμε, κράτησον* τοῦ κρασπέδου τοῦ Χριστοῦ,* ἵνα ῥυσθῇς μαστίγων,* ἀκούσῃς δὲ παρ' αὐτοῦ·* Ἡ πίστις σου σέσωκέ σε.

Τὴν χαμαὶ συγκύπτουσαν* μιμοῦ, ὦ ψυχή·* πρόσελθε, πρόσπεσον* τοῖς ποσὶ τοῦ Ἰησοῦ,* ἵνα σε ἀνορθώσῃ,* καὶ βηματίσῃς ὀρθῶς* τὰς τρίβους τοῦ Κυρίου.

Εἰ καὶ φρέαρ, Δέσποτα,* ὑπάρχεις βαθύ,* βλῦσόν μοι νάματα* ἐξ ἀχράντων σου φλεβῶν,* ἵν' ὡς ἡ Σαμαρεῖτις* μηκέτι πίνων διψῶ·* ζωῆς γὰρ ῥεῖθρον βλύζεις.

Σιλωὰμ γενέσθω μοι* τὰ δάκρυά μου,* Δέσποτα Κύριε,* ἵνα νίψωμαι κἀγὼ* τὰς κόρας τῆς καρδίας* καὶ ἴδω σε νοερῶς* τὸ φῶς τὸ πρό αἰώνων.

Τῆς ὁσίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀσυγκρίτῳ ἔρωτι,* πανόλβιε,* ξύλον ποθήσασα* προσκυνῆσαι τοῦ Σταυροῦ* ἠξίωσαι τοῦ πόθου·* ἀξίωσον οὖν κἀμὲ* τυχεῖν τῆς ἄνω δόξης.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ρεῖθρον Ἰορδάνειον* περάσασα* εὗρες ἀνάπαυσιν* τὴν ἀνώδυνον, σαρκὸς* ἡδονὴν ἐκφυγοῦσα* ἧς καὶ ἡμᾶς ἐξελοῦ* σαῖς προσευχαῖς, ὁσία.

Τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ποιμένων ἄριστον,* Ἀνδρέα σοφέ,* πρόκριτον ὄντα σε* πόθῳ δέομαι πολλῷ* καὶ φόβῳ σαῖς πρεσβείαις* τῆς σωτηρίας τυχεῖν* καὶ ζωῆς αἰωνίου.

Δόξα. Τριαδικόν.

Σέ, Τριάς, δοξάζομεν,* τὸν ἕνα Θεόν* Ἅγιος, ἅγιος,* ἅγιος εἶ, ὁ Πατήρ,* ὁ Υἱὸς καὶ τὸ Πνεῦμα* ἁπλῆ οὐσία, Μονὰς* ἀεὶ προσκυνουμένη.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ σοῦ ἡμφιάσατο* τὸ φύραμά μου, ἄφθορε, ἄνανδρε* Μητροπάρθενε, Θεὸς* ὁ κτίσας τοὺς αἰῶνας,* καὶ ἥνωσεν ἑαυτῷ* τὴν τῶν ἀνθρώπων φύσιν.

Ὠδὴ ς΄. Ὁ εἱρμός.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου* πρὸς τὸν οἰκτίρμονα Θεόν,* καὶ ἐπήκουσέ μου* ἐξ ᾅδου κατωτάτου,* καὶ ἀνῆγαγεν* ἐκ φθορᾶς τὴν ζωήν μου. (Δὶς)

Τροπάρια.

Ἦχος α΄).

Τὰ δάκρυα, Σωτήρ, τῶν ὀμμάτων μου,* καὶ τοὺς ἐκ βάθους στεναγμοὺς* καθαρῶς προσφέρω,* βοώσης τῆς καρδίας* Ὁ Θεός, ἡμάρτηκά σοι,* ἱλάσθητί μοι.

Ἐξένευσας, ψυχή, τοῦ Κυρίου σου,* ὥσπερ Δαθὰν καὶ Ἀβειρών* ἀλλὰ φεῖσαι κράξον* ἐξ ὅλης τῆς καρδίας,* ἵνα μὴ τὸ χάσμα* τῆς γῆς σε συγκαλύψῃ.

Ὡς δάμαλις, ψυχή, παροιστρῆσασα,* ἐξωμοιώθης τῷ Ἐφραίμ* ὡς δορκὰς ἐκ βρόχων* ἀνάσωσον τὸν βίον,* πτερωθεῖσα πράξει* καὶ νῷ καὶ θεωρίᾳ.

Ἡ χεὶρ ἡμᾶς Μωσέως πιστώσεται,* ψυχή, πῶς δύναται Θεὸς* λεπρωθέντα βίον* λευκάναι καὶ καθάραι* καὶ μὴ ἀπογνῷς* σεαυτὴν κἂν ἐλεπρώθης.

(Τμῆμα β').

Τὰ κύματα, Σωτήρ, τῶν πταισμάτων μου,* ὡς ἐν θαλάσσῃ ἐρυθρᾷ* ἐπαναστραφέντα* ἐκάλυψέ με ἄφνω,* ὡς τοὺς Αἰγυπτίους* ποτὲ καὶ τοὺς τριστάτας.

Ἀγνώμονα, ψυχή, τὴν προαίρεσιν* ἔσχες, ὡς πρὶν ὁ Ἰσραήλ* τοῦ γὰρ θείου μάννα* προέκρινας ἀλόγως* τὴν φιλήδονον* τῶν παθῶν ἀδηφαγίαν.

Τὰ ὕεια κρέα καὶ τοὺς λέβητας* καὶ τὴν αἰγύπτιον τροφὴν* τῆς ἐπουρανίου* προέκρινας, ψυχή μου,* ὡς ὁ πρὶν ἀγνώμων* λαὸς ἐν τῇ ἐρήμῳ.

Τὰ φρέατα, ψυχή, προετίμησας* τῶν χαναναίων ἐννοιῶν* τῆς φλεβὸς τῆς πέτρας,* ἐξ ἧς σοι τῆς σοφίας* ὁ κρατὴρ προχέει* κρουνοὺς θεολογίας.

Ὡς ἔπληξε Μωσῆς ὁ θεράπων σου* ῥάβδῳ τὴν πέτραν, τυπικῶς* τὴν ζωοποιόν σου* πλευρὰν προδιετύπου,* ἐξ ἧς πάντες πόμα* ζωῆς, Σωτήρ, ἀντλοῦμεν.

Ἐρεύνησον, ψυχή, κατασκόπευσον,* ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ,* τῆς κληροδοσίας* τὴν γῆν, ὁποία ἔστι,* καὶ κατοίκησον* ἐν αὐτῇ δι' εὐνομίας.

(Τμῆμα γ').

Ἀντίστηθι καὶ καταπολέμησον,* ὡς Ἰησοῦς, τὸν Ἀμαλήκ,* τῆς σαρκὸς τὰ πάθη,* καὶ τοὺς Γαβαωνίτας,* τοὺς ἀπατηλοὺς* λογισμοὺς ἀεὶ νικῶσα.

Διάβηθι τοῦ χρόνου τὴν ῥέουσαν* φύσιν, ὡς πρὶν ἡ κιβωτός,* καὶ τῆς γῆς ἐκείνης* γενοῦ ἐν κατασχέσει* τῆς ἐπαγγελίας,* ψυχή· Θεὸς κελεύει.

Ὡς ἔσωσας τὸν Πέτρον βοήσαντα,* σῶσον προφθάσας με, Σωτήρ,* τοῦ θηρός με ῥῦσαι* ἐκτείνας σου τὴν χεῖρα,* καὶ ἀνάγαγε* τοῦ βυθοῦ τῆς ἁμαρτίας.

Λιμένα σε γινώσκω γαλήνιον,* Δέσποτα, Δέσποτα Χριστέ·* ἀλλ᾽ ἐκ τῶν ἀδύτων* βυθῶν τῆς ἁμαρτίας* καὶ τῆς ἀπογνώσεώς με* προφθάσας ῥῦσαι.

(Τμῆμα δ').

Ἐγώ εἰμι, Σωτήρ, ἣν ἀπώλεσας* πάλαι βασίλειον δραχμήν·* ἀλλ᾽ ἀνάψας λύχνον* τὸν σόν, Θεὲ καὶ Λόγε,* ἀναζήτησον* καὶ εὑρὲ τὴν σὴν εἰκόνα.

Τῆς ὁσίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἵνα παθῶν φλογμὸν κατασβέσειας,* δακρύων ἔβλυζες ἀεί* ὀχετούς, Μαρία,* ψυχὴν πυρπολουμένη·* ὧν τὴν χάριν νέμοις* κἀμοὶ τῷ σῷ οἰκέτῃ.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπάθειαν ἐκτήσω οὐράνιον* δι᾽ ἀκροτάτης ἐπὶ γῆς* πολιτείας, Μῆτερ·* διὸ τοὺς σὲ ὑμνοῦντας* ἐκ παθῶν ῥυσθῆναι* πρεσβείαις σου δυσώπει.

Τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς Κρήτης σε ποιμένα καὶ πρόεδρον* καὶ οἰκουμένης πρεσβευτὴν* ἐγνωκὼς προστρέχω,* Ἀνδρέα, καὶ βοῶ σοι·* Ἐξελοῦ με, πάτερ,* βυθοῦ τῆς ἁμαρτίας.

Δόξα. Τριαδικόν.

Τριὰς εἰμι ἁπλῆ, ἀδιαίρετος,* διαιρετὴ προσωπικῶς,* καὶ Μονὰς ὑπάρχω* τῇ φύσει ἡνωμένη,* ὁ Πατήρ, φησί,* καὶ Υἱὸς καὶ θεῖον Πνεῦμα.

Καὶ νῦν. Θεοτοκίον.

Μήτρα σου Θεὸν ἡμῖν ἔτεκε* μεμορφωμένον καθ᾽ ἡμᾶς·* ὃν ὡς κτίστην πάντων* δυσῶπει, Θεοτόκε,* ἵνα ταῖς πρεσβείαις* ταῖς σαῖς δικαιωθῶμεν.

Καὶ ψάλλομεν ἀργῶς καὶ μετὰ μέλους τὸ κοντάκιον.
Ποίημα Ῥωμανοῦ τοῦ μελῳδοῦ.

Ἦχος πλ. β΄.

Ψυχή μου, ψυχή μου,* ἀνάστα, τί καθεύδεις;* τὸ τέλος ἐγγίζει* καὶ μέλλεις θορυβεῖσθαι* ἀνάνηψον οὖν,* ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός,* ὁ πανταχοῦ παρὼν* καὶ τὰ πάντα πληρῶν.

Εἶτα ψάλλομεν τοὺς Μακαρισμοὺς καὶ τὰ τροπάρια, ὡς ἔπεται, μετὰ τῶν μετανοιῶν εἰς ἕκαστον.(*)

Ἦχος πλ. β΄.

Ἐν τῇ βασιλείᾳ σου. Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Ληστὴν τοῦ παραδείσου, Χριστέ, πολίτην,* ἐπὶ σταυροῦ σοι βοήσαντα* τὸ Μνήσθητί μου, προαπειγάσω* αὐτοῦ τῆς μετανοίας* ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Τὸν Μανωὲ ἀκούεις πάλαι, ψυχή μου,* Θεοῦ ἐν φαντασίᾳ γενόμενον* καὶ τὸν ἐκ στείρας τότε λαβόντα* καρπὸν ἐπαγγελίας* αὐτοῦ τὸ εὐσεβὲς μιμησώμεθα.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Τὴν τοῦ Σαμψὼν ζηλώσασα ῥαθυμίαν,* τὴν δόξαν ἀπεκείρω τῶν ἔργων σου,* ψυχή, προδοῦσα τοῖς ἀλλοφύλοις* διὰ φιληδονίας* τὴν σώφρονα ζωὴν καὶ μακάριον.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Οπρὶν ἐν σιαγόνι ὄνου νικήσας* τοὺς ἀλλοφύλους, νῦν παρανάλωμα* τῆς ἐμπαθοῦς λαγνείας εὑρέθη* ἀλλ' ἔκφυγε, ψυχή μου,* τὴν μίμησιν, τὴν πρᾶξιν, τὴν χαύνωσιν.

(*) Οἱ Μακαρισμοὶ συνήθως παραλείπονται, διότι τὸ Τυπικὸν ὁρίζει νὰ ψάλλωνται εἰς τὸν Ὄρθρον. Ὀρθότερον ὅμως εἶναι νὰ ψάλλωνται μετὰ τοῦ Μεγάλου κανόνος, διότι ἀποτελοῦν τμῆμα αὐτοῦ.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Βαρὰκ καὶ Ἰεφθάε οἱ στρατιάρχαι* κριταὶ τοῦ Ἰσραὴλ προεκρίθησαν,* μεθ' ὧν Δεβώρρα ἡ ἀρρενόφρων'* αὐτῶν ταῖς ἀριστείαις,* ψυχή, ἀρρενωθεῖσα κρατύνθητι.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Τὴν Ἰαὴλ ἀνδρείαν ἔγνως, ψυχή μου,* τὴν τὸν Σισάρα πρὶν σκολοπίσασαν* καὶ σωτηρίαν ἐργασαμένην'* τὸν πάσσαλον ἀκούεις,* δι' οὗ σοι ὁ Σταυρὸς εἰκονίζεται.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Θῦσον, ψυχή, θυσίαν ἐπαινουμένην'* πρᾶξιν ὡς θυγατέρα προσάγαγε* τῆς Ἰεφθάε καθαρωτέραν* καὶ σφάξον ὥσπερ θῦμα* τὰ πάθη τῆς σαρκὸς τῷ Κυρίῳ σου.

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Τοῦ Γεδεὼν τὸν πόκον νόει, ψυχή μου'* ἐξ οὐρανοῦ τὴν δρόσον ὑπόδεξαι* καὶ κῦψον ὥσπερ κύων καὶ πίε* τὸ νᾶμα τὸ ἐκ νόμου* ῥυὲν τῇ ἀποθλίψει τοῦ γράμματος.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Ἥλεὶ τοῦ ἱερέως τὴν καταδίκην,* ψυχή μου, ἐπεσπάσω, δι' ἔνδειαν* φρενῶν ἀνασχομένη τὰ πάθη* ἐν σοί, ὥσπερ ἐκεῖνος* τὰ τέκνα ἐνεργεῖν τὰ παράνομα.

Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

Ἐν τοῖς κριταῖς Λευΐτης δι' ἐμμελείας* τὴν ἑαυτοῦ γυναῖκα ταῖς δώδεκα* φυλαῖς διεῖλε, ψυχή μου, ἵνα* τὸ μύσος θριαμβεύσῃ* τὸ ἐκ Βενιαμὶν τὸ παράνομον.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ἡ φιλοσώφρων Ἄννα προσευχομένη* τὰ χείλη μὲν ἐκίνει πρὸς αἴνεσιν,* φωνὴ δὲ ταύτης οὐκ ἐξηχεῖτο·* ἀλλ' ὅμως, στεῖρα οὖσα,* υἱὸν τῆς προσευχῆς τίκτει ἄξιον.

Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Ἐν τοῖς κριταῖς ὁ Ἄννης ἐκρίθη γόνος,* ὁ μέγας Σαμουήλ, ὃν ἐθρέψατο* ἡ Ἁρμαθαὶμ ἐν οἴκῳ Κυρίου·* αὐτὸν ζήλου, ψυχή μου,* καὶ κρῖναι πρὸ τῶν ἄλλων τὰ ἔργα σου.

Μνήσθητι ἡμῶν, Δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Δαβὶδ εἰς βασιλέα ἐκλελεγμένος,* βασιλικῶς ἐχρίσθη τῷ κέρατι* τοῦ θείου μύρου· σὺ οὖν, ψυχή μου,* τὴν ἄνω βασιλείαν* εἰ θέλεις, μύρῳ χρίσαι τοῖς δάκρυσιν.

Μνήσθητι ἡμῶν, ἅγιε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Ἐλέησον τὸ πλάσμα σου, ἐλεῆμον,* οἰκτειρον τῶν χειρῶν σου τὸ ποίημα* καὶ φεῖσαι πάντων ἡμαρτηκότων,* κἀμοῦ τοῦ ὑπὲρ πάντας* τοῖς σοῖς ὑπεριδόντος προστάγμασι.

Δόξα. Τριαδικόν.

Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ* Πατέρα προσκυνῶ τὸν γεννήσαντα,* Υἱὸν δοξάζω τὸν γεννηθέντα,* ὑμνῶ τὸ συνεκλάμπον* Πατρί τε καὶ Υἱῷ Πνεῦμα ἅγιον.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ὑπὲρ φύσιν τόκον σου προσκυνοῦμεν,* τὴν κατὰ φύσιν δόξαν τοῦ βρέφους σου* μὴ διαιροῦντες, Θεογεννῆτορ·* ὁ εἷς γὰρ τῷ προσώπῳ* διττὸς ὁμολογεῖται ταῖς φύσεσιν.

Εἶτα τὰς λοιπὰς ᾠδὰς τοῦ κανόνος.

Ὠδὴ ζ'. Ὁ εἱρμός.

Ἡμάρτομεν,* ἠνομήσαμεν,* ἠδικήσαμεν ἐνώπιόν σου·* οὐδὲ συνετηρήσαμεν, οὐδὲ* ἐποιήσαμεν* καθὼς ἐνε-

τείλω ἡμῖν· ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος,* ὁ τῶν πατέρων Θεός. (Δίς)

Τροπάρια.

(Τμῆμα α΄).

Ἡμάρτηκα,* ἐπλημμέλησα,* καὶ ἠθέτησα τὴν ἐντολήν σου· ὅτι ἐν ἁμαρτίαις προῄχθην* καὶ προσέθηκα* τοῖς μώλωψι τραῦμα ἐμοί·* ἀλλ' αὐτός με ἐλέησον ὡς εὔσπλαγχνος,* ὁ τῶν πατέρων Θεός.

Τὰ κρύφια* τῆς καρδίας μου* ἐξηγόρευσά σοι τῷ κριτῇ μου·* ἴδε μου τὴν ταπείνωσιν, ἴδε* καὶ τὴν θλῖψίν μου,* καὶ πρόσχες τῇ κρίσει μου νῦν* καὶ αὐτός με ἐλέησον ὡς εὔσπλαγχνος,* ὁ τῶν πατέρων Θεός.

Σαούλ ποτε* ὡς ἀπώλεσε* τοῦ πατρὸς αὐτοῦ, ψυχή, τὰς ὄνους,* πάρεργον τὸ βασίλειον εὗρε* πρὸς ἀνάῤῥησιν·* ἀλλ' ὅρα μὴ λάθῃς σαυτήν,* τὰς κτηνώδεις ὀρέξεις σου προκρίνουσα* τῆς βασιλείας Χριστοῦ.

Δαβίδ ποτε* ὁ πατρόθεος* εἰ καὶ ἥμαρτε διττῶς, ψυχή μου,* βέλει μὲν τοξευθεὶς τῆς μοιχείας,* τῷ δὲ δόρατι* ἁλοὺς τῆς τοῦ φόνου ποινῆς,* ἀλλ' αὐτὴ τὰ βαρύτερα τῶν ἔργων νοσεῖς* ταῖς κατὰ γνώμην ὁρμαῖς.

Συνῆψε μὲν* ὁ Δαβὶδ ποτὲ* ἀνομήματι τὴν ἀνομίαν·* φόνῳ γὰρ τὴν μοιχείαν ἐκίρνα,* τὴν μετάνοιαν* εὐθὺς παραδείξας διπλῆν·* ἀλλ' αὐτὴ πονηρότερα εἰργάσω, ψυχή,* μὴ μεταγνοῦσα Θεῷ.

Δαβίδ ποτε* ἀνεστήλωσε* συγγραψάμενος ὡς ἐν εἰκόνι* ὕμνον, δι' οὗ τὴν πρᾶξιν ἐλέγχει,* ἣν εἰργάσατο,* κραυγάζων· Ἐλέησόν με·* σοὶ γὰρ μόνῳ ἐξήμαρτον τῷ πάντων Θεῷ·* αὐτὸς καθάρισόν με.

(Τμῆμα β΄).

Ἡκιβωτὸς* ὡς ἐφέρετο* ἐπιδίφριος, ὁ Ζᾶν ἐκεῖνος* ὅτε, ἀνατραπέντος τοῦ μόσχου,* μόνον ἥψατο,* Θεοῦ ἐπειράθη ὀργῆς·* ἀλλ' αὐτοῦ τὴν αὐθάδειαν φυγοῦσα, ψυχή,* σέβου τὰ θεῖα καλῶς.

Ακήκοας* τοῦ Ἀβεσσαλῶμ* πῶς τῆς φύσεως ἀντεξανέστη* ἔγνως τὰς ἐναγεῖς αὐτοῦ πράξεις,* αἷς ἐξύβρισε* τὴν κοίτην Δαβὶδ τοῦ πατρός* ἀλλ᾽ αὐτὴ ἐμιμήσω τὰς αὐτοῦ ἐμπαθεῖς* καὶ φιληδόνους ὁρμάς.

Υπέταξας* τὸ ἀδούλωτον* σοῦ ἀξίωμα τῷ σώματί σου* ἄλλον γὰρ Ἀχιτόφελ εὑροῦσα* τὸν ἐχθρόν, ψυχή,* συνῆλθες ταῖς τούτου βουλαῖς* ἀλλ᾽ αὐτὰς διεσκέδασεν αὐτὸς ὁ Χριστός,* ἵνα σὺ πάντως σωθῇς.

Ο Σολομὼν* ὁ θαυμάσιος,* ὁ καὶ χάριτος σοφίας πλήρης,* οὗτος τὸ πονηρὸν ἐναντίον* τοῦ Θεοῦ ποτὲ* ποιήσας ἀπέστη αὐτοῦ* ᾧ αὐτὴ τὸν ἐπάρατόν σου βίον, ψυχή,* προσαφωμοίωσας.

Ταῖς ἡδοναῖς* ἐξελκόμενος* τῶν παθῶν αὐτοῦ κατερρυπούτο* οἴμοι! ὁ ἐραστὴς τῆς σοφίας* ἐραστὴς πορνῶν* γυναικῶν καὶ ξένος Θεοῦ* ὃν αὐτὴ ἐμιμήσω κατὰ νοῦν, ὦ ψυχή,* ἡδυπαθείαις αἰσχραῖς.

Τὸν Ῥοβοὰμ* παρεζήλωσας* ἀλογήσαντα βουλὴν πατρῷαν* ἅμα δὲ καὶ τὸν κάκιστον δοῦλον* Ἱεροβοὰμ* τὸν πρὶν ἀποστάτην, ψυχή* ἀλλὰ φεῦγε τὴν μίμησιν καὶ κράζε Θεῷ* Ἥμαρτον, οἰκτιρόν με.

(Τμῆμα γ').

Τὸν Ἀχαὰβ* παρεζήλωσας* τοῖς μιάσμασι, ψυχή μου οἴμοι!* γέγονας σαρκικῶν μολυσμάτων* καταγώγιον* καὶ σκεῦος αἰσχρὸν τῶν παθῶν* ἀλλ᾽ ἐκ βάθους σου στέναξον, καὶ λέγε Θεῷ* τὰς ἁμαρτίας σου.

Ενέπρησεν* Ἠλιοὺ ποτὲ* δὶς πεντήκοντα τῆς Ἰεζάβελ,* ὅτε τοὺς τῆς αἰσχύνης προφήτας* κατηνάλωσεν* εἰς ἔλεγχον τοῦ Ἀχαάβ* ἀλλὰ φεῦγε τὴν μίμησιν τῶν δύο, ψυχή,* καὶ κραταιώθητι.

Εκλείσθη σοι* οὐρανός, ψυχή,* καὶ λιμὸς Θεοῦ κατέλαβέ σε,* ὅτε τοῖς Ἠλιοὺ τοῦ Θεσβίτου* ὡς ὁ Ἀχαὰβ* ἠπείθησας λόγοις ποτὲ* ἀλλὰ τῇ Σαραφθίᾳ ὁμοιώθητι* θρέψον προφήτου ψυχήν.

Τοῦ Μανασσῆ* ἐπεσώρευσας* τὰ ἐγκλήματα τῇ προαιρέσει,* στήσασα ὡς βδελύγματα πάθη* καὶ πληθύνουσα,* ψυχή, προσοχθίσματα·* ἀλλ᾽ αὐτοῦ τὴν μετάνοιαν ζηλοῦσα θερμῶς* κτῆσαι κατάνυξιν.

(Τμῆμα δ΄).

Προσπίπτω σοι* καὶ προσάγω σοι* ὥσπερ δάκρυα τὰ ῥήματά μου·* ἥμαρτον ὡς οὐχ ἥμαρτε πόρνη,* καὶ ἠνόμησα* ὡς ἄλλος οὐδείς ἐπὶ γῆς·* ἀλλ᾽ οἰκτείρησον, Δέσποτα, τὸ ποίημά σου* καὶ ἀνακάλεσαί με.

Κατέχρωσα* τὴν εἰκόνα σου* καὶ παρέφθειρα τὴν ἐντολήν σου·* ὅλον ἀπημαυρώθη τὸ κάλλος* καὶ τοῖς πάθεσιν* ἐσβέσθη, Σωτήρ, ἡ λαμπάς·* ἀλλ᾽ οἰκτείρας ἀπόδος μοι, ὡς ψάλλει Δαβίδ,* τὴν ἀγαλλίασιν.

Ἐπίστρεψον,* μετανόησον,* ἀνακάλυψον τὰ κεκρυμμένα·* λέγε Θεῷ τῷ τὰ πάντα εἰδότι·* Σὺ γινώσκεις μου* τὰ κρύφια, μόνε Σωτήρ,* καὶ αὐτός με ἐλέησον, ὡς ψάλλει Δαβίδ,* κατὰ τὸ ἔλεός σου.

Ἐξέλιπον* αἱ ἡμέραι μου* ὡς ἐνύπνιον ἐγειρομένου·* ὅθεν ὡς Ἐζεκίας δακρύω* ἐπὶ κλίνης μου* προσθεῖναί μοι χρόνους ζωῆς·* ἀλλὰ τίς Ἡσαΐας παραστῆσεταί σοι, ψυχή,* εἰ μὴ ὁ πάντων Θεός;

Τῆς ὁσίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βοήσασα* πρὸς τὴν ἄχραντον* Θεομήτορα πρίν, ἀπεκρούσω* λύσσαν παθῶν βιαίως ὀχλούντων,* καὶ κατῃσχυνας* ἐχθρὸν τὸν πτερνίσαντα·* ἀλλὰ δὸς νῦν βοήθειαν ἐκ θλίψεως* κἀμοὶ τῷ δούλῳ σου.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὃν ἔστερξας,* ὃν ἐπόθησας,* δι᾽ ὃν ἔτηξας σάρκας, ὁσία,* αἴτησαι νῦν Χριστὸν ὑπὲρ δούλων,* ὅπως ἵλεως* γενόμενος πᾶσιν ἡμῖν* εἰρηναίαν κατάστασιν βραβεύσειε* τοῖς σεβομένοις αὐτόν.

Τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς πίστεως* ἐν τῇ πέτρᾳ με* ταῖς πρεσβείαις σου στήριξον, πάτερ,* φόβῳ με τῷ ἐνθέῳ τειχίζων,* καὶ μετάνοιαν,* Ἀνδρέα, παράσχου μοι νῦν,* δυσωπῶ σε, καὶ ῥῦσαί με παγίδος ἐχθρῶν* τῶν ἐκζητούντων με.

Δόξα. Τριαδικόν.

Τριὰς ἁπλῆ,* ἀδιαίρετε,* ὁμοούσιε, καὶ μία φύσις* φῶτα καὶ φῶς, καὶ ἅγια τρία,* καὶ ἓν ἅγιον* ὑμνεῖται Θεὸς ἡ Τριάς* ἀλλ' ἀνύμνησον, δόξασον ζωὴν καὶ ζωάς,* ψυχή, τὸν πάντων Θεόν.

Καὶ νῦν. Θεοτοκίον.

Υμνοῦμέν σε,* εὐλογοῦμέν σε,* προσκυνοῦμέν σε, Θεογεννῆτορ,* ὅτι τῆς ἀχωρίστου Τριάδος* ἀπεκύησας* τὸν ἕνα, Υἱὸν καὶ Θεόν* καὶ αὐτὴ προηνέωξας ἡμῖν τοῖς ἐν γῇ* τὰ ἐπουράνια.

Ὠδὴ η'. Ὁ εἱρμός.

Ον στρατιαὶ* οὐρανῶν δοξάζουσι* καὶ φρίττει τὰ Χερουβὶμ* καὶ τὰ Σεραφίμ,* πᾶσα πνοὴ καὶ κτίσις,* ὑμνεῖτε, εὐλογεῖτε,* καὶ ὑπερυψοῦτε* αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

(Τμῆμα α').

Ημαρτηκότα,* Σωτήρ, ἐλέησον* διέγειρόν μου τὸν νοῦν* πρὸς ἐπιστροφήν* δέξαι μετανοοῦντα,* οἰκτείρησον βοῶντα* Ἥμαρτόν σοι, σῶσον* ἠνόμησα, ἐλέησόν με.

Οδιφρηλάτης* Ἠλίας ἅρματι* ταῖς ἀρεταῖς ἐπιβὰς* ὡς εἰς οὐρανοὺς* ἤγετο ὑπεράνω* ποτὲ τῶν ἐπιγείων* τούτου οὖν, ψυχή μου,* τὴν ἄνοδον ἀναλογίζου.

Τοῦ Ἰορδάνου* τὸ ῥεῖθρον πρότερον* τῇ μηλωτῇ Ἠλιοὺ* δι' Ἐλισσαιὲ* ἔστη ἔνθα καὶ ἔνθα* αὐτὴ δέ, ὦ ψυχή μου,* ταύτης οὐ μετέσχες* τῆς χάριτος δι' ἀκρασίαν.

Ὁ Ἐλισσαῖος* ποτὲ δεξάμενος* τὴν μηλωτὴν Ἠλιοῦ* ἔλαβε διπλῆν* χάριν παρὰ Κυρίου·* αὐτὴ δέ, ὦ ψυχή μου,* ταύτης οὐ μετέσχες* τῆς χάριτος δι᾽ ἀκρασίαν.

Ἡ Σωμανῖτις* ποτὲ τὸν δίκαιον* ἐξένισεν, ὦ ψυχή,* γνώμῃ ἀγαθῇ·* σὺ δὲ οὐκ εἰσῳκίσω* οὐ ξένον οὐχ ὁδίτην·* ὅθεν τοῦ νυμφῶνος* ῥιφήσῃ ἔξω θρηνῳδοῦσα.

Τοῦ Γιεζὶ* ἐμιμήσω, τᾶλαινα,* τὴν γνώμην τὴν ῥυπαρὰν* πάντοτε, ψυχή·* οὗ τὴν φιλαργυρίαν* ἀπόθου κἂν ἐν γήρᾳ·* φεῦγε τῆς γεέννης* τὸ πῦρ ἐκστᾶσα τῶν κακῶν σου.

(Τμῆμα β′).

Σὺ τὸν Ὀζίαν,* ψυχή, ζηλώσασα,* τὴν τούτου λέπραν ἐν σοὶ* ἔσχες ἐν διπλῷ·* ἄτοπα γὰρ λογίζῃ,* παράνομα δὲ πράττεις·* ἄφες ἃ κατέχεις* καὶ πρόσδραμε τῇ μετανοίᾳ.

Τοὺς Νινευΐτας,* ψυχή, ἀκήκοας* μετανοοῦντας Θεῷ* σάκκῳ καὶ σποδῷ·* τούτους οὐκ ἐμιμήσω,* ἀλλ᾽ ὤφθης σκαιοτέρα* πάντων τῶν πρὸ νόμου* καὶ μετὰ νόμον ἐπταικότων.

Τὸν ἐν τῷ λάκκῳ* βορβόρου ἤκουσας* Ἱερεμίαν, ψυχή,* πόλιν τὴν Σιὼν* θρήνοις καταβοῶντα* καὶ δάκρυα ζητοῦντα·* μίμησαι τὸν τούτου* θρηνῴδη βίον καὶ σωθήσῃ.

Ὁ Ἰωνᾶς* εἰς Θαρσὶς ἀπέδραμε* προγνοὺς τὴν ἐπιστροφὴν* τῶν Νινευϊτῶν·* ἔγνω γὰρ ὡς προφήτης* Θεοῦ τὴν εὐσπλαγχνίαν·* ὅθεν παρεζήλου* τὴν προφητείαν μὴ ψευσθῆναι.

Τὸν Δανιὴλ* ἐν τῷ λάκκῳ ἤκουσας* πῶς ἔφραξεν, ὦ ψυχή,* στόματα θηρῶν·* ἔγνωκας πῶς οἱ παῖδες* οἱ περὶ Ἀζαρίαν* ἔσβεσαν τῇ πίστει* καμίνου φλόγα καιομένης.

Τῆς παλαιᾶς* Διαθήκης ἅπαντας* παρήγαγόν σοι, ψυχή,* πρὸς ὑπογραμμόν·* μίμησαι τῶν δικαίων* τὰς φιλοθέους πράξεις,* ἔκφυγε δὲ πάλιν* τῶν πονηρῶν τὰς ἁμαρτίας.

(Τμῆμα γ').

Δικαιοκρίτα* Σωτήρ, ἐλέησον* καὶ ῥῦσαί με τοῦ πυρός* καὶ τῆς ἀπειλῆς,* ἃς μέλλω ἐν τῇ κρίσει* δικαίως ὑποστῆναι* ἄνες μοι πρὸ τέλους* δι' ἀρετῆς καὶ μετανοίας.

Ὡς ὁ λῃστὴς* ἐκβοῶ τὸ Μνήσθητί* ὡς Πέτρος κλαίω πικρῶς* Ἄνες μοι, Σωτήρ* κράζω ὡς ὁ τελώνης,* δακρύω ὡς ἡ πόρνη* δέξαι μου τὸν θρῆνον,* καθὼς ποτὲ τῆς Χαναναίας.

Τὴν σηπεδόνα,* Σωτήρ, θεράπευσον* τῆς ταπεινῆς μου ψυχῆς,* μόνε ἰατρέ* μάλαγμά μοι ἐπίθες* καὶ ἔλαιον καὶ οἶνον,* ἔργα μετανοίας,* κατάνυξιν μετὰ δακρύων.

Τὴν Χαναναίαν* κἀγὼ μιμούμενος,* Ἐλέησόν με, βοῶ* τῷ υἱῷ Δαβίδ* ἅπτομαι τοῦ κρασπέδου* ὡς ἡ αἱμορροοῦσα* κλαίω ὡς ἡ Μάρθα* καὶ Μαρία ἐπὶ Λαζάρῳ.

(Τμῆμα δ').

Τὸ τῶν δακρύων,* Σωτήρ, ἀλάβαστρον* ὡς μύρον κατακενῶν* ἐπὶ κεφαλῆς* κράζω σοι, ὡς ἡ πόρνη* τὸν ἔλεον ζητοῦσα* δέησιν προσάγω* καὶ ἄφεσιν αἰτῶ λαβεῖν με.

Εἰ καὶ μηδεὶς* ὡς ἐγώ σοι ἥμαρτεν,* ἀλλ' ὅμως δέξαι κἀμέ,* εὔσπλαγχνε Σωτήρ,* φόβῳ μετανοοῦντα* καὶ πόθῳ κεκραγότα* Ἥμαρτόν σοι μόνῳ,* ἠνόμησα· ἐλέησόν με.

Φεῖσαι, Σωτήρ,* τοῦ ἰδίου πλάσματος,* καὶ ζήτησον ὡς ποιμὴν* τὸ ἀπολωλὸς* πρόβατον· πλανηθέντα* ἐξάρπασον τοῦ λύκου* ποίησόν με θρέμμα* ἐν τῇ νομῇ τῶν σῶν προβάτων.

Ὅταν κριτὴς* καθίσῃς ὡς εὔσπλαγχνος,* καὶ δείξῃς τὴν φοβερὰν* δόξαν σου, Χριστέ,* ὢ ποῖος φόβος τότε,* καμίνου καιομένης,* πάντων δειλιώντων* τὸ ἄστεκτον τοῦ βήματός σου!

Τῆς ὁσίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ τοῦ φωτὸς* τοῦ ἀδύτου Μήτηρ σε* φωτίσασα σκοτασμοῦ* ἔλυσε παθῶν* ὅθεν εἰσδεδεγμένη* τοῦ Πνεύ-

ματος τὴν χάριν* φώτισον, Μαρία,* τοὺς σὲ πιστῶς ἀνευφημοῦντας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Θαῦμα καινὸν* κατιδὼν ἐξίστατο* ὁ θεῖος ὄντως ἐν σοί,* μῆτερ, Ζωσιμᾶς* ἄγγελον γὰρ ἑώρα* ἐν σώματι καὶ θάμβους* ὅλος ἐπληροῦτο,* Χριστὸν ὑμνῶν εἰς τοὺς αἰῶνας.

Τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς παῤῥησίαν* ἔχων πρὸς Κύριον,* Ἀνδρέα, Κρήτης σεπτὸν* κλέος, δυσωπῶ* Πρέσβευε τοῦ δεσμοῦ με* τῆς ἀνομίας λύσιν* νῦν εὑρεῖν εὐχαῖς σου,* διδάσκαλε, ὁσίων δόξα.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Τριαδικόν.

Ἀναρχε Πάτερ,* Υἱὲ συνάναρχε,* Παράκλητε ἀγαθέ,* Πνεῦμα τὸ εὐθές,* Λόγου Θεοῦ Γεννῆτορ,* Πατρὸς ἀνάρχου Λόγε,* Πνεῦμα ζῶν καὶ κτίζον,* Τριὰς Μονὰς ἐλέησόν με.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς ἐκ βαφῆς* ἁλουργίδος, ἄχραντε,* ἡ νοητὴ πορφυρίς,* τοῦ Ἐμμανουὴλ* ἔνδον ἐν τῇ γαστρί σου* ἡ σὰρξ συνεξυφάνθη* ὅθεν Θεοτόκον* ἐν ἀληθείᾳ σε τιμῶμεν.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Ἀσπόρου συλλήψεως* ὁ τόκος ἀνερμήνευτος,* μητρὸς ἀνάνδρου* ἄφθορος ἡ κύησις* Θεοῦ γὰρ ἡ γέννησις* καινοποιεῖ τὰς φύσεις* διό σε πᾶσαι αἱ γενεαὶ* ὡς Θεόνυμφον Μητέρα* ὀρθοδόξως μεγαλύνομεν. (Δὶς)

Τροπάρια.

(Ἦμα α').

Νοῦς τετραυμάτισται,* τὸ σῶμα μεμαλάκισται,* νοσεῖ τὸ πνεῦμα* ὁ λόγος ἠσθένησεν,* ὁ βίος νενέκρωται,*

τὸ τέλος ἐπὶ θύραις· διό μοι, τάλαινα ψυχή, τί ποιήσεις, ὅταν ἔλθῃ ὁ κριτὴς ἀνερευνῆσαι τὰ σά;

Μωσέως παρήγαγον, ψυχή, τὴν κοσμογένεσιν, καὶ ἐξ ἐκείνου πᾶσαν ἐνδιάθετον γραφὴν ἱστοροῦσάν σοι δικαίους καὶ ἀδίκους· ὧν τοὺς δευτέρους, ὦ ψυχή, ἐμιμήσω, οὐ τοὺς πρώτους, εἰς Θεὸν ἐξαμαρτήσασα.

Ὁ νόμος ἠσθένησεν, ἀργεῖ τὸ Εὐαγγέλιον, γραφὴ δὲ πᾶσα ἐν σοὶ παρημέληται, προφῆται ἠτόνησαν, καὶ πᾶς δικαίου λόγος· αἱ τραυματίαι σου, ψυχή, ἐπληθύνθησαν, οὐκ ὄντος ἰατροῦ τοῦ ὑγιοῦντός σε.

Τῆς νέας παράγω σοι γραφῆς τὰ ὑποδείγματα, ἐνάγοντά σε, ψυχή, πρὸς κατάνυξιν· δικαίους οὖν ζήλωσον, ἁμαρτωλοὺς ἐκτρέπου, καὶ ἐξιλέωσαι Χριστόν προσευχαῖς τε καὶ νηστείαις καὶ ἁγνείᾳ καὶ σεμνότητι.

Χριστὸς ἐνηπίασε σαρκὶ προσομιλήσας μοι, καὶ πάντα ὅσα ὑπάρχει τῆς φύσεως, βουλήσει ἐπλήρωσε· τῆς ἁμαρτίας δίχα, ὑπογραμμόν σοι, ὦ ψυχή, καὶ εἰκόνα προδεικνύων τῆς αὐτοῦ συγκαταβάσεως.

Χριστὸς ἐνηνθρώπησε καλέσας εἰς μετάνοιαν λῃστὰς καὶ πόρνας· ψυχή, μετανόησον, ἡ θύρα ἠνέῳκται τῆς βασιλείας ἤδη, καὶ προαρπάζουσιν αὐτὴν φαρισαῖοι καὶ τελῶναι καὶ μοιχοὶ μεταποιούμενοι.

Χριστὸς μάγους ἔσωσε, ποιμένας συνεκάλεσε, νηπίων δήμους ἀπέδειξε μάρτυρας, πρεσβύτην ἐδόξασε καὶ γηραλέαν χήραν· ὧν οὐκ ἐζήλωσας, ψυχή, οὐ τὰς πράξεις, οὐ τὸν βίον· ἀλλ' οὐαί σοι ἐν τῷ κρίνεσθαι!

Νηστεύσας ὁ Κύριος ἡμέρας τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, ὕστερον ἐπείνασε, δεικνὺς τὸ ἀνθρώπινον. Ψυχή, μὴ ἀθυμήσῃς· ἂν σοι προσβάλῃ ὁ ἐχθρός, προσευχῇ τε καὶ νηστείᾳ ἐκποδὼν ἀποκρουσθήτω σοι.

(Τμῆμα β΄).

Χριστὸς ἐπειράζετο, διάβολος ἐπείραζε, δεικνὺς τοὺς λίθους, ἵνα ἄρτοι γένωνται· εἰς ὄρος ἀνήγαγεν ἰδεῖν

τὰς βασιλείας* τοῦ κόσμου πάσας ἐν ῥιπῇ* φοβοῦ, ὦ ψυχή, τὸ δρᾶμα* νῆφε, εὔχου πᾶσαν ὥραν Θεῷ.

Τρυγῶν ἡ φιλέρημος,* φωνὴ βοῶντος ἤχησε,* Χριστοῦ ὁ λύχνος* κηρύττων μετάνοιαν* Ἡρῴδης ἠνόμησε* σὺν τῇ Ἡρῳδιάδι* βλέπε, ψυχή μου, μὴ παγῇς* τῶν ἀνόμων ταῖς παγίσιν,* ἀλλ᾽ ἀσπάζου τὴν μετάνοιαν.

Τὴν ἔρημον ᾤκησεν* ὁ Πρόδρομος τῆς χάριτος,* καὶ Ἰουδαία* πᾶσα καὶ Σαμάρεια* ἀκούοντες ἔτρεχον,* καὶ ἐξωμολογοῦντο* τὰς ἁμαρτίας ἑαυτῶν,* βαπτιζόμενοι προθύμως* οὓς αὐτὴ οὐκ ἐμιμήσω, ψυχή.

Ὁ γάμος μὲν τίμιος,* ἡ κοίτη δὲ ἀμίαντος* ἀμφότερα γὰρ* Χριστὸς προευλόγησε,* σαρκὶ ἐστιώμενος* καὶ ἐν Κανᾷ ἐν γάμῳ* τὸ ὕδωρ οἶνον ἐκτελῶν,* καὶ δεικνύων πρῶτον θαῦμα,* ἵνα σὺ μετατεθῇς, ὦ ψυχή.

Παράλυτον ἔσφιγξε* Χριστὸς τὴν κλίνην ἅραντα,* καὶ νεανίσκους* θανόντας ἐξήγειρε,* τῆς χήρας τὸ κύημα* καὶ τοῦ ἑκατοντάρχου,* καὶ Σαμαρείτιδι φανεὶς* τὴν ἐν πνεύματι λατρείαν* σοί, ψυχή, προεζωγράφησεν.

Αἱμόῤῥουν ἰάσατο* ἁφῇ κρασπέδου Κύριος,* λεπροὺς καθαίρων,* τυφλοὺς καὶ χωλεύοντας* φωτίσας ἀνώρθωσε,* κωφούς τε καὶ ἀλάλους* καὶ τὴν συγκύπτουσαν χαμαὶ* ἐθεράπευσε τῷ λόγῳ,* ἵνα σὺ σωθῇς, ἀθλία ψυχή.

(Τμῆμα γ΄).

Τὰς νόσους ἰώμενος* πτωχοῖς εὐηγγελίζετο* Χριστὸς ὁ Λόγος* κυλλοὺς ἐθεράπευσε,* τελώναις συνήσθιεν,* ἁμαρτωλοῖς ὡμίλει* τῆς Ἰαείρου θυγατρὸς* τὴν ψυχὴν προμεταστᾶσαν* ἐπανήγαγεν ἁφῇ τῆς χειρός.

Τελώνης ἐσῴζετο* καὶ πόρνη ἐσωφρόνιζε,* καὶ φαρισαῖος* αὐχῶν κατεκρίνετο* ὁ μὲν γάρ, Ἱλάσθητι,* ἡ δέ, Ἐλέησόν με,* ὁ δὲ ἐκόμπαζε βοῶν* Ὁ Θεός, εὐχαριστῶ σοι* καὶ ἐξῆς τὰ τῆς ἀνοίας ῥητά.

Ζακχαῖος τελώνης ἦν,* ἀλλ᾽ ὅμως διεσῴζετο,* καὶ φαρισαῖος* ὁ Σίμων ἐσφάλλετο,* καὶ πόρνη ἐλάμβανε*

τὰς ἀφεσίμους λύσεις* παρὰ τοῦ ἔχοντος ἰσχὺν* ἀφιέναι ἁμαρτίας'* ὄν, ψυχή, σαυτῇ ἱλέωσαι.

Τὴν πόρνην, ὦ τάλαινα* ψυχή μου, οὐκ ἐζήλωσας,* ἥτις λαβοῦσα* μύρου τὸ ἀλάβαστρον,* σὺν δάκρυσιν ἤλειψε* τοὺς πόδας τοῦ Κυρίου,* ἐξέμαξε δὲ ταῖς θριξί,* τῶν ἀρχαίων ἐγκλημάτων* τὸ χειρόγραφον ῥηγνύντος αὐτῇ.

Τὰς πόλεις, αἷς ἔδωκε* Χριστὸς τὸ Εὐαγγέλιον,* ψυχή μου, ἔγνως,* ὅπως κατηράθησαν'* φοβοῦ τὸ ὑπόδειγμα,* μὴ γένῃ ὡς ἐκεῖναι'* ταῖς ἐν Σοδόμοις γὰρ αὐτὰς* ὁ Δεσπότης παρεικάσας* ἕως ᾅδου κατεδίκασε.

Μὴ χείρων, ὦ ψυχή μου,* φανῇς δι' ἀπογνώσεως,* τῆς Χαναναίας* τὴν πίστιν ἀκούσασα,* δι' ἧς τὸ θυγάτριον* λόγῳ Θεοῦ ἰάθη.* Υἱὲ Δαβίδ, σῶσον κἀμέ,* ἀναβόησον ἐκ βάθους* τῆς καρδίας, ὡς ἐκείνη, Χριστῷ.

(Τμῆμα δ').

Σπλαγχνίσθητι, σῶσόν με'* υἱὲ Δαβίδ, ἐλέησον,* ὁ δαιμονῶντας* λόγῳ ἰασάμενος'* φωνὴν δὲ τὴν εὐσπλαγχνον* ὡς τῷ λῃστῇ μοι φράσον'* Ἀμήν σοι λέγω, μετ' ἐμοῦ* ἔσῃ ἐν τῷ παραδείσῳ,* ὅταν ἔλθω ἐν τῇ δόξῃ μου.

Λῃστὴς κατηγόρει σου,* λῃστὴς ἐθεολόγει σε'* ἀμφότεροι γὰρ* σταυρῷ συνεκρέμαντο'* ἀλλ' ὦ πολυεύσπλαγχνε,* ὡς τῷ πιστῷ λῃστῇ σου* τῷ ἐπιγνόντι σε Θεόν,* κἀμοὶ ἄνοιξον τὴν θύραν* τῆς ἐνδόξου βασιλείας σου.

Ηκτίσις συνείχετο* σταυρούμενόν σε βλέπουσα'* δρη καὶ πέτραι* φόβῳ διερρήγνυντο'* καὶ γῆ συνεσείετο* καὶ ᾅδης ἐγυμνοῦτο'* καὶ συνεσκότασε τὸ φῶς* ἐν ἡμέρᾳ, καθορῶν σε,* Ἰησοῦ, προσηλωμένον σαρκί.

Αξίους μετανοίας* καρποὺς μὴ ἀπαιτήσῃς με'* ἡ γὰρ ἰσχύς μου* ἐν ἐμοὶ ἐξέλιπε'* καρδίαν μοι δώρησαι* ἀεὶ συντετριμμένην,* πτωχείαν δὲ πνευματικήν,* ἵνα ταῦτά σοι προσοίσω* ὡς δεκτὴν θυσίαν, μόνε Σωτήρ.

Κριτά μου καὶ γνῶστά μου,* ὁ μέλλων πάλιν ἔρχεσθαι* σὺν τοῖς ἀγγέλοις* κρῖναι κόσμον ἅπαντα,* ἱλέῳ σου

ὄμματι* τότε ἰδών με φεῖσαι,* καὶ οἰκτειρόν με, Ἰησοῦ,* τὸν ὑπὲρ τὴν πᾶσαν φύσιν* τῶν ἀνθρώπων ἁμαρτήσαντα.

Τῆς ὁσίας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐξέστησας ἅπαντας* τῇ ξένῃ πολιτείᾳ σου,* ἀγγέλων τάξεις,* βροτῶν τὰ συστήματα,* ἀΰλως βιώσασα* καὶ φύσιν ὑπερβᾶσα·* ἀνθ' ὧν ὡς ἄϋλος τοῖς ποσὶν* ἐπιβαίνουσα, Μαρία,* Ἰορδάνην διεπέρασας.

Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱλέωσαι Κύριον* ὑπὲρ τῶν εὐφημούντων σε,* ὁσία μῆτερ,* ῥυσθῆναι κακώσεων* καὶ θλίψεων τῶν κύκλῳ* συνεπιτιθεμένων·* ἵνα ῥυσθέντες τῶν πειρασμῶν,* μεγαλύνωμεν ἀπαύστως* τὸν δοξάσαντά σε Κύριον.

Τοῦ ἁγίου Ἀνδρέου.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνδρέα σεβάσμιε* καὶ πάτερ τρισμακάριστε,* ποιμὴν τῆς Κρήτης,* μὴ παύσῃ δεόμενος* ὑπὲρ τῶν σὲ ὑμνούντων* ἵνα ῥυσθῶμεν πάσης* ὀργῆς καὶ θλίψεως καὶ φθορᾶς,* καὶ πταισμάτων λυτρωθῶμεν* οἱ τιμῶντές σου τὴν μνήμην ἀεί.

Δόξα. Τριαδικόν.

Τριὰς ὁμοούσιε,* Μονὰς ἡ τρισυπόστατος,* σὲ ἀνυμνοῦμεν* Πατέρα δοξάζοντες,* Υἱὸν μεγαλύνοντες* καὶ Πνεῦμα προσκυνοῦντες,* τὸν ἕνα φύσει ἀληθῶς* Θεόν, ζωὴν τε καὶ ζωάς,* βασιλείαν ἀτελεύτητον.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πόλιν σου φύλαττε,* Θεογεννῆτορ ἄχραντε·* ἐν σοὶ γὰρ αὕτη* πιστῶς βασιλεύουσα,* ἐν σοὶ καὶ κρατύνεται,* καὶ διὰ σοῦ νικῶσα* τροποῦται πάντα πειρασμόν,* καὶ σκυλεύει πολεμίους* καὶ διέπει τὸ ὑπήκοον.

Καὶ αὐθις τὸν εἱρμὸν Ἀσπόρου συλλήψεως (σ. 1014).

Τὸ Τρισάγιον κ.τ.λ., τὸ κοντάκιον Ψυχή μου, ψυχή μου

(σ. 1005), τὸ Κύριε, ἐλέησον μ΄. Ὁ ἐν παντὶ καιρῷ, καὶ τὰ λοιπὰ τοῦ Μικροῦ Ἀποδείπνου (σ. 279-284).

ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ Ε΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355), εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ι΄, ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος πλ. δ΄.

Αὐτεξουσίως ἐξεδύθην* τῇ πρώτῃ μου παραβάσει* τῶν ἀρετῶν τὴν εὐπρέπειαν* ἠμφιασάμην δὲ ταύτην αὖθις* τῇ πρός με συγκαταβάσει σου, Λόγε Θεοῦ* οὐ παρεῖδες γάρ με* τὸν ἐν δεινοῖς παθήμασι τραυματισθέντα,* καὶ λῃστρικῶς ὁδοστατηθέντα,* ἀλλὰ τῇ παναλκεῖ σου δυναστείᾳ* περιποιησάμενός με,* ἀντιλήψεως ἠξίωσας, πολυέλεε. (Δὶς)

Μαρτυρικόν.

Μάρτυρες Κυρίου,* πάντα τόπον ἁγιάζετε* καὶ πᾶσαν νόσον θεραπεύετε* καὶ νῦν πρεσβεύσατε* ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ* τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

Στιχηρὰ προσόμοια, ποίημα Ἰωσήφ.

Ἦχος α΄. (Πανεύφημοι μάρτυρες).

Ἡλούμενος, Κύριε, Σταυρῷ* Ἀδὰμ τὸ χειρόγραφον* τῇ θείᾳ λόγχῃ διέῤῥηξας* διὸ διάῤῥηξον* τοὺς δεσμούς μου, Λόγε,* ὅπως σοι αἰνέσεως* θυσίαν θύσω πίστει

γηθόμενος,* καιρὸν εὐπρόσδεκτον* τῆς νηστείας νῦν εὑράμενος,* ὃν εἰς πάντων* σωτηρίαν ἔδειξας.

Νηστείας λαμπρότητι ποτὲ* Μωϋσῆς λαμπόμενος,* Θεοῦ τὴν δόξαν τεθέαται·* τοῦτον ζηλώσασα,* ταπεινὴ ψυχή μου,* τὸν Σταυρῷ τανύσαντα* παλάμας διὰ σὲ ἀγαθότητι* ἔργοις θεράπευσον* ἐγκρατείας καὶ δεήσεως,* ὅπως τύχῃς* θείας ἐπιλάμψεως.

Ἕτερον στιχηρὸν προσόμοιον, ποίημα Θεοδώρου.
Ἦχος πλ. β΄. (Ἀρχαγγελικῶς ἀνυμνήσωμεν).

Τὸν ζωοποιὸν* προσκυνοῦντές σου Σταυρὸν* τῆς ἀφράστου πρὸς ἡμᾶς σου* ἀμέτρου ἀγαθότητος, Χριστέ,* καὶ ἐν αὐτῷ φωτισθέντες τὰς ψυχάς,* ἀνυμνοῦμέν σε ἀπαύστως,* αἰτούμενοι εὐθύμως ἐν χαρᾷ* τελέσαι τὸ στάδιον* τῆς νηστείας, καὶ φθάσαι τὰ πάθη σου* ἀνυμνῆσαι, Κύριε,* δι᾽ ὧν ἔσωσας ἡμᾶς.

Καὶ τοῦ Μηναίου προσόμοια δ΄.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος βαρύς. Ψαλμὸς ϟη΄.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Γενέσεως τὸ ἀνάγνωσμα (ιη΄ 20-33).

Εἶπε Κύριος· Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. Καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ.

Καὶ ἀποστρέψαντες ἐκεῖθεν οἱ ἄνδρες ἦλθον εἰς Σόδομα· Ἀβραὰμ δὲ ἔτι ἦν ἑστηκὼς ἐναντίον Κυρίου. Καὶ ἐγγίσας Ἀβραὰμ εἶπε· Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής; ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολεῖς αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν

τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὡσιν ἐν αὐτῇ; Μηδαμῶς σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· μηδαμῶς. Ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν; Εἶπε δὲ Κύριος· Ἐὰν ὦσιν ἐν Σοδόμοις πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀφήσω ὅλην τὴν πόλιν καὶ πάντα τὸν τόπον δι' αὐτούς.

Καὶ ἀποκριθεὶς Ἀβραὰμ εἶπε· Νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν Κύριόν μου· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. Ἐὰν δὲ ἐλαττονωθῶσιν οἱ πεντήκοντα δίκαιοι εἰς τεσσαρακονταπέντε, ἀπολεῖς ἕνεκεν τῶν πέντε πᾶσαν τὴν πόλιν; Καὶ εἶπεν· Οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ τεσσαρακονταπέντε. Καὶ προσέθηκεν ἔτι λαλῆσαι πρὸς αὐτὸν καὶ εἶπεν· Ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα; Καὶ εἶπεν· Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τεσσαράκοντα. Καὶ εἶπε· Μὴ τι, Κύριε, ἐὰν λαλήσω; ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τριάκοντα; Καὶ εἶπεν· Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τριάκοντα. Καὶ εἶπεν· Ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν Κύριον· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ εἴκοσι; Καὶ εἶπεν· Οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ εἴκοσι. Καὶ εἶπε· Μή τι, Κύριε, ἐὰν λαλήσω ἔτι ἅπαξ; ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ δέκα; Καὶ εἶπεν· Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα. Ἀπῆλθε δὲ ὁ Κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς ϟθ΄.

Ἀλαλάξατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ.
Στίχ. Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ.

Παροιμιῶν τὸ ἀνάγνωσμα (ις΄ 17 - ιζ΄ 17).

Ὁ δεχόμενος παιδείαν ἐν ἀγαθοῖς ἔσται, ὁ δὲ φυλάσσων ἐλέγχους σοφισθήσεται. Ὃς φυλάσσει τὰς ἑαυτοῦ ὁδοὺς τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ἀγαπῶν δὲ ζωὴν αὐτοῦ φείσεται στόματος αὐτοῦ. Πρὸ συντριβῆς ἡγεῖται ὕβρις, πρὸ δὲ πτώματος κακοφροσύνη. Κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν.

Συνετὸς ἐν πράγμασιν εὑρετὴς ἀγαθῶν, πεποιθὼς δὲ ἐπὶ Θεῷ μακαριστός. Τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους κα-

λοῦσιν, οἱ δὲ γλυκεῖς ἐν λόγῳ πλείονα ἀκούσονται. Πηγὴ ζωῆς ἔννοια τοῖς κεκτημένοις, παιδεία δὲ ἀφρόνων κακή. Καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην. Κηρία μέλιτος λόγοι καλοί, γλύκασμα δὲ αὐτοῦ ἴασις ψυχῆς. Εἰσὶν ὁδοὶ δοκοῦσαι ὀρθαὶ εἶναι ἀνδρί, τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου.

Ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ καὶ ἐκβιάζεται τὴν ἀπώλειαν ἑαυτοῦ· ὁ μέντοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν. Ἀνὴρ ἄφρων ὀρύσσει ἑαυτῷ κακά, ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ. Ἀνὴρ σκολιὸς διαπέμπεται κακά, καὶ λαμπτῆρα δόλου πυρσεύσει κακοῖς καὶ διαχωρίζει φίλους. Ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς. Στηρίζων δὲ ὀφθαλμοὺς αὐτοῦ διαλογίζεται διεστραμμένα, ἐπιδάκνων δὲ τοῖς χείλεσιν αὐτοῦ ὁρίζει πάντα τὰ κακά· οὗτος κάμινός ἐστι κακίας. Στέφανος καυχήσεως γῆρας, ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρίσκεται. Κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ, ὁ δὲ κρατῶν ὀργῆς κρείσσων τοῦ καταλαμβανομένου πόλιν. Εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις, παρὰ δὲ Κυρίου πάντα τὰ δίκαια.

Κρείσσων ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ ἢ οἶκος πλήρης πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης. Οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων, ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη. Ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσός, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ Κυρίῳ. Κακὸς ὑπακούει γλώσσης παρανόμων, δίκαιος δὲ οὐ προσέχει χείλεσι ψευδέσιν. Ὁ καταγελῶν πτωχοῦ παροξύνει τὸν ποιήσαντα αὐτόν, ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ οὐκ ἀθῳωθήσεται, ὁ δὲ ἐπισπλαγχνιζόμενος ἐλεηθήσεται. Στέφανος γερόντων τέκνα τέκνων, καύχημα δὲ τέκνων πατέρες αὐτῶν. Τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός. Οὐχ ἁρμόσει ἄφρονι χείλη πιστά, οὐδὲ δικαίῳ χείλη ψευδῆ.

Μισθὸς χαρίτων παιδεία τοῖς χρωμένοις, οὗ δ' ἂν ἐπιστρέψῃ εὐοδωθήσεται. Ὃς κρύπτει ἀδικήματα ζητεῖ φιλίαν,

ὃς δὲ μισεῖ κρύπτειν διΐστησι φίλους καὶ οἰκείους. Συντρίβει ἀπειλὴ καρδίαν φρονίμου, ἄφρων δὲ μαστιγωθεὶς οὐκ αἰσθάνεται. Ἀντιλογίας ἐγείρει πᾶς κακός, ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ. Ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι, οἱ δὲ ἄφρονες διαλογιοῦνται κακά. Ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ. Ἐξουσίαν δίδωσι λόγοις ἀρχὴ δικαιοσύνης, προηγεῖται δὲ τῆς ἐνδείας στάσις καὶ μάχη. Ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ Θεῷ. Ἵνα τί ὑπῆρξε χρήματα ἄφρονι; κτήσασθαι γὰρ σοφίαν ἀκάρδιος οὐ δυνήσεται. Ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβήν, ὁ δὲ σκολιάζων τοῦ μαθεῖν ἐμπεσεῖται εἰς κακά. Εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι, ἀδελφοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν.

Καὶ εὐθὺς τὸ **Κατευθυνθήτω** καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Ε' ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΙ'

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ **Πρὸς Κύριον** (σ. 343-355) εἰς τὸ **Κύριε, ἐκέκραξα** ψάλλομεν στιχηρὰ ς', ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος πλ. β'.

Ὡς ἐξ Ἰερουσαλήμ,* σοῦ τῶν θείων ἐντολῶν ἐξερχόμενος,* καὶ πρὸς τὰ πάθη* τῆς Ἰεριχὼ καταντήσας,* τῇ δόξῃ τῆς ἀτιμίας* τῶν βιωτικῶν μολυσμάτων* κατασυ-

ρείς,* λησταῖς περιέπεσον τῶν λογισμῶν,* τῆς υἱοθεσίας καὶ χάριτος* τὸν χιτῶνα ὑπ᾽ αὐτῶν ἐκδυθείς,* καὶ ταῖς πληγαῖς* ὡς ἄπνους κατάκειμαι.* Ἱερεὺς δὲ παρὼν* καὶ τὸ πτῶμα κατιδὼν οὐ προσέσχε·* Λευΐτης καὶ αὐτὸς βδελυξάμενος* ἀντιπαρῆλθέ μοι·* σὺ δέ, Κύριε,* ὁ ἐκ Παρθένου ἀφράστως σαρκωθείς,* τῇ ἐκχύσει τοῦ σωτηρίου* καὶ ἑκουσίως ἐκ πλευρᾶς σου* ἐκχυθέντος αἵματος καὶ ὕδατος* ὡς ἔλαιον ἐπιστάξας, Χριστὲ ὁ Θεός,* τὰς οὐλὰς τῶν τραυμάτων μου* τῇ μοτώσει περίσφιγξον* καὶ πρὸς οὐράνιον* συγκαταρίθμησον χῶρον,* ὡς εὔσπλαγχνος. (Δὶς)

Μαρτυρικόν.

Οἱ μάρτυρές σου, Κύριε,* οὐκ ἠρνήσαντό σε,* οὐκ ἀπέστησαν* ἀπὸ τῶν ἐντολῶν σου·* ταῖς αὐτῶν πρεσβείαις* ἐλέησον ἡμᾶς.

Καὶ τῆς Θεοτόκου προσόμοια γ΄.

Βουλὴν προαιώνιον... (σ. 773).
Φαίνῃ μοι ὡς ἄνθρωπος... (σ. 773).
Θεὸς ὅπου βούλεται... (σ. 773).
Δόξα, καὶ νῦν.
Τὸ ἀπ᾽ αἰῶνος μυστήριον... (σ. 785).

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ρβ΄.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Γενέσεως τὸ ἀνάγνωσμα (κβ΄ 1-18).

Ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείρασε τὸν Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· Ἀβραάμ, Ἀβραάμ. Καὶ εἶπεν· Ἰδοὺ ἐγώ. Καὶ εἶπε· Λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ᾽ ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. Ἀναστὰς δὲ Ἀβραὰμ τὸ πρωῒ ἐπέσαξε τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ᾽ ἑαυτοῦ δύο παῖδας καὶ Ἰσαὰκ

τὸν υἱὸν αὐτοῦ· καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν ἀναστὰς ἐπορεύθη· καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός, τῇ ἡμέρᾳ τῇ τρίτῃ. Καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε τὸν τόπον μακρόθεν· καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ· Καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου, ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε καὶ προσκυνήσαντες ἀναστρέψομεν πρὸς ὑμᾶς.

Ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας καὶ τὸ πῦρ καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. Εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ· Πάτερ. Ὁ δὲ εἶπε· Τί ἐστι, τέκνον; Εἶπε δέ· Ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; Εἶπε δὲ Ἀβραάμ· Ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. Πορευθέντες δὲ ἀμφότεροι ἅμα ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός. Καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ τὸ θυσιαστήριον καὶ ἐπέθηκε τὰ ξύλα· καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων.

Καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ. Καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος Κυρίου ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν· Ἀβραάμ, Ἀβραάμ. Ὁ δὲ εἶπεν· Ἰδοὺ ἐγώ. Καὶ εἶπε· Μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μηδὲ ποιήσῃς αὐτῷ μηδέν· νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεὸν καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. Καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων· καὶ ἐπορεύθη Ἀβραὰμ καὶ ἔλαβε τὸν κριόν, καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ. Καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Κύριος εἶδεν· ἵνα εἴπωσι σήμερον· Ἐν τῷ ὄρει Κύριος ὤφθη.

Καὶ ἐκάλεσεν ἄγγελος Κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ λέγων· Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, ἢ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐ-

ρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων· καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς ργ'.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε!
Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Παροιμιῶν τὸ ἀνάγνωσμα (ιζ' 17 - ιη' 5).

Ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν· τούτου γὰρ χάριν γεννῶνται. Ἀνὴρ ἄφρων ἐπικροτεῖ καὶ ἐπιχαίρει ἑαυτῷ, ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύῃ τῶν ἑαυτοῦ φίλων. Φιλαμαρτήμων χαίρει μάχαις, ὑψῶν δὲ θύραν αὐτοῦ ζητεῖ συντριβήν, ὁ δὲ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς. Ἀνὴρ εὐμετάβολος γλώσσῃ ἐμπεσεῖται εἰς κακά, καρδία δὲ ἄφρονος ὀδύνη τῷ κεκτημένῳ αὐτήν. Οὐκ εὐφραίνεται πατὴρ ἐφ' υἱῷ ἀπαιδεύτῳ, υἱὸς δὲ φρόνιμος εὐφραίνει μητέρα αὐτοῦ. Καρδία εὐφραινομένη εὐεκτεῖν ποιεῖ, ἀνδρὸς δὲ λυπηροῦ ξηραίνεται τὰ ὀστᾶ. Λαμβάνοντος δῶρα ἀδίκως ἐν κόλπῳ οὐ κατευοδοῦνται ὁδοί, ἀσεβὴς δὲ ἐκκλίνει ὁδοὺς δικαιοσύνης. Πρόσωπον συνετὸν ἀνδρὸς σοφοῦ, οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος ἐπ' ἄκρα γῆς. Ὀργὴ πατρὶ υἱὸς ἄφρων, καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν. Ζημιοῦν ἄνδρα δίκαιον οὐ καλόν, οὐδὲ ὅσιον ἐπιβουλεύειν δυνάσταις δικαίοις. Ὃς φείδεται ῥῆμα προέσθαι σκληρὸν ἐπιγνώμων, μακρόθυμος δὲ ἀνὴρ φρόνιμος. Ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν σοφία λογισθήσεται, ἐνεὸν δέ τις ἑαυτὸν ποιήσας δόξει φρόνιμος εἶναι.

Προφάσεις ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων, ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται. Οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν, μᾶλλον γὰρ ἄγεται ἀφροσύνῃ. Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ, ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος. Ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρός, ποταμὸς δὲ ἀναπηδῶν καὶ πηγὴ ζωῆς. Θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλόν, οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει.

Τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ ΕΣΠΕΡΑΣ

Τελεῖται τὸ Μικρὸν Ἀπόδειπνον (σ. 274-284). Μετὰ δὲ τὸ Ἄξιόν ἐστιν ψάλλεται ὁ κανὼν τοῦ Ἀκαθίστου Ἀνοίξω τὸ στόμα μου καὶ ἀναγινώσκονται αἱ δ΄ στάσεις τῶν οἴκων τῆς Θεοτόκου (Ζήτει τὴν ἀκολουθίαν τοῦ Ἀκαθίστου Ὕμνου εἰς τὸ Παράρτημα τοῦ παρόντος τόμου, σ. 1313 κ.ἑ.).

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Ε΄ ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΤ΄

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν ἑορτῶν, σ. 83-137).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικά, εἰς τὸ Θεὸς Κύριος ψάλλομεν τὸ παρὸν τροπάριον.

Αὐτόμελον. Ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς* λαβὼν ἐν γνώσει,* ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ* σπουδῇ ἐπέστη* ὁ ἀσώματος, λέγων* τῇ ἀπειρογάμῳ·* Ὁ κλίνας τῇ καταβάσει* τοὺς οὐρανοὺς* χωρεῖται ἀναλλοιώτως* ὅλος ἐν σοί* ὃν καὶ βλέπων ἐν μήτρᾳ σου· λαβόντα δούλου μορφήν,* ἐξίσταμαι κραυγάζων σοι·* Χαῖρε, Νύμφη ἀνύμφευτε. (Δὶς)

Εἶτα [ἡ στιχολογία τοῦ Ψαλτηρίου], συναπτὴ μικρὰ καὶ τὸ παρὸν κάθισμα.

Ἦχος α΄. (Τὸν τάφον σου, Σωτήρ).

Ὁ μέγας στρατηγὸς* τῶν ἀΰλων ἀγγέλων* εἰς πόλιν Ναζαρὲτ* ἐπιστάς, βασιλέα* μηνύει σοι, ἄχραντε,* τῶν αἰώνων καὶ Κύριον·* Χαῖρε, λέγων σοι,* εὐλογημένη Μαρία,* ἀκατάληπτον* καὶ ἀνερμήνευτον βάθος,* βροτῶν ἡ ἀνάκλησις. (Δὶς)

Ὁ Ν΄ Ψαλμὸς χῦμα καὶ ὁ κανὼν Ἀνοίξω τὸ στόμα μου (ὡς ἔχει ἐν τῷ τέλει τοῦ παρόντος τόμου, σ. 1313).

Ἀπὸ γ΄ ᾠδῆς αὖθις τὸ κάθισμα Ὁ μέγας στρατηγός (βλ. ἀνωτέρω), ἅπαξ.

Ἀφ᾽ ς΄ ᾠδῆς, τὸ κοντάκιον. Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,* ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια* ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε·* ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,* ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,* ἵνα κράζω σοι·* Χαῖρε, νύμφη ἀνύμφευτε.

Ὁ οἶκος.

Ἄγγελος πρωτοστάτης* οὐρανόθεν ἐπέμφθη* εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε·* καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ* σωματούμενόν σε θεωρῶν,* Κύριε,* ἐξίστατο καὶ ἵστατο,* κραυγάζων πρὸς αὐτὴν τοιαῦτα·

Χαῖρε, δι᾽ ἧς* ἡ χαρὰ ἐκλάμψει·* χαῖρε, δι᾽ ἧς* ἡ ἀρὰ ἐκλείψει.

Χαῖρε, τοῦ πεσόντος* Ἀδὰμ ἡ ἀνάκλησις·* χαῖρε, τῶν δακρύων* τῆς Εὔας ἡ λύτρωσις.

Χαῖρε, ὕψος δυσανάβατον* ἀνθρωπίνοις λογισμοῖς·* χαῖρε, βάθος δυσθεώρητον* καὶ ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις* βασιλέως καθέδρα·* χαῖρε, ὅτι βαστάζεις* τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστὴρ* ἐμφαίνων τὸν ἥλιον·* χαῖρε, γαστὴρ* ἐνθέου σαρκώσεως.

Χαῖρε, δι᾽ ἧς* νεουργεῖται ἡ κτίσις·* χαῖρε, δι᾽ ἧς* βρεφουργεῖται ὁ κτίστης.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Συναξάριον, ἡμάτιον τοῦ Μηναίου, εἶτα τὸ παρόν

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ τῆς πέμπτης ἑβδομάδος τῶν νηστειῶν, ἑορτάζομεν τὸν Ἀκάθιστον Ὕμνον τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Στίχοι.

Ὕμνοις ἀΰπνοις εὐχαρίστως ἡ Πόλις
τὴν ἐν μάχαις ἄγρυπνον ὑμνεῖ προστάτιν.

Ταῖς τῆς σῆς ὑπερμάχου τε καὶ ἀπροσμάχου Μητρὸς πρεσβείαις, Χριστὲ ὁ Θεός, τῶν περικειμένων καὶ ἡμᾶς ἀπάλλαξον συμφορῶν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος φιλάνθρωπος. Ἀμήν.

Καταβασίαι Ἀνοίξω τὸ στόμα μου. (Ζήτει τοὺς εἱρμοὺς τοῦ κανόνος εἰς τὸ Παράρτημα, σ. 1313).

Ἐξαποστειλάριον. (Γυναῖκες, ἀκουτίσθητε).

Τὸ ἀπ' αἰῶνος σήμερον* γνωρίζεται μυστήριον* ὁ τοῦ Θεοῦ Θεὸς Λόγος* υἱὸς Παρθένου Μαρίας* δι' εὐσπλαγχνίαν γίνεται,* καὶ χαρᾶς εὐαγγέλια* ὁ Γαβριὴλ προσφθέγγεται* μεθ' οὗ βοήσωμεν πάντες* Χαῖρε, ἡ Μήτηρ Κυρίου. (Δις)

Εἰς τοὺς αἴνους ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια.

Ἦχος δ'. (Ὡς γενναῖον ἐν μάρτυσιν).

Κεκρυμμένον μυστήριον* καὶ ἀγγέλοις ἀγνώριστον* Γαβριὴλ πιστεύεται* ὁ ἀρχάγγελος* καὶ ἐπὶ σὲ νῦν ἐλεύσεται,* τὴν μόνην ἀκήρατον* καὶ καλὴν περιστερὰν* καὶ τοῦ γένους ἀνάπλασιν,* καὶ βοήσει σοι,* Παναγία, τὸ Χαῖρε* ἑτοιμάζου* διὰ λόγου Θεὸν Λόγον* σοῦ ταῖς λαγόσιν εἰσδέξασθαι. (Δις)

Φωτοφόρον παλάτιον* ἡτοιμάσθη σοι, Δέσποτα,* ἡ νηδὺς ἡ ἄχραντος* τῆς Θεοπαιδος* δεῦρο, πρὸς τοῦτο κατάβηθι,* οἰκτείρας τὸ πλάσμα σου* φθονερῶς πολεμηθὲν* καὶ δουλείᾳ κρατούμενον* τοῦ ἀλάστορος* καὶ τὸ κάλλος τὸ πρῴην* ἀπολέσαν* καὶ τὴν σὴν σωτηριώδη* προσαναμένον κατάβασιν.

Γαβριὴλ ὁ ἀρχάγγελος* ἐπὶ σέ, παναμώμητε,* ἐμφανῶς ἐλεύσεται,* καὶ βοήσει σοι* Χαῖρε, κατάρας λυτήριον,* πεσόντων ἀνόρθωσις* χαῖρε, μόνη ἐκλεκτὴ* τῷ Θεῷ

χρηματίσασα·* χαῖρε, ὄχημα* τοῦ ἡλίου τῆς δόξης·* ὑποδέχου* τὸν ἀχώρητον ἐν μήτρᾳ* τῇ σῇ οἰκῆσαι θελήσαντα.

Δόξα, καὶ νῦν. Ἦχος δ΄.

Γλῶσσαν, ἣν οὐκ ἔγνω,* ἤκουσεν ἡ Θεοτόκος·* ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ ἀρχάγγελος* τοῦ εὐαγγελισμοῦ τὰ ῥήματα·* ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμόν,* συνέλαβέ σε, τὸν προαιώνιον Θεόν·* διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι·* Ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεός,* εἰρήνην τῷ κόσμῳ δώρησαι* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δοξολογία μεγάλη (σ. 133). Τὸ προσταχθέν... (σ. 1027).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα τῶν ἑορτῶν (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον τὸ τροπάριον Τὸ προσταχθέν καὶ τὸ κοντάκιον Τῇ ὑπερμάχῳ.

Προκείμενον. Ἦχος γ΄. Ὠδὴ τῆς Θεοτόκου (Λουκ. α΄).

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ο ΑΠΟΣΤΟΛΟΣ(*)

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (θ΄ 24-28).

Ἀδελφοί, οὐκ εἰς χειροποίητα Ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ Ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ· ἐπεὶ ἔδει

(*) Κατὰ τὸ τυπικὸν ἀναγινώσκεται Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Θεοτόκου.

αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις, οὕτω καὶ ὁ Χριστός, ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

Ἕτερος τῆς Θεοτόκου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (θ' 1-7).

Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας τό τε Ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθήκης, ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (η' 27-31).

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων αὐτοῖς· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; Οἱ δὲ ἀπεκρίθησαν· Ἰωάννην τὸν Βαπτιστήν, καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ἕνα τῶν προφητῶν. Καὶ αὐτὸς λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκρι-

θεὶς δὲ ὁ Πέτρος λέγει αὐτῷ· Σὺ εἶ ὁ Χριστός. Καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι.

Ἕτερον τῆς Θεοτόκου.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ... (Ζήτει εἰς τὸν Ὄρθρον τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, σ. 779).

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

Κοινωνικόν.

Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

ΚΥΡΙΑΚΗ Ε' ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν Κυριακῶν, σ. 210-239).

Εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ τυχόντος ἤχου ς' καὶ τῆς ὁσίας προσόμοια δ'.

Ἦχος πλ. β'. (Ὅλην ἀποθέμενοι).

Σὲ μὲν διεκώλυε* τῆς τῶν σεπτῶν ἐποπτείας* μολυσμῶν τῶν πρότερον* τὸ ἐπισυρόμενον* μιαντήριον* ἡ δὲ σὴ αἴσθησις,* καὶ τῶν σοί, θεόφρον,* πεπραγμένων ἡ συνείδησις* τὴν πρὸς τὰ κρείττονα* σοὶ ἐπιστροφὴν ἐνειργάσατο.* Εἰκόνι γὰρ προσβλέψασα* τῆς εὐλογημένης Θεοπαίδος,* πάντων καταγνοῦσα* πταισμάτων σου, πανεύφημε, τῶν πρίν,* ἐν παῤῥησίᾳ τὸ τίμιον* ξύλον προσεκύνησας. (Δὶς)

Τόπους προσκυνήσασα* περιχαρῶς τοὺς ἁγίους,* ἀρετῆς ἐφόδιον* σωτηριωδέστατον* ἔνθεν εἴληφας* καὶ φαιδρῶς ἔδραμες* τὴν καλὴν πορείαν,* καὶ τὸ ῥεῖθρον ἐκπεράσασα* τὸ Ἰορδάνειον,* τὸ τοῦ Βαπτιστοῦ ἐνδιαίτημα* προθύμως κατεσκήνωσας,* καὶ τὴν τῶν παθῶν ἀγριότητα* διὰ πολιτείας* ἡμέρωσας, λεπτύνασα σαρκὸς* ἐν παῤῥησίᾳ, ἀείμνηστε* μῆτερ, τὰ οἰδήματα.

Ἔρημον οἰκήσασα,* τῶν σῶν παθῶν τὰς εἰκόνας* ἐκ ψυχῆς ἀπήλειψας,* τὸ θεοειδέστατον* ἐξεικόνισμα* ἐν

ψυχῇ γράψασα* ἀρετῶν ἰδέαις* καὶ τοσοῦτον ὑπερέλαμψας,* ὡς καὶ τοῖς ὕδασι* κούφως ἐπιβαίνειν, μακάριε,* καὶ γῆθεν ὑπεραίρεσθαι* ἐν ταῖς πρὸς Θεόν σου ἐντεύξεσιν·* καὶ νῦν ἐν παῤῥησίᾳ,* πανένδοξε Μαρία, τῷ Χριστῷ* παριστα-μένη, δυσώπησον* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος δ΄.

Ἐθαυματούργησε, Χριστέ,* τοῦ Σταυροῦ σου ἡ δύναμις,* ὅτι καὶ ἡ πρώην πόρνη* ἀσκητικὸν ἀγῶνα ἠγωνίσατο·* ὅθεν καὶ τὸ ἀσθενὲς ἀπορῥιψαμένη,* γενναίως ἀντέστη κα-τὰ τοῦ διαβόλου·* διὸ καὶ τὸ βραβεῖον τῆς νίκης κομισαμέ-νη,* πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὸ α΄ θεοτοκίον τοῦ ἤχου.

Ἀπόστιχα τὰ ἀναστάσιμα.

Δόξα. Τῆς ὁσίας. Ἦχος β΄.

Τὰ τῆς ψυχῆς θηρεύματα* καὶ τὰ πάθη τῆς σαρκὸς* τῷ ξίφει τῆς ἐγκρατείας ἔτεμες·* τὰ τῆς ἐννοίας ἐγκλή-ματα* τῇ σιγῇ τῆς ἀσκήσεως ἀπέπνιξας,* καὶ ῥείθροις τῶν δακρύων σου* τὴν ἔρημον ἅπασαν κατήρδευσας,* καὶ ἐ-βλάστησας ἡμῖν τῆς μετανοίας καρποὺς·* διό σου τὴν μνή-μην,* ὁσία, ἑορτάζομεν.

Καὶ νῦν. Ὦ θαύματος καινοῦ... (σ. 399).

Ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Δόξα. Τῆς ὁσίας. Ἦχος πλ. δ΄.

Ἐν σοί, μῆτερ, ἀκριβῶς* διεσώθη τὸ κατ' εἰκόνα·* λα-βοῦσα γὰρ τὸν Σταυρόν,* ἠκολούθησας τῷ Χριστῷ,* καὶ πράττουσα ἐδίδασκες* ὑπερορᾶν μὲν σαρκός·* παρέρ-χεται γάρ·* ἐπιμελεῖσθαι δὲ ψυχῆς,* πράγματος ἀθανάτου·* διὸ καὶ μετὰ ἀγγέλων συναγάλλεται,* ὁσία Μαρία, τὸ πνεῦ-μά σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου (σελ. 485).

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν Κυριακῶν, σ. 83-137).

Ὁ κανὼν τοῦ Τριῳδίου. Ἦχος πλ. δ΄.

Ὠδὴ α΄. (Ὑγρὰν διοδεύσας).

Παρείκασμαι πλούτῳ τῶν ἡδονῶν* τῷ εὐφραινομένῳ* καθ' ἡμέραν ἐν τῇ τρυφῇ* πλουσίῳ· διό σε ἱκετεύω·* Σῶτερ, πυρός με ὡς Λάζαρον λύτρωσαι.

Ἡμφίεσμαι, Σῶτερ, ταῖς ἡδοναῖς,* ὥσπερ ὁ τὴν βύσσον* περιθέμενος καὶ χρυσόν,* χρυσῆν τε ἐσθῆτα· ἀλλὰ μή με* ἐν τῷ πυρὶ ὡς ἐκεῖνον ἐκπέμψειας.

Εὐφραίνετο πλούτῳ καὶ τῇ τρυφῇ* ὁ πλούσιος πάλαι* ἐν τῷ βίῳ τῷ φθαρτικῷ·* διό περ βασάνοις κατεκρίθη·* ὁ δὲ πτωχὸς ἐδροσίζετο Λάζαρος.

Θεοτοκίον.

Τάξεις σε ἀγγέλων καὶ τῶν βροτῶν,* ἀνύμφευτε Μῆτερ,* εὐφημοῦσιν ἀνελλιπῶς·* τὸν κτίστην γὰρ τούτων ὥσπερ βρέφος* ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ἕτερος κανὼν τῆς ὁσίας Μαρίας.

Ἦχος πλ. β΄. (Κύματι θαλάσσης).

Πόθῳ τὴν φωσφόρον* καὶ θείαν σου μνήμην* πανηγυρίζοντι,* φῶς μοι κατάπεμψον,* παρισταμένη, ὁσία,* τῷ φωτὶ τῷ ἀπροσίτῳ Χριστῷ,* πειρασμῶν παντοίων με* τοῦ βίου διασῴζουσα.

Οτοῖς Αἰγυπτίοις* σαρκὶ ἐνδημήσας,* ὁ ἀπερίγραπτος* καὶ προαιώνιος,* ὁλοφαῆ σε ἀστέρα* ἐξ Αἰγύπτου ἀναδείκνυσιν,* ὁ γινώσκων Κύριος* τὰ πάντα πρὶν γενέσεως.

Θείων ἐνταλμάτων,* σεμνή, ἀγνοοῦσα,* θεῖον εἰκόνισμα* Θεοῦ ἐρρύπωσας·* θεία προνοία δὲ πάλιν* ἀπεκάθηρας, πανεύφημε,* θεωθεῖσα πράξεσιν,* ὁσία, ταῖς ἐνθέοις σου.

Θεοτοκίον.

Ὡ τῆς σῆς Θεέ μου,* πολλῆς εὐσπλαγχνίας* καὶ τῆς ἀφάτου σου* συγκαταβάσεως!* ὅπως τὴν πρότερον πόρνην* ταῖς Μητρός σου παρακλήσεσιν* ὡς ἀγνὴν καὶ ἄμωμον,* ἀγγέλοις καθωμοίωσας.

Ὠδὴ γ'. Τοῦ Τριῳδίου. (Σὺ εἶ τὸ στερέωμα).

Λάζαρον ὡς ἔσωσας* ἐκ τῆς φλογός, Χριστέ, οὕτω με* ἐκ τοῦ πυρός* ῥῦσαι τῆς γεέννης,* τὸν ἀνάξιον δοῦλόν σου.

Πλούσιος τοῖς πάθεσι* καὶ ἡδοναῖς εἰμι, Κύριε·* Λάζαρος δὲ* πένης τῇ στερήσει* ἀρετῶν· ἀλλὰ σῶσόν με.

Κόκκινον καὶ βύσσινον* ἐνεδιδύσκετο πλούσιος* ταῖς ἡδοναῖς* καὶ ταῖς ἁμαρτίαις·* διὰ τοῦτο φλογίζεται.

Θεοτοκίον.

Δὸς ἡμῖν βοήθειαν* ταῖς ἱκεσίαις σου, πάναγνε,* τὰς προσβολὰς* ἀποκρουομένη* τῶν δεινῶν περιστάσεων.

Τῆς ὁσίας. (Σὲ τὸν ἐπὶ ὑδάτων).

Πύλαις τῆς ἀπωλείας* ἐγγισάσῃ πράξεσι ταῖς ἀτόποις,* πύλας ὁ πρὶν τοῦ ᾅδου* συντρίψας σθένει Θεότητος* πύλας τῆς μετανοίας σοι* ἀνοίγει, πάνσεμνε,* πύλη τῆς ζωῆς ὑπάρχων αὐτός.

Ὅπλον τῆς ἁμαρτίας,* μακρόθυμε, τὴν πρὶν γεγενημένην,* ὅπλῳ Σταυροῦ τοῦ θείου* τῇ προσκυνήσει ἀνέδειξας,* ὅπλα δαιμόνων ἅπαντα* καὶ πανουργεύματα* ὅλως τροπουμένην, εὔσπλαγχνε.

Λύτρον ὑπὲρ ἁπάντων* τὸ ἴδιον ὁ πρὶν ἐκχέας Αἷμα,* λουτρῷ τῷ τῶν δακρύων* σὲ καθαρὰν ἀπεργάζεται,* λέπραν δεινὴν νοσήσασαν* κακίστης πράξεως,* ὅλως ὁ τὸ εἶναι πᾶσι διδούς.

Θεοτοκίον.

Λόγου παντὸς ὑπάρχει* ἀνώτερον τὸ ἐπὶ σοί, Παρθένε·* Λόγος Πατρὸς ἐν σοὶ γὰρ* θεοπρεπῶς κατεσκήνω-

σε,* λύσιν πταισμάτων ἅπασι* τοῖς ἁμαρτάνουσι* λόγῳ μόνῳ παρεχόμενος.

Κάθισμα. Ἦχος πλ. δ΄. (Τὴν Σοφίαν καὶ Λόγον).

Τὰ σκιρτήματα πάντα τὰ τῆς σαρκὸς* χαλινώσασα πόνοις ἀσκητικοῖς,* ἀνδρεῖον ἀνέδειξας* τῆς ψυχῆς σου τὸ φρόνημα·* τὸν γὰρ Σταυρὸν ποθήσασα* Κυρίου θεάσασθαι* ἱερῶς, ἀοίδιμε,* τῷ κόσμῳ ἐσταύρωσαι·* ὅθεν καὶ πρὸς ζῆλον* ἀγγελικῆς πολιτείας* προθύμως διήγειρας* σεαυτήν, παμμακάριστε·* διὰ τοῦτο γεραίρομεν* τὴν μνήμην σου, Μαρία, πιστῶς,* τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι* τοῦ δωρηθῆναι πλουσίως* ἡμῖν ταῖς πρεσβείαις σου.

Θεοτοκίον. Ὅμοιον.

Εἰς ἰλὺν ἐνεπάγην ἁμαρτιῶν* καὶ οὐκ ἔστιν ὑπόστασις ἐν ἐμοί·* δεινῶς γὰρ κατεπόντισε* καταιγὶς τῶν πταισμάτων με·* ἀλλ᾽ ἡ τεκοῦσα Λόγον,* τὸν μόνον φιλάνθρωπον,* ἐπ᾽ ἐμὲ ἐπίβλεψον,* Παρθένε, καὶ ῥῦσαί με* πάσης ἁμαρτίας* καὶ παθῶν ψυχοφθόρων* καὶ πάσης κακώσεως* τοῦ δεινοῦ πολεμήτορος* ἵνα ψάλλω γηθόμενος·* Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,* τοῖς καταφεύγουσι πίστει* τῇ σκέπῃ σου, ἄχραντε.

Κοντάκιον. Ἦχος γ΄. (Ἡ Παρθένος σήμερον).

Ἡ πορνείαις πρότερον* μεμεστωμένη παντοίαις* Χριστοῦ νύμφη σήμερον* τῇ μετανοίᾳ ἐδείχθης,* ἀγγέλων τὴν πολιτείαν* ἐπιποθοῦσα,* δαίμονας Σταυροῦ τῷ ὅπλῳ* καταπατοῦσα·* διὰ τοῦτο βασιλείας* ἐφάνης νύμφη,* Μαρία πάνσεμνε.

Ὁ οἶκος. (Τὴν Ἐδὲμ Βηθλεέμ).

Τὴν ἀμνάδα Χριστοῦ* καὶ θυγατέρα ἁσμασιν* εὐφημοῦμέν σε νῦν,* Μαρία παναοίδιμε,* τὴν τῶν Αἰγυπτίων* ἀναφανεῖσαν θρέμμα,* τὴν πλάνην δὲ τούτων* πᾶσαν φυγοῦσαν* καὶ καλῶς προσενεχθεῖσαν* τῇ Ἐκκλησίᾳ* βλάστημα τίμιον,* δι᾽ ἐγκρατείας* καὶ δεήσεως* ἀσκήσασαν* ὑπὲρ μέτρον* τῆς ἀνθρωπίνης φύσεως·* διὸ καὶ ὑψώθης ἐν

Χριστῷ* διὰ βίου καὶ πράξεως,* βασιλείας οὐρανοῦ* φανεῖσα νύμφη,* Μαρία πάνσεμνε.

Συναξάριον τοῦ Μηναίου. Εἶτα τὸ παρόν·

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πέμπτῃ τῶν νηστειῶν, διετάχθημεν μνήμην ποιεῖσθαι τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

Στίχοι.

Ἀπῆρε πνεῦμα· σὰρξ ἀπερρύη πάλαι.
Τὸν ὄστινον, γῆ, κρύπτε νεκρὸν Μαρίας.

Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι Ἀνοίξω τὸ στόμα μου (σ. 106).

Ἡ τάξις τοῦ ἑωθινοῦ Εὐαγγελίου (σ. 108 κ.ἑ.), ἡ Τιμιωτέρα καὶ ἡ καταβασία Ἅπας γηγενής (σ. 119).

Τὸ ἀναστάσιμον ἐξαποστειλάριον (σ. 121-125) καὶ τῆς ὁσίας.

(Ὁ οὐρανὸν τοῖς ἄστροις).

Ὑπόδειγμα μετανοίας* σὲ ἔχοντες, πανοσία* Μαρία, Χριστὸν δυσώπει* τοῦτο ἡμῖν δωρηθῆναι,* ὅπως ἐν πίστει καὶ πόθῳ* σὲ ᾄσμασιν εὐφημῶμεν.

Θεοτοκίον. Ὅμοιον.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων,* τῶν θλιβομένων ἡ χαρά,* Χριστιανῶν ἡ προστάτις,* Παρθένε Μήτηρ Κυρίου,* ἀντιλαβοῦ μου καὶ ῥῦσαι* τῶν αἰωνίων βασάνων.

Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα δ' καὶ τῆς ὁσίας δ' τὰ τοῦ Ἑσπερινοῦ (σ. 1033).

Δόξα. Τὸ παρὸν ἰδιόμελον. Ἦχος α'.

Οὐκ ἔστιν ἡ βασιλεία τοῦ Θεοῦ* βρῶσις καὶ πόσις,* ἀλλὰ δικαιοσύνη καὶ ἄσκησις* σὺν ἁγιασμῷ·* ὅθεν οὐδὲ πλούσιοι* εἰσελεύσονται ἐν αὐτῇ,* ἀλλ' ὅσοι τοὺς θησαυροὺς αὐτῶν* ἐν χερσὶ πενήτων ἀποτίθενται.* Ταῦτα καὶ Δα-

βιδ ὁ προφήτης* διδάσκει λέγων·* Δίκαιος ἀνήρ,* ὁ ἐλεῶν ὅλην τὴν ἡμέραν,* ὁ κατατρυφῶν τοῦ Κυρίου* καὶ τῷ φωτὶ περιπατῶν,* ὃς οὐ μὴ προσκόψῃ·* ταῦτα δὲ πάντα* πρὸς νουθεσίαν ἡμῶν γέγραπται·* ὅπως νηστεύοντες* χρηστότητα ποιήσωμεν,* καὶ δῴη ἡμῖν Κύριος* ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη καὶ ἀναστάσιμον τροπάριον (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-299 καὶ 320-342).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον τὸ ἀναστάσιμον ἀπολυτίκιον, τὸ τῆς ὁσίας Ἐν σοί, μῆτερ, ἀκριβῶς (σ. 1034), τὸ τοῦ ναοῦ καὶ κοντάκιον Τῇ ὑπερμάχῳ (ἢ Προστασία τῶν Χριστιανῶν, ἐὰν παρῇλθεν ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ).

Προκείμενον τοῦ ἤχου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (θ΄ 11-14).

Ἀδελφοί, Χριστὸς παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τοῦτ' ἔστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ι' 32-45).

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ καὶ ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν, ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ τοῖς γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι, καὶ ἐμπαίξουσιν αὐτῷ καὶ μαστιγώσουσιν αὐτὸν καὶ ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ Ζεβεδαίου λέγοντες· Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ἡμῖν. Ὁ δὲ εἶπεν αὐτοῖς· Τί θέλετε ποιῆσαί με ὑμῖν; Οἱ δὲ εἶπον αὐτῷ· Δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ οἴδατε τί αἰτεῖσθε· δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; Οἱ δὲ εἶπον αὐτῷ· Δυνάμεθα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται.

Καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς λέγει αὐτοῖς. Οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος, καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος ἔσται πάντων δοῦλος. Καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

Καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μ. Βασιλείου (σ. 320-342).

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ Ε΄ ΕΒΔΟΜΑΔΟΣ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῆς Μ. Τεσσαρακοστῆς, σ. 241-244).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-216) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ τυχόντος ἤχου δ΄ (σ. 499 κ.έ.), εἶτα τὰ παρόντα γ΄ προσόμοια τοῦ Τριῳδίου.

Στιχηρὰ προσόμοια τοῦ Ἰωσήφ.

Ἦχος α΄. (Πανεύφημοι μάρτυρες).

Πτωχεύσας ὁ πλούσιος, Χριστέ,* τοὺς βροτοὺς ἐπλούτισας* ἀθανασίαν καὶ ἔλλαμψιν·* διὸ πτωχεύσαντα* ἡδοναῖς τοῦ βίου,* ἀρεταῖς με πλούτισον* καὶ πένητι Λαζάρῳ με σύνταξον,* τῆς τοῦ πλουσίου με* τιμωρίας ἐξαιρούμενος* καὶ γεέννης* τῆς ἀποκειμένης μοι.

Κακίαν ἐπλούτησα δεινῶς* καὶ τρυφὴν ἠγάπησα,* καὶ τῶν ἐν βίῳ ἀπῆλαυσα* ἡδέων, Κύριε,* καὶ πυρὸς γεέννης* ὑπόδικος γέγονα,* λιμώττοντα τὸν νοῦν μου, ὡς Λάζαρον,* παραβλεψάμενος,* πρὸ πυλῶν τῶν θείων πράξεων* ἐρριμμένον·* οἰκτειρόν με, Δέσποτα.

Ἕτερον στιχηρὸν προσόμοιον, ποίημα Θεοδώρου.
Ἦχος ὁ αὐτός. (Νεφέλην σε φωτός).

Τὴν ἕκτην τῶν σεπτῶν* νηστειῶν ἑβδομάδα* προθύμως ἀπαρχόμενοι,* Κυρίῳ προεόρτιον ὕμνον* τῶν Βαΐων ᾄσωμεν, πιστοί,* ἐρχομένῳ ἐν δόξῃ* δυνάμει Θεότητος* ἐπὶ τὴν Ἱερουσαλήμ,* νεκρῶσαι τὸν θάνατον·* διὸ ἑτοιμάσωμεν εὐσεβῶς* τὰ τῆς νίκης σύμβολα,* τοὺς κλάδους τῶν ἀρετῶν,* τὸ Ὡσαννὰ ἐκβοῆσαι* τῷ ποιητῇ τοῦ παντός.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ἦχος πλ. δ΄.

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις... (σ. 913).

Ἡ ἐκτενής, το Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὰ ἀπόστιχα, τὸ ἰδιόμελον τῆς ἡμέρας. Ἦχος α΄.

Θαυμαστὴ τοῦ Σωτῆρος* ἡ δι᾽ ἡμᾶς φιλάνθρωπος γνώμη˙* τῶν μελλόντων γὰρ τὴν γνῶσιν* ὡς παρόντων κεκτημένος* τοῦ Λαζάρου καὶ τοῦ πλουσίου* τὸν βίον ἐστηλίτευσε˙* τῶν ἑκατέρων οὖν τὸ τέλος ἐνοπτριζόμενοι,* τοῦ μὲν φύγωμεν* τὸ ἀπηνὲς καὶ μισάνθρωπον,* τοῦ δὲ ζηλώσωμεν* τὸ καρτερὲς καὶ μακρόθυμον,* πρὸς τὸ σὺν αὐτῷ τοῦ Ἀβραὰμ κόλποις* ἐνθαλπόμενοι βοᾶν˙* Δικαιοκρίτα Κύριε, δόξα σοι.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου... (σ. 239).

Καὶ πάλιν τὸ ἰδιόμελον.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε... (σ. 239).

Μαρτυρικὸν. Ἦχος ὁ αὐτός.

Τῇ πρεσβείᾳ, Κύριε,* πάντων τῶν ἁγίων* καὶ τῆς Θεοτόκου* τὴν σὴν εἰρήνην δὸς ἡμῖν,* καὶ ἐλέησον ἡμᾶς,* ὡς μόνος οἰκτίρμων.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Τῶν οὐρανίων ταγμάτων* τὸ ἀγαλλίαμα,* τῶν ἐπὶ γῆς ἀνθρώπων* κραταιὰ προστασία,* ἄχραντε Παρθένε,* σῶσον ἡμᾶς* τοὺς εἰς σε καταφεύγοντας,* ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεόν,* Θεοτόκε, ἀνεθέμεθα.

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ τροπάρια Θεοτόκε Παρθένε κ.τ.λ. (σ. 242-244. Βλ. καὶ Κυριακῇ τῆς Τυρινῆς ἑσπέρας, σ. 869).

ΤΗ ΤΕΤΑΡΤΗ ΠΡΟ ΤΩΝ ΒΑΪΩΝ ΠΡΩΪ

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν στιχηρὰ ι', ἤτοι· πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος πλ. α'.

Πλούσιος ἐν πάθεσιν ὑπάρχων,* τὴν ἀπατηλὴν τῆς ὑποκρίσεως* περίκειμαι στολήν,* εὐφραινόμενος ἐν τοῖς κακοῖς τῆς ἀκρασίας,* καὶ τῆν ἄμετρον ἀσπλαγχνίαν ἐπιδείκνυμαι,* παρορῶν μου τὸν νοῦν* πρὸ τοῦ πυλῶνος βεβλημένον τῆς μετανοίας,* λιμώττοντα παντὸς ἀγαθοῦ* καὶ νοσοῦντα τὴν ἀπροσεξίαν.* Ἀλλὰ σύ, Κύριε,* Λάζαρόν με ποίησον* πτωχὸν ἁμαρτημάτων,* μή ποτε δεηθεὶς* ἀποτύχω δακτύλου δροσίζοντος,* ὀδυνωμένης μου τῆς γλώττης* ἐν ἀσβέστῳ φλογί·* ἐν δὲ τοῖς τοῦ πατριάρχου με κόλποις Ἀβραὰμ* κατασκήνωσον, ὡς φιλάνθρωπος. (Δις)

Μαρτυρικόν.

Ἀκορέστῳ διαθέσει ψυχῆς* Χριστὸν οὐκ ἀρνησάμενοι,* ἅγιοι μάρτυρες,* οἴτινες διαφόρους αἰκισμοὺς* παθημάτων ὑπομείναντες,* τῶν τυράννων τὰ θράση κατηδαφίσατε,* ἀκλινῆ καὶ ἄτρωτον* τὴν πίστιν φυλάξαντες,* εἰς οὐρανοὺς μετέστητε·* ὅθεν καὶ παῤῥησίας* τυχόντες πρὸς αὐτόν,* αἰτήσασθε δωρηθῆναι* ἡμῖν τὸ μέγα ἔλεος.

Στιχηρὰ προσόμοια τοῦ κυρίου Ἰωσήφ.

Ἦχος πλ. α'. (Χαίροις, ἀσκητικῶν ἀληθῶς).

Πέραν τοῦ Ἰορδάνου σαρκὶ* περιπολεύων, Ἰησοῦ, τοῖς συνοῦσί σοι* ἐβόας· Ὁ φίλος ἤδη* Λάζαρος ἀποθανὼν* τῇ ταφῇ ἀρτίως παραδίδοται·* διὸ χαίρω, φίλοι μου,* δι' ὑμᾶς, ἵνα μάθητε* ὡς πάντα οἶδα,* Θεὸς ὢν ἀδιάστατος,* εἰ καὶ πέφυκα* τὸ ὁρώμενον ἄνθρωπος.* Ἄγωμεν οὖν ζωώσοντες* αὐτόν, ὅπως θάνατος* αἴσθηται τούτου τὸ νῖκος* καὶ τὴν τελείαν κατάλυσιν* σαφῶς, ἣν ποιήσω,* παρεχόμενος τῷ κόσμῳ* τὸ μέγα ἔλεος.

Μάρθαν καὶ τὴν Μαρίαν, πιστοί,* ἐκμιμησάμενοι, πρὸς Κύριον πέμψωμεν* ἐνθέους, ὡς πρέσβεις, πράξεις,* ὅπως ἐλθών, τὸν ἡμῶν* νοῦν ἐξαναστήσῃ νεκρὸν κείμενον,* δεινῶς ἐν τῷ μνήματι* ἀμελείας ἀναίσθητον,* φόβου τοῦ θείου* μηδαμῶς αἰσθανόμενον* καὶ ἐνέργειαν* ζωτικὴν νῦν μὴ ἔχοντα,* κράζοντες· Ἴδε, Κύριε,* καὶ ὥσπερ τὸν φίλον σου* Λάζαρον πάλαι, οἰκτίρμον,* ἐπιστασίᾳ ἐξήγειρας* φρικτῇ, οὕτω πάντας* ζωοποίησον, παρέχων* τὸ μέγα ἔλεος.

Ἕτερον, ποίημα Θεοδώρου. Ἦχος πλ. β΄. (Ἐπὶ τὸν τάφον).

Διαμερεύει Λάζαρος ἐν τῷ τάφῳ,* τοὺς ἀπ' αἰῶνος βλέπει θανόντας·* ἐκεῖ τεθέαται δείματα ξένα,* πληθὺν ἀναρίθμητον* ᾅδου κρατουμένην τοῖς δεσμοῖς·* διὸ αἱ σύγγονοι θρηνοῦσι πικρῶς,* προσβλέπουσαι τὸν τάφον αὐτοῦ.* Χριστὸς δὲ ἦκει ζωῶσαι* τὸν φίλον τὸν ἑαυτοῦ,* τοῦ μίαν παρὰ πάντων* ἐπιτελεῖσθαι συμφωνίαν·* Εὐλογημένος εἶ, Σωτήρ·* ἐλέησον ἡμᾶς.

Καὶ τοῦ Μηναίου δ΄. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ριδ΄.

Εὐαρεστήσω ἐνώπιον Κυρίου, ἐν χώρᾳ ζώντων.

Στίχ. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Γενέσεως τὸ ἀνάγνωσμα (μγ΄ 25-30. με΄ 1-16).

Προσήνεγκαν τῷ Ἰωσὴφ οἱ ἀδελφοὶ αὐτοῦ τὰ δῶρα, ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν, εἰς τὸν οἶκον, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. Ἠρώτησε δὲ αὐτούς· Πῶς ἔχετε; Καὶ εἶπεν αὐτοῖς· Εἰ ὑγιαίνει ὁ πατὴρ ἡμῶν ὁ πρεσβύτης, ὃν εἴπατε; ἔτι ζῇ; Οἱ δὲ εἶπαν· Ὑγιαίνει ὁ παῖς σου ὁ πατὴρ ἡμῶν, ἔτι ζῇ. Καὶ εἶπεν· Εὐλογημένος ὁ ἄνθρωπος ἐκεῖνος τῷ Θεῷ. Καὶ κύψαντες προσεκύνησαν αὐτῷ. Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ Ἰωσήφ, εἶδε Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον καὶ εἶπεν· Οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρός με ἀγαγεῖν; Καὶ εἶπεν·

Ὁ Θεὸς ἐλεήσαι σε, τέκνον. Ἐταράχθη δὲ Ἰωσὴφ· συνεστρέφετο γὰρ τὰ ἔγκατα αὐτοῦ ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ, καὶ ἐζήτει κλαῦσαι· εἰσελθὼν δὲ εἰς τὸ ταμεῖον ἔκλαυσεν ἐκεῖ. Καὶ νιψάμενος τὸ πρόσωπον ἐξελθὼν ἐνεκρατεύσατο.

Καὶ οὐκ ἠδύνατο Ἰωσὴφ ἀνέχεσθαι πάντων τῶν παρεστηκότων αὐτῷ, ἀλλ᾽ εἶπεν· Ἐξαποστείλατε πάντας ἀπ᾽ ἐμοῦ. Καὶ οὐ παρειστήκει οὐδεὶς τῷ Ἰωσήφ, ἡνίκα ἀνεγνωρίζετο τοῖς ἀδελφοῖς αὐτοῦ· καὶ ἀφῆκε φωνὴν μετὰ κλαυθμοῦ. Ἤκουσαν δὲ πάντες οἱ Αἰγύπτιοι, καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν οἶκον Φαραώ. Εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· Ἐγώ εἰμι Ἰωσήφ· ἔτι ὁ πατήρ μου ζῇ; Καὶ οὐκ ἠδύναντο οἱ ἀδελφοὶ ἀποκριθῆναι αὐτῷ· ἐταράχθησαν γάρ.

Εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· Ἐγγίσατε πρός με· καὶ ἤγγισαν. Καὶ εἶπεν· Ἐγώ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον. Νῦν οὖν μὴ λυπεῖσθε, μηδὲ σκληρὸν ὑμῖν φανήτω, ὅτι ἀπέδοσθέ με ὧδε· εἰς γὰρ ζωὴν ἀπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν. Τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὰ πέντε ἔτη, ἐν οἷς οὐκ ἔστιν ἀροτρίασις, οὐδὲ ἀμητός. Ἀπέστειλε γάρ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς καὶ ἐκθρέψαι ὑμῶν κατάλειψιν μεγάλην. Νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλὰ ὁ Θεός· καὶ ἐποίησέ με ὡς πατέρα Φαραὼ καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης γῆς Αἰγύπτου. Σπεύσαντες οὖν ἀνάβητε πρὸς τὸν πατέρα μου καὶ εἴπατε αὐτῷ· Τάδε λέγει ὁ υἱός σου Ἰωσήφ· Ἐποίησέ με ὁ Θεὸς κύριον πάσης γῆς Αἰγύπτου· κατάβηθι οὖν πρός με καὶ μὴ μείνῃς· καὶ κατοικήσεις ἐν γῇ Γεσὲμ Ἀραβίας καὶ ἔσῃ ἐγγύς μου σὺ καὶ οἱ υἱοί σου καὶ οἱ υἱοὶ τῶν υἱῶν σου, τὰ πρόβατά σου καὶ οἱ βόες σου καὶ ὅσα σοί ἐστι· καὶ ἐκθρέψω σε ἐκεῖ· ἔτι γὰρ πέντε ἔτη λιμὸς ἔσται ἐπὶ τῆς γῆς· ἵνα μὴ ἐκτριβῇς σὺ καὶ οἱ υἱοί σου καὶ πάντα τὰ ὑπάρχοντά σου. Ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι καὶ οἱ ὀφθαλμοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου, ὅτι τὸ στόμα μου τὸ λαλοῦν πρὸς ὑμᾶς. Ἀπαγγείλατε οὖν τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ καὶ ὅσα εἴδετε· καὶ ταχύναντες καταγάγετε τὸν πατέρα μου ὧδε.

Καὶ ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον Βενιαμὶν τοῦ ἀδελφοῦ αὐτοῦ ἔκλαυσεν ἐπ᾽ αὐτῷ, καὶ Βενιαμὶν ἔκλαυσεν ἐπὶ τῷ τραχήλῳ αὐτοῦ. Καὶ καταφιλήσας πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἔκλαυσεν ἐπ᾽ αὐτοῖς, καὶ μετὰ ταῦτα ἐλάλησαν οἱ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτόν. Καὶ διεβοήθη ἡ φωνὴ εἰς τὸν οἶκον Φαραώ, λέγοντες· Ἥκασιν οἱ ἀδελφοὶ Ἰωσήφ. Ἐχάρη δὲ Φαραὼ καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ριε΄.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ.

Στίχ. Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Παροιμιῶν τὸ ἀνάγνωσμα (κα΄ 23 - κβ΄ 4).

Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ. Θρασὺς καὶ αὐθάδης καὶ ἀλαζὼν λοιμὸς καλεῖται, ὃς δὲ μνησικακεῖ παράνομος. Ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν· οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι. Ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς, ὁ δὲ δίκαιος ἐλεεῖ καὶ οἰκτείρει ἀφειδῶς. Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ· καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς. Μάρτυς ψευδὴς ἀπολεῖται, ἀνὴρ δὲ ὑπήκοος φυλασσόμενος λαλήσει. Ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται προσώπῳ, ὁ δὲ εὐθὺς αὐτὸς συνιεῖ τὰς ὁδοὺς αὐτοῦ. Οὐκ ἔστι σοφία, οὐκ ἔστιν ἀνδρεία, οὐκ ἔστι βουλὴ κατέναντι Κυρίου πρὸς τὸν ἀσεβῆ. Ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου, παρὰ δὲ Κυρίου ἡ βοήθεια.

Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς, ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή. Πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ Κύριος ἐποίησε. Πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον κραταιῶς, αὐτὸς παιδεύεται, οἱ δὲ ἄφρονες παρελθόντες ἐζημιώθησαν. Γενεὰ σοφίας φόβος Κυρίου καὶ πλοῦτος καὶ δόξα καὶ ζωή.

Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΠΡΟ ΤΩΝ ΒΑΪΩΝ ΠΡΩΪ

Τελεῖται ἡ ἀκολουθία τοῦ Ὄρθρου (σ. 151-177) καὶ τῶν Ὡρῶν (σ. 178-209) καὶ ἀκολούθως ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὸ Πρὸς Κύριον (σ. 343-355) εἰς τὸ **Κύριε, ἐκέκραξα** ψάλλομεν στιχηρὰ ἡ', ἤτοι πρῶτον τὸ ἰδιόμελον τῆς ἡμέρας.

Ἦχος πλ. δ'.

Τὴν ψυχωφελῆ* πληρώσαντες Τεσσαρακοστήν,* καὶ τὴν ἁγίαν ἑβδομάδα τοῦ πάθους σου* αἰτοῦμεν κατιδεῖν, φιλάνθρωπε,* τοῦ δοξάσαι ἐν αὐτῇ τὰ μεγαλεῖά σου* καὶ τὴν ἄφατον* δι' ἡμᾶς οἰκονομίαν σου,* ὁμοφρόνως μελῳδοῦντες·* Κύριε, δόξα σοι. (Δις)

Μαρτυρικόν. Ἦχος ὁ αὐτός.

Μάρτυρες Κυρίου,* ἱκετεύσατε τὸν Θεὸν ἡμῶν* καὶ αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν* πλῆθος οἰκτιρμῶν* καὶ τὸν ἱλασμὸν* τῶν πολλῶν παραπτωμάτων, δεόμεθα.

Εἶτα ψάλλομεν τοῦ ἁγίου Λαζάρου ἰδιόμελα ε'.

Ποίημα τοῦ βασιλέως Λέοντος τοῦ σοφοῦ.

Ἦχος πλ. β'.

Κύριε,* Λαζάρου θέλων τάφον ἰδεῖν,* ὁ μέλλων γνώμῃ τάφον οἰκεῖν,* ἐπηρώτας·* Ποῦ τεθείκατε αὐτόν;* μαθὼν δὲ ὁ οὐκ ἠγνόεις,* ἐφώνεις ὃν ἐπόθεις* Λάζαρε, δεῦρο ἔξω·* καὶ ἐπήκουσεν ὁ ἄπνους* τῷ πνοὴν αὐτῷ διδόντι,* σοὶ τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Κύριε,* ἐπὶ τὸν τάφον τοῦ τετραημέρου,* ἐπὶ τὸ μνῆμα ἦλθες Λαζάρου,* καὶ ἐπὶ φίλῳ δάκρυα ῥάνας,* νεκρὸν τετραήμερον* ἤγειρας, ὁ στάχυς τῆς ζωῆς·* διὸ θάνατος ἐδέθη φωνῇ,* τὰ σπάργανα ἐλύθη χερσί* τότε χαρᾶς ἐπλη-

ροῦτο* τὸ στῖφος τῶν μαθητῶν,* καὶ μία παρὰ πάντων* ἐλειτουργεῖτο συμφωνία·* Εὐλογημένος εἶ, Σωτήρ·* ἐλέησον ἡμᾶς.

Κύριε,* ἡ φωνή σου κατέλυσε* τοῦ ᾅδου τὰ βασίλεια,* καὶ ὁ λόγος τῆς ἐξουσίας σου* ἤγειρεν ἐκ τάφου τετραήμερον,* καὶ γέγονεν ὁ Λάζαρος* τῆς παλιγγενεσίας* προοίμιον σωτήριον.* Πάντα δυνατά σοι, Δέσποτα,* τῷ πάντων βασιλεῖ* δώρησαι τοῖς δούλοις σου* ἱλασμόν* καὶ τὸ μέγα ἔλεος.

Κύριε,* πιστῶσαι θέλων τοὺς μαθητάς σου* τὴν ἐκ νεκρῶν σου ἔγερσιν,* ἐν τῷ μνήματι Λαζάρου παραγέγονας·* καὶ φωνήσαντός σου τοῦτον,* ὁ ᾅδης ἐσκυλεύθη,* καὶ ἀπέλυσε τὸν τετραήμερον* βοῶντά σοι·* Εὐλογημένε Κύριε, δόξα σοι.

Κύριε,* παραλαμβάνων τοὺς μαθητάς σου,* ἐν Βηθανίᾳ παρεγένου,* ἵνα ἐγείρῃς τὸν φίλον σου·* καὶ δακρύσας ἐπ' αὐτῷ* νόμῳ φύσεως ἀνθρωπίνης,* ὡς Θεὸς* τοῦτον τετραήμερον ἤγειρας,* καὶ ἐβόα σοι, Σωτήρ·* Εὐλογημένε Κύριε, δόξα σοι.

Δόξα. Ἦχος πλ. δ'.

Ἐπιστὰς* τῷ μνήματι Λαζάρου, ὁ Σωτὴρ ἡμῶν,* καὶ φωνήσας τὸν νεκρόν,* ὡς ἐξ ὕπνου ἐξανέστησας·* ἀπεσείσατο τὴν φθορὰν* τῆς ἀφθαρσίας τῷ πνεύματι,* καὶ συνεξῆλθε τῷ λόγῳ* δεδεμένος κειρίαις.* Πάντα δύνασαι,* πάντα σοι δουλεύει, φιλάνθρωπε,* πάντα σοι ὑποτέτακται.* Σωτὴρ ἡμῶν, δόξα σοι.

Καὶ νῦν. Ἀνδρέου Τυφλοῦ.

Τὴν ψυχωφελῆ* πληρώσαντες Τεσσαρακοστήν,* βοήσωμεν·* Χαίροις, πόλις Βηθανία,* πατρὶς ἡ τοῦ Λαζάρου·* χαίρετε, Μάρθα καὶ Μαρία,* αἱ τούτου ἀδελφαί·* αὔριον Χριστὸς παραγίνεται* ζωῶσαι ῥήματι* τὸν τεθνεῶτα ἀδελφόν·* οὐ φωνῆς ἀκούσας* ὁ πικρὸς καὶ ἀκόρεστος ᾅδης,* φόβῳ τρομάξας* καὶ μέγα στενάξας,* ἀπολύσει Λάζαρον* κειρίαις ἐσφιγμένον·* οὐ τῷ θαύματι* δῆμος Ἑ-

βραίων ἐκπλαγείς,* μετὰ βαΐων καὶ κλάδων* αὐτῷ προσυπαντήσουσι,* καὶ ὀφθήσονται* εὐφημοῦντες παῖδες* ὃν φθονοῦσι πατέρες.* Εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου,* βασιλεὺς τοῦ Ἰσραήλ.

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς ρκγ΄.

Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου.

Στίχ. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ.

Γενέσεως τὸ ἀνάγνωσμα (μθ΄ 33 - ν΄ 26).

Κατέπαυσεν Ἰακὼβ ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην ἐξέλιπε καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. Καὶ ἐπιπεσὼν Ἰωσὴφ ἐπὶ πρόσωπον τοῦ πατρὸς αὐτοῦ, ἔκλαυσε πικρῶς ἐπ᾽ αὐτῷ καὶ ἐφίλησεν αὐτόν. Καὶ προσέταξεν Ἰωσὴφ τοῖς παισὶν αὐτοῦ τοῖς ἐνταφιασταῖς ἐνταφιάσαι τὸν πατέρα αὐτοῦ· καὶ ἐνεταφίασαν οἱ ἐνταφιασταὶ τὸν Ἰσραήλ. Καὶ ἐπλήρωσαν αὐτοῦ τεσσαράκοντα ἡμέρας· οὕτω γὰρ καταριθμοῦνται αἱ ἡμέραι τῆς ταφῆς. Καὶ ἐπένθησεν αὐτὸν Αἴγυπτος ἑβδομήκοντα ἡμέρας.

Ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι τοῦ πένθους, ἐλάλησεν Ἰωσὴφ πρὸς τοὺς δυνάστας Φαραὼ λέγων· Εἰ εὗρον χάριν ἐναντίον ὑμῶν, λαλήσατε περὶ ἐμοῦ εἰς τὰ ὦτα Φαραὼ λέγοντες· Ὁ πατήρ μου ὥρκισέ με λέγων· Ἐν τῷ μνημείῳ, ᾧ ὤρυξα ἐμαυτῷ ἐν γῇ Χαναάν, ἐκεῖ με θάψεις. Νῦν οὖν ἀναβὰς θάψω τὸν πατέρα μου καὶ ἐπανελεύσομαι. Καὶ εἶπε Φαραὼ τῷ Ἰωσήφ· Ἀνάβηθι, θάψον τὸν πατέρα σου, καθάπερ ὥρκισέ σε. Καὶ ἀνέβη Ἰωσὴφ θάψαι τὸν πατέρα αὐτοῦ· καὶ συνανέβησαν μετ᾽ αὐτοῦ πάντες οἱ παῖδες Φαραὼ καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ καὶ πάντες οἱ πρεσβύτεροι τῆς γῆς Αἰγύπτου καὶ πᾶσα ἡ πανοικία Ἰωσὴφ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ· καὶ τὴν συγγένειαν αὐτοῦ καὶ τὰ πρόβατα καὶ τοὺς βόας ὑπελίποντο ἐν γῇ Γεσέμ. Καὶ συνανέβησαν μετ᾽ αὐτοῦ καὶ ἅρματα καὶ ἱππεῖς καὶ ἐγένετο ἡ παρεμβολὴ μεγάλη σφόδρα.

Καὶ παρεγένοντο εἰς ἅλωνα Ἀτάδ, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου, καὶ ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν καὶ ἰσχυρὸν σφόδρα· καὶ ἐποίησε τὸ πένθος τῷ πατρὶ αὐτοῦ ἑπτὰ ἡμέρας. Καὶ εἶδον οἱ κάτοικοι τῆς γῆς Χαναὰν τὸ πένθος ἐπὶ ἅλωνι Ἀτὰδ καὶ εἶπαν· Πένθος μέγα τοῦτό ἐστι τοῖς Αἰγυπτίοις· διὰ τοῦτο ἐκάλεσαν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πένθος Αἰγύπτου, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου. Καὶ ἐποίησαν αὐτῷ οὕτως οἱ υἱοὶ αὐτοῦ καὶ ἀνέλαβον αὐτὸν οἱ υἱοὶ αὐτοῦ εἰς γῆν Χαναὰν καὶ ἔθαψαν αὐτὸν εἰς τὸ σπήλαιον τὸ διπλοῦν, ὃ ἐκτήσατο Ἀβραὰμ τὸ σπήλαιον ἐν κτήσει μνημείου παρὰ Ἐφρὼν τοῦ Χετταίου, κατέναντι Μαμβρῆ. Καὶ ὑπέστρεψεν Ἰωσὴφ εἰς Αἴγυπτον, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ συναναβάντες θάψαι τὸν πατέρα αὐτοῦ.

Ἰδόντες δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ ὅτι τέθνηκεν ὁ πατὴρ αὐτῶν, εἶπαν· Μήποτε μνησικακήσῃ ἡμῖν Ἰωσὴφ καὶ ἀνταπόδομα ἀνταποδῷ ἡμῖν πάντα τὰ κακά, ἃ ἐνεδειξάμεθα εἰς αὐτόν. Καὶ παραγενόμενοι πρὸς Ἰωσὴφ εἶπαν· Ὁ πατήρ σου ὥρκισε πρὸ τοῦ τελευτῆσαι αὐτὸν λέγων· Οὕτως εἴπατε Ἰωσήφ· Ἄφες αὐτοῖς τὴν ἀδικίαν καὶ τὴν ἁμαρτίαν αὐτῶν, ὅτι πονηρὰ σοι ἐνεδείξαντο· καὶ νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ Θεοῦ τοῦ πατρός σου. Καὶ ἔκλαυσεν Ἰωσὴφ λαλούντων αὐτῶν πρὸς αὐτόν. Καὶ ἐλθόντες πρὸς αὐτὸν εἶπαν· Ἴδε ἡμεῖς σοὶ οἰκέται. Καὶ εἶπεν αὐτοῖς Ἰωσήφ· Μὴ φοβεῖσθε· τοῦ γὰρ Θεοῦ εἰμι ἐγώ· ὑμεῖς ἐβουλεύσασθε κατ' ἐμοῦ εἰς πονηρά, ὁ δὲ Θεὸς ἐβουλεύσατο περὶ ἐμοῦ εἰς ἀγαθά, ὅπως ἂν γενηθῇ ὡς σήμερον καὶ τραφῇ λαὸς πολύς. Καὶ εἶπεν αὐτοῖς· Μὴ φοβεῖσθε· ἐγὼ διαθρέψω ὑμᾶς καὶ τὰς οἰκίας ὑμῶν. Καὶ παρεκάλεσεν αὐτοὺς καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν.

Καὶ κατῴκησεν Ἰωσὴφ ἐν Αἰγύπτῳ, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ πανοικία τοῦ πατρὸς αὐτοῦ. Καὶ ἔζησεν Ἰωσὴφ ἔτη ἑκατὸν δέκα. Καὶ εἶδεν Ἰωσὴφ Ἐφραὶμ παιδία ἕως τρίτης γενεᾶς· καὶ οἱ υἱοὶ Μαχὶρ τοῦ υἱοῦ Μανασσῆ ἐτέχθησαν ἐπὶ μηρῶν Ἰωσήφ. Καὶ εἶπεν Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ λέγων· Ἐγὼ ἀποθνήσκω· ἐπισκοπῇ δὲ ἐπισκέψεται ὁ Θεὸς ὑμᾶς καὶ ἀνάξει ὑμᾶς ἐκ τῆς γῆς ταύτης εἰς τὴν

γῆν, ἣν ὤμοσεν ὁ Θεὸς τοῖς πατράσιν ἡμῶν, Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ. Καὶ ὥρκισεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ λέγων· Ἐν τῇ ἐπισκοπῇ, ᾗ ἐπισκέψηται ὁ Θεὸς ὑμᾶς, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν. Καὶ ἐτελεύτησεν Ἰωσὴφ ἐτῶν ἑκατὸν δέκα· καὶ ἔθαψαν αὐτὸν καὶ ἔθηκαν ἐν τῇ σορῷ ἐν Αἰγύπτῳ.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς ρκδ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών.

Στίχ. Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ.

Παροιμιῶν τὸ ἀνάγνωσμα (λα' 8 - 31).

Υἱέ, ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ καὶ κρῖνε πάντα ὑγιῶς. Ἄνοιγε σὸν στόμα καὶ κρῖνε δικαίως· διάκρινε δὲ πένητα καὶ ἀσθενῆ.

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευμένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Καὶ ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα.

Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι εἰσί. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποιη-

σε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις.

Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ ἀνοίγει σοφῶς καὶ νομοθέσμως· ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν, καὶ ὁ ἀνὴρ αὐτῆς ἤνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι, ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 360-375).

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ ΕΣΠΕΡΑΣ

Τελεῖται τὸ Μικρὸν Ἀπόδειπνον (σ. 274-284). Μετὰ δὲ τὸ Ἄξιόν ἐστιν ψάλλομεν τὸν ἑπόμενον κανόνα.

Ποίημα Ἀνδρέου Κρήτης. Ἦχος α'.

Ὠδὴ α'. Ὁ εἱρμός.

Ὠδὴν ἐπινίκιον* ᾄσωμεν πάντες* Θεῷ τῷ ποιήσαντι* θαυμαστὰ τέρατα* βραχίονι ὑψηλῷ* καὶ σῶσαντι τὸν Ἰσραήλ* ὅτι δεδόξασται.

Τροπάρια.

Νεκρὸν τετραήμερον* ἐξαναστήσας,* Σωτήρ μου, τὸν Λάζαρον,* τῆς φθορᾶς ἀπήλλαξας* βραχίονι ὑψηλῷ* καὶ ἔδειξας ὡς δυνατὸς* τὴν ἐξουσίαν σου.

Φωνήσας τὸν Λάζαρον* ἐκ τοῦ μνημείου,* εὐθὺς ἐξανέστησας·* ἀλλ' ὁ ᾅδης κάτωθεν* πικρῶς ὠδύρετο* καὶ στένων ἔτρεμε, Σωτήρ,* τὴν ἐξουσίαν σου.

Ἐδάκρυσας, Κύριε,* ἐπὶ Λαζάρῳ,* δεικνύων τὴν σάρκωσιν* τῆς οἰκονομίας σου* καὶ ὅτι φύσει Θεὸς* ὑπάρχων, φύσει καθ' ἡμᾶς* γέγονας ἄνθρωπος.

Τῆς Μάρθας τὰ δάκρυα* καὶ τῆς Μαρίας* κατέπαυσας, Κύριε,* ἐκ νεκρῶν τὸν Λάζαρον* ἐξαναστήσας, Σωτήρ,* καὶ δείξας ἔμπνουν τὸν νεκρὸν* τῇ ἐξουσίᾳ σου.

Τῷ νόμῳ τῆς φύσεως* τῆς ἀνθρωπίνης* ἠρώτησας, Δέσποτα,* ποῦ τέθειται Λάζαρος;* δεικνύων πᾶσι, Σωτήρ,* ἀνόθευτον τὴν πρὸς ἡμᾶς* οἰκονομίαν σου.

Τὰ κλεῖθρα συνέτριψας* τότε τοῦ ᾅδου,* φωνήσας τὸν Λάζαρον,* καὶ τὸ κράτος ἔσεισας* τοῦ πολεμήτορος* καὶ ἔπεισας πρὸ τοῦ Σταυροῦ* τρέμειν σε, μόνε Σωτήρ.

Δεσμώτην τὸν Λάζαρον* ὑπὸ τοῦ ᾅδου,* κρατούμενον Δέσποτα,* ὡς Θεὸς προέφθασας* καὶ ἔλυσας τῶν δεσμῶν* τῷ σῷ γὰρ πάντα, δυνατέ,* ἥκει προστάγματι.

Δόξα. Τριαδικόν.

Πατέρα δοξάσωμεν,* Υἱὸν καὶ Πνεῦμα,* Τριάδα ἀχώριστον* ἐν Μονάδι φύσεως,* καὶ σὺν ἀγγέλοις αὐτὴν* ὡς ἕνα ἄκτιστον Θεὸν* δοξολογήσωμεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀτρέπτως ἐκύησας,* Παρθενομῆτορ,* τὸν κτίστην τῆς φύσεως* ἐξ ἁγίου Πνεύματος,* κατ' εὐδοκίαν Πατρὸς* γενόμενον ὅπερ ἐσμὲν* δίχα τροπῆς καὶ φυρμοῦ.

Ὠδὴ β'. Ὁ εἱρμός.

Πρόσεχε,* οὐρανέ, καὶ λαλήσω* καὶ ἀνυμνήσω Χριστόν,* τὸν Σωτῆρα τοῦ κόσμου,* τὸν μόνον φιλάνθρωπον.

Τροπάρια.

Δόξα σοι,* τῷ φωνήσαντι μόνον* καὶ ἐκ τοῦ τάφου νεκρὸν* τεταρταῖον τὸν φίλον* ἐγείραντι Λάζαρον.

Ἤκουσε,* τῆς φωνῆς σου ὁ ἄπνους,* καὶ ψυχωθεὶς ἐκ νεκρῶν,* ἐξανέστη εὐθέως* δοξάζων σε Κύριε.

Πρόσταγμα* ζωηφόρου φωνῆς σου* δεξάμενος ὁδωδώς,* ἐξηγέρθη τοῦ τάφου,* Σωτήρ μου, ὁ Λάζαρος.

Εδάκρυσας* ἐπὶ φίλῳ, Σωτήρ μου,* πιστούμενος τὴν ἡμῶν* ὡς ἐφόρεσας φύσιν,* καὶ τοῦτον ἀνέστησας.

Ετρόμαξεν,* ὡς κατεῖδεν ὁ ᾅδης,* παλινδρομοῦντα εὐθὺς* τὸν δεδεμένον κειρίαις* φωνῇ πρὸς τὴν ὧδε ζωήν.

Δόξα.

Εξέστησαν* τῶν Ἑβραίων οἱ δῆμοι,* ὅτε φωνήσας, Σωτήρ,* ἐξανέστησας λόγῳ* ὀδωδότα τὸν Λάζαρον.

Καὶ νῦν.

Εσείσθησαν* τὰ ταμεῖα τοῦ ᾅδου,* ὡς ἐψυχοῦτο εὐθὺς* κάτω Λάζαρος τότε* τῇ φωνῇ τοῦ ζωώσαντος.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Λίθον, ὃν ἀπεδοκίμασαν* οἱ οἰκοδομοῦντες,* οὗτος ἐγενήθη* εἰς κεφαλὴν γωνίας·* αὐτός ἐστιν ἡ πέτρα,* ἐν ᾗ ἐστερέωσε* τὴν Ἐκκλησίαν ὁ Χριστός,* ἣν ἐξ ἐθνῶν ἐξηγοράσατο. (Δις)

Τροπάρια.

Θαῦμα ξένον καὶ παράδοξον!* πῶς ὁ κτίστης πάντων,* ὅπερ οὐκ ἠγνόει,* ὡς ἀγνοῶν ἠρώτα·* Ποῦ κεῖται ὃν θρηνεῖτε;* ποῦ τέθαπται Λάζαρος,* ὃν μετ' ὀλίγον ἐκ νεκρῶν* ζῶντα ὑμῖν ἐξαναστήσω ἐγώ;

Λίθον, ὃν σοι προσεκύλισαν* οἱ κηδεύσαντές σε,* τοῦτον συγκινῆσαι* ὁ Ἰησοῦς προστάξας,* εὐθὺς ἀνέστησέ σε,* φωνήσας σοι, Λάζαρε·* Ἀνάστα δεῦρο πρός με,* ἵνα τὴν σὴν ὁ ᾅδης πτήξῃ φωνήν.

Μάρθα καὶ Μαρία, Κύριε,* ὀδυρμοῖς ἐβόων·* Ἴδε, ὃν ἐφίλεις,* τεταρταῖος ὄζει·* εἰ ἦς ὧδε τότε,* οὐκ ἔθνῃσκε Λάζαρος·* Ἀλλ' ὡς ἀχώριστος παντί* τοῦτον εὐθὺς φωνήσας ἤγειρας.

Ράνας ἐπὶ φίλῳ δάκρυα* δι' οἰκονομίαν,* ἔδειξας τὴν σάρκα* τὴν ἐξ ἡμῶν ληφθεῖσαν,* οὐσίᾳ, οὐ δοκήσει,*

Σωτήρ, ἑνωθεῖσάν σοι,* καὶ ὡς φιλάνθρωπος Θεὸς* τοῦτον εὐθὺς φωνήσας ἤγειρας.

Οἴμοι, ὄντως νῦν ἀπόλωλα!* ἐκβοᾶν ὁ ᾅδης,* οὕτω προσεφώνει* τῷ θανάτῳ λέγων·* Ἰδοὺ ὁ Ναζωραῖος* τὰ κάτω συνέσεισε* καὶ τὴν γαστέρα μου τεμὼν* ἄπνουν νεκρὸν φωνήσας ἤγειρε.

Ποῦ ἡ τῶν Ἑβραίων ἄνοια;* ποῦ ἡ ἀπιστία;* ἕως πότε πλάνοι;* ἕως πότε νόθοι;* ὁρᾶτε τὸν θανόντα* φωνῇ ἐξαλλόμενον* καὶ ἀπιστεῖτε τῷ Χριστῷ;* ὄντως υἱοὶ τοῦ σκότους πάντες ὑμεῖς!

Δόξα. Τριαδικόν.

Ενα τῆς Τριάδος οἰδά σε,* εἰ καὶ ἐσαρκώθης,* ἕνα καὶ δοξάζω* Υἱὸν σεσαρκωμένον,* τὸν ἐκ τῆς Θεοτόκου* ἀσπόρως βλαστῆσαντα,* καὶ σὺν Πατρὶ καὶ Πνεύματι* ἕνα Υἱὸν δοξολογούμενον.

Καὶ νῦν. Θεοτοκίον.

Ξένον καὶ φρικτὸν τὸ ὅραμα,* ἐξ οἰκονομίας* ὅπερ προεώρων,* οἱ ἀψευδεῖς προφῆται,* Παρθένον Θεοτόκον* ἀσπόρως μὲν κύουσαν,* ἀφθόρως τίκτουσαν Θεόν,* μένουσαν δὲ μετὰ τὸν τόκον ἀγνήν.

Ὠδὴ δ΄. Ὁ εἱρμός.

Επήρθη ὁ ἥλιος,* καὶ ἡ σελήνη* ἔστη ἐν τῇ τάξει αὐτῆς·* ὑψώθης, μακρόθυμε,* ἐπὶ τοῦ Ξύλου* καὶ ἔπηξας ἐν αὐτῷ* τὴν Ἐκκλησίαν σου.

Τροπάρια.

Εδάκρυσας, Κύριε,* ἐπὶ Λαζάρῳ,* δείξας ὅτι ἄνθρωπος εἶ,* καὶ ἤγειρας, Δέσποτα,* τὸν τεθνεῶτα* καὶ ἔδειξας τοῖς λαοῖς,* ὅτι Υἱὸς εἶ τοῦ Θεοῦ.

Οἄπνους ὡς ἤκουσε* τὸ πρόσταγμά σου,* Δεῦρο ἔξω Λάζαρε·* δρομαῖος ἀνίστατο* σὺν τοῖς σπαργάνοις* καὶ ἤλλατο, ἀγαθέ,* δεικνὺς τὸ κράτος σου.

Τῆς Μάρθας τὰ δάκρυα* καὶ τῆς Μαρίας* κατέπαυσας, Χριστὲ ὁ Θεός* φωνήσας τὸν Λάζαρον* αὐτεξουσίως,* συνήγειρας τῇ φωνῇ,* καὶ προσεκύνησέ σοι.

Δακρύσας ὡς ἄνθρωπος* ἐπὶ Λαζάρῳ,* ἐξήγειρας αὐτὸν ὡς Θεός* ἠρώτας, Ποῦ τέθαπται* ὁ τεταρταῖος;* πιστούμενος, ἀγαθέ,* τὴν ἐνανθρώπησίν σου.

Τοῦ πάθους τὰ σύμβολα* καὶ τοῦ Σταυροῦ σου* γνωρίσαι βουληθεὶς ἀγαθέ,* τοῦ ᾅδου τὴν ἄπληστον* γαστέρα ῥήξας,* ἀνέστησας ὡς Θεὸς* τὸν τετραήμερον.

Τίς οἶδε, τίς ἤκουσεν,* ὅτι ἀνέστη* ἄνθρωπος νεκρὸς ὀδωδώς;* Ἠλίας μὲν ἤγειρε* καὶ Ἐλισσαῖος,* ἀλλ' οὐκ ἐκ μνήματος,* ἀλλ' οὐδὲ τεταρταῖον.

Υμνοῦμέν σου, Κύριε,* τὴν δυναστείαν,* ὑμνοῦμεν καὶ τὰ πάθη Χριστέ* τῇ μὲν γὰρ ὡς εὔσπλαγχνος* ἐθαυματούργεις,* τὰ δὲ οἰκονομικῶς* εἵλου ὡς ἄνθρωπος.

Θεὸς εἶ καὶ ἄνθρωπος* ἐπαληθεύων* τοῖς πράγμασι τὰ ὀνόματα,* ἐπέστης τῷ μνήματι* σαρκὶ ὁ Λόγος* καὶ ἤγειρας ὡς Θεὸς* τὸν τετραήμερον.

Ἐξέστησαν, Δέσποτα,* Ἑβραίων δῆμοι,* ὡς εἶδον ἀναστάντα νεκρὸν* ἐκ τάφου τὸν Λάζαρον* σὺν τῇ φωνῇ σου,* καὶ ἔμειναν ἀπειθεῖς* τῶν θαυμασίων σου.

Δόξα. Τριαδικόν.

Ἀνάρχως ἐξέλαμψας* ἐκ τοῦ Πατρός σου* ὡς εἷς τῆς Τριάδος, Σωτὴρ* ἐν χρόνῳ ἐκ Πνεύματος* παρθενικῶν σὺ* προῆλθες αἱμάτων, σάρκα* λαβὼν ὁ ὑπερούσιος.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ σύλληψις ἄσπορος* τῆς Θεοτόκου,* ὁ τόκος ἄνευ πάθους φθορᾶς* Θεὸς γὰρ ἀμφότερα* θαυματουργήσας,* ἐκένωσεν ἑαυτόν,* ἵνα ἡμῖν ἑνωθῇ.

Ὠδὴ ε'. Ὁ εἱρμός.

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν,* Υἱὲ τοῦ Θεοῦ* ἄλλον γὰρ ἐκτός σου* Θεὸν οὐ γινώσκομεν* τὸ ὄνομά σου ὀνο-

μάζομεν,* ὅτι Θεὸς ζώντων* καὶ τῶν νεκρῶν ὑπάρχεις.

(Δὶς)

Τροπάρια.

Ζωὴ ὑπάρχων, Κύριε,* καὶ φῶς ἀληθινόν,* Λάζαρον νεκρὸν* φωνήσας ἀνέστησας* ὡς δυνατὸς γὰρ πᾶσιν ἔδειξας,* ὅτι Θεὸς ζώντων* καὶ τῶν νεκρῶν ὑπάρχεις.

Τὴν ἄστεκτόν σου πρόσταξιν* μὴ φέρων, Ἰησοῦ,* ᾅδης ὁ πολλοὺς* δεξάμενος ἔπτηξε* καὶ τεταρταῖον ὄντα Λάζαρον,* σὺν τῇ φωνῇ ζῶντα* καὶ οὐ νεκρὸν ἐδίδου.

Τὸν χοῦν συνάψας πνεύματι,* ὁ πάλαι τὸν πηλὸν* πνεύματι ζωῆς* ψυχώσας, τῷ λόγῳ σου* καὶ νῦν τὸν φίλον ἐξανέστησας,* ἐκ τῆς φθορᾶς λύσας* καὶ τῶν καταχθονίων.

Τῷ νεύματί σου, Κύριε,* ἀνθέστηκεν οὐδείς* ὅτε γὰρ νεκρὸν* ἐφώνεις τὸν Λάζαρον,* εὐθὺς ὁ ἄπνους ἐξανίστατο* καὶ τὰ δεσμὰ φέρων* ποσὶ περιεπάτει.

Ὦ Ἰουδαίων ἄνοια!* ὦ πῶρωσις ἐχθρῶν!* τίς οἶδε νεκρὸν* ἐκ τάφου ἐγείραντα;* Ἠλίας πάλαι ἐξανέστησεν,* ἀλλ' οὐκ ἐκ μνήματος,* ἀλλ' οὐδὲ τεταρταῖον.

Ἀνείκαστε, μακρόθυμε,* ὁ πάντα δι' ἡμᾶς* πράττων ὡς Θεὸς* καὶ πάσχων ὡς ἄνθρωπος* πάντας μετόχους ἡμᾶς ποίησον* τῆς σῆς βασιλείας* πρεσβείαις τοῦ Λαζάρου.

Δόξα. Τριαδικόν.

Προάναρχε, συνάναρχε,* ὁμότιμε Τριάς,* Πάτερ παντοκράτορ,* Υἱέ, Πνεῦμα ἅγιον,* Μονὰς ἁγία τρισυπόστατε,* τοὺς ἐξ Ἀδὰμ σῶζε,* πιστῶς σε ἀνυμνοῦντας.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ἄχραντον γαστέρα σου,* ἡγίασεν, ἁγνή,* σάρκα ἐξ αὐτῆς* λαβὼν ὁ ὑπέρθεος,* ὁ ἐν Τριάδι προσκυνούμενος,* ὁ ἐκ Πατρὸς Λόγος* καὶ σὺν τῷ Πνεύματι Θεός.

Ὠδὴ ς'. Ὁ εἱρμός.

Ἀπέρριψάς με εἰς βάθη* καρδίας θαλάσσης* καὶ ἔσωσάς με, Σωτῆρ,* δουλείας θανάτου* καὶ ἔλυσας τὸν δεσμὸν* τῶν ἀνομιῶν μου. (Δὶς)

Τροπάρια.

Ἠρώτησας, Ποῦ εἰμι,* ὁ πάντα γινώσκων·* ἐδάκρυσάς με, Σωτήρ,* ὡς ἄνθρωπος φύσει,* καὶ ἤγειράς με νεκρὸν* τῷ προστάγματί σου.

Ἐφώνησάς με ἐξ ᾅδου,* Σωτήρ, κατωτάτου,* βοᾷ Λάζαρος πρὸς σὲ* τὸν λύτην τοῦ ᾅδου,* καὶ ἤγειράς με νεκρὸν* τῷ προστάγματί σου.

Ἐνέδυσάς με, Σωτήρ,* τὸ πήλινον σῶμα* καὶ ἔπνευσάς μοι ζωήν,* καὶ εἶδον τὸ φῶς σου,* καὶ ἤγειράς με νεκρὸν* τῷ προστάγματί σου.

Ἐψύχωσας σὺ τὴν ἄπνουν* μορφὴν τῆς σαρκός μου,* συνέσφιγξάς με, Σωτήρ,* ὀστέοις καὶ νεύροις* καὶ ἤγειράς με νεκρὸν* τῷ προστάγματί σου.

Τὴν παμφάγον διαῤῥήξας* γαστέρα τοῦ ᾅδου,* ἐξήρπασάς με, Σωτήρ,* τῇ σῇ δυναστείᾳ* καὶ ἤγειράς με νεκρὸν* τῷ προστάγματί σου.

Ἐφόρεσάς μου, Σωτήρ,* τὸ φύραμα ὅλον,* ἐφύλαξας δὲ ἀγνὴν* τὴν ἄχραντον μήτραν,* ἐξ ἧς προῆλθες σαρκωθείς,* εἰς ὢν τῆς Τριάδος.

Δόξα. Τριαδικόν.

Τριὰς ἁγία, δοξάζω* τὴν σὴν εὐσπλαγχνίαν* καὶ σὺν ἀγγέλοις ὑμνῶ* τὸν τρισάγιον ὕμνον·* ἐλέησον τὰς ψυχὰς ἡμῶν* τῶν σὲ ἀνυμνούντων.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ἄχραντόν σου νηδὺν* ὑπέδυ ὁ Λόγος,* ἐτήρησε δὲ αὖθις* μετὰ γέννησιν ταύτην* ἁγνήν, Θεογεννῆτορ·* θαῦμα ὄντως παράδοξον!

Ὠδὴ ζ'. Ὁ εἱρμός.

Τοὺς ἐν καμίνῳ παῖδάς σου, Σωτῆρ,* οὐχ ἥψατο,* οὐδὲ παρηνώχλησε τὸ πῦρ·* τότε οἱ τρεῖς,* ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν* καὶ εὐλόγουν λέγοντες·* Εὐλογητὸς ὁ Θεὸς* ὁ τῶν πατέρων ἡμῶν.

Τροπάρια.

Ἐπὶ νεκρῷ ἐδάκρυσας, Σωτὴρ* φιλάνθρωπε,* ἵνα δείξῃς πᾶσι τοῖς λαοῖς,* ὅτι Θεὸς ὤν,* δι' ἡμᾶς ἄνθρωπος ὤφθης,* καὶ ἑκὼν ἐδάκρυσας,* τύπους ἡμῖν προτιθεὶς* ἐνδιαθέτου στοργῆς.

Ὀτεταρταῖος Λάζαρος, Σωτῆρ,* ὡς ἤκουσε* κάτω τῆς φωνῆς σου, ἀναστὰς* ἀνύμνησέ σε,* καὶ γεγηθὼς οὕτως ἐβόα·* Σὺ Θεὸς καὶ κτίστης μου·* σὲ προσκυνῶ καὶ ὑμνῶ,* τὸν ἀναστήσαντά με.

Εἰ καὶ δεσμὰ περίκειμαι, Σωτῆρ,* ὁ Λάζαρος* κάτωθεν ἐβόα, Λυτρωτά,* ἀλλ' οὐδαμῶς* ἐν τῇ γαστρὶ μενῶ τοῦ ᾅδου,* ἐὰν μόνον κράξῃς με,* Λάζαρε δεῦρο ἔξω·* σὺ γάρ μου φῶς καὶ ζωή.

Παρακαλῶ σε, Λάζαρε, φησίν,* ἀνάστηθι,* ἔξελθε τῶν κλείθρων μου ταχύ,* ἄπιθι οὖν·* καλόν μοι γὰρ ἕνα θρηνῆσαι,* πικρῶς ἀφαιρούμενον,* παρὰ πάντας, οὓς πρὶν* πεινῶν κατέπιον.

Καὶ τί βραδύνεις, Λάζαρε; φησίν·* ὁ φίλος σου* Δεῦρο ἔξω, κράζει ἑστηκώς·* ἔξελθε οὖν,* ἵνα κἀγὼ ἄνεσιν λάβω·* ἀφ' οὗ γάρ σε ἔφαγον,* εἰς ἐμετὸν ἡ τροφὴ* ἀντικατέστη μοι.

Τί οὐκ ἐγείρῃ, Λάζαρε, ταχύ;* ἀνέκραζε,* κάτωθεν ὁ ᾅδης θρηνῳδῶν·* τί οὐκ εὐθὺς* ἐξαναστὰς τρέχεις τῶν ὧδε;* ἵνα μὴ καὶ ἄλλους μοι* αἰχμαλωτίσῃ Χριστὸς* ἐξαναστῆσας σε.

Ἐθαυμαστώθης, Δέσποτα Χριστέ,* ἐξαίσια* τότε ἐργασάμενος πολλά·* φῶς γὰρ τυφλοῖς,* κωφοῖς δὲ οὖς ἠ-

νοιξας λόγῳ,* καὶ τὸν φίλον Λάζαρον* ἐκ τῶν νεκρῶν ὡς Θεὸς* φωνήσας ἤγειρας.

Δόξα. Τριαδικόν.

Τριαδικὴν ὑμνήσωμεν ᾠδήν,* δοξάζοντες* ἄναρχον Πατέρα καὶ Υἱόν,* Πνεῦμα εὐθές,* μοναδικὴν μίαν οὐσίαν,* ἣν τρισσῶς ὑμνήσωμεν·* Ἅγιος, ἅγιος,* ἅγιος εἶ ἡ Τριάς.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς τῆς Τριάδος ἕνα σε, Χριστέ,* δοξάζομεν,* ὅτι ἐκ Παρθένου σαρκωθεὶς* δίχα τροπῆς,* ἀνθρωπικῶς πάντα ἠνέσχου,* μὴ ἐκστὰς τῆς φύσεως* τῆς πατρικῆς, Ἰησοῦ,* εἰ καὶ ἡνώθης ἡμῖν.

Ὠδὴ η΄. Ὁ εἱρμός.

Οἱ οὐρανοὶ τῶν οὐρανῶν* καὶ τὸ ὕδωρ, τὸ ὑπερᾶνω* τῶν οὐρανῶν, εὐλογεῖτε,* ὑμνεῖτε τὸν Κύριον. (Δὶς)

Τροπάρια.

Ὁ ποιητὴς καὶ συνοχεὺς* τῶν ἁπάντων δι' εὐσπλαγχνίαν* ἐν Βηθανίᾳ ἐπέστη* ἐγεῖραι τὸν Λάζαρον.

Ὁ τεταρταῖος ὀδωδὼς* καὶ κειρίαις συνειλημμένος* ἤλλατο ἔμπνους ὁ ἄπνους,* φωνοῦντός σου Κύριε.

Τῶν Ἰουδαίων ὁ λαός,* ὡς ἑώρα τὸν τεθνεῶτα* τῇ σῇ φωνῇ ἀναστάντα,* Χριστέ, διεπρίετο.

Οἱ σκοτεινοὶ περὶ τὸ φῶς* Ἰουδαῖοι, τί ἀπιστεῖτε* τῇ τοῦ Λαζάρου ἐγέρσει;* Χριστοῦ τὸ ἐγχείρημα.

Ἀγαλλιάσθω ἡ Σιὼν* καὶ ὑμνείτω τὸν ζωοδότην,* τὸν ἀναστήσαντα λόγῳ* ἐκ τάφου τὸν Λάζαρον.

Αἱ στρατιαὶ τῶν οὐρανῶν* καὶ τὸ γένος, τῶν γηγενῶν σε* ὕμνησεν, ὅτι, Σωτὴρ μου,* τὸν Λάζαρον ἤγειρας.

Δόξα. Τριαδικόν.

Σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ* καὶ τὸ Πνεῦμα δοξολογῶ* καὶ ὑμνῶν ἀσιγήτως βοῶ·* Τρισάγιε, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ εὐλογῶ καὶ προσκυνῶ,* τὸν τεχθέντα ἐκ τῆς Παρθένου,* μὴ χωρισθέντα τοῦ θρόνου* τῆς ἁγίας δόξης σου.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Ἐποίησε κράτος* ἐν βραχίονι αὐτοῦ* καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων* καὶ ὕψωσε ταπεινοὺς* ὁ Θεὸς τοῦ Ἰσραήλ* ἐν οἷς ἐπεσκέψατο ἡμᾶς* ἀνατολὴ ἐξ ὕψους* καὶ κατεύθυνεν ἡμᾶς* εἰς ὁδὸν εἰρήνης.

Τροπάρια.

Ὑμνείτω τὸ θαῦμα* Βηθανία σὺν ἡμῖν* ἐν ταύτῃ γὰρ ἐδάκρυσεν ὁ κτίστης,* τὸν Λάζαρον ἀνιστῶν,* νόμῳ φύσεως σαρκός* καὶ Μάρθας τὰ δάκρυα λοιπὸν* καὶ τὸν κλαυθμὸν Μαρίας,* εἰς χαρὰν μεταβαλών,* τὸν νεκρὸν ἐγείρει.

Πιστούμενος, Λόγε,* τὴν ἀνάστασιν τὴν σὴν,* ἐκάλεσας τὸν Λάζαρον ἐκ τάφου* καὶ ἤγειρας ὡς Θεός,* ἵνα δείξῃς τοῖς λαοῖς* Θεόν σε καὶ ἄνθρωπον ὁμοῦ* ἐν ἀληθείᾳ ὄντα* καὶ ἐγείραντα ναὸν* τὸν τοῦ σώματός σου.

Συνέσεισας πύλας* καὶ μοχλοὺς τοὺς σιδηροῦς,* ἐφόβησας τὸν ᾅδην τῇ φωνῇ σου* καὶ ἔπτηξε σὺν αὐτῷ* καὶ ὁ θάνατος εὐθύς,* ὡς εἶδον τὸν Λάζαρον, Σωτήρ,* τὸν παρ' αὐτοῖς δεσμώτην,* ψυχωθέντα τῇ φωνῇ* καὶ ἐξαναστάντα.

Ἐξέστησαν πάντες,* ὡς ἐώρων σε, Σωτήρ,* δακρύοντα τὸν Λάζαρον θανόντα,* καὶ ἔλεγον οἱ δεινοί* Ἴδε πῶς αὐτὸν φιλεῖ* εὐθὺς οὖν ἐφώνησας αὐτόν,* καὶ ἀναστὰς ὁ ἄπνους* ἀφῃρεῖτο τὴν φθορὰν* τῷ προστάγματί σου.

Ἐσείσθησαν πύλαι,* συνετρίβησαν μοχλοί,* ἐλύθησαν δεσμὰ τοῦ τεθνεῶτος* ὁ ᾅδης δὲ τῇ φωνῇ* τῆς δυνάμεως Χριστοῦ* πικρῶς ἀνεστέναξε θρηνῶν* καὶ ἀνεβόα· Οἴμοι!* τίς καὶ πόθεν ἡ φωνὴ* ἡ νεκροὺς ζωοῦσα;

Ἀνάστα ἐντεῦθεν,* ὑπακούσας τῆς φωνῆς* ὁ φίλος σου γὰρ ἔξω προσφωνεῖ σε* οὗτός ἐστιν, ὁ τὸ πρὶν* ἀναστήσας τοὺς νεκρούς.* Ἠλίας μὲν ἤγειρε νεκρὸν* καὶ Ἐ-

λισσαῖος ἅμα·* ἀλλ' αὐτὸς ἦν δι' αὐτῶν* καὶ λαλῶν καὶ πράττων.

Υμνοῦμέν σου, Λόγε,* τὴν ἀνείκαστον ἰσχύν·* ὀστέοις γὰρ καὶ νεύροις τὸν θανόντα,* ἤγειρας λόγῳ τῷ σῷ,* ὡς τῶν ὅλων πλαστουργός,* καὶ τοῦτον ἀνέστησας, Σωτήρ,* ἐκ τῶν καταχθονίων,* ὡς τῆς χήρας τὸν υἱὸν* τὸν ἐπὶ τῆς κλίνης.

Δόξα. Τριαδικόν.

Τριὰς παναγία,* Πάτερ ἄναρχε Θεέ,* συνάναρχε Υἱὲ καὶ θεῖε Λόγε,* Παράκλητε ἀγαθέ,* Πνεῦμα ἅγιον Θεοῦ,* τὸ ἓν καὶ τρισήλιον φάος,* ἡ συμφυὴς οὐσία,* εἷς Θεὸς καὶ Κύριος,* οἰκτειρον τὸν κόσμον.

Καὶ νῦν. Θεοτοκίον.

Ο πάντα ποιήσας* ἐν σοφίᾳ Ἰησοῦ,* καὶ ὅλον με φορέσας ἐκ Παρθένου* καὶ ὅλος μένων ἀεὶ* ἐν τοῖς κόλποις τοῦ Πατρός,* τὸ ἅγιόν σου Πνεῦμα, Χριστέ,* ἐπὶ τὸ ποίμνιόν σου* καταπέμψας ὡς Θεός,* ἐπισκίασον ἡμᾶς.

Καὶ πάλιν τὸν εἱρμόν· Ἐποίησε κράτος (σ. 1061).

Εἶτα τὸ Τρισάγιον, τὸ κοντάκιον Ἡ πάντων χαρὰ (σ. 1066). Κύριε, ἐλέησον ιβ'. Ὁ ἐν παντὶ καιρῷ, καὶ τὰ λοιπὰ τοῦ Μικροῦ Ἀποδείπνου (σ. 279-284).

ΤΩ ΣΑΒΒΑΤΩ
ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΔΙΚΑΙΟΥ ΛΑΖΑΡΟΥ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν ἑορτῶν, σ. 83-137).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ (σ. 83-99) εἰς τὸ Θεὸς Κύριος ψάλλομεν τὸ παρὸν τροπάριον ἐκ γ'.

Ἦχος α΄.

Τὴν κοινὴν ἀνάστασιν* πρὸ τοῦ σοῦ πάθους πιστούμενος,* ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον,* Χριστὲ ὁ Θεός* ὅθεν καὶ ἡμεῖς, ὡς οἱ παῖδες,* τὰ τῆς νίκης σύμβολα φέροντες,* σοὶ τῷ νικητῇ* τοῦ θανάτου βοῶμεν·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου.

Εἶτα [ἡ στιχολογία τοῦ Ψαλτηρίου καὶ μετ' αὐτὴν] ψάλλομεν τὸ παρὸν κάθισμα.

Ἦχος α΄. (Τοῦ λίθου σφραγισθέντος).

Κατοικτείρας τῆς Μάρθας* καὶ Μαρίας τὰ δάκρυα,* ἐκκυλίσαι τὸν λίθον* ἐκ τοῦ τάφου προσέταξας·* ἀνέστησας φωνήσας τὸν νεκρόν,* συντρίψας τοῦ θανάτου τοὺς μοχλούς,* τὴν τοῦ κόσμου, ζωοδότα,* ὡς δι' αὐτοῦ πιστούμενος ἀνάστασιν.* Δόξα τῇ δυναστείᾳ σου, Σωτήρ·* δόξα τῇ ἐξουσίᾳ σου,* δόξα τῷ διὰ λόγου πάντα συστησαμένῳ.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Εἶτα [στιχολογοῦμεν τὸν ἄμωμον καὶ μετ' αὐτὸν] ψάλλομεν τὰ ἀναστάσιμα εὐλογητάρια Τῶν ἀγγέλων ὁ δῆμος κ.τ.λ. (σ. 100) καὶ μετ' αὐτὰ τὸ παρὸν κάθισμα.

Ἦχος πλ. α΄. (Τὸν συνάναρχον Λόγον).

Ἡ πηγὴ τῆς σοφίας* καὶ τῆς προγνώσεως,* τοὺς περὶ Μάρθαν ἠρώτας,* ἐν Βηθανίᾳ παρών,* Ποῦ τεθείκατε, βοῶν,* φίλον τὸν Λάζαρον;* ὃν δακρύσας συμπαθῶς,* τετραήμερον νεκρὸν* ἀνέστησας τῇ φωνῇ σου,* φιλάνθρωπε καὶ οἰκτίρμον,* ὡς ζωοδότης καὶ Κύριος.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι (σ. 117), ὁ Ν΄ Ψαλμὸς χῦμα (σ. 103) καὶ οἱ κανόνες.

Κανὼν α′. Ποίημα Θεοφάνους. Ἦχος πλ. δ′.
Ὠδὴ α′. Ὁ εἱρμός.

Ἀσωμεν τῷ Κυρίῳ,* τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ* ἐν ἐρυθρᾷ θαλάσσῃ,* ὅτι μόνος ἐνδόξως δεδόξασται. (Δἰς)

Τροπάρια.

Λάζαρον τεθνεῶτα* νεύματι τῷ θείῳ ἐξανέστησας,* πλαστουργὸς ὡς ὑπάρχων* καὶ ζωῆς ταμειοῦχος, φιλάνθρωπε.

Λόγῳ τὸν τεταρταῖον* Λάζαρον ἀνέστησας, ἀθάνατε,* σκοτεινόμορφον ᾅδου* διαλύσας ἰσχύϊ βασίλειον.

Πᾶσι τῆς ὑπερθέου* γνώρισμα Θεότητος ὑπέδειξας,* ἐκ τῶν νεκρῶν ἐγείρας* τετραήμερον Λάζαρον, Δέσποτα.

Σήμερον Βηθανία* προανακηρύττει τὴν ἀνάστασιν* Χριστοῦ τοῦ ζωοδότου,* τῇ ἐγέρσει Λαζάρου χορεύουσα.

Κανὼν β′. Ποίημα Ἰωάννου μοναχοῦ. Ἦχος ὁ αὐτός.
Ὠδὴ α′. (Ὑγρὰν διοδεύσας).

Πρὶν ἐκ μὴ ὄντων παραγαγὼν* τὴν σύμπασαν κτίσιν,* καὶ γινώσκων τῶν καρδιῶν* ταμεῖα προλέγεις, ὡς Δεσπότης,* τοῖς μαθηταῖς τοῦ Λαζάρου τὴν κοίμησιν.

Τὸν ἄνθρωπον φύσει οὐσιωθείς,* Χριστέ, ἐκ Παρθένου,* τοῦ Λαζάρου σὺ τὴν ταφὴν* μαθεῖν ἐπηρώτας ὡς ἄνθρωπος,* οὐκ ἀγνοῶν ὡς Θεὸς ὅπου ἔκειτο.

Πιστούμενος, Λόγε, τὴν σεαυτοῦ,* ἀνάστασιν ὄντως,* ὡς ἐξ ὕπνου τὸν προσφιλῆ* ἀνέστησας, ἤδη ὀδωδότα,* τὸν τεταρταῖον νεκρὸν ἐκ τοῦ μνήματος.

Θεοτοκίον.

Τάξεις σε ἀγγέλων καὶ τῶν βροτῶν,* ἀνύμφευτε Μῆτερ,* εὐφημοῦσιν ἀνελλιπῶς·* τὸν κτίστην γὰρ τούτων ὥσπερ βρέφος* ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Σὺ εἶ τὸ στερέωμα* τῶν προστρεχόντων σοι, Κύριε·* σὺ εἶ τὸ φῶς* τῶν ἐσκοτισμένων,* καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου. (Δὶς)

Τροπάρια.

Δύο προβαλλόμενος* τὰς ἐνεργείας σου, ἔδειξας* τῶν οὐσιῶν,* Σῶτερ, τὴν διπλόην·* Θεὸς γὰρ εἶ καὶ ἄνθρωπος.

Ἄβυσσος ὢν γνώσεως,* σὺ ἐρωτᾷς ὅπου τέθειται* ὁ τεθνεώς,* μέλλων ἀναστήσειν,* ζωοδότα, τὸν κείμενον.

Τόπους ἀμειβόμενος,* ὡς γεγονὼς βροτός, πέφηνας* περιγραπτός,* ὁ πληρῶν τὰ πάντα* ὡς Θεὸς ἀπερίγραπτος.

Λάζαρον ὡς ἤγειρας* τῷ θεϊκῷ, Χριστέ, ῥήματι,* κἀμὲ πολλοῖς* πταίσμασι θανόντα* ἐξανάστησον, δέομαι.

Ἄλλος. (Οὐρανίας ἀψῖδος).

Ἐπιστὰς σὺ τῷ τάφῳ,* θαυματουργὲ Κύριε,* ἐν τῇ Βηθανίᾳ Λαζάρου,* τοῦτον ἐδάκρυσας* νόμῳ τῆς φύσεως,* πιστοποιῶν σου τὴν σάρκα,* Ἰησοῦ ὁ Θεός μου,* ἣν περ προσείληφας.

Τῆς Μαρίας τὸ πένθος* σὺ παρευθὺς ἔπαυσας,* Σῶτερ, καὶ τῆς Μάρθας, δεικνύων* τὸ αὐτεξούσιον·* σὺ γὰρ ἀνάστασις* καὶ σὺ ζωή, ὥσπερ ἔφης,* ἀληθὴς ὄντως πέλεις* καὶ πάντων Κύριος.

Εἱλημμένον κειρίαις* τὸν προσφιλῆ, Κύριε,* ᾅδου ἐκ νεκάδων καὶ ζόφου* τοῦτον ἀφήρπασας,* σὺ ἐν τῷ λόγῳ σου* τῷ πανσθενεῖ, τοῦ θανάτου* διαῤῥήξας κλεῖθρά τε* καὶ τὰ βασίλεια.

Θεοτοκίον.

Ἐνοικήσας Παρθένῳ* σωματικῶς, Κύριε,* ὤφθης τοῖς ἀνθρώποις, ὡς ἔπρεπε* θεαθῆναί σε·* ἣν καὶ ἀνέδειξας,* ὡς ἀληθῆ Θεοτόκον,* καὶ πιστῶν βοῆθειαν* μόνε φιλάνθρωπε.

Κάθισμα. Ἦχος δ΄. (Κατεπλάγη Ἰωσήφ).

Συμπαρέστησαν Χριστῷ* αἱ τοῦ Λαζάρου ἀδελφαί,* καὶ δακρύουσαι πικρῶς* καὶ ὀλολύζουσαι αὐτῷ* ἔφησαν· Κύριε, τέθνηκε Λάζαρος,* αὐτὸς δέ, ὡς Θεός,* οὐκ ἀγνοῶν τὴν ταφήν,* ἠρώτα πρὸς αὐτάς·* Ποῦ τεθείκατε;* καὶ προσελθὼν τῷ τάφῳ, προσεφώνει* τὸν τετραήμερον Λάζαρον·* ὁ δὲ ἀνέστη* καὶ προσεκύνει* τὸν αὐτὸν ἀναστήσαντα.

Δόξα, καὶ νῦν. Ἕτερον.

Ἦχος πλ. δ΄. (Τὴν Σοφίαν καὶ Λόγον).

Προγινώσκων τὰ πάντα, ὡς ποιητής,* ἐν Βηθανίᾳ προεῖπας τοῖς μαθηταῖς·* Ὁ φίλος ἡμῶν Λάζαρος* κεκοίμηται σήμερον·* καὶ εἰδὼς ἠρώτας,* βοῶν· Ποῦ τεθείκατε;* καὶ τῷ Πατρὶ προσηύξω,* δακρύσας ὡς ἄνθρωπος·* ὅθεν καὶ φωνήσας* ὃν ἐφίλεις, ἐξ ᾅδου* ἀνέστησας, Κύριε,* τετραήμερον Λάζαρον.* Διὰ τοῦτο βοῶμέν σοι·* Πρόσδεξαι, Χριστὲ ὁ Θεός,* τῶν τολμώντων προσφέρειν τὴν αἴνεσιν,* καὶ καταξίωσον πάντας* τῆς μεγάλης δόξης σου.

Κοντάκιον. Ἦχος β΄. (Τὰ ἄνω ζητῶν).

Ἡ πάντων χαρὰ* Χριστός, ἡ ἀλήθεια,* τὸ φῶς, ἡ ζωὴ* τοῦ κόσμου, ἡ ἀνάστασις,* τοῖς ἐν γῇ πεφανέρωται* τῇ αὐτοῦ ἀγαθότητι· καὶ γέγονε* τύπος τῆς ἀναστάσεως,* τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

Ὁ οἶκος. (Τράνωσόν μου τὴν γλῶσσαν).

Τοῖς μαθηταῖς ὁ κτίστης τῶν ὅλων* προηγόρευσε λέγων·* Ἀδελφοὶ καὶ γνωστοί,* ἡμῶν ὁ φίλος κεκοίμηται·* τούτοις προλέγων καὶ ἐκδιδάσκων,* ὅτι πάντα γινώσκει ὡς κτίστης πάντων·* ἄγωμεν οὖν,* πορευθῶμεν καὶ ἴδωμεν ξένην ταφὴν* καὶ θρῆνον τὸν τῆς Μαρίας,* καὶ τὸν τάφον Λαζάρου ὀψώμεθα·* ἐκεῖ γὰρ μέλλω θαυματουργεῖν,* ἐκτελῶν τοῦ σταυροῦ τὰ προοίμια* καὶ πᾶσι παρέχων θείαν ἄφεσιν.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν·

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ πρὸ τῶν Βαΐων, ἑορτάζομεν

τὴν ἔγερσιν τοῦ ἁγίου καὶ δικαίου φίλου τοῦ Χριστοῦ Λαζάρου τοῦ τετραημέρου.

Στίχοι.

Θρηνεῖς, Ἰησοῦ· τοῦτο θνητῆς οὐσίας.
Ζωοῖς φίλον σου· τοῦτο θείας ἰσχύος.

Ταῖς τοῦ σοῦ φίλου Λαζάρου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος πλ. δ΄.

Ὠδὴ α΄.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν* καὶ τὴν αἰγυπτίαν* μοχθηρίαν διαφυγὼν* ὁ Ἰσραηλίτης ἀνεβόα·* Τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ὠδὴ γ΄.

Οὐρανίας ἀψῖδος* ὀροφουργέ, Κύριε,* καὶ τῆς Ἐκκλησίας δομῆτορ,* σύ με στερέωσον* ἐν τῇ ἀγάπῃ τῇ σῇ,* τῶν ἐφετῶν ἡ ἀκρότης,* τῶν πιστῶν τὸ στήριγμα,* μόνε φιλάνθρωπε.

Ὠδὴ δ΄.

Σύ μου ἰσχύς,* Κύριε, σύ μου καὶ δύναμις,* σὺ Θεός μου,* σύ μου ἀγαλλίαμα,* ὁ πατρικοὺς κόλπους μὴ λιπών,* καὶ τὴν ἡμετέραν* πτωχείαν ἐπισκεψάμενος·* διὸ σὺν τῷ προφήτῃ* Ἀββακούμ σοι κραυγάζω·* Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Ὠδὴ ε΄.

Ἵνα τί με ἀπῶσω* ἀπὸ τοῦ προσώπου σου,* τὸ φῶς τὸ ἄδυτον,* καὶ ἐκάλυψέ με* τὸ ἀλλότριον σκότος τὸν δείλαιον;* ἀλλ᾽ ἐπίστρεψόν με,* καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου* τὰς ὁδούς μου κατεύθυνον, δέομαι.

Ὠδὴ ς΄.

Ἱλάσθητί μοι, Σωτήρ·* πολλαὶ γὰρ αἱ ἀνομίαι μου·* καὶ ἐκ βυθοῦ τῶν κακῶν* ἀνάγαγε, δέομαι·* πρὸς σὲ γὰρ ἐβόησα,* καὶ ἐπάκουσόν μου,* ὁ Θεὸς τῆς σωτηρίας μου.

Ὠδὴ ζ΄.

Οἱ ἐκ τῆς Ἰουδαίας* καταντήσαντες παῖδες* ἐν Βαβυλῶνι ποτὲ* τῇ πίστει τῆς Τριάδος* τὴν φλόγα τῆς καμίνου* κατεπάτησαν ψάλλοντες·* Ὁ τῶν πατέρων ἡμῶν* Θεός, εὐλογητὸς εἶ.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η΄.

Τὸν βασιλέα τῶν οὐρανῶν,* ὃν ὑμνοῦσι* στρατιαὶ τῶν ἀγγέλων, ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Καὶ ψάλλεται ἡ θ΄ ᾠδή.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Τὴν ἀγνὴν ἐνδόξως τιμήσωμεν,* λαοί, Θεοτόκον,* τὴν τὸ πῦρ τῆς Θεότητος* δεξαμένην ἐν τῇ γαστρὶ ἀφλέκτως* ἐν ὕμνοις μεγαλύνοντες. (Δὶς)

Τροπάρια.

Οἱ λαοὶ ἰδόντες βαδίζοντα* νεκρὸν τεταρταῖον,* ἐκπλαγέντες τῷ θαύματι* ἀνεβόων τῷ Λυτρωτῇ· Θεόν σε* ἐν ὕμνοις μεγαλύνομεν.

Προπιστῶν τὴν ἔνδοξον ἔγερσιν* τὴν σήν, ὦ Σωτήρ μου,* νεκρὸν τετραήμερον* ἐκ τοῦ ᾅδου ἐλευθεροῖς τὸν Λάζαρον·* ἐν ὕμνοις μεγαλύνω σε.

Ἄλλος. (Κυρίως Θεοτόκον).

Τιμῶν σου τὸν Πατέρα* καὶ ἀποδεικνύων,* ὡς οὐκ ἀντίθεος ἦσθα, προσεύχῃ, Χριστέ,* αὐτεξουσίως ἐγείρας* τὸν τετραήμερον.

Ἐκ τάφου τεταρταῖον* Λάζαρον ἐγείρας,* τῆς τριημέρου, Χριστέ μου, ἐγέρσεως* παναληθέστατον πᾶσι* δεικνύεις μάρτυρα.

Βαδίζεις καὶ δακρύεις,* φθέγγῃ τε, Σωτήρ μου,* τὴν ἀνθρωπίνην δεικνύς σου ἐνέργειαν·* τὴν θεϊκὴν δὲ μηνύων,* ἐγείρεις Λάζαρον.

Ενήργησας ἀφράστως,* Δέσποτα Σωτήρ μου,* καθ' ἑκατέραν τῶν δύο σου φύσεων* αὐτεξουσίῳ θελήσει* τὴν σωτηρίαν μου.

Καταβασία.

Κυρίως Θεοτόκον* σὲ ὁμολογοῦμεν* οἱ διὰ σοῦ σεσωσμένοι, Παρθένε ἁγνή,* σὺν ἀσωμάτοις χορείαις* σὲ μεγαλύνοντες.

Τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ τρίτου.

Καὶ τὸ παρὸν ἐξαποστειλάριον. (Ἐπεσκέψατο ἡμᾶς).

Λόγῳ σου, Λόγε τοῦ Θεοῦ,* Λάζαρος νῦν ἐξάλλεται,* πρὸς βίον παλινδρομήσας,* καὶ μετὰ κλάδων οἱ λαοί* σέ, κραταιέ, γεραίρουσιν,* ὅτι εἰς τέλος ὀλέσεις* τὸν ᾅδην θανάτῳ σου. (Δις)

Ἕτερον. Ὅμοιον.

Διὰ Λαζάρου σε Χριστὸς* ἤδη σκυλεύει, θάνατε·* καὶ ποῦ σου, ᾅδη, τὸ νῖκος;* τῆς Βηθανίας ὁ κλαυθμὸς* νῦν ἐπὶ σὲ μεθίσταται·* πάντες κλάδους τῆς νίκης* αὐτῷ ἐπισείωμεν.

Εἰς τοὺς αἴνους, ψάλλομεν τὰ ἑπόμενα ἡ στιχηρὰ ἰδιόμελα.

Στίχ. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον...

Ἰωάννου μοναχοῦ. Ἦχος α'.

Ἀνάστασις καὶ ζωὴ τῶν ἀνθρώπων* ὑπάρχων, Χριστέ,* ἐν τῷ μνήματι Λαζάρου ἐπέστης,* πιστούμενος ἡμῖν* τὰς δύο οὐσίας σου, μακρόθυμε·* ὅτι Θεὸς καὶ ἄνθρωπος* ἐξ ἁγνῆς Παρθένου παραγέγονας·* ὡς μὲν γὰρ βροτὸς ἐπηρώτας·* Ποῦ τέθαπται;* ὡς δὲ Θεὸς ἀνέστησας* ζωηφόρῳ νεύματι* τὸν τετραήμερον.

Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ...

Λάζαρον τεθνεῶτα* τετραήμερον ἀνέστησας* ἐξ ᾅδου, Χριστέ,* πρὸ τοῦ σοῦ θανάτου* διασείσας τοῦ θανάτου τὸ κράτος,* καὶ δι' ἑνὸς προσφιλοῦς* τὴν πάντων ἀνθρώ-

πων προμηνύων* ἐκ φθορᾶς ἐλευθερίαν·* διὸ προσκυνοῦντές σου* τὴν παντοδύναμον ἐξουσίαν* βοῶμεν·* Εὐλογημένος εἶ, Σωτήρ·* ἐλέησον ἡμᾶς.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ...

Μάρθα καὶ Μαρία* τῷ Σωτῆρι ἔλεγον·* Εἰ ἦς ὧδε, Κύριε,* οὐκ ἂν τέθνηκε Λάζαρος.* Χριστὸς δέ, ἡ ἀνάστασις* τῶν κεκοιμημένων,* τὸν ἤδη τετραήμερον* ἐκ νεκρῶν ἀνέστησε·* δεῦτε, πάντες οἱ πιστοί,* τοῦτον προσκυνήσωμεν,* τὸν ἐρχόμενον ἐν δόξῃ* σῶσαι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος...

Τῆς Θεότητός σου, Χριστέ,* παρέχων τοῖς μαθηταῖς σου τὰ σύμβολα,* ἐν τοῖς ὄχλοις ἐταπείνους σεαυτόν,* ἀποκρύψαι ταύτην βουλόμενος·* διὸ τοῖς ἀποστόλοις,* ὡς προγνώστης Θεός,* τοῦ Λαζάρου τὸν θάνατον προηγόρευσας·* ἐν Βηθανίᾳ δὲ παρὼν τοῖς λαοῖς,* τοῦ φίλου σου τὸν τάφον οὐκ ἀγνοῶν,* μαθεῖν ἐζήτεις ὡς ἄνθρωπος·* ἀλλ' ὁ διὰ σοῦ τετραήμερος ἀναστὰς* τὸ θεῖόν σου κράτος ἐδήλωσε.* Παντοδύναμε Κύριε, δόξα σοι.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ...

Ἦχος δ΄.

Τεταρταῖον ἤγειρας* τὸν φίλον σου, Χριστέ,* καὶ τὸν τῆς Μάρθας καὶ Μαρίας* θρῆνον ἔπαυσας,* ὑποδεικνύων τοῖς πᾶσιν,* ὅτι αὐτὸς εἶ ὁ τὰ πάντα πληρῶν* θεϊκῇ δυναστείᾳ* αὐτεξουσίῳ θελήματι·* ᾧ τὰ Χερουβὶμ βοᾷ ἀπαύστως·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος εἶ,* ὁ ἐπὶ πάντων Θεός·* δόξα σοι.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις...

Μάρθα τῇ Μαρίᾳ ἐβόα·* Ὁ Διδάσκαλος πάρεστι* καὶ φωνεῖ σε· πρόσελθε.* Ἡ δὲ δρομαία ἐλθοῦσα* ὅπου ἦν ἐστὼς ὁ Κύριος,* ἰδοῦσα ἀνεβόησε,* πεσοῦσα προσεκύνησε* καὶ τοὺς ἀχράντους πόδας σου* καταφιλοῦσα ἔλεγε·* Κύριε,* εἰ ἦς ὧδε,* οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός.

Στίχ. Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου· μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Ἦχος πλ. δ'.

Λάζαρον τεθνεῶτα* ἐν Βηθανίᾳ ἤγειρας τετραήμερον·* μόνον γὰρ ὡς ἐπέστης τῷ μνήματι,* ἡ φωνὴ ζωὴ τῷ τεθνεῶτι γέγονε,* καὶ στενάξας ὁ ᾅδης* ἀπέλυσε φόβῳ.* Μέγα τὸ θαῦμα!* Πολυέλεε Κύριε, δόξα σοι.

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου· διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Καθὼς εἶπας, Κύριε, τῇ Μάρθᾳ·* Ἐγώ εἰμι ἡ ἀνάστασις,* ἔργῳ τὸν λόγον ἐπλήρωσας* ἐξ ᾅδου καλέσας τὸν Λάζαρον·* κἀμέ, φιλάνθρωπε,* νεκρὸν τοῖς πάθεσιν,* ὡς συμπαθής,* ἐξανάστησον, δέομαι.

Δόξα. Ἦχος β'.

Μέγα καὶ παράδοξον θαῦμα* τετέλεσται σήμερον!* ὅτι νεκρὸν τεταρταῖον ἐκ τάφου* Χριστὸς φωνήσας ἤγειρε,* καὶ φίλον ἐκάλεσε·* δοξολογήσωμεν αὐτὸν* ὡς ὑπερένδοξον,* ὡς ταῖς πρεσβείαις* τοῦ δικαίου Λαζάρου* σώσῃ τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σ. 132).

Δοξολογία μεγάλη. Σήμερον σωτηρία (σ. 133-134).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Ψάλλομεν τὰ συνήθη ἀντίφωνα τῶν Κυριακῶν (σ. 290, 293, 295). Μετὰ δὲ τὴν εἴσοδον τὸ ἀπολυτίκιον Τὴν κοινὴν ἀνάστασιν (σ. 1063) καὶ τὸ κοντάκιον Ἡ πάντων χαρὰ (σ. 1066).

Ἀντὶ τοῦ Τρισαγίου ψάλλομεν·

Ἦχος α'.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε,* Χριστὸν ἐνεδύσασθε.* Ἀλληλούϊα.

Προκείμενον. Ἦχος γ΄. (Ψαλμὸς κστ΄).

Κύριος φωτισμός μου καὶ σωτήρ μου.
Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (ιβ΄ 28 - ιγ΄ 8).

Ἀδελφοί, βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας· καὶ γὰρ «ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον».

Ἡ φιλαδελφία μενέτω, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. Μιμνήσκεσθε τῶν δεσμίων ὡς συνδεδεμένοι, τῶν κακουχουμένων ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. Τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. Ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν· «Οὐ μή σε ἀνῶ οὐδ' οὐ μή σε ἐγκαταλίπω»· ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· «Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;».

Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ια΄ 1-45).

Τῷ καιρῷ ἐκείνῳ, ἦν τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. Ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. Ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν λέγουσαι· Κύριε, ἴδε ὃν φιλεῖς ἀσθενεῖ. Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν· Αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ δι'

αὐτῆς. Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν Λάζαρον.

Ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς· Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. Λέγουσιν αὐτῷ οἱ μαθηταί· Ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει· ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτί, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ.

Ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. Εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ· Κύριε, εἰ κεκοίμηται, σωθήσεται. Εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. Τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ· Λάζαρος ἀπέθανε, καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ· ἀλλ' ἄγωμεν πρὸς αὐτόν. Εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος Δίδυμος τοῖς συμμαθηταῖς· Ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ.

Ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. Ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων ὡς ἀπὸ σταδίων δεκαπέντε, καὶ πολλοὶ ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν. Ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι ὁ Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. Εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν· Κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει. Ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δώσει σοι ὁ Θεός. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἀναστήσεται ὁ ἀδελφός σου. Λέγει αὐτῷ Μάρθα· Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. Ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο; Λέγει αὐτῷ· Ναί, Κύριε· ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος.

Καὶ ταῦτα εἰποῦσα ἀπῆλθε καὶ ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα, εἰποῦσα· Ὁ Διδάσκαλος πάρεστι καὶ φωνεῖ σε. Ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχὺ καὶ ἔρχεται πρὸς αὐτόν. Οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα. Οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν Μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ λέγοντες ὅτι ὑπάγει εἰς τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ. Ἡ οὖν Μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα αὐτὸν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ λέγουσα αὐτῷ· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός.

Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτόν, καὶ εἶπε· Ποῦ τεθείκατε αὐτόν; Λέγουσιν αὐτῷ· Κύριε, ἔρχου καὶ ἴδε. Ἐδάκρυσεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Ἴδε πῶς ἐφίλει αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;

Ἰησοῦς οὖν, πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον. Ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ' αὐτῷ. Λέγει ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος Μάρθα· Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι· Λέγει αὐτῇ ὁ Ἰησοῦς· Οὐκ εἶπόν σοι ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ; Ἦραν οὖν τὸν λίθον οὗ ἦν ὁ τεθνηκὼς κείμενος. Ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπε· Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. Καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασε· Λάζαρε, δεῦρο ἔξω. Καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Λύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν.

Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 25
319).

Εἰς τὸ Ἐξαιρέτως ὁ εἱρμὸς τῆς θ' ᾠδῆς Τὴν ἀγνὴν ἐνδ
ξως τιμήσωμεν (σ. 1068).

Κοινωνικόν.

Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶ
νον. Ἀλληλούϊα.

Ἀντὶ τοῦ Εἴδομεν τὸ φῶς τὸ ἀπολυτίκιον Τὴν κοινὴν ἀ-
νάστασιν (σ. 1063).

ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ

ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῶν ἑορτῶν (σ. 210-239).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-216) [καὶ
τὸ Μακάριος ἀνὴρ, σ. 217-223] εἰς τὸ Κύριε, ἐκέκραξα ψάλ-
λομεν τὰ ἑπόμενα ε' στιχηρὰ ἰδιόμελα δευτεροῦντες τὸ α'.

Ἰωάννου μοναχοῦ. Ἦχος πλ. β'.

Σήμερον* ἡ χάρις τοῦ ἁγίου Πνεύματος* ἡμᾶς συνήγα-
γε* καὶ πάντες αἴροντες* τὸν Σταυρόν σου λέγομεν* Εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. (Δίς)

Ἀνδρέου Ἱεροσολυμίτου. Ἦχος ὁ αὐτός.

Ὅ ἔχων θρόνον οὐρανὸν* καὶ ὑποπόδιον τὴν γῆν,* ὁ τοῦ Θεοῦ Πατρὸς Λόγος* καὶ Υἱὸς συναΐδιος,* ἐπὶ πώλου ἀλόγου* ἐμετρίασε σήμερον,* ἐν Βηθανίᾳ ἐλθών* ὅθεν παῖδες Ἑβραίων,* κλάδους χερσὶ κατέχοντες,* εὐφήμουν φω-

νῇ·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος ὁ ἐρχόμενος* βασιλεὺς τοῦ Ἰσραήλ.

Ἀνδρέου Πυροῦ. Ἦχος ὁ αὐτός.

Δεῦτε καὶ ἡμεῖς σήμερον,* πᾶς ὁ νέος Ἰσραήλ,* ἡ ἐξ ἐθνῶν Ἐκκλησία,* μετὰ τοῦ προφήτου Ζαχαρίου ἐκβοήσωμεν·* Χαῖρε σφόδρα, θύγατερ Σιών·* κήρυσσε, θύγατερ Ἱερουσαλήμ·* ὅτι ἰδοὺ ὁ βασιλεύς σου* ἔρχεταί σοι πραῢς καὶ σῴζων,* καὶ ἐπιβεβηκὼς* ἐπὶ πῶλον ὄνου,* υἱὸν ὑποζυγίου·* ἑόρταζε τὰ τῶν παίδων·* κλάδους χερσὶ κατέχουσα, εὐφήμησον·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος ὁ ἐρχόμενος* βασιλεὺς τοῦ Ἰσραήλ.

Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Τὴν σεπτὴν ἀνάστασιν τὴν σὴν* προτυπούμενος ἡμῖν,* ἤγειρας θανόντα τῇ προστάξει σου* τὸν ἄπνουν Λάζαρον,* τὸν φίλον, ἀγαθέ, ἐκ τοῦ μνήματος* τεταρταῖον ὀδωδότα·* ὅθεν καὶ τῷ πώλῳ ἐπέβης συμβολικῶς,* ὥσπερ ἐπ᾽ ὀχήματος φερόμενος,* τὰ ἔθνη τεκμαιρόμενος, Σωτήρ·* ὅθεν καὶ τὸν αἶνόν σοι προσφέρει* ὁ ἠγαπημένος Ἰσραὴλ* ἐκ στομάτων θηλαζόντων* καὶ νηπίων ἀκάκων,* καθορώντων σε, Χριστέ,* εἰσερχόμενον εἰς τὴν ἁγίαν πόλιν* πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα.

Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα* ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν,* καὶ προσῆλθον αὐτῷ* οἱ μαθηταὶ αὐτοῦ,* λέγοντες αὐτῷ·* Κύριε, ποῦ θέλεις* ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα;* Ὁ δὲ ἀπέστειλεν αὐτούς·* Ἀπέλθετε εἰς τὴν ἀπέναντι κώμην,* καὶ εὑρήσετε ἄνθρωπον* κεράμιον ὕδατος βαστάζοντα·* ἀκολουθήσατε αὐτῷ* καὶ τῷ οἰκοδεσπότῃ εἴπατε·* Ὁ Διδάσκαλος λέγει·* Πρός σε ποιῶ τὸ Πάσχα* μετὰ τῶν μαθητῶν μου.

Δόξα, καὶ νῦν. Σήμερον ἡ χάρις... (σ. 1075).

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν (σ. 228). Εἶτα τὰ ἀναγνώσματα.

Α΄. Γενέσεως τὸ ἀνάγνωσμα (μθ΄ 1-2, 8-12).

Ἐκάλεσεν Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν αὐτοῖς· Συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν· συνάχθητε, καὶ ἀκούσατέ μου, υἱοὶ Ἰακώβ· ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν.

Ἰούδα, σὲ αἰνέσουσιν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. Σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;

Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν· δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ· πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.

Β΄. Προφητείας Σοφονίου τὸ ἀνάγνωσμα (γ΄ 14-19).

Τάδε λέγει Κύριος· Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ· εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου, θύγατερ Ἰερουσαλήμ. Περιεῖλε Κύριος τὰ ἀδικήματά σου· λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου. Βασιλεὺς Ἰσραὴλ Κύριος ἐν μέσῳ σου· οὐκ ὄψῃ κακὰ οὐκέτι.

Ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ Κύριος τῇ Ἰερουσαλήμ· Θάρσει, Σιών, μὴ παρείσθωσαν αἱ χεῖρές σου. Κύριος ὁ Θεός σου ἐν σοὶ δυνατός, σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ, καὶ εὐφρανθήσεται ἐπὶ σὲ ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς. Καὶ συνάξω τοὺς συντετριμμένους σου. Οὐαί! τίς ἔλαβεν ἐπ' αὐτὴν ὀνειδισμόν; Ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκά σου, λέγει Κύριος, ἐν τῷ καιρῷ ἐκείνῳ καὶ σώσω τὴν ἐκπεπιεσμένην καὶ τὴν ἀπωσμένην εἰσδέξομαι καὶ θήσομαι αὐτοὺς εἰς καύχημα καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ.

Γ'. Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα (θ' 9-15).

Τάδε λέγει Κύριος· Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ· ἰδού, ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων αὐτός, πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραΐμ καὶ ἵππον ἐξ Ἰερουσαλήμ· καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν· καὶ κατάρξει ἀπὸ ὑδάτων ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως διεκβολῶν γῆς.

Καὶ σὺ ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας τοὺς δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ· καθήσεσθε ἐν ὀχυρώμασι δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ μιᾶς ἡμέρας παροικίας σου διπλᾶ ἀνταποδώσω σοι, διότι ἐνέτεινά σε, Ἰούδα, ἐμαυτῷ τόξον· ἔπλησα τὸν Ἐφραΐμ, καὶ ἐξεγερῶ τὰ τέκνα σου, Σιών, ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ· καὶ Κύριος ἔσται ἐπ' αὐτοὺς καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ· καὶ Κύριος ὁ Θεὸς παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ, καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ· Κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτούς.

Ἡ ἑκτενής, τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Εἰς τὸν στίχον στιχηρὰ ἰδιόμελα.
Ἰωάννου μοναχοῦ. Ἦχος πλ. δ'.

Χαῖρε καὶ εὐφραίνου,* πόλις Σιών·* τέρπου καὶ ἀγάλλου,* ἡ Ἐκκλησία τοῦ Θεοῦ·* ἰδοὺ γὰρ ὁ βασιλεύς σου* παραγέγονεν ἐν δικαιοσύνῃ,* ἐπὶ πώλου καθεζόμενος,* ὑπὸ παίδων ἀνυμνούμενος·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος εἶ,* ὁ ἔχων πλῆθος οἰκτιρμῶν·* ἐλέησον ἡμᾶς.

Στιχ. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.

Ἦλθεν ὁ Σωτὴρ σήμερον* ἐπὶ τὴν πόλιν Ἰερουσαλήμ* πληρῶσαι τὴν γραφήν·* καὶ πάντες ἔλαβον ἐν ταῖς χερσὶ βαΐα,* τοὺς δὲ χιτῶνας ὑπεστρώννυον αὐτῷ,* γινώ-

σκοντες* ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν,* ᾧ τὰ Χερουβὶμ βοᾷ ἀπαύστως·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις* εὐλογημένος εἶ,* ὁ ἔχων πλῆθος οἰκτιρμῶν·* ἐλέησον ἡμᾶς.

Στίχ. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος* καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ,* ἐπέβης ἐπὶ πώλου* δαβιτικῶς, ἀγαθέ,* καὶ παῖδές σε ἀνύμνουν θεοπρεπῶς·* Ἰουδαῖοι ἐβλασφήμουν παρανόμως·* τὸ ἀκάθεκτον τῶν ἐθνῶν* ἡ καθέδρα τοῦ πώλου προετύπου,* ἐξ ἀπιστίας εἰς πίστιν μεταποιούμενον.* Δόξα σοι, Χριστέ,* ὁ μόνος ἐλεήμων* καὶ φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Σήμερον ἡ χάρις... (σ. 1075).

Τὸ Νῦν ἀπολύεις καὶ τὸ Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος α΄.

Τὴν κοινὴν ἀνάστασιν* πρὸ τοῦ σοῦ πάθους πιστούμενος,* ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον,* Χριστὲ ὁ Θεός·* ὅθεν καὶ ἡμεῖς, ὡς οἱ παῖδες,* τὰ τῆς νίκης σύμβολα φέροντες,* σοὶ τῷ νικητῇ* τοῦ θανάτου βοῶμεν·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου. (Δις)

Ἕτερον. Ἦχος δ΄.

Συνταφέντες σοι* διὰ τοῦ βαπτίσματος,* Χριστὲ ὁ Θεὸς ἡμῶν,* τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν* τῇ ἀναστάσει σου,* καὶ ἀνυμνοῦντες κράζομεν·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου.

Ἀπόλυσις. Ὁ ἐπὶ πώλου ὄνου καθεσθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

(Ἀκολουθία Ὄρθρου τῶν ἑορτῶν, σ. 83-137).

Μετὰ τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ εἰς τὸ Θεὸς Κύριος ψάλλομεν τὰ ἀπολυτίκια Τὴν κοινὴν ἀνάστασιν (δὶς) καὶ Συνταφέντες σοι (σ. 1079).

[Ἡ στιχολογία τοῦ Ψαλτηρίου καὶ ὁ πολυέλεος].

Καὶ ψάλλονται τὰ καθίσματα.

Μετὰ τὴν α΄ στιχολογίαν. Ἦχος δ΄. (Κατεπλάγη Ἰωσήφ).

Μετὰ κλάδων νοητῶς* κεκαθαρμένοι τὰς ψυχάς,* ὡς οἱ παῖδες, τὸν Χριστὸν* ἀνευφημήσωμεν πιστῶς,* μεγαλοφώνως κραυγάζοντες τῷ Δεσπότῃ·* Εὐλογημένος εἶ, Σωτήρ,* ὁ εἰς κόσμον ἐλθὼν* τοῦ σῶσαι τὸν Ἀδὰμ* ἐκ τῆς ἀρχαίας ἀρᾶς,* πνευματικῶς γενόμενος, φιλάνθρωπε,* νέος Ἀδάμ, ὡς εὐδόκησας·* ὁ πάντα, Λόγε,* πρὸς τὸ συμφέρον* οἰκονομήσας, δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος δ΄. (Ἐπεφάνης σήμερον).

Τεταρταῖον Λάζαρον* ἐκ τοῦ μνημείου* ἀναστήσας, Κύριε,* πάντας ἐδίδαξας βοᾶν* μετὰ βαΐων καὶ κλάδων σοι·* Εὐλογημένος* εἶ ὁ ἐρχόμενος.

Μετὰ τὴν β΄ στιχολογίαν. Ἦχος δ΄. (Κατεπλάγη Ἰωσήφ).

Ἐπὶ φίλῳ σου, Χριστέ,* δάκρυα ῥαίνεις μυστικῶς,* καὶ ἐγείρεις ἐκ νεκρῶν* Λάζαρον κείμενον θνητόν·* ἐν ᾧ συμπάθειαν ἔδειξας φιλανθρώπως·* μαθόντα δὲ τὴν σὴν* παρουσίαν, Σωτήρ,* τὰ πλήθη τῶν βρεφῶν* ἐξῆλθον σήμερον,* ἐν ταῖς χερσὶ κατέχοντα βαΐα,* τὸ Ὡσαννά σοι κραυγάζοντα·* Εὐλογημένος εἶ,* ὅτι τὸν κόσμον* εἰς τὸ σῶσαι ἐλήλυθας.

Δόξα, καὶ νῦν. Ἦχος α΄. (Τοῦ λίθου σφραγισθέντος).

Αἰνέσατε συμφώνως,* οἱ λαοὶ καὶ τὰ ἔθνη·* ὁ γὰρ βασιλεὺς τῶν ἀγγέλων* ἐπέβη νῦν τῷ πώλῳ* καὶ ἔρχεται

θέλων ἐν Σταυρῷ* πατάξαι τοὺς ἐχθροὺς ὡς δυνατός·* δι τοῦτο καὶ οἱ παῖδες* μετὰ βαΐων κράζουσι τὸν ὕμνον·* Δόξ σοι, τῷ ἐλθόντι νικητῇ·* δόξα σοι, τῷ Σωτῆρι Χριστῷ·* δό ξα σοι, τῷ εὐλογημένῳ* μόνῳ Θεῷ ἡμῶν.

Μετὰ τὸν πολυέλεον. Ἦχος πλ. δ΄. (Τὸ προσταχθέν).

Ὁ ἐπὶ θρόνου Χερουβίμ,* καὶ ἐπὶ πώλου* ἐπικαθίσας δι' ἡμᾶς,* καὶ πρὸς τὸ πάθος* τὸ ἑκούσιον φθάσας,* σή μερον ἀκούει* τῶν παίδων ἀναβοώντων* τὸ Ὡσαννά,* τῶν ὄχλων ἀναφωνούντων· Υἱὲ Δαβίδ,* σπεῦσον σῶσαι οὓς ἔ πλασας,* εὐλογημένε Ἰησοῦ·* εἰς τοῦτο γὰρ ἐλήλυθας,* ὅ πως γνῶμεν τὴν δόξαν σου.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Εἶτα τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου (σ. 102) καὶ μετ' αὐτὸ

Προκείμενον. Ἦχος δ΄.

Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶ νον.

Στίχ. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κα΄ 1-11, 15-17).

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤγγισεν ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, καὶ ἦλθεν εἰς Βηθσφαγῆ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, τότε ἀπέστειλε δύο μαθητὰς λέγων αὐτοῖς· Πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δε δεμένην καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι. Καὶ ἐ άν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει· εὐ θέως δὲ ἀποστέλλει αὐτούς. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· «Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς καὶ ἐ πιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου». Πορευθέν τες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς

ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν.

Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. Οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες· Ὡσαννὰ τῷ υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα· Τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ἔλεγον· Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησε καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας· Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ἠγανάκτησαν καὶ εἶπον αὐτῷ· Ἀκούεις τί οὗτοι λέγουσιν; Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς· Ναί· οὐδέποτε ἀνέγνωτε, ὅτι «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον»; Καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ.

Ὁ Ν′ Ψαλμὸς χῦμα (σ. 103). Καὶ μετ' αὐτόν·

Δόξα. Ἦχος β′.

Σήμερον ὁ Χριστὸς* εἰσέρχεται ἐν πόλει τῇ ἁγίᾳ* ἐν πώλῳ καθήμενος,* τὴν ἀλογίαν λύων* τῶν ἐθνῶν τὴν κάκιστον,* πάλαι κεχερσωμένην.

Καὶ νῦν. Τὸ αὐτό.

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Καὶ τὸ ἰδιόμελον· Σήμερον ἡ χάρις... (σ. 1075).

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Καὶ ψάλλεται ὁ κανών. Ποίημα Κοσμᾶ μοναχοῦ.

Ἦχος δ′. Ὠδὴ α′. Ὁ εἱρμός.

Ὤφθησαν* αἱ πηγαὶ τῆς ἀβύσσου* νοτίδος ἄμοιροι* καὶ ἀνεκαλύφθη θαλάσσης* κυμαινούσης τὰ θεμέλια·* τῇ καταιγίδι νεύματι* ταύτης γὰρ ἐπετίμησας,* περιούσιον λαὸν δὲ ἔσωσας,* ἄδοντα* ἐπινίκιον ὕμνον σοι, Κύριε.

Τροπάρια.

Στόματος* ἐκ νηπίων ἀκάκων* καὶ θηλαζόντων αἶνον* τὸν σῶν ἱκετῶν κατηρτίσω* καταλῦσαι τὸν ἀντίπαλον* καὶ ἐκδικῆσαι πάθει σταυροῦ* τὴν πτῶσιν τοῦ πάλαι Ἀδάμ,* διὰ ξύλου ἀναστῆσαι τοῦτον δὲ* ᾄδοντα* ἐπινίκιον ὕμνον σοι, Κύριε.

Αἴνεσιν* Ἐκκλησία ὁσίων* τῷ ἐνοικοῦντι Σιὼν* σοί, Χριστέ, προσφέρει, ἐν σοὶ δὲ* Ἰσραὴλ τῷ ποιητῇ αὐτοῦ* χαίρει, καὶ ὄρη, ἔθνη* ἀντίτυπα, λιθοκάρδια,* ἐκ προσώπου σου ἠγαλλιάσαντο,* ᾄδοντα* ἐπινίκιον ὕμνον σοι, Κύριε.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Νάουσαν ἀκρότομον* προστάγματι σῷ* στερεὰν ἐθήλασε πέτραν* Ἰσραηλίτης λαός·* ἡ δὲ πέτρα σύ, Χριστέ,* ὑπάρχεις καὶ ζωή·* ἐν ᾗ ἐστερεώθη* ἡ Ἐκκλησία κράζουσα·* Ὡσαννά,* εὐλογημένος εἶ, ὁ ἐρχόμενος.

Τροπάρια.

Νεκρὸν τετραήμερον* προστάγματι σῷ* ἐκ νεκάδων σύντρομος ᾅδης* ἀφῆκε Λάζαρον·* ἡ ἀνάστασις, Χριστέ,* σὺ γὰρ καὶ ζωή·* ἐν ᾧ ἐστερεώθη* ἡ Ἐκκλησία κράζουσα·* Ὡσαννά,* εὐλογημένος εἶ, ὁ ἐρχόμενος.

Ἀσατε, λαοί,* θεοπρεπῶς ἐν Σιών,* καὶ εὐχὴν ἀπόδοτε Χριστῷ* ἐν Ἱερουσαλήμ·* αὐτὸς ἔρχεται ἐν δόξῃ* μετὰ κυρείας·* ἐν ᾧ ἐστερεώθη* ἡ Ἐκκλησία κράζουσα·* Ὡσαννά,* εὐλογημένος εἶ, ὁ ἐρχόμενος.

Μετὰ τὴν γ' ᾠδὴν ἡ ὑπακοή. Ἦχος πλ. β'.

Μετὰ κλάδων ὑμνήσαντες πρότερον,* μετὰ ξύλων συνέλαβον ὕστερον* οἱ ἀγνώμονες Χριστόν* Ἰουδαῖοι τὸν Θεόν·* ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ* ἀεὶ τιμῶντες ὡς εὐεργέτην,* διὰ παντὸς βοήσωμεν αὐτῷ·* Εὐλογημένος εἶ, ὁ ἐρχόμενος* τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Μετὰ τὴν στ' κοντάκιον αὐτόμελον.

Ποίημα Ρωμανοῦ τοῦ μελῳδοῦ. Ἦχος πλ. β΄.

Τῷ θρόνῳ ἐν οὐρανῷ,* τῷ πώλῳ ἐπὶ τῆς γῆς* ἐποχούμενος, Χριστὲ ὁ Θεός,* τῶν ἀγγέλων τὴν αἴνεσιν* καὶ τῶν παίδων τὴν ὕμνησιν* προσεδέξω βοώντων σοι·* Εὐλογημένος εἶ, ὁ ἐρχόμενος* τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Ὁ οἶκος.

Ἐπειδὴ ᾅδην ἔδησας,* ἀθάνατε, καὶ θάνατον ἐνέκρωσας* καὶ κόσμον ἀνέστησας,* βαΐοις τὰ νήπια* ἀνευφήμουν σε, Χριστέ, ὡς νικητὴν* κραυγάζοντά σοι σήμερον·* Ὡσαννὰ τῷ υἱῷ Δαβίδ!* οὐκέτι γάρ, φησί,* σφαγήσονται βρέφη* διὰ τὸ βρέφος Μαριάμ·* ἀλλ᾽ ὑπὲρ πάντων νηπίων καὶ πρεσβυτῶν* μόνος σταυροῦσαι·* οὐκέτι καθ᾽ ἡμῶν* χωρήσει τὸ ξίφος·* ἡ σὴ γὰρ πλευρὰ* νυγήσεται λόγχῃ·* ὅθεν ἀγαλλόμενοι φαμέν·* Εὐλογημένος εἶ, ὁ ἐρχόμενος* τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τῶν Βαΐων, τὴν λαμπρὰν καὶ ἔνδοξον πανήγυριν τῆς εἰς Ἱερουσαλὴμ εἰσόδου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζομεν.

Στίχοι.

Πώλῳ καθίσας, ὁ λόγῳ τείνας πόλον,
Βροτοὺς ἐκζητεῖ λῦσαι τῆς ἀλογίας.

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, νικητὰς ἡμᾶς τῶν παραλόγων παθῶν ποίησον καὶ τὴν σὴν ἐναργῆ κατὰ θανάτου νίκην, τὴν φαιδράν σου καὶ ζωηφόρον ἀνάστασιν ἰδεῖν καταξίωσον καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.

Αἱ καταβασίαι. Ἦχος δ΄.

Ὠδὴ α΄.

Ὤφθησαν αἱ πηγαί... (σ. 1082).

Ὠδὴ γ΄.

Νάουσαν ἀκρότομον... (σ. 1083).

Ὠδὴ δ΄.

Χριστὸς ὁ ἐρχόμενος* ἐμφανῶς Θεὸς ἡμῶν,* ἦξει καὶ οὐ χρονιεῖ* ἐξ ὄρους* κατασκίου δασέος, Κόρης* τικτούσης ἀπειράνδρου,* προφήτης πάλαι φησί.* Διὸ πάντες βοῶμεν·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε΄.

Τὴν Σιὼν ἐπ᾽ ὄρους ἀνάβηθι* ὁ εὐαγγελιζόμενος,* καὶ τὴν Ἱερουσαλὴμ* ὁ κηρύσσων, ἐν ἰσχύϊ* ὕψωσον φωνήν·* δεδοξασμένα ἐλαλήθη* περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ·* εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ* καὶ σωτήριον ἔθνεσιν.

Ὠδὴ στ΄.

Ἐβόησαν* ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα·* Νῦν τῷ κόσμῳ* διαθήκη καινὴ διατίθεται·* καὶ ῥαντίσματι* καινουργείσθω λαὸς θείου αἵματος.

Ὠδὴ ζ΄.

Ὁ διασώσας ἐν πυρὶ* τοὺς Ἀβραμιαίους σου παῖδας* καὶ τοὺς Χαλδαίους ἀνελών,* οἷς ἀδίκως δικαίους ἐνήδρευσαν,* ὑπερύμνητε Κύριε,* ὁ Θεὸς ὁ τῶν πατέρων,* εὐλογητὸς εἶ.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ὠδὴ η΄.

Εὐφράνθητι, Ἱερουσαλήμ* πανηγυρίσατε,* οἱ ἀγαπῶντες Σιών·* ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας* Κύριος τῶν δυνάμεων ἦλθεν·* εὐλαβείσθω* πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ,* καὶ βοάτω·* Πάντα τὰ ἔργα,* ὑμνεῖτε τὸν Κύριον.

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός...

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Θεὸς Κύριος* καὶ ἐπέφανεν ἡμῖν·* συστήσασθε ἑορτήν,* καὶ ἀγαλλόμενοι,* δεῦτε, μεγαλύνωμεν Χριστόν,* μετὰ βαΐων καὶ κλάδων* ὕμνοις κραυγάζοντες·* Εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου,* Σωτῆρος ἡμῶν.

Τροπάρια.

Ἔθνη, ἵνα τί* ἐφρυάξατε; γραφεῖς* καὶ ἱερεῖς, τί κενὰ* ἐμελετήσατε;* Τίς οὗτος, εἰπόντες, ᾧ παῖδες* μετὰ βαΐων καὶ κλάδων* ὕμνοις κραυγάζουσιν·* Εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου,* Σωτῆρος ἡμῶν;

Οὗτος ὁ Θεός,* ᾧ παρόμοιος οὐδείς,* δικαίαν πᾶσαν ὁδὸν* ἐξευρών, δέδωκε* τῷ ἠγαπημένῳ Ἰσραήλ·* μετὰ δὲ ταῦτα ἀνθρώποις* συνανεστράφη ὀφθείς.* Εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου,* Σωτῆρος ἡμῶν.

Σκάνδαλα τρίβου* τί ἐχόμενα ἡμῖν* τιθέατε, ἀπειθεῖς;* πόδες ὀξεῖς ὑμῶν* αἷμα διεκχέαι Δεσπότου·* ἀλλ' ἀναστήσεται πάντως* σῶσαι τοὺς κράζοντας·* Εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου,* Σωτῆρος ἡμῶν.

Καταβασία. Θεὸς Κύριος καὶ ἐπέφανεν.

Ἐξαποστειλάριον.

Ἅγιος Κύριος, ὁ Θεὸς ἡμῶν. (Ἐκ γ').

Καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὴν εὐχὴν τῶν βαΐων.

ΕΥΧΗ

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ἐξεγείρας τὴν δυναστείαν σου καὶ ἀποστείλας τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα σώσῃ τὸν κόσμον διὰ τοῦ Σταυροῦ, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως αὐτοῦ· οὗ παραγενομένου ἐν Ἱερουσαλὴμ ἐπὶ τὸ ἑκούσιον πάθος, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει καὶ σκιᾷ θανάτου λαβόντες τὰ τῆς νίκης σύμβολα, τοὺς κλάδους τῶν δένδρων καὶ τὰ βαΐα τῶν φοινίκων, τὴν ἀνάστασιν προεμήνυσαν· αὐτός, Δέσποτα, καὶ ἡμᾶς, τοὺς κατὰ μίμησιν ἐκείνων τῇ προεορτίῳ ταύτῃ ἡμέρᾳ βαΐα καὶ κλάδους δένδρων ἐν χερσὶ φέροντας, διατήρησον καί, ὡς ἐκεῖνοι οἱ ὄχλοι καὶ οἱ παῖδες, τὸ Ὡσαννά σοι προσφέροντας διαφύλαξον· ὅπως ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς καταξιωθῶμεν τῆς ζωοποιοῦ καὶ τριημέρου ἀναστάσεως ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωο-

ποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ εὐθὺς ψάλλομεν τοὺς αἴνους, ἐν οἷς λέγομεν τὰ παρόντα ἰδιόμελα.

Κοσμᾶ μοναχοῦ. Ἦχος δ΄.

Ὁ πλεῖστος ὄχλος, Κύριε,* ἐστρώννυον ἐν τῇ ὁδῷ* τὰ ἱμάτια αὐτῶν,* ἄλλοι δὲ ἔκοπτον κλάδους* ἀπὸ τῶν δένδρων καὶ ἐβάσταζον·* οἱ προάγοντες δὲ* καὶ οἱ ἀκολουθοῦντες* ἔκραζον λέγοντες·* Ὡσαννὰ τῷ υἱῷ Δαβίδ·* εὐλογημένος εἶ, ὁ ἐλθὼν* καὶ πάλιν ἐρχόμενος* ἐν ὀνόματι Κυρίου.

Μέλλοντός σου εἰσιέναι* εἰς τὴν ἁγίαν πόλιν, Κύριε,* τὰ κλάδη τῶν φυτῶν* οἱ λαοὶ ἐβάσταζον,* σὲ ὑμνοῦντες* τὸν τῶν ὅλων Δεσπότην·* ὁρῶντές σε* ἐπὶ πώλου καθήμενον,* ὡς ἐπὶ τῶν Χερουβὶμ ἐθεώρουν,* καὶ διὰ τοῦτο οὕτως ἐβόων·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος εἶ, ὁ ἐλθὼν* καὶ πάλιν ἐρχόμενος* ἐν ὀνόματι Κυρίου.

Ἐξέλθετε, ἔθνη,* ἐξέλθετε καὶ λαοί,* καὶ θεάσασθε σήμερον* τὸν βασιλέα τῶν οὐρανῶν,* ὡς ἐπὶ θρόνου ὑψηλοῦ,* ἐπὶ πώλου εὐτελοῦς* τὴν Ἱερουσαλὴμ προσεπιβαίνοντα·* γενεὰ Ἰουδαίων* ἄπιστε καὶ μοιχαλίς,* δεῦρο, θέασαι,* ὃν εἶδεν Ἡσαΐας* ἐν σαρκὶ δι' ἡμᾶς παραγενόμενον,* πῶς νυμφεύεται ὡς σώφρονα* τὴν νέαν Σιὼν* καὶ ἀποβάλλεται* τὴν κατάκριτον συναγωγήν·* ὡς ἐν ἀφθάρτῳ δὲ γάμῳ καὶ ἀμιάντῳ,* ἀμίαντοι συνέδραμον, εὐφημοῦντες* οἱ ἀπειρόκακοι παῖδες* μεθ' ὧν ὑμνοῦντες, βοήσωμεν* ὕμνον τὸν ἀγγελικόν·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις* τῷ ἔχοντι τὸ μέγα ἔλεος.

Ἀνδρέου Ἱεροσολυμίτου. Ἦχος ὁ αὐτός.

Τὴν κοινὴν ἀνάστασιν* πρὸ τοῦ ἑκουσίου πάθους σου* εἰς πίστωσιν πάντων* προενδειξάμενος, Χριστὲ ὁ Θεός,* τὸν μὲν Λάζαρον ἐν Βηθανίᾳ* τῇ κραταιᾷ δυνάμει σου* τετραήμερον νεκρὸν ἐξανέστησας·* καὶ τυφλοῖς δὲ τὸ βλέπειν* ὡς φωτοδότης ἐδωρήσω, Σωτήρ·* καὶ εἰς τὴν πόλιν

τὴν ἁγίαν* μετὰ τῶν σῶν μαθητῶν εἰσῆλθες,* καθήμενος ἐπὶ πώλου ὄνου,* τὰ τῶν προφητῶν ἐκπληρῶν κηρύγματα,* ὡς ἐπὶ τῶν Χερουβὶμ ἐποχούμενος·* καὶ παῖδες Ἑβραίων* μετὰ κλάδων καὶ βαΐων προϋπήντων σοι·* διὸ καὶ ἡμεῖς* κλάδους ἐλαιῶν βαστάζοντες καὶ βαΐα,* εὐχαρίστως σοι βοῶμεν·* Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου.

Δόξα, καὶ νῦν. Ἀνδρέου Πυροῦ. Ἦχος πλ. β'.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα* ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν·* καὶ προσῆλθον αὐτῷ* οἱ μαθηταὶ αὐτοῦ* λέγοντες αὐτῷ·* Κύριε, ποῦ θέλεις* ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα;* ὁ δὲ ἀπέστειλεν αὐτούς·* Ἀπέλθετε εἰς τὴν ἀπέναντι κώμην,* καὶ εὑρήσετε ἄνθρωπον* κεράμιον ὕδατος βαστάζοντα·* ἀκολουθήσατε αὐτῷ* καὶ τῷ οἰκοδεσπότῃ εἴπατε·* Ὁ Διδάσκαλος λέγει·* Πρὸς σὲ ποιῶ τὸ Πάσχα* μετὰ τῶν μαθητῶν μου.

Δοξολογία μεγάλη καὶ τὸ ἀπολυτίκιον Συνταφέντες σοι (σ. 1079).

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

(Βλ. σ. 287-319).

Ψάλλομεν τὰ παρόντα ἀντίφωνα.

Ἀντίφωνον Α'. Ἦχος β'.

Στίχ. α'. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. β'. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσάν με.

Στίχ. γ'. Θλῖψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην.

Στίχ. δ'. Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

Δόξα, καὶ νῦν.

Ἀντίφωνον Β'. Ἦχος β'.

Στίχ. α'. Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχ. β'. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Στίχ. γ'. Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Στίχ. δ'. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ...

Δόξα, καὶ νῦν. Ὁ μονογενὴς Υἱὸς (σ. 293).

Ἀντίφωνον Γ'. Ἦχος α'.

Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὴν κοινὴν ἀνάστασιν... (σ. 1079).

Στίχ. β'. Εἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. γ'. Εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ...

Στίχ. δ'. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τὰ ἀπολυτίκια Τὴν κοινὴν ἀνάστασιν καὶ Συνταφέντες σοι (σ. 1079) καὶ τὸ κοντάκιον Τῷ θρόνῳ ἐν οὐρανῷ (σ. 1084).

Προκείμενον. Ἦχος δ'. (Ψαλμὸς ριζ').

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου (δ' 4-9).

Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. Ὁ Κύριος ἐγγύς. Μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν. Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε· ἃ καὶ ἐμάθετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιβ' 1-18).

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ.

Ἡ οὖν Μαρία, λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. Λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι· Διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς; Εἶπε δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον εἶχε καὶ τὰ βαλλόμενα ἐβάσταζεν. Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἄφες αὐτήν· εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. Τοὺς

πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε.

Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστι, καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ἀπάντησιν αὐτῷ, καὶ ἔκραζον· Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ. Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον ἐκάθισεν ἐπ' αὐτό, καθώς ἐστι γεγραμμένον· «Μὴ φοβοῦ θύγατερ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου». Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ.

Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Χρυσοστόμου (σ. 299-319).

Εἰς τὸ Ἐξαιρέτως ὁ εἱρμὸς Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν (σ. 1085).

Κοινωνικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ἀλληλούϊα.

Ἀντὶ τοῦ Εἴδομεν τὸ φῶς τὸ ἀπολυτίκιον Τὴν κοινὴν ἀνάστασιν (σ. 1079).

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ ΕΣΠΕΡΑΣ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Ἀκολουθία Ἑσπερινοῦ τῆς Μ. Τεσσαρακοστῆς, σ. 241-244).

Μετὰ τὸν προοιμιακὸν καὶ τὰ εἰρηνικὰ (σ. 210-216) εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς·

Χαῖρε καὶ εὐφραίνου, πόλις Σιών... (Δίς).
Ἦλθεν ὁ Σωτὴρ σήμερον... (Δίς).
Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος... (Δίς).
Δόξα. Χαῖρε καὶ εὐφραίνου...
Καὶ νῦν. Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος...
(Ζήτει πάντα ταῦτα ἐν σ. 1078).

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος πλ. δ΄.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.
Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Ἡ ἐκτενής, τὸ Καταξίωσον, τὰ Πληρωτικὰ καὶ ἡ εὐχὴ τῆς κεφαλοκλισίας (σ. 229-231).

Καὶ ψάλλονται τὰ ἀπόστιχα.

Κυπριανοῦ. Ἦχος β΄.

Ἐκ βαΐων καὶ κλάδων,* ὡς ἐκ θείας ἑορτῆς* εἰς θείαν μεταβάντες ἑορτήν,* πρὸς σεβασμίαν* τῶν Χριστοῦ παθημάτων,* πιστοί, συνδράμωμεν* τελετὴν σωτήριον·* καὶ τοῦτον ὑπὲρ ἡμῶν* πάθος ὑφιστάμενον* κατοπτεύσωμεν ἑκούσιον* καὶ τὴν ψυχὴν αὐτοῦ λύτρον* παρεχόμενον παγκόσμιον·* αὐτῷ δὲ τὸν ὕμνον* εὐχαριστοῦντες ἀναμέλψωμεν* ἁρμόδιον, ἀνακράζοντες·* Ἡ τῆς εὐσπλαγχνίας πηγὴ* καὶ τῆς σωτηρίας λιμήν,* Κύριε, δόξα σοι.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ἠλιοῦ πατριάρχου. Ἦχος γ'.

Φοβερὸν τὸ ἐμπεσεῖν* εἰς χεῖρας Θεοῦ ζῶντος!* οὗτος κριτής ἐστιν* ἐνθυμήσεων* καὶ ἐννοιῶν καρδίας·* μηδεὶς εἰσέλθῃ πειράζων* τὴν πίστιν τὴν ἀμώμητον·* ἀλλ' ἐν πραότητι καὶ φόβῳ* Χριστῷ προσέλθωμεν,* ἵνα λάβωμεν ἔλεος* καὶ χάριν εὕρωμεν* εἰς εὔκαιρον βοήθειαν.

Στίχ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Τοῦ αὐτοῦ. Ἦχος βαρύς.

Συναγωγὴ πονηρὰ καὶ μοιχαλίς,* ἡ τῷ ἰδίῳ ἀνδρὶ* μὴ φυλάξασα πίστιν,* τί κατέχεις διαθήκην,* ἧς οὐκ ἦς κληρονόμος;* τί καυχᾶσαι ἐν Πατρί,* τὸν Υἱὸν ἀθετήσασα;* τοὺς προφήτας οὐκ ἐδέξω* τὸν Υἱὸν καταγγέλλοντας·* κἂν τὰ ἴδια τέκνα* αἰσχύνθητι οὕτω βοῶντα·* Ὡσαννὰ τῷ υἱῷ Δαβίδ·* εὐλογημένος ὁ ἐρχόμενος* ἐν ὀνόματι Κυρίου.

Δόξα. Ἐκ βαΐων καὶ κλάδων (ὡς ἄνω).

Καὶ νῦν. Φοβερὸν τὸ ἐμπεσεῖν (ὡς ἄνω).

Τὸ Νῦν ἀπολύεις. Καὶ εὐθὺς ψάλλομεν τὸ παρὸν τριῴδιον.(*)

Ποίημα Ἀνδρέου Κρήτης. Ἦχος πλ. δ'.

Ὠδὴ α'. Ὁ εἱρμός.

Τῷ συντρίψαντι πολέμους* ἐν βραχίονι αὐτοῦ* καὶ διαβιβάσαντι* τὸν Ἰσραὴλ ἐν Ἐρυθρᾷ θαλάσσῃ* ᾄσωμεν αὐτῷ ὡς λυτρωτῇ ἡμῶν,* ὅτι δεδόξασται.

Τροπάρια.

Ἰωσὴφ τὴν σωφροσύνην* μιμησώμεθα, πιστοί·* γνῶμεν τὸν τιμήσαντα* τὴν τῶν ἀνθρώπων λογικὴν οὐσίαν,* πάσῃ φυλακῇ πολιτευσάμενοι* δι' ἀρετῆς πρακτικῆς.

(*) Τὸ τριῴδιον κανονικῶς ψάλλεται εἰς τὸ Ἀπόδειπνον· ἐπειδὴ ὅμως εἰς τοὺς ἐνοριακοὺς ναοὺς δὲν τελεῖται Ἀπόδειπνον κατὰ τὴν ἑσπέραν ταύτην, παρεμβάλλεται τὸ τριῴδιον μεταξὺ τοῦ Νῦν ἀπολύεις καὶ τοῦ Τρισαγίου.

Τῶν καλῶν ἡ ἀπραξία* ὡμοιώθη τῇ συκῇ·* ταύτην οὖν ἐκκλίνωμεν,* μὴ ξηρανθῶμεν ὡς ἐκείνη τότε,* τὴν συναγωγὴν φύλλοις πυκάζουσαν* προϋπογράφουσα.

Τὴν εἰκόνα τοῦ Δεσπότου* ὑπογράφων Ἰωσὴφ* λάκκῳ κατατίθεται,* ἀπεμπολεῖται ὑπὸ τῶν συγγόνων,* πάντα ὑπομένει ὁ ἀοίδιμος* εἰς τύπον ὄντως Χριστοῦ.

Τῆς συκῆς τὴν ἀκαρπίαν* ἐκφυγόντες, ἀδελφοί,* γνῶμεν τὸ ὑπόδειγμα,* μὴ ξηρανθῶμεν ὡς ἐκείνη τότε,* ὅτε ἐπανάγων ὁ φιλάνθρωπος* ἦλθε πεινῶν ἐπ' αὐτήν.

Ἰησοῦς, ὑπὲρ τοῦ κόσμου* ἐπειγόμενος παθεῖν* θέλων, συνανέρχεται* τοῖς μαθηταῖς αὐτοῦ ἐπὶ τὴν πόλιν* Ἱερουσαλὴμ πρὸς τὸ ἑκούσιον* πάθος, ὃ ἦλθε παθεῖν.

Κολληθέντες τῷ Κυρίῳ* πάντα σπεύδοντι παθεῖν,* ἑτοιμοι γενώμεθα* πρὸς ἐμπαιγμόν, πρὸς ἐμπτυσμούς, πρὸς χλεύην,* ὅπως τοῖς ἀχράντοις αὐτοῦ πάθεσι* συνδοξασθῶμεν, πιστοί.

Πάθη πάθεσιν ἰᾶται* ὁ παθὼν ὑπὲρ ἡμῶν·* θέλων γὰρ προσίεται* τῇ καθ' ἡμᾶς ἀνθρωπίνῃ οὐσίᾳ* τὰ ζωοποιὰ αὐτοῦ παθήματα,* ἵνα σωθῶμεν ἡμεῖς.

Δόξα. Τριαδικόν.

Τρία ἄναρχα δοξάζω,* τρία ἅγια ὑμνῶ,* τρία συναΐδια* ἐν οὐσιότητι μιᾷ κηρύττω·* εἷς γὰρ ἐν Πατρί, Υἱῷ καὶ Πνεύματι* δοξολογεῖται Θεός.

Καὶ νῦν. Θεοτοκίον.

Ἡμὲν ῥάβδος Μωϋσέως* καὶ ἡ ῥάβδος Ἀαρὼν* ξένην μεταποίησιν* καὶ ὑπὲρ νοῦν οἰκονομίαν ἔσχον·* σοῦ δὲ ἡ νηδύς, Θεογεννήτρια,* τόκον καινίζει καινόν.

Κάθισμα Ἦχος δ'. (Ἐπεφάνης σήμερον).

Τῆς συκῆς τὸ ἔγκλημα* μή σε προφθάσῃ,* ἀλλ' εὐκάρπους σπούδασον* καρδίας αὔλαξι, ψυχή,* τῷ ποιητῇ σου Χριστῷ ἀγαγεῖν,* ἐν μετανοίᾳ αὐτῷ προσκομίζουσα.

Ὠδὴ η'. Ὁ εἱρμός.

Τὸν ἐν ὄρει* ἁγίῳ δοξασθέντα* καὶ ἐν βάτῳ* πυρὶ τὸ τῆς Παρθένου* τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα* Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας. (Δὶς)

Τροπάρια.

Σωφροσύνῃ* κοσμήσαντες τὸν βίον* καὶ φρονήσει* φυλάξαντες τὴν πίστιν,* δικαιοσύνης τρόπους πορισώμεθα,* ἵνα ἐν ἀνδρείᾳ* συνακολουθοῦντες* Χριστῷ συσταυρωθῶμεν.

Ἀλλην Εὔαν* εὑρὼν τὴν Αἰγυπτίαν,* οὐκ ἐκλάπη* πρὸς ἀνοσιουργίαν* ὁ πατριάρχης Ἰωσὴφ ἀλλ' ἔστηκεν* ὥσπερ τις ἀδάμας,* ὑπὸ τῶν παθῶν* μὴ ἁλοὺς τῆς ἁμαρτίας.

Παροδεύων* τοῦ βίου τὰς πορείας* ὁ Σωτήρ μου* ἐπείνασας βουλήσει,* τὴν σωτηρίαν πάντων ἐφιέμενος* τοῦτο γὰρ ἐπείνας,* τὴν ἐπιστροφὴν* τῶν ἐκ σοῦ ἀποσφαλέντων.

Ὁ προπάτωρ* γευσάμενος τοῦ ξύλου,* ὡς ἐγνώσθη* γυμνός, κατησχυμμένος,* φύλλα συκῆς λαβὼν περιεζώσατο* τὴν συναγωγὴν γὰρ* ἀπογυμνωθεῖσαν* Χριστοῦ προδιετύπου.

Ἑτοιμάζου,* ψυχή, πρὸ τῆς ἐξόδου,* εὐτρεπίζου* πρὸς τὸν ἐκεῖθεν βίον* καὶ τῷ Χριστῷ παθεῖν διὰ σὲ σπεύδοντι,* ἵνα σὲ δοξάσῃ,* σπεῦσον συμπαθεῖν* καὶ θανεῖν καὶ σταυρωθῆναι.

Πῶς μὴ φρίξῃ* ὁ θάνατος, Σωτήρ μου;* πῶς μὴ πτήξῃ* ὁ ᾅδης συναντῶν σοι,* κατ' εὐδοκίαν πρὸς τὸ πάθος σπεύδοντι,* καὶ ὑπὲρ ἀδίκων* δίκαιον ὁρῶν σε* παθεῖν ἐληλυθότα;

Τοῦ Λαζάρου* τὴν ἔγερσιν ὁρῶντες* Ἰουδαῖοι,* ἱερεῖς καὶ Λευῖται,* συνωμοσίαν φθόνῳ συσκευάσαντες,* δόλῳ προδοσίας* τὸν Χριστὸν προὐδίδουν* εἰς θάνατον Πιλάτῳ.

Ἡ ἀμνάς σου* καὶ δούλη καὶ παρθένος,* πρὸς τὸ πάθος* ὁρμῶντά σε ὁρῶσα* καὶ τὴν ψυχὴν ὑπὲρ ἡμῶν προθέμενον,* τὸν καλὸν ποιμένα,* σπλάγχνοις μητρικοῖς* ἐπὶ σοὶ προσωδυνᾶτο.

Δόξα. Τριαδικόν.

Ὡς Μονάδα* τῇ οὐσίᾳ ὑμνῶ σε,* ὡς Τριάδα* τοῖς προσώποις σε σέβω,* Πάτερ, Υἱέ, καὶ Πνεῦμα τὸ πανάγιον,* ἄναρχον τὸ κράτος* τῆς σῆς βασιλείας* δοξάζω εἰς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Δυσωπεῖ σε,* Χριστέ, ἡ Θεοτόκος,* ἱκετεύει* τῶν μαθητῶν ὁ δῆμος·* Τὴν σὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου* καὶ τοὺς οἰκτιρμούς σου* χάρισαι πλουσίως* ἡμῖν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Ἀλλότριον* τῶν μητέρων ἡ παρθενία* καὶ ξένον ταῖς παρθένοις* ἡ παιδοποιΐα·* ἐπὶ σοί, Θεοτόκε,* ἀμφότερα ᾠκονομήθη.* Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς* ἀπαύστως μακαρίζομεν. (Δις)

Τροπάρια.

Ἀλλότριον* τῶν ἀσέμνων ἡ σωφροσύνη* καὶ ξένον τοῖς δικαίοις* ἡ παρανομία.* Ἰωσὴφ δὲ ὁ μέγας* ἐξέκλινε τὴν ἁμαρτίαν* καὶ σωφροσύνης ἐχρημάτισεν* εἰκὼν καὶ τύπος ὄντως Χριστοῦ.

Ἀλλότριον* τῶν ἀνόμων ἡ εὐνομία* καὶ ξένον τοῖς ἀπίστοις* ἡ θεογνωσία·* Ἰουδαῖοι δὲ ταῦτα* ἀπώσαντο δι' ἀνομίαν·* διὸ καὶ μόνοι ἐκληρώσαντο* καθάπερ ἡ συκῆ τὴν ἀράν.

Ἐπείνασε* τῶν ἀνθρώπων τὴν σωτηρίαν,* ζωῆς ὑπάρχων ἄρτος* ὁ Χριστὸς καὶ Θεός μου·* ὡς συκῆν δὲ προφθάσας* τὴν ἄκαρπον συναγωγήν,* φύλλοις κομῶσαν νομικοῖς αὐτὴν* ὡς εἶδε, κατηράσατο.

Τὴν νομικὴν* ἀκαρπίαν προκατηράσω* ὡς φύλλα ἐξανθοῦσαν* τοῦ γράμματος τὴν γνῶσιν,* τοὺς καρποὺς δὲ τῶν ἔργων* οὐκ ἔχουσαν δι' ἀνομίαν'* ἡμᾶς δὲ πάντας τοὺς τῆς χάριτος* υἱούς, Σωτήρ, εὐλόγησον.

Ἡ ῥάβδος μὲν* Μωϋσέως τὸ πρὶν εἰς ὄφιν,* ἡ Ἀαρὼν δὲ ῥάβδος* εἰς χλωρὸν μετεβλήθη* καὶ ἐξήνθησε φύλλα* ἡ ἄκαρπος καὶ ξηρανθεῖσα'* συναγωγὴ δὲ ἡ παράνομος* εἰς ἄκαρπον μετήχθη συκῆν.

Ἑτοίμαζε,* Ἰουδαία, τοὺς ἱερεῖς σου,* εὐτρέπιζε τὰς χεῖρας* πρὸς θεοκτονίαν'* ἰδοὺ γὰρ ἦλθε πραΰς* καὶ ἡσυχος ἐπὶ τὸ πάθος,* ἀμνὸς ὑπάρχων καὶ ποιμὴν ἡμῶν,* Χριστὸς ὁ βασιλεὺς Ἰσραήλ.

Ὑπόδεξαι,* Ἰουδαία, τὸν βασιλέα'* ἰδοὺ γὰρ πρὸς τὸ πάθος* ἔρχεται ἑκουσίως,* ἵνα πάθῃ καὶ σώσῃ* τοὺς κράζοντας ἀκαταπαύστως'* Εὐλογημένος ὁ ἐρχόμενος* σταυρῷ σῶσαι τὰ σύμπαντα.

Μετέστρεψεν,* Ἰουδαία, τὰς ἑορτάς σου* εἰς πένθος ὁ Δεσπότης* κατὰ τὴν προφητείαν'* θεοκτόνος γὰρ ὤφθης* τοῦ στρέψαντος ποτὲ τὴν πέτραν* καὶ τὴν ἀκρότομον εἰς ὕδατα* καὶ λίμνας, καθὼς ψάλλει Δαβίδ.

Δόξα. Τριαδικόν.

Ἀλλότριον* τοῖς ἀνόμοις ἐστὶ δοξάζειν* τὴν ἄναρχον οὐσίαν,* Πατέρα καὶ Υἱόν τε* καὶ τὸ ἅγιον Πνεῦμα,* τὴν ἄκτιστον παγκρατορίαν'* δι' ἧς ὁ σύμπας κόσμος ἥδρασται* τῷ νεύματι τοῦ κράτους αὐτῆς.

Καὶ νῦν. Θεοτοκίον.

Προσάγομεν* εἰς πρεσβείαν τὴν Θεοτόκον'* αὐτῆς ταῖς ἱκεσίαις* καὶ τῶν σῶν ἀποστόλων* κοινωνοὺς ἡμᾶς ποίησον,* Δέσποτα, τῶν ἀγαθῶν σου* καὶ τῆς λαμπρότητος ἀξίωσον,* Σωτήρ, τῆς ἀναστάσεως.

Καὶ πάλιν τὸν εἱρμόν·

Ἀλλότριον τῶν μητέρων ἡ παρθενία... (σ. 1096).

Τὸ Τρισάγιον, τὰ τροπάρια Θεοτόκε Παρθένε καὶ τὰ λοιπὰ τοῦ Ἑσπερινοῦ (σ. 242-243).

Ἀπόλυσις· Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Καὶ λαμβάνομεν συγχώρησιν παρὰ τοῦ ἱερέως, ψαλλομένου τοῦ σταυροθεοτοκίου Σφαγήν σου τὴν ἄδικον, Χριστέ... (σ. 273).

Η ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ(*)

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης τὸ Τρισάγιον καὶ τοὺς Ψαλμοὺς Ἐπακούσαι σου Κύριος κ.τ.λ. (σ. 151), αὖθις τὸ Τρισάγιον καὶ τὰ τροπάρια Σῶσον, Κύριε, τὸν λαόν σου. Ὁ ἱερεὺς τὴν δέησιν. Ὁ ἀναγνώστης τὸν ἑξάψαλμον. Ὁ διάκονος τὰ εἰρηνικὰ (σ. 84-99).

Εἶτα ψάλλεται τὸ Ἀλληλούϊα μετὰ τῶν στίχων αὐτοῦ (σ. 153) καὶ τὸ παρὸν τροπάριον ἐκ γ'.

Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται* ἐν τῷ μέσῳ τῆς νυκτός·* καὶ μακάριος ὁ δοῦλος,* ὃν εὑρήσει γρηγοροῦντα·* ἀνάξιος δὲ πάλιν,* ὃν εὑρήσει ῥᾳθυμοῦντα.* Βλέπε οὖν, ψυχή μου,* μὴ τῷ ὕπνῳ κατενεχθῇς,* ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς* καὶ τῆς βασιλείας ἔξω κλεισθῇς·* ἀλλὰ ἀνάνηψον κρά-

(*) Κατὰ τὴν ἐπικρατοῦσαν σήμερον γενικῶς συνήθειαν εἰς τοὺς ἐνοριακοὺς ναοὺς ὁ Ὄρθρος ἑκάστης ἡμέρας τῆς Μ. Ἑβδομάδος τελεῖται τὴν ἑσπέραν τῆς προηγουμένης ἡμέρας. Οὕτω π.χ. ὁ Ὄρθρος τῆς Μ. Δευτέρας τελεῖται τὴν ἑσπέραν τῆς Κυριακῆς τῶν Βαΐων. Οἱ δὲ Ἑσπερινοὶ τελοῦνται τὸ πρωΐ, διότι ὅλοι (ἐκτὸς τοῦ τῆς Μ. Παρασκευῆς) συνδέονται μετὰ Θ. Λειτουργίας τελείας ἢ προηγιασμένης.

ζουσα·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* προστασίαις τῶν ἀσωμάτων,* σῶσον ἡμᾶς.

Εἰς τὸ τέλος τοῦ β′ λέγομεν τὸ χαρακτηριστικὸν τοῦ ἁγίου τοῦ ναοῦ· Πρεσβείαις τοῦ ἁγίου (ἢ τοῦ ὁσίου ἢ τοῦ ἱεράρχου) σῶσον ἡμᾶς.

Εἰς δὲ τὸ τέλος τοῦ γ′ Διὰ τῆς Θεοτόκου* ἐλέησον ἡμᾶς.

[Τὸ Ψαλτήριον τῆς ἡμέρας].

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος...

Καὶ ψάλλομεν τὰ παρόντα καθίσματα.

Ἦχος α′. (Τὸν τάφον σου, Σωτήρ).

Τὰ πάθη τὰ σεπτὰ* ἡ παροῦσα ἡμέρα* ὡς φῶτα σωστικὰ* ἀνατέλλει τῷ κόσμῳ·* Χριστὸς γὰρ ἐπείγεται* τοῦ παθεῖν ἀγαθότητι·* ὁ τὰ σύμπαντα* ἐν τῇ δρακὶ περιέχων* καταδέχεται* ἀναρτηθῆναι ἐν ξύλῳ* τοῦ σῶσαι τὸν ἄνθρωπον.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.(*)

Ἕτερον. Ὅμοιον.

Ἀόρατε κριτά,* ἐν σαρκὶ καθωράθης* καὶ ἔρχῃ ὑπ' ἀνδρῶν* παρανόμων κτανθῆναι,* ἡμῶν τὸ κατάκριμα* κατακρίνων τῷ πάθει σου·* ὅθεν αἴνεσιν,* μεγαλωσύνην καὶ δόξαν* ἀναπέμποντες* τῇ ἐξουσίᾳ σου, Λόγε,* συμφώνως προσφέρομεν.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ἕτερον. Ἦχος πλ. δ′. (Τὴν Σοφίαν καὶ Λόγον).

Τῶν παθῶν τοῦ Κυρίου τὰς ἀπαρχὰς* ἡ παροῦσα ἡμέρα λαμπροφορεῖ.* Δεῦτε οὖν, φιλέορτοι,* ὑπαντήσωμεν ᾄσμασιν·* ὁ γὰρ κτίστης ἔρχεται* Σταυρὸν καταδέξασθαι,* ἐτασμοὺς καὶ μάστιγας,* Πιλάτῳ κρινόμενος·* ὅθεν καὶ ἐκ δούλου* ῥαπισθεὶς ἐπὶ κόρρης,* τὰ πάντα προσίεται,* ἵνα

(*) Εἰς τὰς ἑνορίας χάριν συντομίας τὰ καθίσματα ψάλλονται ἀνὰ μίαν ἕκαστον καὶ μόνον τὸ τρίτον διπλασιάζεται.

σώσῃ τὸν ἄνθρωπον.* Διὰ τοῦτο βοήσωμεν* Φιλάνθρωπε Χριστὲ ὁ Θεός,* τῶν πταισμάτων δώρησαι τὴν ἄφεσιν* τοῖς προσκυνοῦσιν ἐν πίστει* τὰ ἄχραντα πάθη σου.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ., καὶ ὁ ἱερεὺς ἀναγινώσκει τὸ

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κα' 18-43).

Τῷ καιρῷ ἐκείνῳ, ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν ἐπείνασε· καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ' αὐτὴν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον· καὶ λέγει αὐτῇ· Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. Καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. Καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν λέγοντες· Πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε· Ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται. Καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε.

Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· Τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς λέγοντες· Ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν, διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; Ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην. Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον· Οὐκ οἴδαμεν. Ἔφη αὐτοῖς καὶ αὐτός· Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

Τί δὲ ὑμῖν δοκεῖ; Ἄνθρωπός τις εἶχε τέκνα δύο, καὶ

προσελθὼν τῷ πρώτῳ, εἶπε· Τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθε. Καὶ προσελθὼν τῷ δευτέρῳ εἶπεν ὡσαύτως. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἐγώ, κύριε· καὶ οὐκ ἀπῆλθε. Τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; Λέγουσιν αὐτῷ· Ὁ πρῶτος. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ.

Ἄλλην παραβολὴν ἀκούσατε· Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· Ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς· «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν»; Διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης τὸν Ν' Ψαλμὸν χῦμα (σ. 103). Καὶ εὐθὺς ψάλλομεν τὸ παρὸν τριῴδιον, οὗ ἡ ἀκροστιχίς· Τῇ Δευτέρᾳ. Ποίημα Κοσμᾶ μοναχοῦ. Ἦχος β'.

Ὠδὴ α'. Ὁ εἱρμός.(*)

Τῷ τὴν ἄβατον* κυμαινομένην θάλασσαν* θείῳ αὐτοῦ προστάγματι* ἀναξηράναντι* καὶ πεζεῦσαι δι' αὐτῆς* τὸν Ἰσραηλίτην* λαὸν καθοδηγήσαντι,* Κυρίῳ ᾄσωμεν·* ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια.

Ἡ ἀπόῤῥητος* Λόγου Θεοῦ κατάβασις,* ὅπερ Χριστὸς αὐτός ἐστι,* Θεὸς καὶ ἄνθρωπος,* τὸ Θεὸς οὐχ ἁρπαγμὸν* εἶναι ἡγησάμενος* ἐν τῷ μορφοῦσθαι δοῦλον,* δεικνύει τοῖς μαθηταῖς·* ἐνδόξως γὰρ δεδόξασται.

Διακονῆσαι* αὐτὸς ἐλήλυθα,* οὐ τὴν μορφὴν ὁ Πλαστουργὸς* ἐκὼν περίκειμαι,* τῷ πτωχεύσαντι Ἀδάμ,* ὁ πλουτῶν θεότητι,* θεῖναι ἐμήν τε αὐτοῦ* ψυχὴν ἀντίλυτρον* ὁ ἀπαθὴς θεότητι.

Καταβασία. Τῷ τὴν ἄβατον.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Σῦ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

Κοντάκιον. Ἦχος πλ. δ'. (Ὡς ἀπαρχάς).

Ὁ Ἰακὼβ ὠδύρετο* τοῦ Ἰωσὴφ τὴν στέρησιν,* καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι,* ὡς βασιλεὺς τιμώμενος·* τῆς Αἰγυπτίας γὰρ τότε* ταῖς ἡδοναῖς μὴ δουλεύσας,* ἀντεδο-

(*) Ἑκάστης ᾠδῆς τὰ τροπάρια μετὰ τοῦ εἱρμοῦ ψάλλονται εἰς στ' ἢ χάριν συντομίας εἰς δ'. Ὁ εἱρμὸς ψάλλεται ἄνευ στίχου τινός· τῶν δύο τελευταίων τροπαρίων προτάσσεται τὸ Δόξα Πατρὶ καὶ τὸ Καὶ νῦν, τῶν δὲ ἐνδιαμέσων τροπαρίων τὸ Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. Εἰς τὸ τέλος ἐπαναλαμβάνεται ὁ εἱρμὸς ὡς καταβασία. Τὰ αὐτὰ ἰσχύουν δι' ὅλους τοὺς κανόνας τῆς Μ. Ἑβδομάδος.

ξάζετο* παρὰ τοῦ βλέποντος* τὰς τῶν ἀνθρώπων καρδίας* καὶ νέμοντος* στέφος ἄφθαρτον.

Ὁ οἶκος. (Οἱ ἐν πάσῃ τῇ γῇ).

Ἐπὶ τῷ ὀδυρμῷ νῦν προσθήσωμεν* ὀδυρμὸν καὶ ἐκχέωμεν δάκρυα,* μετὰ τοῦ Ἰακὼβ συγκοπτόμενοι* Ἰωσὴφ τὸν ἀοίδιμον καὶ σώφρονα,* τὸν δουλωθέντα μὲν τῷ σώματι,* τὴν ψυχὴν δὲ ἀδούλωτον συντηροῦντα,* καὶ Αἰγύπτου παντὸς κυριεύσαντα·* ὁ Θεὸς γὰρ παρέχει τοῖς δούλοις αὐτοῦ* στέφος ἄφθαρτον.

Τὸ συναξάριον τοῦ Μηναίου καὶ τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ μνείαν ποιούμεθα τοῦ μακαρίου Ἰωσὴφ τοῦ παγκάλου καὶ τῆς ὑπὸ τοῦ Κυρίου καταραθείσης καὶ ξηρανθείσης συκῆς.

Στίχοι εἰς τὸν πάγκαλον Ἰωσήφ.

Σώφρων Ἰωσὴφ δίκαιος κράτωρ ὤφθη
καὶ σιτοδότης· ὢ καλῶν θημωνία!

Ἕτεροι εἰς τὴν ξηρανθεῖσαν συκῆν.

Τὴν συναγωγὴν συκῆν Χριστὸς Ἑβραίων,
καρπῶν ἄμοιρον πνευματικῶν εἰκάζων,
ἀρᾷ ξηραίνει· ἧς φύγωμεν τὸ πάθος.

Ταῖς τοῦ παγκάλου Ἰωσὴφ πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ η'. Ὁ εἱρμός.

Ἐφριξε παίδων εὐαγῶν* τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα* καὶ εἶξε τὸ τραφὲν* ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ·* ἀειζώου δὲ* ἐκμαρανθείσης φλογός,* διαιωνίζων ὕμνος ἀνεμέλπετο·* Τὸν Κύριον,* πάντα τὰ ἔργα, ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Ὑμᾶς μου τότε μαθητὰς* πάντες γνώσονται, εἰ τὰς ἐμὰς ἐντολὰς* τηρήσετε, φησὶν* ὁ Σωτὴρ τοῖς φίλοις πρὸς πάθος μολῶν·* εἰρηνεύετε* ἐν ἑαυτοῖς καὶ πᾶσι·* καὶ ταπει-

νὰ φρονοῦντες ἀνυψώθητε˙* καὶ Κύριον* γινώσκοντές με, ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Τάξεως ἔμπαλιν ὑμῖν* ἐθνικῆς ἔστω τὸ κράτος ὁμογενῶν˙* οὐ κλῆρος γὰρ ἐμός,* τυραννὶς δέ, γνώμη αὐθαίρετος˙* ὁ οὖν πρόκριτος* ἐν ὑμῖν εἶναι θέλων* τῶν ἄλλων ἔστω πάντων ἐσχατώτερος˙* καὶ Κύριον* γινώσκοντές με, ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Ἔφριξε παίδων εὐαγῶν.

Εἶτα ὁ διάκονος, ἢ ὁ ἱερεύς˙

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Ε μεγάλυνας, Χριστέ,* τὴν τεκοῦσάν σε Θεοτόκον,* ἀφ' ἧς ὁ πλάστης ἡμῶν* ὁμοιοπαθὲς περιέθου σῶμα,* τὸ τῶν ἡμετέρων* λυτήριον ἀγνοημάτων˙* ταύτην μακαρίζοντες* πᾶσαι γενεαί, σὲ μεγαλύνομεν.

Τροπάρια.

Ρύπον πάντα ἐμπαθῆ* ἀπωσάμενοι, ἐπάξιον* τῆς θείας βασιλείας* γνώμην ἀναλάβετε ἔμφρονα,* – τοῖς σοῖς ἀποστόλοις* προέφης, ἡ πάντων σοφία* – ἐν ᾗ δοξασθήσεσθε,* λάμποντες ἡλίου τηλαυγέστερον.

Αφορῶντες εἰς ἐμέ,* – εἶπας, Κύριε, τοῖς σεαυτοῦ μαθηταῖς – * μὴ φρονεῖτε ὑψηλά,* ἀλλὰ συναπάχθητε τοῖς ταπεινοῖς˙* ἐμόν, ὅπερ πίνω,* πίεσθε ποτήριον,* ὅτι ἐν τῇ βασιλείᾳ* τοῦ Πατρὸς ἐμοὶ συνδοξασθήσεσθε.

Καταβασία. Ἐμεγάλυνας, Χριστέ.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις˙ Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν...

Ἐξαποστειλάριον αὐτόμελον. Ἦχος γ΄.

Τὸν νυμφῶνά σου βλέπω,* Σωτήρ μου, κεκοσμημένον* καὶ ἔνδυμα οὐκ ἔχω,* ἵνα εἰσέλθω ἐν αὐτῷ˙* λάμπρυνόν

μου τὴν στολὴν τῆς ψυχῆς,* φωτοδότα, καὶ σῶσόν με.
(Τρὶς)

Εἰς τοὺς αἴνους ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Κοσμᾶ μοναχοῦ. Ἦχος α΄.

Ἐρχόμενος ὁ Κύριος* πρὸς τὸ ἑκούσιον πάθος* τοῖς ἀποστόλοις ἔλεγεν ἐν τῇ ὁδῷ·* Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα,* καὶ παραδοθήσεται* ὁ Υἱὸς τοῦ ἀνθρώπου,* καθὼς γέγραπται περὶ αὐτοῦ·* δεῦτε οὖν καὶ ἡμεῖς* κεκαθαρμέναις διανοίαις* συμπορευθῶμεν αὐτῷ* καὶ συσταυρωθῶμεν* καὶ νεκρωθῶμεν δι' αὐτὸν* ταῖς τοῦ βίου ἡδοναῖς,* ἵνα καὶ συζήσωμεν αὐτῷ* καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ·* Οὐκέτι εἰς τὴν ἐπίγειον Ἱερουσαλὴμ* διὰ τὸ παθεῖν,* ἀλλὰ ἀναβαίνω πρὸς τὸν Πατέρα μου* καὶ Πατέρα ὑμῶν* καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν·* καὶ συνανυψῶ ὑμᾶς* εἰς τὴν ἄνω Ἱερουσαλήμ,* ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. (Δὶς)

Τοῦ αὐτοῦ. Ἦχος πλ. α΄.

Φθάσαντες, πιστοί,* τὸ σωτήριον πάθος* Χριστοῦ τοῦ Θεοῦ,* τὴν ἄφατον αὐτοῦ* μακροθυμίαν δοξάσωμεν,* ὅπως τῇ αὐτοῦ εὐσπλαγχνίᾳ* συνεγείρῃ καὶ ἡμᾶς* νεκρωθέντας τῇ ἁμαρτίᾳ,* ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. (Δὶς)

Δόξα, καὶ νῦν. Τοῦ αὐτοῦ. Ἦχος πλ. α΄.

Κύριε,* ἐρχόμενος πρὸς τὸ πάθος,* τοὺς ἰδίους στηρίζων* μαθητάς, ἔλεγες,* κατ' ἰδίαν παραλαβὼν αὐτοὺς·* Πῶς τῶν ῥημάτων μου ἀμνημονεῖτε,* ὧν πάλαι εἶπον ὑμῖν,* ὅτι προφήτην πάντα οὐ γέγραπται,* εἰ μὴ ἐν Ἱερουσαλὴμ ἀποκτανθῆναι;* Νῦν οὖν καιρὸς ἐφέστηκεν,* ὃν εἶπον ὑμῖν·* ἰδοὺ γὰρ παραδίδομαι* ἁμαρτωλῶν χερσὶν ἐμπαιχθῆναι,* οἳ καὶ σταυρῷ με προσπήξαντες,* ταφῇ παραδόντες,* ἑβδελυγμένον λογιοῦνται ὡς νεκρόν·* ὅμως θαρσεῖτε·* τριήμερος γὰρ ἐγείρομαι* εἰς ἀγαλλίασιν πιστῶν* καὶ ζωὴν τὴν αἰώνιον.

Ὁ ἀναγνώστης τὴν δοξολογίαν· Σοὶ δόξα πρέπει... Δόξα ἐν ὑψίστοις Θεῷ... (σ. 148).

Ὁ διάκονος τὰ Πληρωτικὰ καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 135-137).

Μετὰ δὲ τὴν ἐκφώνησιν ψάλλομεν τὰ ἀπόστιχα.

Κοσμᾶ μοναχοῦ. Ἦχος πλ. α'.

Κύριε,* πρὸς τὸ μυστήριον τὸ ἀπόῤῥητον* τῆς σῆς οἰκονομίας* οὐκ ἐξαρκοῦσα* ἡ τῶν ἐκ Ζεβεδαίου μήτηρ* ἠτεῖτό σε* προσκαίρου βασιλείας τιμὴν* τοῖς ἑαυτῆς δωρήσασθαι τέκνοις·* ἀλλ' ἀντὶ ταύτης* ποτήριον θανάτου* ἐπηγγείλω πιεῖν τοῖς φίλοις σου,* ὃ ποτήριον πρό τούτων* πιεῖν ὁ αὐτὸς ἔλεγες,* ἁμαρτημάτων καθαρτήριον·* διό σοι βοῶμεν·* Ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν,* δόξα σοι.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου (σ. 150).

Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Κύριε,* τὰ τελεώτατα φρονεῖν* τοὺς οἰκείους παιδεύων μαθητάς,* Μὴ ὁμοιοῦσθε τοῖς ἔθνεσιν, ἔλεγες,* εἰς τὸ κατάρχειν τῶν ἐλαχιστοτέρων·* οὐχ οὕτω γὰρ ἔσται ὑμῖν* τοῖς ἐμοῖς μαθηταῖς,* ὅτι πτωχὸς θέλων ὑπάρχω·* ὁ πρῶτος οὖν ὑμῶν* ἔστω πάντων διάκονος,* ὁ δὲ ἄρχων ὡς ὁ ἀρχόμενος,* ὁ προκριθεὶς δὲ ὡς ὁ ἔσχατος·* καὶ γὰρ ἐλήλυθα αὐτὸς* τῷ πτωχεύσαντι Ἀδὰμ διακονῆσαι,* καὶ λύτρον δοῦναι ἀντὶ πολλῶν τὴν ψυχήν,* τῶν βοώντων μοι· Δόξα σοι.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου. (σ. 150).

Τοῦ αὐτοῦ. Ἦχος πλ. δ'.

Τῆς ξηρανθείσης συκῆς* διὰ τὴν ἀκαρπίαν* τὸ ἐπιτίμιον φοβηθέντες, ἀδελφοί,* καρποὺς ἀξίους τῆς μετανοίας* προσάξωμεν Χριστῷ,* τῷ παρέχοντι ἡμῖν* τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Δευτέραν Εὔαν τὴν Αἰγυπτίαν* εὑρὼν ὁ δράκων διὰ ῥημάτων,* ἔσπευδε κολακείαις* ὑποσκελίσαι τὸν Ἰωσήφ·* ἀλλ' αὐτὸς καταλιπὼν τὸν χιτῶνα,* ἔφυγε τὴν ἁμαρτίαν* καὶ γυμνὸς οὐκ ἠσχύνετο,* ὡς ὁ πρωτόπλαστος πρὸ τῆς παρακοῆς·* αὐτοῦ ταῖς ἱκεσίαις, Χριστέ,* ἐλέησον ἡμᾶς.

Ὁ ἱερεύς· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι... (σ. 151). Ὁ ἀναγνώστης τὸ Τρισάγιον καὶ τὸ κοντάκιον Ὁ Ἰακὼβ ὠδύρετο (σ. 1103), τὸ Κύριε, ἐλέησον μ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός... Ἐπουράνιε βασιλεῦ... καὶ τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ μετὰ τῶν μετανοιῶν (σ. 177). Καὶ εὐθὺς ποιεῖ ἀπόλυσιν·

Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΑΣ ΩΡΑΣ

Τῇ Μ. Δευτέρᾳ πρωῒ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης τὸ Τρισάγιον, τό Κύριε ἐλέησον ιβ΄, τὸ Δεῦτε προσκυνήσωμεν, καὶ ἀναγινώσκονται αἱ Ὧραι (σ. 178-195) λιταὶ μετὰ τοῦ τροπαρίου Ἰδοὺ ὁ Νυμφίος καὶ τοῦ κοντακίου Ὁ Ἰακὼβ ὠδύρετο.

Εἰς τὴν ΣΤ΄ Ὥραν μετὰ τὸ Θεοτοκίον Ὅτι οὐκ ἔχομεν παῤῥησίαν ψάλλεται τὸ

Τροπάριον τῆς προφητείας. Ἦχος πλ. β΄.

Ἐν ψυχῇ συντετριμμένῃ* προσπίπτομέν σοι* καὶ δεόμεθά σου,* Σωτὴρ τοῦ κόσμου·* σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ρκε΄.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

Στιχ. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (α΄ 1-20).

Ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει, ἐν τῷ τετάρτῳ μηνί, πέμπτῃ τοῦ μηνὸς καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ· καὶ ἠνοίχθησαν οἱ οὐρανοί, καὶ

εἶδον ὅρασιν Θεοῦ, πέμπτῃ τοῦ μηνός, τοῦτο τὸ ἔτος τὸ πέμπτον τῆς αἰχμαλωσίας τοῦ βασιλέως Ἰωακείμ.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰεζεκιὴλ υἱὸν Βουζεί, τὸν ἱερέα, ἐν γῇ Χαλδαίων ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ· καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου· καὶ εἶδον, καὶ ἰδοὺ πνεῦμα ἐξαῖρον ἤρχετο ἀπὸ βορρᾶ, καὶ νεφέλη μεγάλη ἐν αὐτῷ, καὶ φέγγος κύκλῳ αὐτοῦ καὶ πῦρ ἐξαστράπτον· καὶ ἐν τῷ μέσῳ αὐτοῦ ὡς ὅρασις ἠλέκτρου ἐν μέσῳ τοῦ πυρὸς καὶ φέγγος ἐν αὐτῷ. Καὶ ἐν τῷ μέσῳ ὡς ὁμοίωμα τεσσάρων ζῴων, καὶ αὐτη ἡ ὅρασις αὐτῶν· ὁμοίωμα ἀνθρώπου ἐπ' αὐτοῖς· καὶ τέσσαρα πρόσωπα τῷ ἑνὶ καὶ τέσσαρες πτέρυγες τῷ ἑνί· καὶ τὰ σκέλη αὐτῶν ὄρθια, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν, καὶ σπινθῆρες ὡς ἐξαστράπτων χαλκός, καὶ ἐλαφραὶ αἱ πτέρυγες αὐτῶν· καὶ χεὶρ ἀνθρώπου ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν, καὶ τὰ πρόσωπα αὐτῶν καὶ αἱ πτέρυγες αὐτῶν τῶν τεσσάρων ἐχόμεναι ἑτέρα τῆς ἑτέρας· καὶ τὰ πρόσωπα αὐτῶν τῶν τεσσάρων οὐκ ἐπεστρέφοντο ἐν τῷ βαδίζειν αὐτά· ἕκαστον ἀπέναντι τοῦ προσώπου αὐτῶν ἐπορεύοντο.

Καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, πρόσωπον ἀνθρώπου καὶ πρόσωπον λέοντος ἐκ δεξιῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον μόσχου ἐξ ἀριστερῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον ἀετοῦ τοῖς τέσσαρσι· καὶ αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι ἄνωθεν τοῖς τέσσαρσιν, ἑκατέρῳ δύο συνεζευγμέναι πρὸς ἀλλήλας καὶ δύο ἐπεκάλυπτον ἐπάνω τοῦ σώματος αὐτῶν. Καὶ ἑκάτερον κατὰ πρόσωπον αὐτοῦ ἐπορεύετο· οὗ ἂν ἦν τὸ πνεῦμα πορευόμενον, ἐπορεύοντο καὶ οὐκ ἐπέστρεφον.

Καὶ ἐν μέσῳ τῶν ζῴων ὅρασις ὡς ἀνθράκων πυρὸς καιομένων, ὡς ὄψις λαμπάδων συστρεφομένων ἀναμέσον τῶν ζῴων καὶ φέγγος τοῦ πυρός, καὶ ἐκ τοῦ πυρὸς ἐξεπορεύετο ἀστραπή· καὶ τὰ ζῷα ἔτρεχον καὶ ἀνέκαμπτον ὡς εἶδος τοῦ βεζέκ. Καὶ εἶδον, καὶ ἰδοὺ τροχὸς εἷς ἐπὶ τῆς γῆς ἐχόμενος τῶν ζῴων τοῖς τέσσαρσι· καὶ τὸ εἶδος τῶν τροχῶν ὡς εἶδος θαρσεῖς, καὶ ὁμοίωμα καὶ τὸ ποίημα αὐτῶν ἓν τοῖς τέσ-

σαρσι· καὶ τὸ ἔργον αὐτῶν ἦν, καθὼς ἂν εἴη τροχὸς ἐν τροχῷ. Ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν ἐπορεύοντο καὶ οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά, οὐδ' οἱ νῶτοι αὐτῶν· καὶ ὕψος ἦν αὐτοῖς. Καὶ εἶδον αὐτά· καὶ οἱ νῶτοι αὐτῶν πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσι. Καὶ ἐν τῷ πορεύεσθαι τὰ ζῷα ἐπορεύοντο καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ ἐν τῷ ἐξαίρειν τὰ ζῷα ἀπὸ τῆς γῆς ἐξήροντο καὶ οἱ τροχοί. Οὗ ἂν ἦν ἡ νεφέλη, ἐκεῖ καὶ τὸ πνεῦμα τοῦ πορεύεσθαι· ἐπορεύοντο τὰ ζῷα, καὶ οἱ τροχοὶ ἐξήροντο σὺν αὐτοῖς· διότι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς.

Προκείμενον. Ἦχος πλ. β'. Ψαλμὸς ρκς'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.

Στίχ. Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

Καὶ εὐθύς· Ταχὺ προκαταλαβέτωσαν... καὶ τὰ λοιπὰ τῆς ἀκολουθίας τῶν Ὡρῶν καὶ οἱ Μακαρισμοὶ (σ. 195-209). Μετὰ δὲ τὴν ἀπόλυσιν εὐθὺς ἄρχεται ὁ Ἑσπερινὸς μετὰ τῆς Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Θ. Λειτουργία Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355), εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν τὰ στιχηρὰ τῶν αἴνων καὶ τῶν ἀποστίχων τοῦ Ὄρθρου ὡς ἑξῆς (βλ. τοὺς στίχους ἐν σ. 358, τὰ δὲ ἰδιόμελα ἐν σ. 1106-1107).

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς...
Ἐρχόμενος ὁ Κύριος...

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου...
Φθάσαντες πιστοί...

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας...
Κύριε, ἐρχόμενος πρὸς τὸ πάθος...

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος...
Κύριε, πρὸς τὸ μυστήριον τὸ ἀπόῤῥητον...

Στίχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη...
Κύριε, τὰ τελεώτατα φρονεῖν...

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ...
Τῆς ξηρανθείσης συκῆς...

Δόξα, καὶ νῦν.
Δευτέραν Εὖαν τὴν Αἰγυπτίαν...

Εἴσοδος, μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν, καὶ εὐθὺς τὰ ἀναγνώσματα.

Προκείμενον. Ἦχος πλ. β'. Ψαλμὸς ρκζ'.

Εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἰερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Στίχ. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (α' 1-20).

Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσπορευομένων εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν· ἕκαστος πανοικὶ αὐτῶν εἰσήλθοσαν· Ῥουβήμ, Συμεών, Λευΐ, Ἰούδας, Ἰσσάχαρ, Ζαβουλών, Βενιαμίν, Δὰν καὶ Νεφθαλείμ, Γὰδ καὶ Ἀσήρ· Ἰωσὴφ δὲ ἦν ἐν Αἰγύπτῳ. Ἦσαν δὲ πᾶσαι αἱ ψυχαὶ αἱ ἐξελθοῦσαι ἐκ μηροῦ Ἰακὼβ πέντε καὶ ἑβδομήκοντα. Ἐτελεύτησε δὲ Ἰωσὴφ καὶ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ γενεὰ ἐκείνη.

Οἱ δὲ υἱοὶ Ἰσραὴλ ηὐξήθησαν καὶ ἐπληθύνθησαν καὶ χυδαῖοι ἐγένοντο καὶ κατίσχυον σφόδρα σφόδρα· ἐπλήθυνε δὲ ἡ γῆ αὐτούς. Ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. Εἶπε δὲ τῷ ἔθνει αὐτοῦ· Ἰδοὺ τὸ ἔθνος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος καὶ ἰσχύει ὑπὲρ ἡμᾶς· δεῦτε οὖν κατασοφισώμεθα αὐτούς, μήποτε πληθυνθῇ· καὶ ἡνίκα ἂν ἡμῖν συμβῇ πόλεμος, προστεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους καὶ ἐκπολεμήσαντες ἡμᾶς ἐξελεύσονται

ἐκ τῆς γῆς. Καὶ ἐπέστησεν αὐτοῖς ἐπιστάτας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις· καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραώ, τήν τε Πειθὼ καὶ Ῥαμεσσῆ καὶ τὴν Ὦν, ἥ ἐστιν Ἡλιούπολις. Καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίνοντο καὶ ἴσχυον σφόδρα σφόδρα. Καὶ ἐβδελύσσοντο οἱ Αἰγύπτιοι ἀπὸ τῶν υἱῶν Ἰσραὴλ· καὶ κατεδυνάστευον οἱ Αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραὴλ βίᾳ· καὶ κατωδύνων αὐτῶν τὴν ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ καὶ πᾶσι τοῖς ἔργοις τοῖς ἐν τοῖς πεδίοις, κατὰ πάντα τὰ ἔργα, ὧν κατεδουλοῦντο αὐτοὺς μετὰ βίας.

Καὶ εἶπεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων ταῖς μαίαις τῶν Ἑβραίων, τῇ μιᾷ αὐτῶν ὄνομα Σεπφώρα, καὶ τὸ ὄνομα τῆς δευτέρας Φουά· καὶ εἶπεν αὐταῖς· Ὅταν μαιοῦσθε τὰς Ἑβραίας καὶ ὦσι πρὸς τὸ τίκτειν, ἐὰν μὲν ἄρσεν ᾖ, ἀποκτείνατε αὐτό· ἐὰν δὲ θῆλυ, περιποιεῖσθε αὐτό. Ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν Θεὸν καὶ οὐκ ἐποίησαν καθ' ὅτι συνέταξεν αὐταῖς ὁ βασιλεὺς Αἰγύπτου· καὶ ἐζωογόνουν τὰ ἄρσενα. Ἐκάλεσε δὲ ὁ βασιλεὺς Αἰγύπτου τὰς μαίας καὶ εἶπεν αὐταῖς· Τί ὅτι ἐποιήσατε τὸ πρᾶγμα τοῦτο καὶ ἐζωογονεῖτε τὰ ἄρσενα; Εἶπαν δὲ αἱ μαῖαι τῷ Φαραώ· Οὐχ ὡς αἱ γυναῖκες Αἰγύπτου αἱ Ἑβραῖαι τίκτουσι γὰρ πρὶν ἢ εἰσελθεῖν πρὸς αὐτὰς τὰς μαίας· καὶ ἔτικτον. Εὖ δὲ ἐποίει ὁ Θεὸς ταῖς μαίαις· καὶ ἐπλήθυνεν ὁ λαὸς καὶ ἴσχυε σφόδρα.

Προκείμενον. Ἦχος πλ. δ'. Ψαλμὸς ρκη'.

Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Στίχ. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου.

Ἰὼβ τὸ ἀνάγνωσμα (α' 1-12).

Ἄνθρωπός τις ἦν ἐν τῇ χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ· καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς· καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, θήλειαι ὄνοι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ

τῆς γῆς· καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν.

Συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους ἐποίουν πότον καθ' ἑκάστην ἡμέραν, συμπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν. Καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστελλεν Ἰὼβ καὶ ἐκαθάριζεν αὐτοὺς ἀνιστάμενος τὸ πρωῒ καὶ προσέφερε περὶ αὐτῶν θυσίας κατὰ τὸν ἀριθμὸν αὐτῶν καὶ μόσχον ἕνα περὶ ἁμαρτίας ὑπὲρ τῶν ψυχῶν αὐτῶν. Ἔλεγε γὰρ Ἰὼβ· Μήποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν; Οὕτως οὖν ἐποίει Ἰὼβ πάσας τὰς ἡμέρας.

Καὶ ἐγένετο ὡς ἡ ἡμέρα αὕτη, καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐναντι τοῦ Κυρίου, καὶ ὁ διάβολος ἦλθε μετ' αὐτῶν. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Πόθεν παραγέγονας; Καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ Κυρίῳ εἶπε· Περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανόν, πάρειμι. Καὶ εἶπεν αὐτῷ ὁ Κύριος· Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰώβ, ὅτι οὐκ ἔστιν αὐτῷ ὅμοιος τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος;

Ἀπεκρίθη δὲ ὁ διάβολος καὶ εἶπεν ἐναντίον Κυρίου· Μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν Θεόν; οὐχὶ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτοῦ κύκλῳ; τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς; ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου καὶ ἅψαι πάντων, ὧν ἔχει· ἢ μὴν εἰς πρόσωπόν σου εὐλογήσει σε. Τότε εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Ἰδού, πάντα ὅσα ἐστὶν αὐτῷ δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ. Καὶ ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπου Κυρίου.

Εἶτα τὸ Κατευθυνθήτω μετὰ τῶν στίχων αὐτοῦ (σ. 360), καὶ μετὰ τοῦτο ὁ διάκονος

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κδ΄ 3-35).

Τῷ καιρῷ ἐκείνῳ, καθημένου τοῦ Ἰησοῦ ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ κατ' ἰδίαν λέγοντες· Εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος;

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, Ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι. Μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε, μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος. Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους· πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων.

Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. Καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσι καὶ μισήσουσιν ἀλλήλους. Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσι πολλούς, καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ κηρυχθήσεται τοῦτο τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος.

Ὅταν οὖν ἴδητε τὸ «βδέλυγμα τῆς ἐρημώσεως» τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὼς ἐν τόπῳ ἁγίῳ – ὁ ἀναγινώσκων νοείτω – τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη, ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἀραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μηδὲ Σαββάτῳ. Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡ-

μέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.

Τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδού, ὧδε ὁ Χριστὸς ἢ ὧδε, μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. Ἰδοὺ προείρηκα ὑμῖν. Ἐὰν οὖν εἴπωσιν ὑμῖν, Ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε, Ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε· ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου· ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. Ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος· οὕτω καὶ ὑμεῖς ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 361-375) καὶ ἀπόλυσις·

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

Τελεῖται τὸ Μέγα Ἀπόδειπνον μέχρι καὶ τῆς δοξολογίας (σ. 246-267), καὶ μετ' αὐτὴν ψάλλεται τὸ παρὸν τριῴδιον μετὰ στίχου Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ποίημα Ἀνδρέου Κρήτης. Ἦχος πλ. δ'.
Ὠδὴ β'. Ὁ εἱρμός.(*)

Πρόσεχε,* οὐρανέ, καὶ λαλήσω* καὶ ἀνυμνήσω Χριστόν,* τὸν ἐκ Παρθένου τεχθέντα* εἰς σωτηρίαν ἡμῶν. (Δὶς)

Τροπάρια.

Ἀσωμεν* τῷ Θεῷ ἑκουσίως* ἐπειγομένῳ παθεῖν* καὶ τὴν αὐτοῦ εὐσπλαγχνίαν* δοξολογήσωμεν.

Συνέλθωμεν* τῷ Χριστῷ πρὸς τὸ ὄρος* τῶν Ἐλαιῶν μυστικῶς* καὶ μετὰ τῶν ἀποστόλων* συναυλισθῶμεν αὐτῷ.

Ἀκούσωμεν* τῆς φωνῆς τοῦ Δεσπότου* οἷα φησὶ πρὸς ἡμᾶς* ὅτι ὁ χρόνος ἐγγίζει* τῆς συντελείας ἡμῶν.

Ἀπόφυγε* τοῦ οἰκέτου ἐκείνου,* ψυχή, τὴν μίμησιν* τοῦ καταχώσαντος ὄκνῳ* τὸ θεῖον τάλαντον.

Ἔννόησον,* ταπεινή μου καρδία,* τίς ἡ τοῦ μύλωνος* παραβολή, ἣν προεῖπε* Χριστός, καὶ νῆψον λοιπόν.

Ἑτοίμαζε* σεαυτήν, ὦ ψυχή μου,* ἐπὶ τὴν ἔξοδον·* ἡ παρουσία ἐγγίζει* τοῦ ἀδεκάστου Κριτοῦ.

Εὐτρέπισται* ὁ οὐράνιος γάμος·* ἀλλ' ἑτοιμάζεσθε,* οἱ τῷ ἀφθάρτῳ Νυμφίῳ* συνεισερχόμενοι.

(*) Τροπάριά τινα τῆς ᾠδῆς ταύτης, μὴ ὑπάρχοντα εἰς τὰ ἔντυπα τριῴδια, ἐτυπώθησαν ἐνταῦθα ἐξ ἀρχαίων χειρογράφων (βλ. Ἡ ἁγία καὶ μεγάλη Ἑβδομάς, ἔκδοσις θ' Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, Ἀθῆναι 1985, σ. 26).

Μίμησαι* τὰς φρονίμους παρθένους,* ψυχή μου, μίμησαι,* ἵνα Χριστῷ συνεισέλθῃς* εἰς τὸν νυμφῶνα φαιδρῶς.

Μίμησαι* τοὺς εὐγνώμονας δούλους,* ψυχή· ἐργάζου ἀεὶ* τὴν μυστικὴν ἐργασίαν* τῆς ἀκηράτου ζωῆς.

Τὸ τάλαντον* τὸ δοθέν σοι, ψυχή μου,* μὴ ἀποκρύψῃς εἰς γῆν,* ὅτι σὺν τόκῳ ἐκτίσεις* Χριστῷ τὸ δάνειον.

Ἐγείρεσθε·* ὁ Νυμφίος ἐγγίζει·* ἑτοιμασθῶμεν λοιπόν·* ὁ γὰρ νυμφὼν ἀνεῴχθη·* τίς ἄρα ἕτοιμος;

Θεοτοκίον.

Ἀχραντε* Θεοτόκε Παρθένε,* μόνη πανύμνητε,* τὸν Υἱόν σου δυσώπει* ὑπὲρ τῶν δούλων σου.

Εἱρμὸς ἄλλος.

Ἴδετε, ἴδετε,* ὅτι ἐγώ εἰμι Θεός,* ὁ πάλαι τὸν Ἰσραὴλ* ἐν Ἐρυθρᾷ Θαλάσσῃ διαγαγών* καὶ σώσας καὶ θρέψας* καὶ ἐκ δουλείας πικρᾶς* ἐλευθερώσας Φαραώ.

Τροπάρια.

Ἴδετε, ἴδετε,* ὅτι ἐγώ εἰμι Θεός,* ὁ πρὶν γενέσθαι τὸ πᾶν* καὶ πρὸ τοῦ στῆναι τὴν γῆν καὶ τὸν οὐρανὸν* γινώσκων τὰ πάντα,* ὡς ὅλος ὢν ἐν Πατρὶ* καὶ ὅλον φέρων ἐν ἐμοί.

Λόγῳ συνέστησα* τὸν οὐρανόν τε καὶ τὴν γῆν·* συνήμην γὰρ τῷ Πατρί·* καὶ διὰ λόγου φέρω τόδε τὸ πᾶν* ὡς Λόγος, σοφία* καὶ δύναμις καὶ εἰκὼν* καὶ συνεργὸς καὶ ἰσουργός.

Τίς χρόνους ἔθετο;* τίς ὁ αἰῶνας συντηρῶν;* τίς μέτρα ἔπηξε γῆς;* τίς ὁ τὸ πᾶν ὁρίζων καὶ συγκινῶν,* εἰ μὴ ὁ ἀνάρχως* συνὼν ἀεὶ τῷ Πατρὶ* ὥσπερ ἀκτὶς ἐν τῷ φωτί;

Ὦ τῆς ἀμέτρου σου* φιλανθρωπίας, Ἰησοῦ!* ἐγνώρισας γὰρ ἡμῖν* τῆς συντελείας ἄνωθεν τὸν καιρόν,* καλύψας τὴν ὥραν,* τρανώσας δὲ τηλαυγῶς* τὰ ὑποδείγματα αὐτῆς.

Πάντα ἐπίστασαι,* πάντα γινώσκεις, Ἰησοῦ,* ὡς ἔχων ὅλον ἐν σοὶ* τὸ πατρικὸν ἀξίωμα θεϊκῶς* καὶ ὅλον τὸ Πνεῦμα* ἐμφύτως φέρων ἐν σοί,* τὸ συναΐδιον Πατρί.

Δέσποτα Κύριε,* ὁ τῶν αἰώνων ποιητής,* ἀξίωσον καὶ ἡμᾶς* τῆς ἱερᾶς ἐκείνης τότε φωνῆς* ἀκοῦσαι, καλούσης* τοὺς ἐκλεκτοὺς τοῦ Πατρὸς* εἰς βασιλείαν οὐρανῶν.

Δόξα. Τριαδικόν.

Ἀναρχε, ἄκτιστε* Τριάς, ἀμέριστε Μονάς,* ἡ τρία οὖσα καὶ ἕν,* Πατήρ, Υἱὸς καὶ Πνεῦμα, εἷς ὁ Θεός,* προσδέχου τὸν ὕμνον* ἐκ τῶν πηλίνων γλωσσῶν* ὡς ἐκ στομάτων φλογερῶν.

Καὶ νῦν. Θεοτοκίον.

Σκήνωμα ἅγιον* ὤφθης, Παρθένε, τοῦ Θεοῦ·* ἐν σοὶ γὰρ τῶν οὐρανῶν* ὁ βασιλεὺς οἰκήσας σωματικῶς* προῆλθεν ὡραῖος,* τὸν ἄνθρωπον ἐν αὐτῷ* ἀναμορφώσας θεϊκῶς.

Κάθισμα. Ἦχος β΄. (Εὐσπλαγχνίας ὑπάρχουσα).

Εὐσπλαγχνίᾳ κινούμενος, Χριστέ,* ἑκουσίως προέρχῃ τοῦ παθεῖν, εὐεργέτα,* θέλων τῶν παθῶν ἡμᾶς λυτρώσασθαι* καὶ τῆς ἐν τῷ ᾅδῃ κατακρίσεως·* διό σου τὰ τίμια* ὑμνοῦμεν παθήματα* καὶ δοξάζομεν, Σωτήρ,* τὴν ἄκραν σου πάντες συγκατάβασιν.

Ὠδὴ η΄. Ὁ εἱρμός.

Ἄγγελοι καὶ οὐρανοί,* τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον* καὶ ὡς Θεὸν ἀπαύστως δοξαζόμενον* εὐλογεῖτε, ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας. (Δὶς)

Τροπάρια.

Πάντως ἤκουσας, ψυχή,* πῶς ὁ Χριστὸς τοῖς θείοις μαθηταῖς αὐτοῦ* προανεφώνει λέγων τὴν συντέλειαν·* σὺ δὲ γνοῦσα τὸ τέλος* ἑτοιμάζου λοιπόν·* καιρὸς ἐξόδου ἥκει.

Ἔγνως, ἄγονε ψυχή,* τοῦ πονηροῦ οἰκέτου τὸ ὑπόδειγμα·* φοβοῦ καὶ μὴ ἀμέλει τοῦ χαρίσματος,* ὃ ἐδέξω, οὐχ ἵνα* κατακρύψῃς εἰς γῆν,* ἀλλ᾽ ἵνα ἐμπορεύσῃ.

Φαιδρυνέσθω ἡ λαμπάς,* ὑπερεκχείσθω ταύτης καὶ τὸ ἔλαιον,* ὡς ταῖς παρθένοις τότε ἡ συμπάθεια,* ἵνα εὕρῃς, ψυχή μου,* τὸν νυμφῶνα τότε* Χριστοῦ ἀνεῳγμένον.

Ἐν Σαββάτῳ τὴν φυγήν* καὶ ἐν χειμῶνι λέγων ὁ διδάσκαλος,* τὴν τῆς ἑβδόμης ζάλην προαινίττεται* τοῦ παρόντος αἰῶνος,* ἐν ᾧ ὥσπερ χειμὼν* τὸ τέλος ἐπανήξει.

Ὥσπερ τάχος ἀστραπῆς* διερχομένης, οὕτω τότε ἔσεσθαι* τὴν φοβερὰν ἐκείνην τοῦ Δεσπότου σου* παρουσίαν, ψυχή μου,* ἤκουσας· ἑτοίμη* λοιπὸν γενέσθαι σπεῦσον.

Ὅταν ἔλθῃ ὁ κριτὴς* ἐν χιλιάσι τότε μυριάσι τε* ἀγγελικῶν ταγμάτων καὶ δυνάμεων,* ποῖος φόβος, ψυχή μου!* ποῖος τρόμος, οἴμοι,* γυμνῶν ἑστώτων πάντων!

Δόξα. Τριαδικόν.

Εἷς Θεὸς οὖν ἡ Τριάς,* οὐ τοῦ Πατρὸς ἐκστάντος εἰς υἱότητα,* οὐδὲ Υἱοῦ τραπέντος εἰς ἐκπόρευσιν,* ἀλλ' ἰδίᾳ καὶ ἄμφω* φῶς Θεὸν τὰ τρία* δοξάζω εἰς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ταῖς πρεσβείαις, ὁ Θεός,* τῆς Θεοτόκου δέχου τὴν εὐχὴν ἡμῶν,* ἀντικατάπεμψον δὲ τὰ ἐλέη σου* ἐπὶ πάντας πλουσίως* καὶ τὴν σὴν παράσχου* εἰρήνην τῷ λαῷ σου.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Τὸν προδηλωθέντα* ἐν ὄρει τῷ νομοθέτῃ* ἐν πυρὶ καὶ βάτῳ* τόκον τὸν τῆς ἀειπαρθένου* εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν* ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Τροπάρια.

Ἤκουσας, ψυχή,* τοῦ κριτοῦ προαναφωνοῦντος* καὶ διδάσκοντός σε* τῆς συντελείας τὸν χρόνον·* ἑτοίμαζε τὰ πρὸς τὴν ἔξοδον ἔργα,* μήπως ὡς ἀδόκιμος Θεοῦ ἐκριφῇς.

Ἀπὸ τῆς συκῆς,* ὦ ψυχή, διδάσκου τὸ τέλος·* ὅταν ἁπαλώσῃ* τοὺς κλάδους καὶ ἐκφύῃ φύλλα,* θέρους

ὥρα λοιπόν· καὶ σύ, ὅταν ταῦτα* ἴδῃς, γνῶθι ὅτι ἐπὶ θύραις ἐστίν.

Τίς ἐκτός σου ἄλλος* τὸν σὸν γινώσκει Πατέρα,* ἢ τίς πλήν σου οἶδε* τὴν ὥραν ἢ τὴν ἡμέραν;* παρὰ σοὶ γὰρ οἱ θησαυροὶ τῆς σοφίας* πάντες ἐνυπάρχουσι, Χριστὲ ὁ Θεός.

Βίβλοι ἀνοιγήσονται,* τῶν τε θρόνων τεθέντων,* πράξεις διελέγχονται,* γυμνῶν ἑστώτων πάντων,* οὐ μαρτύρων, οὐ κατηγόρων παρόντων·* τετραχηλισμένα γὰρ τὰ πάντα Θεῷ.

Ἔρχεται ὁ πάντων* κριτὴς ἀχθῆναι εἰς κρίσιν,* ὁ ἐπὶ τοῦ θρόνου* τῶν Χερουβὶμ ἐφεδρεύων,* ὡς ὑπεύθυνος παραστῆναι Πιλάτῳ,* πάντα τε παθεῖν, ἵνα σωθῇ ὁ Ἀδάμ.

Ἤγγικε τὸ Πάσχα* ἡμῶν τὸ μέγα καὶ θεῖον·* μετὰ δύο γὰρ* ὁ Χριστὸς προδιδάσκει ἡμέρας,* τὴν τοῦ πάθους προδιαγράφων ἡμέραν,* ἐν ᾗ τῷ Πατρὶ θῦμα προσάγεται.

Παρὰ τῷ Σταυρῷ σου,* Σωτήρ, ἑστῶσα ἡ Μήτηρ,* καὶ τὴν ἄδικόν σου* σφαγὴν καθορῶσα, ἐβόα·* Οἴμοι, τέκνον ἐμόν! τὸ ἄδυτον φέγγος,* λάμψον πᾶσιν, ἥλιε, τῆς δόξης τὸ φῶς.

Δόξα. Τριαδικόν.

Ὦ Μονὰς ἁγία,* Τριὰς ἡ μία Θεότης,* καὶ Τριὰς Μονὰς ὁ Θεός,* τρισυπόστατε φύσις,* ἡ ὁμότιμος καὶ ἀμέριστος δόξα,* ῥῦσαι τῶν κινδύνων τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέχου τὴν Μητέρα* τὴν σήν, Χριστέ, εἰς πρεσβείαν,* ἵνα ταῖς πρεσβείαις* αὐτῆς εἰρηνεύσῃς τὸν κόσμον* καὶ κρατύνῃς τῆς βασιλείας τὰ σκῆπτρα* καὶ τὰς Ἐκκλησίας σου συνάψῃς εἰς ἕν.

Καὶ πάλιν τὸν εἱρμόν· Τὸν προδηλωθέντα... (σ. 1119).

Τὸ Τρισάγιον καὶ τὰ λοιπὰ τοῦ Μεγ. Ἀποδείπνου (σ. 267-274)· εἰς δὲ τὴν συγχώρησιν ψάλλεται τὸ Σφαγήν σου τὴν ἄδικον, Χριστέ.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΡΙΤΗ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς... Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης τὸ Τρισάγιον καὶ τοὺς Ψαλμοὺς Ἐπακούσαι σου Κύριος κ.τ.λ. (σ. 151), αὖθις τὸ Τρισάγιον καὶ τὰ τροπάρια Σῶσον, Κύριε, τὸν λαόν σου. Ὁ ἱερεὺς τὴν δέησιν. Ὁ ἀναγνώστης τὸν ἑξάψαλμον. Ὁ διάκονος τὰ εἰρηνικὰ (σ. 84-99).

Εἶτα ψάλλεται τὸ Ἀλληλούϊα μετὰ τῶν στίχων αὐτοῦ (σ. 153) καὶ τὸ παρὸν τροπάριον ἐκ γ'.

Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται* ἐν τῷ μέσῳ τῆς νυκτός·* καὶ μακάριος ὁ δοῦλος,* ὃν εὑρήσει γρηγοροῦντα·* ἀνάξιος δὲ πάλιν,* ὃν εὑρήσει ῥαθυμοῦντα·* βλέπε οὖν, ψυχή μου,* μὴ τῷ ὕπνῳ κατενεχθῇς,* ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς* καὶ τῆς βασιλείας ἔξω κλεισθῇς·* ἀλλὰ ἀνάνηψον κράζουσα·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* πρεσβείαις τοῦ Προδρόμου* σῶσον ἡμᾶς.

Εἰς τὸ τέλος τοῦ β' λέγομεν τὸ χαρακτηριστικὸν τοῦ ἁγίου τοῦ ναοῦ· Πρεσβείαις τοῦ ἁγίου (ἢ τοῦ ὁσίου ἢ τοῦ ἱεράρχου) σῶσον ἡμᾶς.

Εἰς δὲ τὸ τέλος τοῦ γ' Διὰ τῆς Θεοτόκου* ἐλέησον ἡμᾶς.

[Τὸ Ψαλτήριον τῆς ἡμέρας].

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος...

Καὶ ψάλλομεν τὰ παρόντα καθίσματα.(*)

Ἦχος δ'. (Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ).

Τὸν Νυμφίον, ἀδελφοί, ἀγαπήσωμεν·* τὰς λαμπάδας ἑαυτῶν εὐτρεπίσωμεν,* ἐν ἀρεταῖς ἐκλάμποντες* καὶ πίστει ὀρθῇ,* ἵνα ὡς αἱ φρόνιμοι* τοῦ Κυρίου παρθένοι* ἑτοι

(*) Βλ. σημ. σ. 1100.

μοι εἰσέλθωμεν* σὺν αὐτῷ εἰς τοὺς γάμους·* ὁ γὰρ Νυμφίος δῶρον ὡς Θεὸς* πᾶσι παρέχει* τὸν ἄφθαρτον στέφανον.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ἕτερον. Ἦχος δ'. (Κατεπλάγη Ἰωσήφ).

Βουλευτήριον, Σωτήρ,* παρανομίας κατὰ σοῦ* ἱερεῖς καὶ γραμματεῖς* φθόνῳ ἀθροίσαντες δεινῶς* εἰς προδοσίαν ἐκίνησαν τὸν Ἰούδαν·* ὅθεν ἀναιδῶς* ἐξεπορεύετο,* ἐλάλει κατὰ σοῦ* τοῖς παρανόμοις λαοῖς·* Τί μοι, φησί, παρέχετε, κἀγὼ ὑμῖν* αὐτὸν παραδώσω εἰς χεῖρας ὑμῶν;* Τῆς κατακρίσεως* τούτου ῥῦσαι,* Κύριε, τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ἕτερον. Ἦχος πλ. δ'. (Τὴν Σοφίαν καὶ Λόγον).

Ὁ Ἰούδας τῇ γνώμῃ φιλαργυρεῖ·* κατὰ τοῦ διδασκάλου ὁ δυσμενὴς* κινεῖται, βουλεύεται,* μελετᾷ τὴν παράδοσιν,* τοῦ φωτὸς ἐκπίπτει,* τὸ σκότος δεχόμενος·* συμφωνεῖ τὴν πρᾶσιν,* πωλεῖ τὸν ἀτίμητον·* ὅθεν καὶ ἀγχόνην* ἀμοιβήν, ὤνπερ ἔδρα,* εὑρίσκει ὁ ἄθλιος* καὶ ἐπώδυνον θάνατον.* Τῆς αὐτοῦ ἡμᾶς λύτρωσαι* μερίδος, Χριστὲ ὁ Θεός,* τῶν πταισμάτων ἄφεσιν δωρούμενος* τοῖς ἑορτάζουσι πόθῳ* τὸ ἄχραντον πάθος σου.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ., καὶ ὁ ἱερεὺς ἀναγινώσκει τὸ

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κβ' 15 - κγ' 39).

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον οἱ φαρισαῖοι κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν λέγοντες· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. Εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; Γνοὺς

δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπε· Τί με πειράζετε, ὑποκριταί; ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; Λέγουσιν αὐτῷ· Καίσαρος. Τότε λέγει αὐτοῖς· Ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτόν, ἀπῆλθον.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· Διδάσκαλε, Μωσῆς εἶπεν, «Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ». Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. Ὁμοίως καὶ ὁ δεύτερος καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. Ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται ἡ γυνή; πάντες γὰρ ἔσχον αὐτήν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ εἰσι. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ λέγοντος· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ»; Οὐκ ἔστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Οἱ δὲ φαρισαῖοι, ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό, καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν, νομικός, πειράζων αὐτὸν καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου»· αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ· «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν». Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

Συνηγμένων δὲ τῶν φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐ-

στι; Λέγουσιν αὐτῷ· Τοῦ Δαβίδ. Λέγει αὐτοῖς· Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»; Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπὸ ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ λέγων· Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι. Πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν, μὴ ποιεῖτε· λέγουσι γάρ, καὶ οὐ ποιοῦσι. Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. Πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν, φιλοῦσι δὲ τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ῥαββί, ῥαββί. Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ διδάσκαλος, ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. Μηδὲ κληθῆτε καθηγηταί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητής, ὁ Χριστός. Ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος. Ὅστις δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται, καὶ ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται.

Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρῖμα.

Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν.

Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυ-

τον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν.

Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί, οἱ λέγοντες· Ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει. Μωροὶ καὶ τυφλοί! τίς γὰρ μείζων ἐστίν, ὁ χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; Καί· Ὃς ἂν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. Μωροὶ καὶ τυφλοί! τί γὰρ μεῖζον, τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ. Καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικήσαντι αὐτόν. Καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ.

Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· ταῦτα ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι. Ὁδηγοὶ τυφλοί, οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας. Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.

Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. Οὕτω καὶ ὑμεῖς, ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας.

Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων καὶ λέγετε· Εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν. Ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέ-

τρον τῶν πατέρων ὑμῶν. Ὄφεις, γεννήματα ἐχιδνῶν! πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; Διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν, ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην.

Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν! ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι ἕως ἂν εἴπητε· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου».

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης τὸν Ν' Ψαλμὸν χῦμα (σ. 103).

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

Κοντάκιον. Ἦχος β' (Τὰ ἄνω ζητῶν).

Τὴν ὥραν, ψυχή,* τοῦ τέλους ἐννοήσασα* καὶ τὴν ἐκκοπὴν* τῆς συκῆς δειλιάσασα,* τὸ δοθέν σοι τάλαντον* φιλοπόνως ἔργασαι, ταλαίπωρε,* γρηγοροῦσα καὶ κράζουσα·* Μὴ μείνωμεν ἔξω* τοῦ νυμφῶνος Χριστοῦ.

Ὁ οἶκος. (Τοῦ Συμεὼν τὸν ἄμεμπτον βίον).

Τί ῥαθυμεῖς,* ἀθλία ψυχή μου;* τί φαντάζῃ ἀκαίρως* μερίμνας ἀφελεῖς;* τί ἀσχολεῖς πρὸς τὰ ῥέοντα;* ἐσχάτη ὥρα* ἐστὶν ἀπ' ἄρτι,* καὶ χωρίζεσθαι μέλλομεν τῶν ἐνταῦθα·* ἕως καιρὸν κεκτημένη* ἀνάνηψον κράζουσα·* Ἡμάρτηκά σοι, Σωτήρ μου·* μὴ ἐκκόψῃς με,* ὥσπερ τὴν ἄκαρπον συκῆν,* ἀλλ' ὡς εὔσπλαγχνος, Χριστέ,* κατοικτεί-

ρησον φόβῳ κραυγάζουσαν·* Μὴ μείνωμεν ἔξω* τοῦ νυμφῶνος Χριστοῦ.

Τὸ Συναξάριον τοῦ Μηναίου καὶ τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τρίτῃ τῆς τῶν δέκα παρθένων παραβολῆς τῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου μνείαν ποιούμεθα.

Στίχοι.

Τρίτη μεγίστη παρθένους δέκα φέρει,
νίκην φερούσας ἀδεκάστου Δεσπότου.

Ἀλλ' ὦ Νυμφίε Χριστέ, μετὰ τῶν φρονίμων ἡμᾶς συναρίθμησον παρθένων καὶ τῇ ἐκλεκτῇ σου σύνταξον ποίμνῃ καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.

Καὶ εὐθὺς ψάλλομεν τὸ παρὸν διῴδιον, οὗ ἡ ἀκροστιχὶς· Τρίτῃ τε.

Ποίημα Κοσμᾶ μοναχοῦ. Ἦχος β'.

Ὠδὴ η'. Ὁ εἱρμός.(*)

Τῷ δόγματι τῷ τυραννικῷ* οἱ ὅσιοι τρεῖς παῖδες μὴ πεισθέντες,* ἐν τῇ καμίνῳ βληθέντες, Θεὸν* ὡμολόγουν ψάλλοντες·* Εὐλογεῖτε, τὰ ἔργα* Κυρίου, τὸν Κύριον.

Τροπάρια.

Ραθυμίαν ἄπωθεν ἡμῶν* βαλώμεθα καὶ φαιδραῖς ταῖς λαμπάσι* τῷ ἀθανάτῳ Νυμφίῳ Χριστῷ* ὕμνοις συναντήσωμεν·* Εὐλογεῖτε, βοῶντες,* τὰ ἔργα, τὸν Κύριον.

Ικανούσθω τὸ κοινωνικὸν* ψυχῆς ἡμῶν ἔλαιον ἐν ἀγγείοις,* ὅπως ἐπάθλων μὴ θέντες καιρὸν* ἐμπορίας ψάλλωμεν·* Εὐλογεῖτε, τὰ ἔργα* Κυρίου, τὸν Κύριον.

Τὸ τάλαντον, ὅσοι πρὸς Θεοῦ* ἐδέξασθε ἰσοδύναμον χάριν,* ἐπικουρίᾳ τοῦ δόντος Χριστοῦ* αὐξήσατε ψάλλοντες·* Εὐλογεῖτε, τὰ ἔργα* Κυρίου, τὸν Κύριον.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Τῷ δόγματι τῷ τυραννικῷ.

(*) Βλ. σημ. σ. 1103.

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Ἡ τὸν ἀχώρητον Θεὸν* ἐν γαστρὶ χωρήσασα* καὶ χαρὰν τῷ κόσμῳ κυήσασα,* σὲ ὑμνοῦμεν,* Παναγία Παρθένε.

Τροπάρια.

Τοῖς μαθηταῖς, ὁ ἀγαθός,* γρηγορεῖτε, ἔφησας·* ἡ γὰρ ὥρα ἦξει ὁ Κύριος* ἀγνοεῖτε,* ἀποδοῦναι ἑκάστῳ.

Ἐν τῇ δευτέρᾳ σου φρικτῇ* παρουσίᾳ, Δέσποτα,* δεξιοῖς προβάτοις με σύνταξον,* τῶν πταισμάτων* παριδών μου τὰ πλήθη.

Καταβασία. Ἡ τὸν ἀχώρητον Θεόν.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι...

Ἐξαποστειλάριον αὐτόμελον. Ἦχος γ'.

Τὸν νυμφῶνά σου βλέπω,* Σωτήρ μου, κεκοσμημένον* καὶ ἔνδυμα οὐκ ἔχω,* ἵνα εἰσέλθω ἐν αὐτῷ·* λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς,* φωτοδότα, καὶ σῶσόν με.

(Τρις)

Εἰς τοὺς αἴνους ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Κοσμᾶ μοναχοῦ. Ἦχος α'.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου* πῶς εἰσελεύσομαι ὁ ἀνάξιος;* ἐὰν γὰρ τολμήσω* συνεισελθεῖν εἰς τὸν νυμφῶνα,* ὁ χιτὼν με ἐλέγχει,* ὅτι οὐκ ἔστι τοῦ γάμου,* καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων.* Καθάρισον, Κύριε,* τὸν ῥύπον τῆς ψυχῆς μου* καὶ σῶσόν με, ὡς φιλάνθρωπος.

(Δις)

Ἰωάννου μοναχοῦ. Ἦχος β'.

Ὃ τῇ ψυχῆς ῥαθυμίᾳ νυστάξας* οὐ κέκτημαι, Νυμφίε Χριστέ,* καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν,* καὶ νεάνισιν ὡμοιώθην μωραῖς,* ἐν καιρῷ τῆς ἐργασίας ῥεμβό-

μενος.* Τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου* μὴ κλείσῃς μοι, Δέσποτα·* ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν ὕπνον,* ἐξανάστησον* καὶ ταῖς φρονίμοις συνεισάγαγε παρθένοις* εἰς νυμφῶνα τὸν σόν,* ὅπου ἦχος καθαρὸς* ἑορταζόντων* καὶ βοώντων ἀπαύστως·* Κύριε, δόξα σοι. (Δὶς)

Δόξα, καὶ νῦν. Ἰωάννου μοναχοῦ. Ἦχος δ'.

Τοῦ κρύψαντος τὸ τάλαντον* τὴν κατάκρισιν ἀκούσασα, ψυχή,* μὴ κρύπτε λόγον Θεοῦ·* κατάγγελλε τὰ θαυμάσια αὐτοῦ,* ἵνα πλεονάζουσα τὸ χάρισμα,* εἰσέλθῃς εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Ὁ ἀναγνώστης τὴν δοξολογίαν· Σοὶ δόξα πρέπει... Δόξα ἐν ὑψίστοις Θεῷ... (σ. 148).

Ὁ διάκονος τὰ Πληρωτικὰ καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 135-137).

Μετὰ δὲ τὴν ἐκφώνησιν ψάλλομεν τὰ ἀπόστιχα.

Ἰωάννου μοναχοῦ. Ἦχος πλ. β'.

Δεῦτε, πιστοί,* ἐπεργασώμεθα προθύμως τῷ Δεσπότῃ·* νέμει γὰρ τοῖς δούλοις τὸν πλοῦτον·* καὶ ἀναλόγως ἕκαστος* πολυπλασιάσωμεν* τὸ τῆς χάριτος τάλαντον·* ὁ μὲν σοφίαν κομιείτω* δι' ἔργων ἀγαθῶν·* ὁ δὲ λειτουργίαν* λαμπρότητος ἐπιτελείτω·* κοινωνείτω δὲ τοῦ λόγου* ὁ πιστὸς τῷ ἀμυήτῳ* καὶ σκορπιζέτω τὸν πλοῦτον* πένησιν ἄλλος·* οὕτω γὰρ τὸ δάνειον* πολυπλασιάσομεν* καὶ ὡς οἰκονόμοι πιστοὶ τῆς χάριτος* δεσποτικῆς χαρᾶς ἀξιωθῶμεν·* αὐτῆς ἡμᾶς καταξίωσον,* Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου... (σ. 150).

Λέοντος τοῦ Δεσπότου. Ἦχος ὁ αὐτός.

Ὅταν ἔλθῃς ἐν δόξῃ* μετ' ἀγγελικῶν δυνάμεων,* καὶ καθίσῃς ἐν θρόνῳ,* Ἰησοῦ, διακρίσεως,* μή με, ποιμὴν ἀγαθέ, διαχωρίσῃς·* ὁδοὺς δεξιὰς γὰρ οἶδας,* διεστραμμέναι δέ εἰσιν αἱ εὐώνυμοι·* μὴ οὖν ἐρίφοις με* τὸν τραχὺν τῇ ἁμαρτίᾳ συναπολέσῃς,* ἀλλὰ τοῖς ἐκ δεξιῶν* συναριθμήσας προβάτοις,* σῶσόν με, ὡς φιλάνθρωπος.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου... (σ. 150).

Ἰωάννου μοναχοῦ. Ἦχος ὁ αὐτός.

Ὁ Νυμφίος, ὁ κάλλει ὡραῖος* παρὰ πάντας ἀνθρώπους,* ὁ συγκαλέσας ἡμᾶς* πρὸς ἑστίασιν πνευματικὴν τοῦ νυμφῶνός σου,* τὴν δυσείμονά μου μορφὴν* τῶν πταισμάτων ἀπαμφίασον* τῇ μεθέξει τῶν παθημάτων σου,* καὶ στολὴν δόξης κοσμήσας* τῆς σῆς ὡραιότητος, δαιτυμόνα* φαιδρὸν ἀνάδειξον* τῆς βασιλείας σου, ὡς εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Κοσμᾶ μοναχοῦ. Ἦχος βαρύς.

Ἰδοὺ σοι τὸ τάλαντον* ὁ Δεσπότης ἐμπιστεύει, ψυχή μου·* φόβῳ δέξαι τὸ χάρισμα,* δάνεισαι τῷ δεδωκότι,* διάδος πτωχοῖς* καὶ κτῆσαι φίλον τὸν Κύριον·* ἵνα στῆς ἐκ δεξιῶν αὐτοῦ,* ὅταν ἔλθῃ ἐν δόξῃ,* καὶ ἀκούσῃς μακαρίας φωνῆς·* Εἴσελθε, δοῦλε,* εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.* Αὐτῆς ἀξίωσόν με,* Σωτήρ, τὸν πλανηθέντα* διὰ τὸ μέγα σου ἔλεος.

Ὁ Ἱερεύς· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι... (σ. 151). Ὁ ἀναγνώστης τὸ Τρισάγιον καὶ τὸ κοντάκιον Τὴν ὥραν, ψυχή, τοῦ τέλους ἐννοήσασα (σ. 1126), τὸ Κύριε, ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ Ἱερεύς· Ὁ ὢν εὐλογητός... Ἐπουράνιε βασιλεῦ... καὶ τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ μετὰ τῶν μετανοιῶν (σ. 177).

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΑΣ ΩΡΑΣ

Ὁ Ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης τὸ Τρισάγιον, τὸ Κύριε, ἐλέησον ιβ', τὸ Δεῦτε προσκυνήσωμεν, καὶ ἀναγινώσκονται αἱ Ὧραι (σ. 178-195) μετὰ τοῦ τροπαρίου Ἰδοὺ ὁ Νυμφίος καὶ τοῦ κοντακίου Τὴν ὥραν, ψυχή, τοῦ τέλους ἐννοήσασα...

Εἰς την ΣΤ' Ὥραν μετὰ τὸ Θεοτοκίον Ὅτι οὐκ ἔχομεν παῤῥησίαν ψάλλεται τὸ

Τροπάριον τῆς Προφητείας. Ἦχος α'.

Τοῖς ἀμέτρως πταίουσι* πλουσίως συγχώρησον, Σωτήρ·* ἀξίωσον ἡμᾶς* ἀκατακρίτως προσκυνῆσαί σου* τὴν ἁγίαν ἀνάστασιν,* πρεσβείαις τῆς ἀχράντου σου Μητρός,* μόνε πολυέλεε.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Προκείμενον. Ἦχος πλ. β'. Ψαλμὸς ρκθ'

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις.

Στίχ. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (α' 21-28).

Ἐν τῷ πορεύεσθαι τὰ ζῷα ἐπορεύοντο καὶ οἱ τροχοί, καὶ ἐν τῷ ἑστάναι αὐτὰ εἱστήκεισαν, καὶ ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς γῆς ἐξῆροντο σὺν αὐτοῖς καὶ οἱ τροχοί, διότι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. Καὶ ὁμοίωμα ὑπὲρ κεφαλῆς αὐτῶν τῶν ζῴων ὡσεὶ στερέωμα, ὡς ὅρασις κρυστάλλου, ἐκτεταμένον ἐπὶ τῶν πτερύγων αὐτῶν ἐπάνωθεν· καὶ ὑποκάτω τοῦ στερεώματος αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι, πτερυσσόμεναι ἑτέρα τῇ ἑτέρᾳ, ἑκάστῳ δύο συνεζευγμέναι καὶ ἐπικαλύπτουσαι τὰ σώματα αὐτῶν. Καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν ἐν τῷ πτερύσσεσθαι αὐτὰ ὡς φωνὴν ὕδατος πολλοῦ καὶ ὡς φωνὴν Θεοῦ σαδαῖ ἱκανοῦ ἐν τῷ πορεύεσθαι αὐτά· φωνὴ τοῦ λόγου ὡς φωνὴ παρεμβολῆς· καὶ ἐν τῷ ἑστάναι αὐτὰ κατέπαυον αἱ πτέρυγες αὐτῶν. Καὶ ἰδοὺ φωνὴ ὑπεράνωθεν τοῦ στερεώματος τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν· ἐν τῷ ἑστάναι αὐτὰ ἀνίεντο αἱ πτέρυγες αὐτῶν· καὶ ὑπεράνω τοῦ στερεώματος τοῦ ὑπὲρ κεφαλῆς αὐτῶν ὡς ὅρασις λίθου σαπφείρου, ὁμοίωμα θρόνου ἐπ' αὐτοῦ· καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν. Καὶ εἶδον ὡς ὄψιν ἠλέκτρου, ὡς ὅρασιν πυρὸς ἔσω-

θεν αὐτοῦ κύκλῳ ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω· καὶ ἀπὸ ὁράσεως ὀσφύος ἕως κάτω εἶδον ὅρασιν πυρός, καὶ τὸ φέγγος αὐτοῦ κύκλῳ· ὡς ὅρασις τόξου, ὅταν ᾖ ἐν τῇ νεφέλῃ ἐν ἡμέρᾳ ὑετοῦ, οὕτως ἡ στάσις τοῦ φέγγους κύκλωθεν. Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ρλ΄.

Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Στίχ. Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου.

Εἶτα Ταχὺ προκαταλαβέτωσαν... καὶ τὰ λοιπὰ τῆς ἀκολουθίας τῶν Ὡρῶν καὶ οἱ Μακαρισμοὶ (σ. 195-209). Μετὰ δὲ τὴν ἀπόλυσιν εὐθὺς τελεῖται ὁ Ἑσπερινὸς μετὰ τῆς Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Θ. Λειτουργία Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355), εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν τὰ στιχηρὰ τῶν αἴνων καὶ τῶν ἀποστίχων τοῦ Ὄρθρου ὡς ἑξῆς (βλ. τοὺς στίχους ἐν σ. 358, τὰ δὲ ἰδιόμελα ἐν σ. 1128-1130).

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς...
Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου...

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου...
Ὁ τῇ ψυχῇ ῥαθυμίᾳ νυστάξας...

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας...
Τοῦ κρύψαντος τὸ τάλαντον...

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος...
Δεῦτε, πιστοί, ἐπεργασώμεθα...

Στίχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη...
Ὅταν ἔλθῃς ἐν δόξῃ...

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ...
Ὁ Νυμφίος ὁ κάλλει ὡραῖος...

Δόξα, καὶ νῦν.
Τοῦ κρύψαντος τὸ τάλαντον...

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν, καὶ τὰ ἀναγνώσματα.

Προκείμενον. Ἦχος πλ. β'. Ψαλμὸς ρλα'.

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Στίχ. Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (β' 5-10).

Κατέβη ἡ θυγάτηρ Φαραὼ λούσασθαι ἐπὶ τὸν ποταμόν, καὶ αἱ ἄβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν ποταμόν. Καὶ ἰδοῦσα θίβην ἐν τῷ ἕλει, ἀποστείλασα τὴν ἄβραν ἀνείλετο αὐτήν. Ἀνοίξασα δὲ ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβῃ καὶ ἐφείσατο αὐτοῦ ἡ θυγάτηρ Φαραὼ καὶ ἔφη· Ἀπὸ τῶν παιδίων τῶν Ἑβραίων τοῦτο. Καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραώ· Θέλεις καλέσω σοι γυναῖκα τροφεύουσαν ἐκ τῶν Ἑβραίων καὶ θηλάσει σοι τὸ παιδίον; Καὶ εἶπεν αὐτῇ ἡ θυγάτηρ Φαραώ· Πορεύου. Ἐλθοῦσα δὲ ἡ νεᾶνις ἐκάλεσε τὴν μητέρα τοῦ παιδίου. Εἶπε δὲ πρὸς αὐτὴν ἡ θυγάτηρ Φαραώ· Διατήρησόν μοι τὸ παιδίον τοῦτο καὶ θήλασόν μοι αὐτό· ἐγὼ δὲ δώσω σοι τὸν μισθόν. Ἔλαβε δὲ ἡ γυνὴ τὸ παιδίον καὶ ἐθήλαζεν αὐτό. Ἀνδρυνθέντος δὲ τοῦ παιδίου, εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραώ. Καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Μωϋσῆν, λέγουσα· Ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς ρλβ'.

Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;

Στίχ. Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών.

Ἰὼβ τὸ ἀνάγνωσμα (α΄ 13-22).

Ἐγένετο ὡς ἡ ἡμέρα αὕτη, οἱ υἱοὶ Ἰὼβ καὶ αἱ θυγατέρες αὐτοῦ ἤσθιον καὶ ἔπινον ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου. Καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰὼβ καὶ εἶπεν αὐτῷ· Τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν· καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτὰς καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν στόματι μαχαίρας· σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰὼβ καὶ εἶπε· Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν καὶ κατέκαυσε τὰ πρόβατα καὶ τοὺς ποιμένας κατέκαυσεν ὁμοίως· καὶ σωθεὶς ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. Ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς Ἰὼβ καὶ λέγει αὐτῷ· Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν ἀρχὰς τρεῖς καὶ ἐκύκλωσαν τὰς καμήλους καὶ ᾐχμαλώτευσαν αὐτὰς καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις· ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. Ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται πρὸς Ἰὼβ λέγων· Τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ υἱῷ σου τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ἐξαίφνης πνεῦμα μέγα ἦλθεν ἀπὸ τῆς ἐρήμου καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου καὶ ἐτελεύτησαν· καὶ ἐσώθην ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

Οὕτως ἀκούσας Ἰώβ, ἀναστὰς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ καὶ πεσὼν χαμαὶ προσεκύνησε τῷ Κυρίῳ καὶ εἶπεν· Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντι Κυρίου, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ· καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ.

Εἶτα τὸ Κατευθυνθήτω μετὰ τῶν στίχων αὐτοῦ (σ. 360), καὶ μετὰ τοῦτο ὁ διάκονος

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κδ' 36 - κς' 2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατήρ μου μόνος. Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν Κιβωτόν, καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται καὶ ὁ εἷς ἀφίεται. Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι, μία παραλαμβάνεται καὶ μία ἀφίεται. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἶδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; Μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει ὁ κύριός μου ἐλθεῖν, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίειν δὲ καὶ πίνειν μετὰ τῶν μεθυόντων, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλα-

βον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ, καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα. Ὡσαύτως καὶ ὁ τὰ δύο ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο. Ὁ δὲ τὸ ἓν λαβὼν ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων καὶ συναίρει μετ' αὐτῶν λόγον. Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ! ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν εἶπε· Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. Ἔφη αὐτῷ ὁ Κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ! ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰ-

ληφὼς εἶπε· Κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας· καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν. Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐτῷ· Πονηρὲ δοῦλε καὶ ὀκνηρέ! ἤδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα! ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ· καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέ με, ξένος ἤμην, καὶ συνηγάγετέ με, γυμνός, καὶ περιεβάλετέ με, ἠσθένησα, καὶ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ ἐποτίσαμεν; πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγομεν, ἢ γυμνὸν καὶ περιεβάλομεν; πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ ἤλθομεν πρός σε; Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με, ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με, γυ-

μνός, καὶ οὐ περιεβάλετέ με, ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς λέγων· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 361-375) καὶ ἀπόλυσις·

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

Τελεῖται τὸ Μέγα Ἀπόδειπνον μέχρι καὶ τῆς δοξολογίας (σ. 246-267) καὶ ἀκολούθως ψάλλεται τὸ παρὸν τριῴδιον μετὰ στίχου· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ποίημα Ἀνδρέου Κρήτης. Ἦχος β'.
Ὠδὴ γ'. Ὁ εἱρμός.

Στειρωθέντα μου τὸν νοῦν* καρποφόρον, ὁ Θεός,* ἀνάδειξόν με,* γεωργὲ τῶν καλῶν,* φυτουργὲ τῶν ἀγαθῶν,* τῇ εὐσπλαγχνίᾳ σου.

Τροπάρια.

Συντελείας ὁ καιρός·* ἐπιστρέψωμεν λοιπόν,* Χριστὸς διδάσκει·* ἤξει γὰρ ἐν ῥιπῇ,* ἤξει καὶ οὐ χρονιεῖ* κρῖναι τὸν κόσμον αὐτοῦ.

Τὸ ἀθρόον τῆς αὐτοῦ* παρουσίας ὁ Χριστὸς* δηλῶν, εἰρήκει* τὴν τοῦ Νῶε ποτὲ* ἀπροσδόκητον φθορὰν* ἐπενεχθεῖσαν τῇ γῇ.

Ηνεῴχθη ὁ νυμφών,* ἠὐτρεπίσθη σὺν αὐτῷ* ὁ θεῖος γάμος·* ὁ Νυμφίος ἐγγὺς* προσκαλούμενος ἡμᾶς·* ἑτοιμασθῶμεν λοιπόν.

Ητοῦ Σίμωνος σκηνὴ* τὸν ἀχώρητον παντὶ* ἐχώρησέ σε,* Ἰησοῦ βασιλεῦ,* καὶ γυνὴ ἁμαρτωλὸς* μύρῳ σε ἤλειψεν.

Εὐωδίας μυστικῆς* πληρουμένη ἡ γυνή,* τῆς πρὶν ἐρρύσθη* δυσωδίας, Σωτῆρ,* τῶν πολλῶν ἁμαρτιῶν·* μύρον γὰρ βρύεις ζωῆς.

Επουράνιος τροφή,* τῶν πεινώντων ἡ ζωή* αὐτὸς ὑπάρχων,* εἰστιάθης, Χριστέ,* τοῖς ἀνθρώποις προδεικνὺς* σὴν συγκατάβασιν.

Ο ἀγνώμων μαθητὴς* ἀθετῆσάς σε, Χριστέ,* τὴν σπεῖραν ὅλην* τῶν ἀνόμων λαῶν* συνεκίνει κατά σοῦ,* εἰς προδοσίαν τραπείς.

Δόξα. Τριαδικόν.

Σὺν Πατρί σε τὸν Υἱόν,* καὶ τὸ Πνεῦμα τὸ εὐθές,* τὴν μίαν φύσιν* προσκυνῶ καὶ ἀνυμνῶ,* τοῖς προσώποις διαιρῶν* καὶ τῇ οὐσίᾳ ἑνῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ητεκοῦσά σε Ἀμνάς,* τὸν Ποιμένα καὶ Ἀμνὸν* ἀεὶ πρεσβεύει,* Ἰησοῦ ὁ Θεός,* ὑπὲρ πάντων γηγενῶν* τῶν πιστευόντων εἰς σέ.

Κάθισμα. Ἦχος α΄. (Τὸν τάφον σου, Σωτῆρ).

Ιδοὺ τὸ πονηρὸν* βουλευτήριον ὄντως* συνῆκται δυσμενῶς* ὡς κριτὸν κατακρῖναι* τὸν ἄνω καθεζόμενον* ὡς κριτὴν πάντων Κύριον·* νῦν ἀθροίζεται* σὺν τῷ Πιλάτῳ Ἡρῴδης,* Ἄννας ἅμα τε* καὶ Καϊάφας, ἐτάσαι* τὸν μόνον μακρόθυμον.

Ὠδὴ η΄. Ὁ εἱρμός.

Τὸν ἐν τῇ βάτῳ Μωσῆ* τῆς Παρθένου τὸ θαῦμα* ἐν Σιναίῳ τῷ ὄρει* προτυπώσαντα ποτὲ* ὑμνεῖτε, εὐλογεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας. (Δὶς)

Τροπάρια.

Οὐκ ἀγνοῶν τὸν καιρὸν* τῆς ἡμῶν συντελείας* ὁ κρατῶν τοὺς αἰῶνας,* τὴν ἡμέραν ἀγνοεῖν* προέφησας ἐκείνην,* ἀλλ᾽ ὅρους πᾶσι τιθεὶς* πρὸς μετριοφροσύνην.

Ὅταν καθίσῃς κριτὴς* ἀφορίζων, ὡς εἶπας,* ὁ ποιμὴν τῶν προβάτων,* τὰ ἐρίφια, Σωτῆρ,* τῆς στάσεως ἐκείνης* μὴ ὑστερήσῃς ἡμᾶς* τῆς θείας δεξιᾶς σου.

Σὺ εἶ τὸ Πάσχα ἡμῶν,* ὁ τυθεὶς ὑπὲρ πάντων* ὡς ἀμνὸς καὶ θυσία* καὶ πταισμάτων ἱλασμός,* καὶ σοῦ τὰ θεῖα πάθη* ὑπερυψοῦμεν, Χριστέ,* εἰς πάντας τοὺς αἰῶνας.

Μύλωνι ἔοικέ σοι* καὶ ἀγρῷ καὶ οἰκίᾳ* πᾶς ὁ βίος, ψυχή μου·* διὸ κτῆσαι εἰς Θεὸν* ἑτοίμην τὴν καρδίαν,* ἵνα μηδὲν τῆς φθορᾶς* τῇ σαρκὶ καταλίπῃς.

Οὐ Φαρισαίοις, Σωτήρ,* οὐ τῷ Σίμωνι μόνῳ* κατηξίωσας ἅμα* εἰς ἑστίασιν ἐλθεῖν·* ἀλλ᾽ ἤδη καὶ τελῶναι* ὁμοῦ καὶ πόρναι τὴν σὴν* ἀντλοῦσιν εὐσπλαγχνίαν.

Φιλαργυρίας ἐρῶν* ὁ προδότης Ἰούδας,* κενωθέντος τοῦ μύρου,* ἐμελέτησε λοιπὸν* τὴν πρᾶσιν τοῦ Δεσπότου* καὶ πρὸς ἀνόμους ἐλθὼν* τὴν τιμὴν συνεφώνει.

Ωμακαρίων χειρῶν,* ὦ τριχῶν καὶ χειλέων* τῶν τῆς σώφρονος πόρνης!* αἷς ἐπέχεε, Σωτῆρ,* τὸ μύρον πρὸς τοὺς πόδας,* ἐκμασσομένη αὐτούς,* πυκνῶς καταφιλοῦσα.

Ανακειμένῳ γυνὴ* ἐπιστᾶσά σοι, Λόγε,* πρὸς τοὺς πόδας θρηνοῦσα,* τὸ ἀλάβαστρον, Σωτήρ,* τοῦ μύρου κατεκένου* ἐπὶ τὴν σὴν κεφαλὴν* τοῦ ἀθανάτου μύρου.

Δόξα. Τριαδικόν.

Σὺν τῷ Πατρὶ τὸν Υἱὸν* καὶ τὸ ἅγιον Πνεῦμα,* τὴν ἁγίαν Τριάδα* ἐν Θεότητι μιᾷ* δοξάζομεν βοῶντες·* Ἅγιος, ἅγιος,* ἅγιος εἶ εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ταῖς ἱκεσίαις, Σωτήρ,* τῆς ἀχράντου Μητρός σου* καὶ τῶν σῶν ἀποστόλων* τὰ ἐλέη σου ἡμῖν* κατάπεμψον πλουσίως* καὶ τὴν εἰρήνην τὴν σὴν* παράσχου τῷ λαῷ σου.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Τὴν ὑπερφυῶς σαρκὶ* συλλαβοῦσαν ἐν γαστρὶ* τὸν ἐκ Πατρὸς ἀχρόνως* προεκλάμψαντα Λόγον,* τὴν μόνην Θεοτόκον* μεγαλύνομεν πιστῶς.

Τροπάρια.

Ἐργασίας ὁ καιρός,* σωτηρίας ὁ σκοπός·* τὸ τάλαντον λαβοῦσα,* τὴν ἀρχαίαν εἰκόνα,* ψυχή μου, ἐμπορεύου* τὴν αἰώνιον ζωήν.

Ὡς λαμπάδας φωτεινὰς* κεκτημένοι τὰς ψυχάς,* τῷ Νυμφίῳ χωροῦντι* πρὸς τὸν ἄφθαρτον γάμον,* πρὸ τοῦ τὴν θύραν κλεῖσαι,* συνεισέλθωμεν αὐτῷ.

Δεῖξαι θέλων, Ἰησοῦ,* τὸ ὑπερφυὲς τῆς σῆς* ταπεινώσεως πᾶσιν,* εἱστιάθης ἐν οἴκῳ* τοῦ Σίμωνος δειπνήσας,* τῶν πεινώντων ἡ τροφή.

Ἄρτος ὢν ζωοποιὸς* εἱστιάθης, Ἰησοῦ,* Σίμωνι Φαρισαίῳ,* ἵνα πόρνη κερδήσῃ* τὴν ἄπρατόν σου χάριν* τοῦ μύρου τῇ κενώσει.

Χεῖρες ἐμοὶ ῥυπαραί,* χείλη πόρνης ἐν ἐμοί,* ἀναγνός μου ὁ βίος,* ἐφθαρμένα τὰ μέλη·* ἀλλ' ἄνες μοι καὶ ἄφες,* βοᾷ πόρνη τῷ Χριστῷ.

Ἐπιστᾶσα ἡ γυνὴ* πρὸς τοὺς πόδας σου, Σωτήρ,* ἐπέχεε τὸ μύρον* εὐωδίας πληροῦσα* καὶ μύρου πληρουμένη* τοῦ τῶν ἔργων ἰλασμοῦ.

Ἀρωμάτων εὐπορῶ,* ἀρετῶν δὲ ἀπορῶ·* ἃ ἔχω σοι προσάγω·* δὸς αὐτὸς ἅπερ ἔχεις* καὶ ἄνες μοι καὶ ἄφες,* βοᾷ πόρνη τῷ Χριστῷ.

Μύρον παρ᾽ ἐμοὶ φθαρτόν,* μύρον παρὰ σοὶ ζωῆς·* μύρον γὰρ ὄνομά σοι* κενωθὲν τοῖς ἀξίοις·* ἀλλ᾽ ἄνες μοι καὶ ἄφες,* βοᾷ πόρνη τῷ Χριστῷ.

Δόξα. Τριαδικόν.

Ἀναρχος εἶ, ὁ Πατήρ,* ἄκτιστος εἶ, ὁ Υἱός,* σύνθρονον καὶ τὸ Πνεῦμα,* ἐν τᾷ τρία τῇ φύσει* καὶ τρία τοῖς προσώποις,* εἷς Θεὸς ἀληθινός.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, ἡ ἐλπὶς* τῶν τιμώντων σε ἀεί,* μὴ παύσῃ δυσωποῦσα* τὸν ἐκ σοῦ γεννηθέντα* ῥυσθῆναί με κινδύνων* καὶ παντοίων πειρασμῶν.

Καὶ πάλιν τὸν εἱρμόν· Τὴν ὑπερφυῶς σαρκί... (σ. 1141).

Τὸ Τρισάγιον καὶ τὰ λοιπὰ τοῦ Μεγ. Ἀποδείπνου (σ. 267-274) εἰς δὲ τὴν συγχώρησιν ψάλλεται τὸ Σφαγήν σου τὴν ἄδικον, Χριστέ...

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ ἱερεύς: Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης τὸ Τρισάγιον καὶ τοὺς Ψαλμοὺς Ἐπακούσαι σου Κύριος κτλ. (σ. 151), αὖθις τὸ Τρισάγιον καὶ τὰ τροπάρια Σῶσον, Κύριε, τὸν λαόν σου. Ὁ ἱερεὺς τὴν δέησιν. Ὁ ἀναγνώστης τὸν ἑξαψαλμον. Ὁ διάκονος τὰ εἰρηνικὰ (σ. 84-99).

Εἶτα ψάλλεται τὸ Ἀλληλούϊα μετὰ τῶν στίχων αὐτοῦ (σ. 153) καὶ τὸ παρὸν τροπάριον ἐκ γ΄.

Ἦχος πλ. δ΄.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται* ἐν τῷ μέσῳ τῆς νυκτός·* καὶ μακάριος ὁ δοῦλος,* ὃν εὑρήσει γρηγοροῦντα·* ἀνάξιος δὲ πάλιν,* ὃν εὑρήσει ῥαθυμοῦντα.* Βλέπε οὖν, ψυχή μου,*

μὴ τῷ ὕπνῳ κατενεχθῆς,* ἵνα μὴ τῷ θανάτῳ παραδοθῆς* καὶ τῆς βασιλείας ἔξω κλεισθῆς·* ἀλλὰ ἀνάνηψον κράζουσα·* Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὁ Θεός·* δυνάμει τοῦ Σταυροῦ σου, σῶσον ἡμᾶς.

Εἰς τὸ τέλος τοῦ β΄ λέγομεν τὸ χαρακτηριστικὸν τοῦ ἁγίου τοῦ ναοῦ· Πρεσβείαις τοῦ ἁγίου (ἢ τοῦ ὁσίου ἢ τοῦ ἱεράρχου) σῶσον ἡμᾶς.

Εἰς δὲ τὸ τέλος τοῦ γ΄ Διὰ τῆς Θεοτόκου* ἐλέησον ἡμᾶς.

[Τὸ Ψαλτήριον τῆς ἡμέρας].

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος... Καὶ ψάλλομεν τὰ παρόντα καθίσματα.(*)

Ἦχος γ΄. (Τὴν ὡραιότητα).

Πόρνη προσῆλθέ σοι* μύρα σὺν δάκρυσι* κατακενοῦσά σου* ποσί, φιλάνθρωπε,* καὶ δυσωδίας τῶν κακῶν* λυτροῦται τῇ κελεύσει σου·* πνέων δὲ τὴν χάριν σου* μαθητὴς ὁ ἀχάριστος* ταύτην ἀποβάλλεται* καὶ βορβόρῳ συμφύρεται,* φιλαργυρίᾳ ἀπεμπολῶν σε.* Δόξα, Χριστέ, τῇ εὐσπλαγχνίᾳ σου.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ἕτερον. Ἦχος δ΄. (Ταχὺ προκατάλαβε).

Ἰούδας ὁ δόλιος* φιλαργυρίας ἐρῶν* προδοῦναί σε, Κύριε,* τὸν θησαυρὸν τῆς ζωῆς* δολίως ἐμελέτησεν·* ὅθεν καὶ παροινήσας* τρέχει πρὸς Ἰουδαίους,* λέγει τοῖς παρανόμοις·* Τί μοι θέλετε δοῦναι,* κἀγὼ παραδώσω ὑμῖν* εἰς τὸ σταυρῶσαι αὐτόν;

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ἕτερον. Ἦχος α΄. (Τὸν τάφον σου, Σωτῆρ).

Ἡ πόρνη ἐν κλαυθμῷ* ἀνεβόα, οἰκτίρμον,* ἐκμάσσουσα θερμῶς* τοὺς ἀχράντους σου πόδας* θριξὶ τῆς κεφαλῆς αὐτῆς* καὶ ἐκ βάθους στενάζουσα·* Μὴ ἀπώσῃ με,* μη-

(*) Βλ. σημ. σ. 1100.

δὲ βδελύξῃ, Θεέ μου,* ἀλλὰ δέξαι με* μετανοοῦσαν καὶ σῶσον* ὡς μόνος φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ., καὶ ὁ ἱερεὺς ἀναγινώσκει τὸ

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιβ' 17-50).

Τῷ καιρῷ ἐκείνῳ, ἐμαρτύρει ὁ ὄχλος ὁ ὢν μετὰ τοῦ Ἰησοῦ ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν φαρισαῖοι εἶπον πρὸς ἑαυτούς· Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

Ἦσαν δέ τινες Ἕλληνες ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ. Οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν λέγοντες· Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ, καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς λέγων· Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ Πατήρ. Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω.

Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγε βροντὴν γεγονέναι· ἄλλοι ἔλεγον· Ἄγγελος αὐτῷ λελάληκεν. Ἀπεκρίθη

ὁ Ἰησοῦς καὶ εἶπεν· Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Τοῦτο δὲ ἔλεγε σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνῄσκειν. Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα, καὶ πῶς σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ Υἱὸς τοῦ ἀνθρώπου; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν. Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν οὐκ ἐπίστευον εἰς αὐτόν· ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ ὃν εἶπε· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;». Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας· «Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ νοήσωσι τῇ καρδίᾳ καὶ ἐπιστραφῶσι, καὶ ἰάσωμαι αὐτούς». Ταῦτα εἶπεν Ἡσαΐας ὅτε εἶδε τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησε περὶ αὐτοῦ. Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ διὰ τοὺς φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ.

Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν· Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με, καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. Καὶ ἐάν τις μου ἀκούσῃ τῶν ῥημάτων καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. Ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐ-

λάλησα, ἀλλ' ὁ πέμψας με Πατὴρ αὐτός μοι ἐντολὴν ἔδωκε τί εἴπω καὶ τί λαλήσω· καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. Ἃ οὖν ἐγὼ λαλῶ, καθὼς εἴρηκέ μοι ὁ Πατήρ, οὕτω λαλῶ.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης τὸν Ν' Ψαλμὸν χῦμα (σ. 103).

Καὶ ψάλλομεν τὸ παρὸν τριῳδιον, οὗ ἡ ἀκροστιχίς· Τετράδι ψαλῶ.

Ποίημα Κοσμᾶ μοναχοῦ. Ἦχος β'.

Ὠδὴ γ'. Ὁ εἱρμός.(*)

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας,* ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου·* εὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν·* Οὐκ ἔστιν ἅγιος,* ὡς ὁ Θεὸς ἡμῶν* καὶ οὐκ ἔστι δίκαιος* πλὴν σου, Κύριε.

Τροπάρια.

Εν κενοῖς τὸ συνέδριον τῶν ἀνόμων* καὶ γνῶμη συναθροίζεται κακοτρόπῳ* κατάκριτον τὸν ῥύστην σε ἀποφῆναι,* Χριστέ, ᾧ ψάλλομεν·* Σὺ εἶ Θεὸς ἡμῶν* καὶ οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε.

Τὸ δεινὸν βουλευτῆριον τῶν ἀνόμων* σκέπτεται, θεομάχου ψυχῆς ὑπάρχον,* ὡς δύσχρηστον τὸν δίκαιον ἀποκτεῖναι* Χριστόν, ᾧ ψάλλομεν·* Σὺ εἶ Θεὸς ἡμῶν* καὶ οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε.

Καταβασία. Τῆς πίστεως ἐν πέτρᾳ.

Μικρὰ συναπτὴ καὶ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

Κοντάκιον. Ἦχος δ'. (Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ).

Υπὲρ τὴν πόρνην, ἀγαθέ, ἀνομήσας,* δακρύων ὄμβρους οὐδαμῶς σοι προσῆξα·* ἀλλὰ σιγῇ δεδεμένος προσπίπτω σοι,* πόθῳ ἀσπαζόμενος* τοὺς ἀχράντους σου πόδας,*

(*) Βλ. σημ. σ. 1103.

ὅπως μοι τὴν ἄφεσιν* ὡς Δεσπότης παράσχῃς* τῶν ὀφλημάτων κράζοντι, Σωτήρ·* Ἐκ τοῦ βορβόρου* τῶν ἔργων μου ῥῦσαί με.

Ὁ οἶκος. (Ὁ μετὰ τρίτον οὐρανόν).

Ἡ πρώην ἄσωτος γυνὴ* ἐξαίφνης σώφρων ὤφθη,* μισήσασα τὰ ἔργα* τῆς αἰσχρᾶς ἁμαρτίας* καὶ ἡδονὰς τοῦ σώματος,* διενθυμουμένη* τὴν αἰσχύνην τὴν πολλήν* καὶ κρίσιν τῆς κολάσεως,* ἣν ὑποστῶσι πόρνοι καὶ ἄσωτοι·* ὡνπερ πρῶτος πέλω* καὶ πτοοῦμαι,* ἀλλ' ἐμμένω τῇ φαύλῃ* συνηθείᾳ ὁ ἄφρων·* ἡ πόρνη δὲ γυνή,* καὶ πτοηθεῖσα* καὶ σπουδάσασα ταχύ,* ἦλθε βοῶσα* πρὸς τὸν Λυτρωτήν·* Φιλάνθρωπε καὶ οἰκτίρμον,* ἐκ τοῦ βορβόρου* τῶν ἔργων μου ῥῦσαί με.

Τὸ Συναξάριον τοῦ Μηναίου καὶ τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τετάρτῃ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ πόρνης γυναικὸς μνείαν ποιεῖσθαι οἱ θειότατοι πατέρες ἐθέσπισαν, ὅτι πρὸ τοῦ σωτηρίου πάθους μικρὸν τοῦτο γέγονε.

Στίχοι.

Γυνὴ βαλοῦσα σώματι Χριστοῦ μύρον
τὴν Νικοδήμου προῦλαβε σμυρναλόην.

Ἀλλ' ὁ τῷ νοητῷ μύρῳ χρισθείς, Χριστὲ ὁ Θεός, τῶν ἐπιῤῥύτων παθῶν ἐλευθέρωσον καὶ ἐλέησον ἡμᾶς ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ η'. Ὁ εἱρμός.

Ῥῆμα τυράννου* ἐπεὶ ὑπερίσχυσεν,* ἐπταπλασίως κάμινος* ἐξεκαύθη ποτέ·* ἐν ᾗ παῖδες οὐκ ἐφλέχθησαν,* βασιλέως πατήσαντες δόγμα,* ἀλλ' ἐβόων·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Ἀποκενοῦσα* γυνὴ μύρον ἔντιμον* δεσποτικῇ καὶ θείᾳ φρικτῇ* κορυφῇ, Χριστέ,* τῶν ἰχνῶν σου ἐπελάβετο* τῶν ἀχράντων κεχραμέναις παλάμαις,* καὶ ἐβόα·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Δάκρυσι πλύνει* τοὺς πόδας, ὑπεύθυνος* ἁμαρτίαις, τοῦ πλάσαντος,* καὶ ἐκμάσσει θριξί·* διὸ τῶν ἐν βίῳ οὐ διήμαρτε* πεπραγμένων τῆς ἀπολυτρώσεως,* ἀλλ' ἐβόα·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ἱερουργεῖται* τὸ λύτρον εὐγνώμονι* ἐκ σωτηρίων σπλάγχνων τε* καὶ δακρύων πηγῆς,* ἐν ᾗ διὰ τῆς ἐξαγορεύσεως* ἐκπλυθεῖσα οὐ κατῃσχύνετο,* ἀλλ' ἐβόα·* Πάντα τὰ ἔργα Κυρίου,* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Ῥῆμα τυράννου.

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Ψυχαῖς καθαραῖς* καὶ ἀῤῥυπώτοις χείλεσι* δεῦτε μεγαλύνωμεν* τὴν ἀκηλίδωτον* καὶ ὑπέραγνον Μητέρα τοῦ Ἐμμανουήλ,* δι' αὐτῆς τῷ ἐξ αὐτῆς* προσφέροντες πρεσβείαν τεχθέντι.* Φεῖσαι τῶν ψυχῶν ἡμῶν,* Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Τροπάρια.

Ἀγνώμων φανεὶς* καὶ πονηρὸς ζηλότυπος,* δῶρον ἀξιόθεον* λογοπραγεῖ, δι' οὗ* ὀφειλέσιον ἐλύθη ἁμαρτημάτων,* καπηλεύων ὁ δεινὸς* Ἰούδας τὴν φιλόθεον χάριν.* Φεῖσαι τῶν ψυχῶν ἡμῶν,* Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Λέγει πορευθεὶς* τοῖς παρανόμοις ἄρχουσι·* Τί μοι δοῦναι θέλετε,* κἀγὼ Χριστὸν ὑμῖν* τὸν ζητούμενον τοῖς

θέλουσι παραδώσω;* οἰκειότητα Χριστοῦ* Ἰούδας ἀντωσάμενος χρυσοῦ.* Φεῖσαι τῶν ψυχῶν ἡμῶν,* Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Ὢ πηρωτικῆς* φιλαργυρίας, ἄσπονδε!* λήθης ὅθεν ἔτυχες,* ὅτι ψυχῆς οὐδ' ὅς* ἰσοστάσιος ὁ κόσμος, ὡς ἐδιδάχθης·* ἀπογνώσει γὰρ σαυτὸν* ἐβρόχισας ἀνάψας, προδότα.* Φεῖσαι τῶν ψυχῶν ἡμῶν,* Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Καταβασία. Ψυχαῖς καθαραῖς.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι...

Ἐξαποστειλάριον αὐτόμελον. Ἦχος γ'.

Τὸν νυμφῶνά σου βλέπω,* Σωτήρ μου, κεκοσμημένον,* καὶ ἔνδυμα οὐκ ἔχω,* ἵνα εἰσέλθω ἐν αὐτῷ·* λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς,* φωτοδότα, καὶ σῶσόν με.

(Τρις)

Εἰς τοὺς αἴνους ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Κοσμᾶ μοναχοῦ. Ἦχος α'.

Σὲ τὸν τῆς Παρθένου Υἱὸν* πόρνη ἐπιγνοῦσα Θεόν, ἔλεγεν* ἐν κλαυθμῷ δυσωποῦσα,* ὡς δακρύων ἄξια πράξασα·* Διάλυσον τὸ χρέος,* ὡς κἀγὼ τοὺς πλοκάμους·* ἀγάπησον φιλοῦσαν* τὴν δικαίως μισουμένην,* καὶ πλησίον τελωνῶν σε κηρύξω,* εὐεργέτα φιλάνθρωπε.

Τὸ πολυτίμητον μύρον* ἡ πόρνη ἔμιξε μετὰ δακρύων,* καὶ ἐξέχεεν εἰς τοὺς ἀχράντους πόδας σου* καταφιλοῦσα.* Ἐκείνην εὐθὺς ἐδικαίωσας,* ἡμῖν δὲ συγχώρησιν δώρησαι,* ὁ παθὼν ὑπὲρ ἡμῶν,* καὶ σῶσον ἡμᾶς.

Ὅτε ἡ ἁμαρτωλὸς* προσέφερε τὸ μύρον,* τότε ὁ μαθητὴς* συνεφώνει τοῖς παρανόμοις·* ἡ μὲν ἔχαιρε* κενοῦσα τὸ πολύτιμον,* ὁ δὲ ἔσπευδε* πωλῆσαι τὸν ἀτίμητον·* αὕτη τὸν Δεσπότην ἐπεγίνωσκεν,* οὗτος τοῦ Δεσπότου ἐχωρίζετο·* αὕτη ἠλευθεροῦτο,* καὶ ὁ Ἰούδας* δοῦλος ἐγεγόνει τοῦ ἐχθροῦ.* Δεινὸν ἡ ῥαθυμία!* μεγάλη ἡ μετά-

νοια!* ἦν μοι δώρησαι, Σωτῆρ,* ὁ παθῶν ὑπὲρ ἡμῶν,* καὶ σῶσον ἡμᾶς.

Ὢ τῆς Ἰούδα ἀθλιότητος!* ἐθεώρει τὴν πόρνην* φιλοῦσαν τὰ ἴχνη,* καὶ ἐσκέπτετο δόλῳ* τῆς προδοσίας τὸ φίλημα.* Ἐκείνη τοὺς πλοκάμους διέλυσε,* καὶ οὗτος τῷ θυμῷ ἐδεσμεῖτο,* φέρων ἀντὶ μύρου* τὴν δυσώδη κακίαν* φθόνος γὰρ οὐκ οἶδε* προτιμᾶν τὸ συμφέρον.* Ὢ τῆς Ἰούδα ἀθλιότητος!* ἀφ' ἧς ῥῦσαι, ὁ Θεός,* τὰς ψυχάς ἡμῶν.

Δόξα. Τοῦ αὐτοῦ. Ἦχος β'.

Ἡ ἁμαρτωλὸς* ἔδραμε πρὸς τὸ μύρον* πριάσασθαι πολύτιμον μύρον,* τοῦ μυρίσαι τὸν εὐεργέτην* καὶ τῷ μυρεψῷ ἐβόα·* Δός μοι τὸ μύρον,* ἵνα ἀλείψω κἀγὼ* τὸν ἐξαλείψαντά μου* πάσας τὰς ἁμαρτίας.

Καὶ νῦν. Ἦχος πλ. β'.

Ἡ βεβυθισμένη τῇ ἁμαρτίᾳ* εὗρέ σε λιμένα τῆς σωτηρίας* καὶ μύρον σὺν δάκρυσι* κενοῦσά σοι ἐβόα·* Ἴδε, ὁ ἔχων ἐξουσίαν* συγχωρεῖν ἁμαρτίας·* ἴδε, ὁ τῶν ἁμαρτανόντων* τὴν μετάνοιαν μένων·* ἀλλά, Δέσποτα,* διάσωσόν με* ἐκ τοῦ κλύδωνος* τῆς ἁμαρτίας μου, δέομαι,* διὰ τὸ μέγα σου ἔλεος.

Ὁ ἀναγνώστης: Σοὶ δόξα πρέπει... Δόξα ἐν ὑψίστοις Θεῷ... (σ. 148).

Ὁ διάκονος τὰ Πληρωτικὰ καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 135-137).

Μετὰ δὲ τὴν ἐκφώνησιν ψάλλομεν τὰ ἀπόστιχα.

Βυζαντίου. Ἦχος πλ. β'.

Σήμερον ὁ Χριστὸς παραγίνεται* ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου* καὶ γυνὴ ἁμαρτωλὸς προσελθοῦσα* τοῖς ποσὶν ἐκυλινδοῦτο βοῶσα·* Ἴδε τὴν βεβυθισμένην τῇ ἁμαρτίᾳ,* τὴν ἀπηλπισμένην διὰ τὰς πράξεις,* τὴν μὴ βδελυχθεῖσαν* παρὰ τῆς σῆς ἀγαθότητος·* καὶ δός μοι, Κύριε,* τὴν ἄφεσιν τῶν κακῶν καὶ σῶσόν με.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε,

καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν.

Ἰωάννου μοναχοῦ. Ἦχος ὁ αὐτός.

Ἁπλωσεν ἡ πόρνη* τὰς τρίχας σοι τῷ Δεσπότῃ·* ἅπλωσεν Ἰούδας* τὰς χεῖρας τοῖς παρανόμοις·* ἡ μὲν λαβεῖν τὴν ἄφεσιν,* ὁ δὲ λαβεῖν ἀργύρια·* διό σοι βοῶμεν* τῷ πραθέντι* καὶ ἐλευθερώσαντι ἡμᾶς·* Κύριε, δόξα σοι.

Στίχ. Εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά· καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Βυζαντίου. Ἦχος ὁ αὐτός.

Προσῆλθε γυνὴ* δυσώδης καὶ βεβορβορωμένη,* δάκρυα προχέουσα* ποσί σου, Σωτήρ,* τὸ πάθος καταγγέλλουσα.* Πῶς ἀτενίσω σοι τῷ Δεσπότῃ;* αὐτὸς γὰρ ἐλήλυθας σῶσαι πόρνην.* Ἐκ βυθοῦ θανοῦσάν με ἀνάστησον,* ὁ τὸν Λάζαρον ἐγείρας* ἐκ τάφου τετραήμερον·* δέξαι με τὴν τάλαιναν,* Κύριε, καὶ σῶσόν με.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Ἀπεγνωσμένη διὰ τὸν βίον* καὶ ἐπεγνωσμένη διὰ τὸν τρόπον* τὸ μύρον βαστάζουσα* προσῆλθέ σοι βοῶσα·* Μή με τὴν πόρνην ἀποῤῥίψῃς,* ὁ τεχθεὶς ἐκ Παρθένου·* μή μου τὰ δάκρυα παρίδῃς,* ἡ χαρὰ τῶν ἀγγέλων,* ἀλλὰ δέξαι με* μετανοοῦσαν,* ἣν οὐκ ἀπώσω* ἁμαρτάνουσαν, Κύριε,* διὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Ποίημα Κασσιανῆς μοναχῆς.

Κύριε,* ἡ ἐν πολλαῖς ἁμαρτίαις* περιπεσοῦσα γυνή,* τὴν σὴν αἰσθομένη Θεότητα,* μυροφόρου ἀναλαβοῦσα τάξιν,* ὀδυρομένη μύρα σοι* πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει·* Οἴμοι! λέγουσα,* ὅτι νύξ μοι ὑπάρχει,* οἶστρος ἀκολασίας,* ζοφώδης τε καὶ ἀσέληνος* ἔρως τῆς ἁμαρτίας.* Δέξαι

μου τὰς πηγὰς τῶν δακρύων,* ὁ νεφέλαις διεξάγων* τῆς θαλάσσης τὸ ὕδωρ·* κάμφθητί μοι* πρὸς τοὺς στεναγμούς τῆς καρδίας,* ὁ κλίνας τοὺς οὐρανοὺς* τῇ ἀφάτῳ σου κενώσει.* Καταφιλήσω* τοὺς ἀχράντους σου πόδας,* ἀποσμήξω τούτους δὲ πάλιν* τοῖς τῆς κεφαλῆς μου βοστρύχοις·* ὧν ἐν τῷ παραδείσῳ* Εὔα τὸ δειλινὸν* κρότον τοῖς ὠσὶν ἠχηθεῖσα,* τῷ φόβῳ ἐκρύβη.* Ἁμαρτιῶν μου τὰ πλήθη* καὶ κριμάτων σου ἀβύσσους* τίς ἐξιχνιάσει,* ψυχοσῶστα Σωτήρ μου;* μή με τὴν σὴν δούλην παρίδῃς,* ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

Ὁ ἱερεύς· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι... (σ. 151). Ὁ ἀναγνώστης τὸ Τρισάγιον, τὸ κοντάκιον Ὑπὲρ τὴν πόρνην (σ. 1146), τὸ Κύριε, ἐλέησον μ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός... Ἐπουράνιε βασιλεῦ... καὶ τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραὶμ μετὰ τῶν μετανοιῶν (σ. 177). Καὶ εὐθὺς ποιεῖ ἀπόλυσιν.

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΑΣ ΩΡΑΣ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης τὸ Τρισάγιον, τὸ Κύριε, ἐλέησον ιβ', τὸ Δεῦτε προσκυνήσωμεν, καὶ ἀναγινώσκονται αἱ Ὧραι (σ. 178-195) λίαν μετὰ τοῦ τροπαρίου Ἰδοὺ ὁ Νυμφίος καὶ τοῦ κοντακίου Ὑπὲρ τὴν πόρνην, ἀγαθέ, ἀνομήσας.

Εἰς τὴν ΣΤ' Ὥραν μετὰ τὸ Θεοτοκίον Ὅτι οὐκ ἔχομεν παῤῥησίαν ψάλλεται τὸ

Τροπάριον τῆς προφητείας. Ἦχος β'.

Σήμερον τὸ πονηρὸν* συνήχθη συνέδριον,* καὶ κατὰ σοῦ κενὰ ἐμελέτησε·* σήμερον ἐκ συμφώνου* τὸν βρόχον Ἰούδας ἀῤῥαβωνίζεται·* Καϊάφας δὲ ἄκων ὁμολογεῖ,*

ὅτι εἷς ὑπὲρ πάντων* ἀναδέχῃ τὸ πάθος ἑκούσιον.* Λυτρωτὰ ἡμῶν,* Χριστὲ ὁ Θεός, δόξα σοι.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Προκείμενον. Ἦχος πλ. δ'. Ψαλμὸς ρλγ'.

Εὐλογήσαι σε Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Στίχ. Ἰδοὺ δή, εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (β' 3 - γ' 3).

Εἶπε Κύριος πρός με· Υἱὲ ἀνθρώπου, ἐξαποστελῶ ἐγώ σε πρὸς τοὺς υἱοὺς Ἰσραὴλ τοὺς παραπικραίνοντάς με, οἵτινες παρεπίκρανάν με, αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἠθέτησαν εἰς ἐμὲ ἕως τῆς σήμερον ἡμέρας· καὶ υἱοὶ σκληροπρόσωποι καὶ στερεοκάρδιοι ἐγένοντο. Ἐγὼ ἀποστελῶ σε πρὸς αὐτούς, καὶ ἐρεῖς· Τάδε λέγει Κύριος· Ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσι, διότι οἶκος παραπικραίνων ἐστί, καὶ γνώσονται, ὅτι προφήτης εἶ σὺ ἐν μέσῳ αὐτῶν. Καὶ σύ, υἱὲ ἀνθρώπου, μὴ φοβηθῇς αὐτούς, μηδὲ ἐκστῇς ἀπὸ προσώπου αὐτῶν· διότι παροιστρήσουσι καὶ ἐπιστήσονται ἐπὶ σὲ κύκλῳ, καὶ ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς· τοὺς λόγους αὐτῶν μὴ φοβηθῇς καὶ ἀπὸ προσώπου αὐτῶν μὴ ἐκστῇς, διότι οἶκος παραπικραίνων ἐστί· καὶ λαλήσεις τοὺς λόγους μου πρὸς αὐτούς, ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν, ὅτι οἶκος παραπικραίνων ἐστί. Καὶ σύ, υἱὲ ἀνθρώπου, ἄκουε τοῦ λαλοῦντος πρὸς σὲ καὶ μὴ γίνου παραπικραίνων καθὼς ὁ οἶκος ὁ παραπικραίνων· χάνε τὸ στόμα σου καὶ φάγε, ἃ ἐγὼ δίδωμί σοι.

Καὶ εἶδον, καὶ ἰδοὺ χεὶρ ἐκτεταμένη πρός με, καὶ ἐν αὐτῇ κεφαλὶς βιβλίου· καὶ ἀνείλισσεν αὐτὴν ἐνώπιόν μου, καὶ ἦν ἐν αὐτῇ γεγραμμένα τὰ ἔμπροσθεν καὶ τὰ ὄπισθεν· καὶ ἐγέγραπτο ἐν αὐτῇ θρῆνος καὶ μέλος καὶ οὐαί. Καὶ εἶπε πρός με· Υἱὲ ἀνθρώπου, κατάφαγε τὴν κεφαλίδα ταύτην καὶ πορεύθητι καὶ λάλησον τοῖς υἱοῖς Ἰσραήλ. Καὶ διῆνοιξε τὸ στόμα μου καὶ ἐψώμισέ με τὴν κεφαλίδα ταύτην· καὶ εἶπε πρός με· Υἱὲ ἀνθρώπου, τὸ στόμα σου φάγεται καὶ ἡ κοιλία σου

πλησθήσεται τῆς κεφαλίδος ταύτης τῆς δεδομένης εἰς σέ. Καὶ ἔφαγον αὐτήν· καὶ ἐγένετο ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον.

Προκείμενον. Ἦχος β'. Ψαλμὸς ρλδ'.

Οἱ φοβούμενοι τὸν Κύριον, εὐλογῆσατε τὸν Κύριον.

Στίχ. Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον.

Εἶτα Ταχὺ προκαταλαβέτωσαν... καὶ τὰ λοιπὰ τῆς ἀκολουθίας τῶν Ὡρῶν καὶ οἱ Μακαρισμοὶ (σ. 195-209). Μετὰ δὲ τὴν ἀπόλυσιν εὐθὺς τελεῖται ὁ Ἑσπερινὸς μετὰ τῆς Λειτουργίας τῶν Προηγιασμένων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

(Θ. Λειτουργία τῶν Προηγιασμένων, σ. 343-375).

Μετὰ τὸν προοιμιακόν, τὰ εἰρηνικὰ καὶ τὰ Πρὸς Κύριον (σ. 343-355), εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν τὰ στιχηρὰ τῶν αἴνων καὶ τῶν ἀποστίχων τοῦ Ὄρθρου ὡς ἑξῆς (βλ. τοὺς στίχους ἐν σ. 358, τὰ δὲ ἰδιόμελα ἐν σ. 1149-1152).

Στίχ. Ἐξάγαγε ἐκ φυλακῆς...
Σὲ τὸν τῆς Παρθένου Υἱόν...

Στίχ. Ἐμὲ ὑπομενοῦσι δίκαιοι...
Τὸ πολυτίμητον μύρον ἡ πόρνη ἔμιξε...

Στίχ. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε...
Ὅτε ἡ ἁμαρτωλὸς προσέφερε τὸ μύρον...

Στίχ. Γενηθήτω τὰ ὦτά σου προσέχοντα...
Ὦ τῆς Ἰούδα ἀθλιότητος...

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε...
Ἡ ἁμαρτωλὸς ἔδραμε πρὸς τὸ μύρον...

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε...
Ἡ βεθυθισμένη τῇ ἁμαρτίᾳ...

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας...
Σήμερον ὁ Χριστὸς παραγίνεται...

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος...
Ἤπλωσεν ἡ πόρνη τὰς τρίχας σοι...

Στίχ. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη...
Προσῆλθε γυνὴ δυσώδης...

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ...
Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον...

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄.
Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνή...

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν, καὶ τὰ ἀναγνώσματα.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ρλε΄.

Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (β΄ 11-23, ιη΄ 4).

Ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις μέγας γενόμενος Μωϋσῆς, ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ. Κατανοήσας δὲ τὸν πόνον αὐτῶν, ὁρᾷ ἄνθρωπον Αἰγύπτιον τύπτοντά τινα Ἑβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν Ἰσραήλ. Περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε οὐκ ὁρᾷ οὐδένα· καὶ πατάξας τὸν Αἰγύπτιον ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ.

Ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ὁρᾷ δύο ἄνδρας Ἑβραίους διαπληκτιζομένους καὶ λέγει τῷ ἀδικοῦντι· Διατὶ σὺ τύπτεις τὸν πλησίον; Ὁ δὲ εἶπε· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; Ἐφοβήθη δὲ Μωϋσῆς καὶ εἶπεν· Εἰ οὕτως ἐμφανὲς γέγονε τὸ ῥῆμα τοῦτο! Ἤκουσε δὲ Φαραὼ τὸ ῥῆμα τοῦτο καὶ ἐζήτει ἀνελεῖν τὸν Μωϋσῆν. Ἀνεχώρησε δὲ Μωϋσῆς ἀπὸ προσώπου Φαραὼ καὶ ᾤκησεν ἐν γῇ Μαδιάμ· ἐλθὼν δὲ εἰς γῆν Μαδιὰμ ἐκάθισεν ἐπὶ τοῦ φρέατος.

Τῷ δὲ ἱερεῖ Μαδιὰμ ἦσαν ἑπτὰ θυγατέρες, ποιμαίνουσαι

τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰοθόρ· παραγενόμεναι δὲ ἤντλουν, ἕως ἔπλησαν τὰς δεξαμενὰς ποτίσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰοθόρ. Παραγενόμενοι δὲ οἱ ποιμένες ἐξέβαλον αὐτάς. Ἀναστὰς δὲ Μωϋσῆς ἐρρύσατο αὐτὰς καὶ ἤντλησεν αὐταῖς καὶ ἐπότισε τὰ πρόβατα αὐτῶν· παρεγένοντο δὲ πρὸς Ῥαγουὴλ τὸν πατέρα αὐτῶν. Ὁ δὲ εἶπεν αὐταῖς· Τί ὅτι ἐταχύνατε τοῦ παραγενέσθαι σήμερον; Αἱ δὲ εἶπον· Ἄνθρωπος Αἰγύπτιος ἐρρύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων καὶ ἤντλησεν ἡμῖν καὶ ἐπότισε τὰ πρόβατα ἡμῶν. Ὁ δὲ εἶπε ταῖς θυγατράσιν αὐτοῦ· Καὶ ποῦ ἐστι; καὶ ἵνα τί οὕτω καταλελοίπατε τὸν ἄνθρωπον; καλέσατε οὖν αὐτόν, ὅπως φάγῃ ἄρτον.

Κατῳκίσθη δὲ Μωϋσῆς παρὰ τῷ ἀνθρώπῳ καὶ ἐξέδοτο Σεπφώραν τὴν θυγατέρα αὐτοῦ τῷ Μωϋσῇ γυναῖκα. Ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ ἔτεκεν υἱόν· καὶ ἐπωνόμασε Μωϋσῆς τὸ ὄνομα αὐτοῦ Γηρσέμ, λέγων· Ὅτι πάροικός εἰμι ἐν γῇ ἀλλοτρίᾳ. Ἔτι δὲ συλλαβοῦσα ἔτεκεν υἱὸν δεύτερον καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἐλιέζερ, λέγων· Ὁ γὰρ Θεὸς τοῦ πατρός μου βοηθός μου καὶ ἐρρύσατό με ἐκ χειρὸς Φαραώ.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς ρλζ΄.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου.

Ἰὼβ τὸ ἀνάγνωσμα (β΄ 1-10).

Ἐγένετο ὡς ἡ ἡμέρα αὕτη καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐναντίον τοῦ Κυρίου· καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν παραστῆναι ἐναντίον τοῦ Κυρίου. Καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· Πόθεν σὺ ἔρχῃ; εἶπε δὲ ὁ διάβολος ἐναντίον Κυρίου· Διαπορευθεὶς τὴν ὑπ᾽ οὐρανὸν καὶ ἐμπεριπατήσας τὴν σύμπασαν πάρειμι.

Εἶπε δὲ ὁ Κύριος πρὸς τὸν διάβολον· Προσέσχες τὸν θεράποντά μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ᾽ αὐτὸν τῶν ἐπὶ τῆς γῆς

ἄνθρωπος ὅμοιος αὐτῷ, ἄκακος, ἀληθινός, ἄμεμπτος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ; ἔτι δὲ ἔχεται ἀκακίας· σὺ δὲ εἶπας τὰ ὑπάρχοντα αὐτοῦ διακενῆς ἀπολέσαι. Ὑπολαβὼν δὲ ὁ διάβολος εἶπε τῷ Κυρίῳ· Δέρμα ὑπὲρ δέρματος· καὶ πάντα ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει· οὐ μὴν δὲ ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ· ἡ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. Εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· Ἰδοῦ παραδίδωμί σοι αὐτόν· μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.

Καὶ ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπου Κυρίου· καὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς. Καὶ ἔλαβεν ἑαυτῷ ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως.

Χρόνου δὲ πολλοῦ προβεβηκότος εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· Μέχρι τίνος καρτερήσεις λέγων· Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρόν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου; ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς, υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων· σὺ δὲ αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτερεύων αἴθριος, κἀγὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ τόπου περιερχομένη καὶ οἰκίαν ἐξ οἰκίας, προσδεχομένη τὸν ἥλιον πότε δύσεται, ἵνα ἀναπαύσωμαι τῶν μόχθων μου καὶ τῶν ὀδυνῶν, αἵ με νῦν συνέχουσιν· ἀλλὰ εἰπόν τι ῥῆμα πρὸς Κύριον καὶ τελεύτα.

Ὁ δὲ ἐμβλέψας αὐτῇ εἶπεν· Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας οὕτως; εἰ τὰ καλὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; Ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ Θεοῦ.

Εἶτα τὸ Κατευθυνθήτω μετὰ τῶν στίχων αὐτοῦ (σ. 360), καὶ μετὰ τοῦτο ὁ διάκονος

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κς΄ 6-16).

Τοῦ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι πτωχοῖς.

Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς.

Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.

Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων (σ. 361-375) καὶ ἀπόλυσις.

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΟ ΑΠΟΔΕΙΠΝΟΝ

Ἀναγινώσκεται τὸ Μικρὸν Ἀπόδειπνον μέχρι καὶ τοῦ Ἄξιόν ἐστιν (σ. 274-279). Εἶτα ψάλλεται τὸ παρὸν τριῴδιον.

Ποίημα Ἀνδρέου Κρήτης. Ἦχος πλ. β΄.
Ὠδὴ δ΄. Ὁ εἱρμός.

Ἀκήκοεν ὁ προφήτης* τὴν ἔλευσίν σου, Κύριε,* καὶ ἐφοβήθη,* ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι* καὶ ἀνθρώ-

ποις δείκνυσθαι, καὶ ἔλεγεν·* Ἀκήκοα τὴν ἀκοήν σου* καὶ ἐφοβήθην·* δόξα τῇ δυνάμει σου. (Δὶς)

Τροπάρια.

Ἀνώγεων ἐστρωμένον* ἐδέξατό σε τὸν κτίστην* καὶ τοὺς συμμύστας,* καὶ αὐτοῦ τὸ Πάσχα ἐπετέλεσας* καὶ αὐτοῦ εἰργάσω τὰ μυστήρια·* αὐτοῦ γὰρ τῶν δύο σταλέντων* νῦν μαθητῶν σου,* τὸ Πάσχα ἡτοιμάσθη σοι.

Ὑπάγετε πρὸς τὸν δεῖνα,* ὁ πάντα εἰδὼς προλέγει* τοῖς ἀποστόλοις·* καὶ μακάριός ἐστιν ὃς δύναται* πιστῶς ὑποδέξασθαι τὸν Κύριον,* ἀνώγεων μὲν τὴν καρδίαν* προετοιμάσας* καὶ δεῖπνον τὴν εὐσέβειαν.

Ἠγνώμη φιλαργυρίας,* ὁ τρόπος σου ἀπονοίας,* ἄφρον Ἰούδα·* πιστευθεὶς γὰρ μόνος τὸ γλωσσόκομον,* ὅλως οὐκ ἐκάμφθης πρὸς συμπάθειαν,* ἀλλ' ἔκλεισας τὰ τῆς σκληρᾶς σου* καρδίας σπλάγχνα,* προδοὺς τὸν μόνον εὔσπλαγχνον.

Ἠγνώμη τῶν θεοκτόνων* τῇ πράξει τοῦ φιλαργύρου* συναρμοσθεῖσα,* ἡ μὲν πρὸς ἀναίρεσιν ὡπλίζετο,* ἡ δὲ τὰ ἀργύρια ἐφείλκετο·* ἀγχόνην γὰρ μεταμελείας* τότε προκρίνας,* κακῶς τοῦ ζῆν ἐστέρηται.

Τὸ φίλημα γέμει δόλου,* τὸ χαῖρέ σου ἐν μαχαίρᾳ,* πλάνε Ἰούδα·* τῇ μὲν γλώσσῃ φθέγγῃ τὰ πρὸς ἕνωσιν,* τῇ δὲ γνώμῃ νεύεις πρὸς διάστασιν·* προδοῦναι γὰρ τοῖς παρανόμοις* τὸν εὐεργέτην* δολίως ἐμελέτησας.

Φιλεῖς καὶ πωλεῖς, Ἰούδα,* ἀσπάζῃ καὶ οὐκ ὀκλάζεις* δόλῳ προστρέχων·* τίς μισῶν ἀσπάζεται, τρισάθλιε;* τίς φιλῶν ἐξωνεῖται τιμήματι;* τὸ φίλημα τῆς ἀναιδοῦς σου* κακοβουλίας* ἐλέγχει τὴν προαίρεσιν.

Δόξα. Τριαδικόν.

Ἀμέριστον τῇ οὐσίᾳ,* ἀσύγχυτον τοῖς προσώποις* θεολογῶ σε,* τὴν τριαδικὴν μίαν Θεότητα,* ὡς ὁμοβασίλειον καὶ σύνθρονον,* βοῶν σοι τὸ ᾆσμα τὸ μέγα,* τὸ ἐν ὑψίστοις* τρισσῶς ὑμνολογούμενον.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ σύλληψις ὑπὲρ λόγον,* ὁ τόκος σου ὑπὲρ φύσιν,* Θεογεννῆτορ·* ἡ μὲν γὰρ ἐκ Πνεύματος, οὐ σπέρματος,* ὁ δὲ νόμους φύσεως λανθάνων,* ὡς ἄφθορος καὶ ὑπὲρ φύσιν* πάσης λοχείας·* Θεὸς γὰρ τὸ τικτόμενον.

Κάθισμα. Ἦχος δ'. (Ἐπεφάνης σήμερον).

Συνεσθίων, Δέσποτα,* τοῖς μαθηταῖς σου* μυστικῶς ἐδήλωσας* τὴν παναγίαν σου σφαγήν,* δι' ἧς φθορᾶς ἐλυτρώθημεν* οἱ τὰ σεπτά σου* τιμῶντες παθήματα.

Ὠδὴ η'. Ὁ εἱρμός.

Ὃν στρατιαὶ* οὐρανῶν δοξάζουσι* καὶ φρίττει τὰ Χερουβὶμ* καὶ τὰ Σεραφίμ,* πᾶσα πνοὴ καὶ κτίσις,* ὑμνεῖτε, εὐλογεῖτε* καὶ ὑπερυψοῦτε* αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Τὴν νομικὴν* ἐκπληρώσας πρόσταξιν* ὁ πλάκας τὰς νομικὰς* γράψας ἐν Σινᾷ,* ἔφαγε μὲν τὸ Πάσχα* τὸ πάλαι καὶ σκιῶδες,* γέγονε δὲ Πάσχα* καὶ μυστικὴ ζωοθυσία.

Τὴν ἀπ' αἰῶνος* κεκαλυμμένην, Χριστέ,* σοφίαν μυσταγωγῶν,* ἔδειξας ὁμοῦ* πᾶσι τοῖς ἀποστόλοις,* Σωτήρ, ἐπὶ τοῦ δείπνου·* ἣν ταῖς Ἐκκλησίαις* παρέδωκαν οἱ θεοφόροι.

Εἷς ἐξ ὑμῶν* δόλῳ παραδώσει με* Ἑβραίοις ἀπεμπολῶν* ταύτῃ τῇ νυκτί·* τοῦτο Χριστὸς βοήσας* συνέχεε τοὺς φίλους·* τότε εἷς πρὸς ἕνα* διαπορῶν προσεκινεῖτο.

Ταπεινωθεὶς* δι' ἡμᾶς ὁ πλούσιος,* τοῦ δείπνου ἐξανεστάς,* λέντιον λαβὼν* τοῦτο περιεζώσω* καὶ κλίνας τὸν αὐχένα* ἔνιψας τοὺς πόδας* τῶν μαθητῶν καὶ τοῦ προδότου.

Τῆς ὑπὲρ νοῦν* καὶ ἀφράστου γνώσεως* τὸ ὕψος σου, Ἰησοῦ,* τίς μὴ ἐκπλαγῇ,* ὅτι πηλῷ παρέστης* ὁ κτί-

στης τῶν ἁπάντων,* νίπτων μὲν τοὺς πόδας,* ἐκμάσσων δὲ καὶ τῷ λεντίῳ;

Ο μαθητής,* ὃν ἠγάπα Κύριος,* τῷ στήθει ἀναπεσὼν* ἔφη πρὸς αὐτόν·* Τίς ὁ παραδιδούς σε;* Χριστὸς δὲ πρὸς ἐκεῖνον·* Οὗτος ὁ ἐμβάψας* ἐν τῷ τρυβλίῳ νῦν τὴν χεῖρα.

Ο μαθητὴς* τὸν ψωμὸν δεξάμενος,* κατὰ τοῦ Ἄρτου χωρεῖ,* πρᾶσιν μελετῶν·* τρέχει πρὸς Ἰουδαίους,* λέγει τοῖς παρανόμοις·* Τί παρέχετέ μοι,* κἀγῶ αὐτὸν ὑμῖν προδώσω;

Δόξα. Τριαδικόν.

Ε να Θεὸν* κατ' οὐσίαν σέβομαι,* τρεῖς ὑποστάσεις ὑμνῶ* διοριστικῶς,* ἄλλας ἀλλ' οὐκ ἀλλοίας,* ἐπεὶ Θεότης μία,* ἐν τρισὶ τὸ κράτος·* καὶ γὰρ Πατήρ, Υἱὸς καὶ Πνεῦμα.

Καὶ νῦν. Θεοτοκίον.

Ρ ῦσαι ἡμᾶς,* Ἰησοῦ Σωτὴρ ἡμῶν,* ἐκ πλάνης καὶ πειρασμοῦ* καὶ τοῦ πονηροῦ·* δέχου τὴν Θεοτόκον* πρεσβεύουσαν ἀπαύστως·* μήτηρ γὰρ ὑπάρχει,* καὶ δύναταί σε δυσωπῆσαι.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Α σπόρου συλλήψεως* ὁ τόκος ἀνερμήνευτος·* Μητρὸς ἀνάνδρου* ἄφθορος ἡ κύησις·* Θεοῦ γὰρ ἡ γέννησις* καινοποιεῖ τὰς φύσεις.* Διό σε πᾶσαι αἱ γενεαὶ* ὡς θεόνυμφον Μητέρα* ὀρθοδόξως μεγαλύνομεν. (Δὶς)

Τροπάρια.

Τ ὸ μέγα μυστήριον* τῆς σῆς ἐνανθρωπήσεως,* ἐπὶ τοῦ δείπνου* συνανακειμένου σου,* τοῖς μύσταις, φιλάνθρωπε,* ἀνακαλύψας ἔφης·* Φάγετε ἄρτον τὸν ζωτικόν,* πίστει πίετε τὸ αἷμα* κενωθὲν τῆς θεοπλεύρου σφαγῆς.

Σ κηνὴ ἐπουράνιος* ἐδείχθη τὸ ἀνώγεων,* ἔνθα τὸ Πάσχα* Χριστὸς ἐπετέλεσε·* τὸ δεῖπνον ἀναίμακτον,*

καὶ λογικὴ λατρεία˙* ἡ τράπεζα δὲ τῶν ἐκεῖ* τελεσθέντων μυστηρίων* νοητὸν θυσιαστήριον.

Τὸ Πάσχα Χριστός ἐστι* τὸ μέγα καὶ σεβάσμιον,* βρωθεὶς ὡς ἄρτος,* τυθεὶς δὲ ὡς πρόβατον˙* αὐτὸς γὰρ ἀνήνεκται* ὑπὲρ ἡμῶν θυσία˙* αὐτοῦ τὸ σῶμα εὐσεβῶς,* καὶ αὐτοῦ τὸ αἷμα πάντες* μυστικῶς μεταλαμβάνομεν.

Τὸν ἄρτον εὐλόγησας,* ὁ ἄρτος ὁ οὐράνιος,* εὐχαριστήσας* Πατρὶ τῷ γεννήτορι,* λαβὼν καὶ ποτήριον* τοῖς μαθηταῖς ἐδίδους˙* Λάβετε, φάγετε βοῶν˙* τοῦτό μού ἐστι τὸ σῶμα* καὶ τὸ αἷμα τῆς ἀφθάρτου ζωῆς.

Ἀμὴν λέγω, –ἔφησε* τοῖς κλήμασιν ἡ ἄμπελος,* τοῖς ἀποστόλοις* Χριστὸς ἡ ἀλήθεια,* – ἀπ᾽ ἄρτι οὐ μὴ πίω* ἐκ τῆς ἀμπέλου πόμα,* ἕως ἂν πίω αὐτὸ καινὸν* ἐν τῇ δόξῃ τοῦ Πατρός μου* μεθ᾽ ὑμῶν τῶν κληρονόμων μου.

Πιπράσκεις τριάκοντα* ἀργύρων τὸν ἀτίμητον* καὶ οὐ λογίζῃ,* Ἰούδα παράνομε,* τοῦ δείπνου τὴν μύησιν* ἢ τὸν σεπτὸν νιπτῆρα;* Ὢ πῶς εἰς τέλος τοῦ φωτὸς* ὀλισθήσας, πτῶμα ἦλθες,* τὴν ἀγχόνην ἀσπασάμενος!

Τὰς χεῖρας ἐξέτεινας,* ἐν αἷς τὸν ἄρτον ἔλαβες* τῆς ἀφθαρσίας,* λαβεῖν τὰ ἀργύρια,* τὸ στόμα πρὸς φίλημα* προσαγαγὼν δολίως,* ἐν ᾧ τὸ σῶμα τοῦ Χριστοῦ* καὶ τὸ αἷμα ὑπεδέξω˙* ἀλλ᾽ οὐαί σοι! ὡς φησὶν ὁ Χριστός.

Χριστὸς εἱστιάσατο* τὸν κόσμον, ὁ οὐράνιος* καὶ θεῖος ἄρτος˙* δεῦτε οὖν, φιλόχριστοι,* πηλίνοις ἐν στόμασιν,* ἁγναῖς δὲ ταῖς καρδίαις* ὑποδεξώμεθα πιστῶς* τὸν θυόμενον τὸ Πάσχα* ἐν ἡμῖν ἱερουργούμενον.

Δόξα. Τριαδικόν.

Πατέρα δοξάσωμεν,* Υἱὸν ὑπερυψώσωμεν,* τὸ θεῖον Πνεῦμα* πιστῶς προσκυνήσωμεν,* Τριάδα ἀχώριστον,* Μονάδα κατ᾽ οὐσίαν,* ὡς φῶς καὶ φῶτα καὶ ζωὴν* καὶ ζωάς, ζωοποιοῦσαν* καὶ φωτίζουσαν τὰ πέρατα.

Καὶ νῦν. Θεοτοκίον.

Πᾶσα ἐπουράνιος* καὶ νύμφη ἀπειρόγαμος* μόνη ἐδείχθης,* Θεὸν μὲν βαστάσασα,* τεκοῦσα δὲ ἀτρέπτως* ἐκ σοῦ σεσαρκωμένον* διὸ σε πᾶσαι αἱ γενεαὶ* ὡς θεόνυμφον Μητέρα* ὀρθοδόξως μεγαλύνομεν.

Καὶ πάλιν τον εἱρμὸν· Ἀσπόρου συλλήψεως... (σ. 1161).

Ὁ ἀναγνώστης τὸ Τρισάγιον, τὸ κοντάκιον Τὸν ἄρτον λαβών (σ. 1169), τὸ Κύριε, ἐλέησον μ΄, Ὁ ἐν παντὶ καιρῷ, καὶ τὰ λοιπὰ τοῦ Μικροῦ Ἀποδείπνου (σ. 279-284). Εἰς τὴν συγχώρησιν ψάλλεται τὸ Σφαγήν σου τὴν ἄδικον, Χριστέ...

Μετὰ τὴν ἀπόλυσιν τοῦ Ἀποδείπνου εἴθισται νὰ τελῆται τὸ μυστήριον τοῦ ἁγίου Εὐχελαίου.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ(*)

Μετὰ τὸ Τρισάγιον, τὸν ἑξάψαλμον καὶ τὰ εἰρηνικὰ (σ. 84-99), ψάλλομεν τὸ Ἀλληλούϊα μετὰ τῶν στίχων αὐτοῦ (σ. 153) καὶ τὸ παρὸν τροπάριον.

Ἦχος πλ. δ΄.

Ὅτε οἱ ἔνδοξοι μαθηταὶ* ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο,* τότε Ἰούδας ὁ δυσσεβὴς* φιλαργυρίαν νοσήσας ἐσκοτίζετο* καὶ ἀνόμοις κριταῖς* σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι.* Βλέπε, χρημάτων ἐραστά,* τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον* φεῦγε ἀκόρεστον ψυχήν,* τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν.* Ὁ περὶ πάντας ἀγαθός,* Κύριε, δόξα σοι. (Τρίς)

(*) Ἡ ἀκολουθία αὐτὴ τελεῖται ἀλλαχοῦ μὲν τὴν πρωΐαν τῆς Μ. Πέμπτης, ἀλλαχοῦ δὲ τὴν ἑσπέραν τῆς Μ. Τετάρτης.

Καὶ εὐθὺς ἀναγινώσκει ὁ ἱερεύς

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κβ΄ 1-39).

Τῷ καιρῷ ἐκείνῳ, ἤγγιζεν ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη Πάσχα. Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσι τὸν Ἰησοῦν· ἐφοβοῦντο γὰρ τὸν λαόν. Εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα. Καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ τοῖς στρατηγοῖς τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς. Καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύρια δοῦναι· καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.

Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ Πάσχα, καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην εἰπών· Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ Πάσχα ἵνα φάγωμεν. Οἱ δὲ εἶπον αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμεν; Ὁ δὲ εἶπεν αὐτοῖς· Ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ εἰσπορεύεται, καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· Λέγει σοι ὁ διδάσκαλος, Ποῦ ἐστι τὸ κατάλυμα ὅπου τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Κἀκεῖνος ὑμῖν δείξει ἀνώγαιον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε. Ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ Πάσχα.

Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ. Καὶ εἶπε πρὸς αὐτούς· Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν· λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Καὶ δεξάμενος τὸ ποτήριον εὐχαριστήσας εἶπε· Λάβετε τοῦτο καὶ διαμερίσατε ἑαυτοῖς· λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ.

Καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς λέγων· Τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ

ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. Πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. Καὶ ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ παραδίδοται. Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.

Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Ὁ δὲ εἶπεν αὐτοῖς· Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται· ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ μείζων ἐν ὑμῖν γενέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων; ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ Πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσεσθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

Εἶπε δὲ ὁ Κύριος· Σίμων, Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου. Ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. Ὁ δὲ εἶπε· Λέγω σοι, Πέτρε, οὐ φωνήσει σήμερον ἀλέκτωρ πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.

Καὶ εἶπεν αὐτοῖς. Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήθητε; Οἱ δὲ εἶπον· Οὐδενός. Εἶπεν οὖν αὐτοῖς· Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλήσει τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει μάχαιραν. Λέγω γὰρ ὑμῖν ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τό· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη·» καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἱκανόν ἐστι. Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης τὸν Ν' Ψαλμὸν (σ. 103) χῦμα.
Καὶ ψάλλομεν τὸν κανόνα, οὗ ἡ ἀκροστιχίς·
Τῇ μακρᾷ Πέμπτῃ μακρὸν ὕμνον ἐξᾴδω.
Ποίημα Κοσμᾶ μοναχοῦ. Ἦχος πλ. β'.

Ὠδὴ α'. Ὁ εἱρμός.(*)

Τμηθείσῃ τμᾶται* πόντος ἐρυθρός,* κυματοτρόφος δὲ ξηραίνεται βυθός,* ὁ αὐτὸς ὁμοῦ ἀόπλοις γεγονὼς βατός,* καὶ πανοπλίταις τάφος.* Ὠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο·* Ἐνδόξως δεδόξασται* Χριστός, ὁ Θεὸς ἡμῶν.

Τροπάρια.

Πανταιτία* καὶ παρεκτικὴ* ζωῆς, ἡ ἄπειρος Σοφία τοῦ Θεοῦ,* ᾠκοδόμησε τὸν οἶκον ἑαυτῆς ἀγνῆς* ἐξ ἀπειράνδρου Μητρός·* ναὸν γὰρ σωματικὸν περιθέμενος,* ἐνδόξως δεδόξασται* Χριστὸς ὁ Θεὸς ἡμῶν.

Μυσταγωγοῦσα* φίλους ἑαυτῆς,* τὴν ψυχοτρόφον ἑτοιμάζει τράπεζαν,* ἀμβροσίας δὲ ἡ ὄντως Σοφία τοῦ Θεοῦ* κιρνᾷ κρατῆρα πιστοῖς·* προσέλθωμεν εὐσεβῶς καὶ βοήσωμεν·* Ἐνδόξως δεδόξασται* Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἀκουτισθῶμεν* πάντες οἱ πιστοὶ* συγκαλουμένης ὑψηλῷ κηρύγματι* τῆς ἀκτίστου καὶ ἐμφύτου Σοφίας τοῦ Θεοῦ·* βοᾷ γάρ· Γεύσασθε* καὶ γνόντες, ὅτι χρηστὸς ἐγώ, κράξατε·* Ἐνδόξως δεδόξασται* Χριστὸς ὁ Θεὸς ἡμῶν.

Καταβασία. Τμηθείσῃ τμᾶται.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Κύριος ὢν πάντων* καὶ κτίστης Θεός,* τὸ κτιστὸν ὁ ἀπαθὴς* πτωχεύσας σεαυτῷ ἥνωσας·* καὶ τὸ Πάσχα οἷς ἔμελλες θανεῖν,* αὐτὸς ὢν σεαυτὸν προετίθης,* Φάγετε, βοῶν, τὸ σῶμά μου* καὶ πίστει στερεωθήσεσθε.

(*) Βλ. σημ. σελ. 1103.

Τροπάρια.

Ρύσιον παντὸς* τοῦ βροτείου γένους* τὸ οἰκεῖον, ἀγαθέ,* τοὺς σοὺς μαθητὰς ἐπότισας* εὐφροσύνης ποτήριον πλήσας·* αὐτὸς γάρ σεαυτὸν ἱερούργεις·* Πίετε, βοῶν, τὸ αἷμά μου,* καὶ πίστει στερεωθήσεσθε.

Ἄφρων ἀνήρ,* ὃς ἐν ὑμῖν προδότης,* τοῖς οἰκείοις μαθηταῖς* προέφης ὁ ἀνεξίκακος,* οὐ μὴ γνώσεται ταῦτα, καὶ οὗτος* ἀσύνετος ὢν οὐ μὴ συνήσει·* ὅμως ἐν ἐμοὶ μείνατε* καὶ πίστει στερεωθήσεσθε.

Καταβασία. Κύριος ὢν πάντων.

Εἶτα συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεός...

Κάθισμα. Ἦχος α'. (Τὸν τάφον σου, Σωτήρ).

Ὁλίμνας καὶ πηγὰς* καὶ θαλάσσας ποιήσας,* ταπείνωσιν ἡμᾶς* ἐκπαιδεύων ἀρίστην,* λεντίῳ ζωννύμενος* μαθητῶν πόδας ἔνιψε,* ταπεινούμενος* ὑπερβολῇ εὐσπλαγχνίας,* καὶ ὑψῶν ἡμᾶς* ἀπὸ βαράθρων κακίας,* ὁ μόνος φιλάνθρωπος.

Ἕτερον. Ἦχος γ'. (Θείας πίστεως).

Ταπεινούμενος* δι' εὐσπλαγχνίαν* πόδας ἔνιψας* τῶν μαθητῶν σου* καὶ πρὸς δρόμον θεῖον τούτους κατεύθυνας·* ἀπαναινόμενος Πέτρος δὲ νίπτεσθαι* αὐθις τῷ θείῳ ὑπείκει προστάγματι* ἐκνιπτόμενος* καὶ σοῦ ἐκτενῶς δεόμενος* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον. Ἦχος δ'. (Ἐπεφάνης σήμερον).

Συνεσθίων, Δέσποτα,* τοῖς μαθηταῖς σου,* μυστικῶς ἐδήλωσας* τὴν παναγίαν σου σφαγήν,* δι' ἧς φθορᾶς ἐλυτρώθημεν* οἱ τὰ σεπτά σου* τιμῶντες παθήματα.

Ὠδὴ δ'. Ὁ εἱρμός.

Προκατιδὼν ὁ προφήτης* τοῦ μυστηρίου σου τὸ ἀπόρρητον,* Χριστέ, προανεφώνησεν·* Ἔθου κραταιάν* ἀγάπησιν ἰσχύος, Πάτερ οἰκτίρμον·* τὸν μονογενῆ Υἱὸν γάρ, ἀγαθέ,* ἱλασμὸν εἰς τὸν κόσμον ἀπέστειλας.

Τροπάρια.

Ἐπὶ τὸ πάθος τὸ πᾶσι* τοῖς ἐξ Ἀδὰμ πηγάσαν ἀπάθειαν,* Χριστέ, μολῶν, τοῖς φίλοις σου* εἶπας· Μεθ' ὑμῶν* τοῦ Πάσχα μετασχεῖν τούτου ἐπεθύμησα·* τὸν μονογενῆ ἐπεί με ἱλασμὸν* ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε.

Μεταλαμβάνων κρατῆρος* τοῖς μαθηταῖς ἐβόας, ἀθάνατε·* Γεννήματος ἀμπέλου δὲ* πίομαι λοιπὸν* οὐκέτι μεθ' ὑμῶν βιοτεύων·* τὸν μονογενῆ ἐπεί με ἱλασμὸν* ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε.

Πόμα καινὸν ὑπὲρ λόγον* ἐγὼ φημὶ ἐν τῇ βασιλείᾳ μου,* Χριστέ, τοῖς φίλοις, πίομαι·* ὥς τε γὰρ θεοῖς* Θεὸς ὑμῖν συνέσομαι, εἶπας·* τὸν μονογενῆ καὶ γάρ με ἱλασμὸν* ὁ Πατὴρ εἰς τὸν κόσμον ἀπέστειλε.

Καταβασία. Προκατιδὼν ὁ προφήτης.

Ὠδὴ ε'. Ὁ εἱρμός.

Τῷ συνδέσμῳ τῆς ἀγάπης* συνδεόμενοι οἱ ἀπόστολοι,* τῷ δεσπόζοντι τῶν ὅλων* ἑαυτοὺς Χριστῷ ἀναθέμενοι,* ὡραίους πόδας* ἐξαπενίζοντο,* εὐαγγελιζόμενοι* πᾶσιν εἰρήνην.

Τροπάρια.

Ἡ τὸ ἄσχετον κρατοῦσα* καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ,* ἡ ἀβύσσους χαλινοῦσα* καὶ θαλάσσας ἀναχαιτίζουσα* Θεοῦ Σοφία,* ὕδωρ νιπτῆρι βάλλει,* πόδας ἀποπλύνει δὲ* δούλων Δεσπότης.

Μαθηταῖς ὑποδεικνύει* ταπεινώσεως ὁ Δεσπότης τύπον·* ὁ νεφέλαις δὲ τὸν πόλον* περιβάλλων ζώννυται λέντιον* καὶ κάμπτει γόνυ* δούλων ἐκπλῦναι πόδας·* οὗ ἐν τῇ χειρὶ πνοὴ* πάντων τῶν ὄντων.

Καταβασία. Τῷ συνδέσμῳ τῆς ἀγάπης.

Ὠδὴ ς'. Ὁ εἱρμός.

Ἄβυσσος ἐσχάτη* ἁμαρτημάτων ἐκύκλωσέ με,* καὶ τὸν κλύδωνα μηκέτι φέρων,* ὡς Ἰωνᾶς τῷ Δεσπότῃ βοῶ σοι·* Ἐκ φθορᾶς με ἀνάγαγε.

Τροπάρια.

Κύριον φωνεῖτε,* ὦ μαθηταί, καὶ διδάσκαλόν με·* καὶ γὰρ πέφυκα, Σωτήρ, ἐβόας·* διὸ μιμεῖσθε τὸν τύπον, ὃν τρόπον* ἐν ἐμοὶ ἐθεάσασθε.

Ῥύπον τις μὴ ἔχων,* ἀπορρυφθῆναι οὐ δεῖται πόδας·* καθαροί, ὦ μαθηταί, ὑμεῖς δέ,* ἀλλ' οὐχὶ πάντες· ῥοπὴ γὰρ ἀτάκτως* ἐξ ὑμῶν ἑνὸς μαίνεται.

Καταβασία. Ἄβυσσος ἐσχάτη.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεύς... Ὁ ἀναγνώστης τὸ κοντάκιον.

Ποίημα Ρωμανοῦ τοῦ μελῳδοῦ.

Ἦχος β'. (Τὰ ἄνω ζητῶν).

Τὸν ἄρτον λαβὼν* εἰς χεῖρας ὁ προδότης,* κρυφίως αὐτὰς* ἐκτείνει καὶ λαμβάνει* τὴν τιμὴν τοῦ πλάσαντος* ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον* καὶ ἀδιόρθωτος ἔμεινεν* Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Ὁ οἶκος. (Τοῦ Συμεὼν τὸν ἄμεμπτον βίον).

Τῇ μυστικῇ* ἐν φόβῳ τραπέζῃ* προσεγγίσαντες πάντες,* καθαραῖς ταῖς ψυχαῖς* τὸν ἄρτον ὑποδεξώμεθα,* συμπαραμένοντες τῷ Δεσπότῃ* ἵνα ἴδωμεν τοὺς πόδας* πῶς ἀπονίπτει τῶν μαθητῶν,* καὶ ἐκμάσσει τῷ λεντίῳ,* καὶ ποιήσωμεν ὥσπερ κατείδομεν,* ἀλλήλοις ὑποταγέντες* καὶ ἀλλήλων τοὺς πόδας ἐκπλύνοντες·* Χριστὸς γὰρ οὕτως ἐκέλευσε* τοῖς αὐτοῦ μαθηταῖς, ὡς προέφησεν·* ἀλλ' οὐκ ἤκουσεν* Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Τὸ Συναξάριον τοῦ Μηναίου καὶ τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ οἱ τὰ πάντα καλῶς διαταξάμενοι θεῖοι πατέρες ἀλληλοδιαδόχως ἔκ τε τῶν θείων ἀ-

ποστόλων καὶ τῶν ἱερῶν Εὐαγγελίων παραδεδώκασιν ἡμῖν τέσσαρά τινα ἑορτάζειν· τὸν ἱερὸν Νιπτῆρα, τὸν Μυστικὸν Δεῖπνον (δηλαδὴ τὴν παράδοσιν τῶν καθ' ἡμᾶς φρικτῶν μυστηρίων), τὴν ὑπερφυᾶ προσευχὴν καὶ τὴν προδοσίαν αὐτήν.

Στίχοι εἰς τὸν ἱερὸν Νιπτῆρα.

Νίπτει μαθητῶν ἑσπέρας Θεὸς πόδας,
οὗ ποῦς πατῶν ἦν εἰς Ἐδὲμ δείλης πάλαι.

Εἰς τὸν Μυστικὸν Δεῖπνον.

Διπλοῦς ὁ Δεῖπνος· Πάσχα γὰρ νόμου φέρει
καὶ Πάσχα καινόν, αἷμα, σῶμα Δεσπότου.

Εἰς τὴν ὑπερφυᾶ προσευχήν.

Προσεύχῃ· καὶ φόβητρα, θρόμβοι αἱμάτων,
Χριστέ, προσώπου· παραιτούμενος δῆθεν
θάνατον, ἐχθρὸν ἐν τούτοις φενακίζων.

Εἰς τὴν προδοσίαν.

Τί δεῖ μαχαιρῶν; τί ξύλων, λαοπλάνοι,
πρὸς τὸν θανεῖν πρόθυμον εἰς κόσμου λύτρον;

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ εἱρμός.

Οἱ παῖδες ἐν Βαβυλῶνι* καμίνου φλόγα οὐκ ἔπτηξαν,* ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέντες,* δροσιζόμενοι ἔψαλλον·* Εὐλογητὸς εἶ, Κύριε,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Τροπάρια.

Νευστάζων κάραν Ἰούδας* κακὰ προβλέπων ἐκίνησεν,* εὐκαιρίαν ζητῶν παραδοῦναι* τὸν κριτὴν εἰς κατάκρισιν,* ὃς πάντων ἐστὶ Κύριος* καὶ Θεὸς τῶν πατέρων ἡμῶν.

Υμῶν, –ὁ Χριστὸς τοῖς φίλοις* ἐβόα– εἷς παραδώσει με·* εὐφροσύνης λαθόντες, ἀγωνίᾳ* καὶ λύπῃ συνείχοντο·* Τίς οὗτος; φράσον, λέγοντες,* ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Μεθ' ὅστις ἐμοῦ τὴν χεῖρα* τρυβλίῳ βάλλει θρασύτητι,* τούτῳ πλὴν καλὸν ἦν πύλας βίου* περάσαι μηδέποτε·* τοῦτον ὃς ἦν ἐδήλου δὲ* ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Καταβασία. Οἱ παῖδες ἐν Βαβυλῶνι.

Ὠδὴ η'. Ὁ εἰρμός.

Νόμων πατρῴων οἱ μακαριστοὶ* ἐν Βαβυλῶνι νέοι* προκινδυνεύοντες,* βασιλεύοντος κατέπτυσαν* προστα-γῆς ἀλογίστου·* καὶ συνημμένοι* ᾧ οὐκ ἐχωνεύθησαν πυρί,* τοῦ κρατοῦντος ἐπάξιον* ἀνέμελπον τὸν ὕμνον·* Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Οἱ δαιτυμόνες οἱ μακαριστοὶ* ἐν τῇ Σιὼν τῷ Λόγῳ* προσκαρτερήσαντες,* οἱ ἀπόστολοι παρείποντο* τῷ ποιμένι ὡς ἄρνες·* καὶ συνημμένοι* ᾧ οὐκ ἐχωρίσθησαν Χριστῷ,* θείῳ λόγῳ τρεφόμενοι,* εὐχαρίστως ἐβόων·* Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Νόμου φιλίας ὁ δυσώνυμος* Ἰσκαριώτης γνώμῃ* ἐπιλαθόμενος,* οὓς ἐνίψατο ηὐτρέπισε* πρὸς προδοσίαν πόδας·* καὶ σοῦ ἐσθίων* ἄρτον, σῶμα θεῖον, ἐπῆρε* πτερνισμὸν ἐπὶ σέ, Χριστέ,* καὶ βοᾶν οὐ συνῆκε·* Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ἐδεξιοῦτο τὸ λυτήριον* τῆς ἁμαρτίας σῶμα* ὁ ἀσυνείδητος* καὶ τὸ αἷμα τὸ χεόμενον* ὑπὲρ κόσμου τὸ θεῖον,* ἀλλ' οὐκ ἠδεῖτο* πίνων ὃ ἐπίπρασκε τιμῆς,* οὐ κακίᾳ προσώχθισε* καὶ βοᾶν οὐ συνῆκε·* Τὸν Κύριον ὑμνεῖτε, τὰ ἔργα,* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Νόμων πατρῴων.

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Ξενίας δεσποτικῆς* καὶ ἀθανάτου τραπέζης* ἐν ὑπερῴῳ τόπῳ* ταῖς ὑψηλαῖς φρεσί,* πιστοί, δεῦτε ἀπολαύσωμεν,* ἐπαναβεβηκότα Λόγον* ἐκ τοῦ λόγου μαθόντες,* ὃν μεγαλύνομεν.

Τροπάρια.

Ἀπιτε, – τοῖς μαθηταῖς* ὁ Λόγος ἔφη, – τὸ Πάσχα* ἐν ὑπερῴῳ τόπῳ,* ᾧ νοῦς ἐνίδρυται,* οἷς μυσταγωγῶ, σκευάσατε* ἀζύμῳ ἀληθείας λόγῳ,* τὸ στερρὸν δὲ τῆς χάριτος* μεγαλύνατε.

Δημιουργὸν ὁ Πατὴρ* πρὸ τῶν αἰώνων σοφίαν* γεννᾷ ἀρχὴν ὁδῶν με* εἰς ἔργα ἔκτισε* τὰ νῦν μυστικῶς τελούμενα·* Λόγος γὰρ ἄκτιστος ὢν φύσει,* τὰς φωνὰς οἰκειοῦμαι,* οὗ νῦν προσείληφα.

Ὡς ἄνθρωπος ὑπάρχω* οὐσίᾳ, οὐ φαντασίᾳ,* οὕτω Θεὸς τῷ τρόπῳ* τῆς ἀντιδόσεως* ἡ φύσις ἡ ἑνωθεῖσά μοι* Χριστόν ἕνα διό με γνῶτε,* τὰ ἐξ ὧν, ἐν οἷς, ἅπερ* πέφυκα, σῴζοντα.

Καταβασία. Ξενίας δεσποτικῆς.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι...

Ἐξαποστειλάριον αὐτόμελον. Ἦχος γ'.

Τὸν νυμφῶνά σου βλέπω,* Σωτήρ μου, κεκοσμημένον,* καὶ ἔνδυμα οὐκ ἔχω,* ἵνα εἰσέλθω ἐν αὐτῷ·* λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς,* φωτοδότα, καὶ σῶσόν με.

(Τρὶς)

Εἰς τοὺς αἴνους ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Κοσμᾶ μοναχοῦ. Ἦχος β'.

Συντρέχει λοιπὸν* τὸ συνέδριον τῶν Ἰουδαίων,* ἵνα τὸν δημιουργὸν* καὶ κτίστην τῶν ἁπάντων* Πιλάτῳ παραδῶσῃ.* Ὢ τῶν ἀνόμων!* ὢ τῶν ἀπίστων!* ὅτι τὸν ἐρχόμενον* κρῖναι ζῶντας καὶ νεκροὺς* εἰς κρίσιν εὐτρεπί-

ζουσι·* τὸν ἰώμενον τὰ πάθη* πρὸς πάθος ἑτοιμάζουσι.* Κύριε μακρόθυμε,* μέγα σου τὸ ἔλεος·* δόξα σοι.

Ἰωάννου μοναχοῦ. Ἦχος ὁ αὐτός.

Ἰούδας ὁ παράνομος, Κύριε,* ὁ βάψας ἐν τῷ δείπνῳ τὴν χεῖρα* ἐν τῷ τρυβλίῳ μετὰ σοῦ,* ἐξέτεινεν ἀνόμους τὰς χεῖρας* τοῦ λαβεῖν ἀργύρια·* καὶ ὁ τοῦ μύρου λογισάμενος τιμὴν* σὲ τὸν ἀτίμητον* οὐκ ἔφριξε πωλῆσαι·* ὁ τοὺς πόδας ὑφαπλώσας* ἐπὶ τὸ νίψαι τὸν Δεσπότην* κατεφίλησε δολίως* εἰς τὸ προδοῦναι τοῖς ἀνόμοις·* χοροῦ δὲ ἀποστόλων ῥιφεὶς* καὶ τὰ τριάκοντα ῥίψας ἀργύρια,* σοῦ τὴν τριήμερον ἀνάστασιν οὐκ εἶδε·* δι' ἧς ἐλέησον ἡμᾶς.

Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Ἰούδας ὁ προδότης, δόλιος ὤν,* δολίῳ φιλήματι* παρέδωκε τὸν Σωτῆρα Κύριον·* τὸν Δεσπότην τῶν ἁπάντων,* ὡς δοῦλον πέπρακε τοῖς παρανόμοις·* καὶ ὡς πρόβατον ἐπὶ σφαγήν,* οὕτως ἠκολούθει* ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ,* ὁ Υἱὸς ὁ τοῦ Πατρός,* ὁ μόνος πολυέλεος.

Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Ἰούδας ὁ δοῦλος καὶ δόλιος,* ὁ μαθητὴς καὶ ἐπίβουλος,* ὁ φίλος καὶ διάβολος* ἐκ τῶν ἔργων ἀπεφάνθη·* ἠκολούθει γὰρ τῷ διδασκάλῳ* καὶ καθ' ἑαυτὸν* ἐμελέτησε τὴν προδοσίαν·* ἔλεγεν ἐν ἑαυτῷ·* Παραδώσω τοῦτον* καὶ κερδήσω τὰ συναχθέντα χρήματα·* ἐπεζήτει δὲ* καὶ τὸ μύρον πραθῆναι* καὶ τὸν Ἰησοῦν* δόλῳ κρατηθῆναι·* ἀπέδωκεν ἀσπασμόν,* παρέδωκε τὸν Χριστόν·* καὶ ὡς πρόβατον ἐπὶ σφαγήν,* οὕτως ἠκολούθει* ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Ὃν ἐκήρυξεν ἀμνὸν Ἡσαΐας,* ἔρχεται ἐπὶ σφαγὴν ἑκούσιον* καὶ τὸν νῶτον δίδωσιν εἰς μάστιγας,* τὰς σιαγόνας εἰς ῥαπίσματα,* τὸ δὲ πρόσωπον οὐκ ἀπεστράφη* ἀπὸ αἰσχύνης ἐμπτυσμάτων·* θανάτῳ δὲ ἀσχήμονι καταδικάζεται·* πάντα ὁ ἀναμάρτητος* ἑκουσίως καταδέχεται,* ἵνα πᾶσι δωρήσηται* τὴν ἐκ νεκρῶν ἀνάστασιν.

Ὁ ἀναγνώστης· Σοὶ δόξα πρέπει... Δόξα ἐν ὑψίστοις Θεῷ (σ. 148).

Ὁ διάκονος τὰ Πληρωτικὰ καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 135-137).

Καὶ μετὰ τὴν ἐκφώνησιν ψάλλονται τὰ ἀπόστιχα.

Μεθοδίου πατριάρχου. Ἦχος πλ. δ΄.

Σήμερον τὸ κατὰ τοῦ Χριστοῦ* πονηρὸν συνήχθη συνέδριον* καὶ κατ᾽ αὐτοῦ κενὰ ἐβουλεύσατο,* παραδοῦναι Πιλάτῳ* εἰς θάνατον τὸν ἀνεύθυνον.* Σήμερον τὴν τῶν χρημάτων ἀγχόνην* Ἰούδας ἑαυτῷ περιτίθησι* καὶ στερεῖται κατ᾽ ἄμφω* ζωῆς προσκαίρου καὶ θείας.* Σήμερον Καϊάφας* ἄκων προφητεύει·* Συμφέρει, λέγων,* ὑπὲρ τοῦ λαοῦ ἕνα ἀπολέσθαι·* ἦλθε γὰρ* ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τοῦ παθεῖν,* ἵνα ἡμᾶς ἐλευθερώσῃ* ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ* ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Στίχ. Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ᾽ ἐμὲ πτερνισμόν.

Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Σήμερον ὁ Ἰούδας* τὸ τῆς φιλοπτωχείας* κρύπτει προσωπεῖον* καὶ τῆς πλεονεξίας* ἀνακαλύπτει τὴν μορφήν·* οὐκέτι τῶν πενήτων φροντίζει·* οὐκέτι τὸ μύρον πιπράσκει* τὸ τῆς ἁμαρτωλοῦ,* ἀλλὰ τὸ οὐράνιον μύρον* καὶ ἐξ αὐτοῦ νοσφίζεται τὰ ἀργύρια·* τρέχει πρὸς Ἰουδαίους,* λέγει τοῖς παρανόμοις·* Τί μοι θέλετε δοῦναι,* κἀγὼ ὑμῖν παραδώσω αὐτόν;* Ὢ φιλαργυρίας προδότου!* εὖνον ποιεῖται τὴν πρᾶσιν·* πρὸς τὴν γνώμην τῶν ἀγοραζόντων* τοῦ πωλουμένου* τὴν πραγματείαν ποιεῖται·* οὐκ ἀκριβολογεῖται πρὸς τὴν τιμήν,* ἀλλ᾽ ὡς δοῦλον φυγάδα ἀπεμπολεῖ·* ἔθος γὰρ τοῖς κλέπτουσι* ῥίπτειν τὰ τίμια·* νῦν ἔβαλε τὰ ἅγια* τοῖς κυσὶν ὁ μαθητής·* ἡ γὰρ λύσσα τῆς φιλαργυρίας* κατὰ τοῦ ἰδίου Δεσπότου* μαίνεσθαι ἐποίησεν αὐτόν·* ἧς τὴν πεῖραν φύγωμεν κράζοντες·* Μακρόθυμε Κύριε, δόξα σοι.

Στίχ. Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.

Ἰωάννου μοναχοῦ. Ἦχος ὁ αὐτός.

Ὁ τρόπος σου δολιότητος γέμει,* παράνομε Ἰούδα·* νοσῶν γὰρ φιλαργυρίαν* ἐκέρδησας μισανθρωπίαν·* εἰ γὰρ πλοῦτον ἠγάπας,* τί τῷ περὶ πτωχείας* διδάσκοντι ἐφοίτας;* εἰ δὲ καὶ ἐφίλεις,* ἵνα τί ἐπώλεις τὸν ἀτίμητον, προδιδοὺς εἰς μιαιφονίαν;* Φρίξον, ἥλιε·* στέναξον, ἡ γῆ,* καὶ κλονουμένη βόησον·* Ἀνεξίκακε Κύριε, δόξα σοι.

Στίχ. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ.

Μεθοδίου πατριάρχου. Ἦχος ὁ αὐτός.

Μηδείς, ὦ πιστοί,* τοῦ δεσποτικοῦ δείπνου ἀμύητος,* μηδεὶς ὅλως ὡς ὁ Ἰούδας* δολίως προσίτω τῇ τραπέζῃ·* ἐκεῖνος γὰρ τὸν ψωμὸν δεξάμενος* κατὰ τοῦ ἄρτου ἐχώρησε,* σχήματι μὲν ὢν μαθητής,* πράγματι δὲ παρὼν φονευτής,* τοῖς μὲν Ἰουδαίοις συναγαλλόμενος,* τοῖς δὲ ἀποστόλοις συναυλιζόμενος·* μισῶν ἐφίλει,* φιλῶν ἐπώλει* τὸν ἐξαγοράσαντα ἡμᾶς τῆς κατάρας,* τὸν Θεὸν καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. δ'.

Ὁ τρόπος σου δολιότητος γέμει (ὡς ἀνωτέρω).

Καὶ νῦν. Κοσμᾶ μοναχοῦ. Ἦχος πλ. α'.

Μυσταγωγῶν σου, Κύριε,* τοὺς μαθητὰς ἐδίδασκες λέγων·* Ὦ φίλοι, ὁρᾶτε,* μηδεὶς ὑμᾶς χωρίσῃ μου φόβος·* εἰ γὰρ πάσχω,* ἀλλ' ὑπὲρ τοῦ κόσμου·* μὴ οὖν σκανδαλίζεσθε ἐν ἐμοί·* οὐ γὰρ ἦλθον διακονηθῆναι,* ἀλλὰ διακονῆσαι* καὶ δοῦναι τὴν ψυχήν μου* λύτρον ὑπὲρ τοῦ κόσμου·* εἰ οὖν ὑμεῖς φίλοι μου ἐστέ,* ἐμὲ μιμεῖσθε·* ὁ θέλων πρῶτος εἶναι,* ἔστω ἔσχατος·* ὁ δεσπότης* ὡς ὁ διάκονος·* μείνατε ἐν ἐμοί,* ἵνα βότρυν φέρητε·* ἐγὼ γάρ εἰμι* τῆς ζωῆς ἡ ἄμπελος.

Ὁ ἱερεύς· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι...

Ὁ ἀναγνώστης τὸ Τρισάγιον κ.τ.λ.

Καὶ εὐθὺς τὸ τροπάριον τῆς προφητείας.

Ἦχος γ'.

Ὁραπισθεὶς ὑπὲρ γένους ἀνθρώπων* καὶ μὴ ὀργισθείς,* ἐλευθέρωσον ἐκ φθορᾶς* τὴν ζωὴν ἡμῶν, Κύριε,* καὶ σῶσον ἡμᾶς.

Προκείμενον. Ἦχος α΄. Ψαλμὸς πβ΄.

Γνώτωσαν ἔθνη, ὅτι ὄνομά σοι Κύριος.
Στίχ. Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι;

Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα.
(ια΄ 18-23, ιβ΄ 1-5, 9-11, 14-15).

Κύριε, γνώρισόν μοι, καὶ γνώσομαι. Τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν· ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι οὐκ ἔγνων· ἐπ᾽ ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρόν, λέγοντες· Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι. Κύριε τῶν δυνάμεων, κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐν αὐτοῖς, ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ δικαίωμά μου. Διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ἄνδρας Ἀναθὼθ τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας· Οὐ μὴ προφητεύσῃς ἐπὶ τῷ ὀνόματι Κυρίου· εἰ δὲ μή, ἀποθάνῃ ἐν ταῖς χερσὶν ἡμῶν. Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ᾽ αὐτούς· οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ, καὶ ἐγκατάλειμμα οὐκ ἔσται αὐτῶν· ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθὼθ ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.

Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω πρὸς σέ· Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; ἐφύτευσας αὐτούς, καὶ ἐρριζώθησαν· ἐτεκνοποιήσαντο καὶ ἐποίησαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν. Καὶ σύ, Κύριε, γινῶσκεις με· οἶδάς με καὶ δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου· ἄθροισον αὐτοὺς ὥσπερ πρόβατα εἰς σφαγήν· ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν. Ἕως πότε πενθήσει ἡ γῆ καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; ἠφα-

νίσθησαν κτήνη καὶ πετεινά, ὅτι εἶπαν· Οὐκ ὄψεται ὁ Θεὸς ὁδοὺς ἡμῶν· σοῦ οἱ πόδες τρέχουσι καὶ ἐκλύουσί σε.

Συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον, ἐτέθη εἰς ἀφανισμὸν ἀπωλείας.

Ὅτι τάδε λέγει Κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν τῶν ἁπτομένων τῆς κληρονομίας μου, ἧς ἐμέρισα τῷ λαῷ μου τῷ Ἰσραήλ· Ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν καὶ τὸν Ἰοὺδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν· καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτούς, ἐπιστρέψω καὶ ἐλεήσω αὐτοὺς καὶ κατοικιῶ αὐτούς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ.

Προκείμενον. Ἦχος πλ. δ'. Ψαλμὸς οε'.

Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

Ὁ διάκονος· Τὴν ἑκτενῆ· Ἐλέησον ἡμᾶς, ὁ Θεός... (σ. 135). Ὁ ἱερεύς· Τὴν ἐκφώνησιν· Ὅτι ἐλεήμων...

Ὁ διάκονος· Σοφία. Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός... Ὁ ἀναγνώστης· Στερεώσαι Κύριος ὁ Θεός... Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε... Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν.

Ὁ ἱερεὺς τὴν ἀπόλυσιν· Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας ἐν τῷ νῖψαι τοὺς πόδας τῶν μαθητῶν καὶ μέχρι Σταυροῦ καὶ ταφῆς συγκαταβὰς ἡμῖν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα.

Ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός...

Ὁ ἀναγνώστης τὸν προοιμιακὸν Ψαλμὸν (σ. 210).
Ὁ διάκονος τὰ εἰρηνικὰ (σ. 216).
Εἰς τὸ Κύριε, ἐκέκραξα ψάλλομεν τὰ ἰδιόμελα τῶν αἴνων (σ. 1172) ὡς ἑξῆς:

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε...
Συντρέχει λοιπὸν τὸ συνέδριον...

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου...
Συντρέχει λοιπὸν τὸ συνέδριον...

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός...
Ἰούδας ὁ παράνομος, Κύριε...

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος...
Ἰούδας ὁ προδότης, δόλιος ὤν...

Στίχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη...
Ἰούδας ὁ δοῦλος καὶ δόλιος...

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ...
Ὃν ἐκήρυξεν ἀμνὸν Ἡσαΐας...

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.

Γέννημα ἐχιδνῶν* ἀληθῶς ὁ Ἰούδας,* φαγόντων τὸ μάννα ἐν τῇ ἐρήμῳ* καὶ γογγυζόντων κατὰ τοῦ τροφέως* ἔτι γὰρ* τῆς βρώσεως οὔσης* ἐν τῷ στόματι αὐτῶν,* κατελάλουν τοῦ Θεοῦ οἱ ἀχάριστοι* καὶ οὗτος ὁ δυσσεβὴς* τὸν οὐράνιον ἄρτον* ἐν τῷ στόματι βαστάζων,* κατὰ τοῦ Σωτῆρος* τὴν προδοσίαν εἰργάσατο.* Ὢ γνώμης ἀκορέστου* καὶ τόλμης ἀπανθρώπου!* τὸν τρέφοντα ἐπώλει* καὶ ὃν ἐφίλει Δεσπότην* παρεδίδου εἰς θάνατον.* Ὄντως ἐκείνων υἱὸς ὁ παράνομος* καὶ σὺν αὐτοῖς τὴν ἀπώλειαν ἐκληρώσατο.* Ἀλλὰ ῥῦσαι, Κύριε,* τοιαύτης ἀπανθρωπίας* τὰς ψυχὰς ἡμῶν,* ὁ μόνος* ἐν μακροθυμίᾳ ἀνείκαστος.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος α΄. Ψαλμὸς ρλθ΄.

Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

Στίχ. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (ιθ' 10-19).

Εἶπε Κύριος πρὸς Μωϋσῆν· Καταβὰς διαμάρτυραι τῷ λαῷ καὶ ἁγνισον αὐτοὺς σήμερον καὶ αὔριον· καὶ πλυνάτωσαν τὰ ἱμάτια καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ ἐναντίον παντὸς τοῦ λαοῦ. Καὶ ἀφοριεῖς τὸν λαὸν κύκλῳ λέγων· Προσέχετε ἑαυτοῖς τοῦ ἀναβῆναι εἰς τὸ ὄρος καὶ θίγειν τι αὐτοῦ· πᾶς ὁ ἁψάμενος τοῦ ὄρους θανάτῳ τελευτήσει. Οὐχ ἅψεται αὐτοῦ χείρ· ἐν γὰρ λίθοις λιθοβοληθήσεται ἢ βολίδι κατατοξευθήσεται· ἐάν τε κτῆνος, ἐάν τε ἄνθρωπος, οὐ ζήσεται. Ὅταν δὲ αἱ φωναὶ καὶ αἱ σάλπιγγες καὶ ἡ νεφέλη ἀπέλθῃ ἀπὸ τοῦ ὄρους, ἐκεῖνοι ἀναβήσονται ἐπὶ τὸ ὄρος.

Κατέβη δὲ Μωϋσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαόν, καὶ ἡγίασεν αὐτούς· καὶ ἔπλυναν τὰ ἱμάτια. Καὶ εἶπε τῷ λαῷ· Γίνεσθε ἕτοιμοι, τρεῖς ἡμέρας μὴ προσέλθητε γυναικί.

Ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον ἐγένοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπὶ ὄρους Σινᾶ· φωνὴ τῆς σάλπιγγος ἦχει μέγα· καὶ ἐπτοήθη πᾶς ὁ λαὸς ὁ ἐν τῇ παρεμβολῇ. Καὶ ἐξήγαγε Μωϋσῆς τὸν λαὸν εἰς συνάντησιν τοῦ Θεοῦ ἐκ τῆς παρεμβολῆς, καὶ παρέστησαν ὑπὸ τὸ ὄρος. Τὸ ὄρος τὸ Σινᾶ ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι ἐπ' αὐτὸ τὸν Θεὸν ἐν πυρί· ἀνέβαινε δὲ ὁ καπνὸς ὡσεὶ ἀτμὶς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα. Ἐγίνοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα. Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ.

Προκείμενον. Ἦχος βαρύς. Ψαλμὸς νη'.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.

Στίχ. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

Ἰὼβ τὸ ἀνάγνωσμα (λη΄ 1-21, μβ΄ 1-5).

Εἶπε Κύριος τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν· Τίς οὗτος ὁ κρύπτων με βουλήν, συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν; Ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; ἀπάγγειλόν δέ μοι, εἰ ἐπίστασαι σύνεσιν. Τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας; ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς; ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασι; τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς; Ὅτε ἐγενήθησαν ἄστρα, ἤνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου. Ἔφραξα δὲ θάλασσαν πύλαις, ὅτε ἐμαιοῦτο ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη· ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν, ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα· ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας· εἶπα δὲ αὐτῇ· Μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα. Ἢ ἐπὶ σοῦ συντέταχα φέγγος πρωϊνόν; ἑωσφόρος δὲ εἶδε τὴν ἑαυτοῦ τάξιν, ἐπιλαβέσθαι πτερύγων γῆς, ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς; ἢ σὺ λαβὼν πηλὸν ἔπλασας ζῷον καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς; ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονα δὲ ὑπερηφάνων συνέτριψας; ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν; νενουθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ' οὐρανόν; ἀνάγγειλον δή μοι, πόση τίς ἐστι; ποία δὲ γῇ αὐλίζεται τὸ φῶς; σκότους δὲ ποῖος ὁ τόπος; εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν; εἰ δὲ καὶ ἐπίστασαι τρίβους αὐτῶν; οἶδας ἄρα ὅτι τότε γεγέννησαι, ἀριθμὸς δὲ ἐτῶν σου πολύς;

Ὑπολαβὼν δὲ Ἰὼβ τῷ Κυρίῳ λέγει· Οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. Τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; φειδόμενος δὲ ῥημάτων, καὶ σὲ οἴεται κρύπτειν; τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν, μεγάλα καὶ θαυμαστά, ἃ οὐκ ἐπιστάμην; Ἄκουσον δέ μου, Κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον. Ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ν΄ 4-11).

Κύριος δίδωσί μοι γλῶσσαν παιδείας τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον· ἔθηκέ με πρωῒ πρωΐ, προσέθηκέ μοι ὠτίον τοῦ ἀκούειν, καὶ ἡ παιδεία Κυρίου Κυρίου ἀνοίγει μου τὰ ὦτα· ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ Κύριος Κύριος βοηθός μοι ἐγενήθη. Διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν· καὶ ἔγνων, ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με. Τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα· καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι. Ἰδοὺ Κύριος Κύριος βοηθήσει μοι· τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς.

Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. Οἱ πορευόμενοι ἐν σκότει καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ. Ἰδοὺ πάντες ὑμεῖς ὡς πῦρ καίετε καὶ κατισχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογί, ᾗ ἐξεκαύσατε· δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν· ἐν λύπῃ κοιμηθήσεσθε.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...
Καὶ ψάλλεται ὁ τρισάγιος ὕμνος.

Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς β').

Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

Στίχ. Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου (ια' 23-32).

Ἀδελφοί, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· Λάβετε φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώ-

μενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (Ματθ. κς′ 1-20. Ἰωάν. ιγ′ 3-17. Ματθ. κς′ 21-39. Λουκ. κβ′ 43-44. Ματθ. κς′ 40 - κζ′ 2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα, καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν. Ἔλεγον δέ· Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ.

Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι τοῖς πτωχοῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑ-

αυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς.

Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.

Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; Ὁ δὲ εἶπεν· Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ· Ὁ διδάσκαλος λέγει· Ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν μαθητῶν μου. Καὶ ἐποίησαν οἱ μαθηταί, ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ Πάσχα. Ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ τῶν δώδεκα.

Εἰδὼς δὲ ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ Πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε καὶ πρὸς τὸν Θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τίθησι τὰ ἱμάτια, καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν· εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος. Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. Λέγει αὐτῷ Πέτρος· Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες. Ἤδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν· Οὐχὶ πάντες καθαροί ἐστε.

Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν καὶ ἔλαβε τὰ ἱμάτια

αὐτοῦ, ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς· Γινώσκετε τί πεποίηκα ὑμῖν; Ὑμεῖς φωνεῖτέ με· Ὁ Διδάσκαλος καὶ ὁ Κύριος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Εἰ οὖν ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. Ἀμὴν ἀμὴν λέγω ὑμῖν. Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά.

Καὶ ἐσθιόντων αὐτῶν, εἶπεν· Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. Καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· Μήτι ἐγώ εἰμι, Κύριε; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπε· Μήτι ἐγώ εἰμι, ῥαββί; Λέγει αὐτῷ· Σὺ εἶπας.

Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον καὶ εὐλογήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς καὶ εἶπε· Λάβετε φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου· καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου.

Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ· «Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης». Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· Εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτί, πρὶν ἀλέ-

κτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Λέγει αὐτῷ ὁ Πέτρος· Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. Ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον.

Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ καὶ λέγει τοῖς μαθηταῖς· Καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσεύξωμαι ἐκεῖ. Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. Τότε λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ. Καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων· Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.

Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν. Καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο. Ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν.

Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων· Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. Καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. Καὶ ἀφεὶς αὐτοὺς ἀπελθὼν πάλιν προσηύξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπών. Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ καὶ λέγει αὐτοῖς· Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε! Ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. Ἐγείρεσθε ἄγωμεν· ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με.

Καὶ ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. Ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν. Καὶ εὐθέως προσελθὼν τῷ Ἰ-

ησοῦ εἶπε· Χαῖρε, ῥαββί· καὶ κατεφίλησεν αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ᾧ πάρει. Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν.

Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται. Ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; Πῶς οὖν πληρωθῶσιν αἱ γραφαί, ὅτι οὕτω δεῖ γενέσθαι;

Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με. Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον.

Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως, καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως θανατώσωσιν αὐτόν, καὶ οὐχ εὗρον· καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον· ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες εἶπον· Οὗτος ἔφη, Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Οὐδὲν ἀποκρίνῃ; Τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ Ἰησοῦς ἐσιώπα. Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν

μαρτύρων; Ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ. Τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες εἶπον· Ἔνοχος θανάτου ἐστί. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐτόν, οἱ δὲ ἐῤῥάπισαν λέγοντες· Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε.

Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων λέγων· Οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη καὶ λέγει αὐτοῖς· Ἐκεῖ καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Καὶ ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς.

Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ καθεξῆς ἡ Θ. Λειτουργία τοῦ Μ. Βασιλείου (σ. 320-342).

Ἀντὶ δὲ τοῦ Χερουβικοῦ καὶ τοῦ κοινωνικοῦ καὶ τοῦ Εἴδομεν τὸ φῶς, ψάλλομεν τὸ τροπάριον τοῦτο·

Ἦχος πλ. β'.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ* σήμερον, Υἱὲ Θεοῦ,* κοινωνόν με παράλαβε* οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου* τὸ μυστήριον εἴπω* οὐ φίλημά σοι δώσω,* καθάπερ ὁ Ἰούδας,* ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι* Μνήσθητί μου, Κύριε,* ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Εἴη τὸ ὄνομα Κυρίου... Καὶ ἀπόλυσις

Ὃ δι' ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας ἐν τῷ νῖψαι τοὺς πόδας τῶν μαθητῶν καὶ μέχρι Σταυροῦ καὶ ταφῆς συγκαταβὰς ἡμῖν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

ΑΚΟΛΟΥΘΙΑ
ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΑΧΡΑΝΤΩΝ ΠΑΘΩΝ
ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ
ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ

(Ὄρθρος τῆς ἁγίας καὶ μεγάλης Παρασκευῆς).

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης τὸ Τρισάγιον καὶ τοὺς Ψαλμοὺς Ἐπακούσαι σου Κύριος κ.τ.λ. (σ. 151), αὖθις τὸ Τρισάγιον καὶ τὰ τροπάρια Σῶσον, Κύριε, τὸν λαόν σου. Ὁ ἱερεὺς τὴν δέησιν. Ὁ ἀναγνώστης τὸν ἑξάψαλμον. Ὁ διάκονος τὰ εἰρηνικὰ (σ. 84-99).

Εἶτα ψάλλεται τὸ Ἀλληλούϊα μετὰ τῶν στίχων αὐτοῦ (σ. 153) καὶ τὸ παρὸν τροπάριον ἐκ γ'.

Ἦχος πλ. δ'.

Οτε οἱ ἔνδοξοι μαθηταί* ἐν τῷ νιπτῆρι τοῦ Δείπνου ἐφωτίζοντο,* τότε Ἰούδας ὁ δυσσεβῆς* φιλαργυρίαν νοσήσας ἐσκοτίζετο,* καὶ ἀνόμοις κριταῖς* σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι.* Βλέπε, χρημάτων ἐραστά,* τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον* φεῦγε ἀκόρεστον ψυχήν* τὴν Διδασκάλῳ τοιαῦτα τολμήσασαν.* Ὁ περὶ πάντας ἀγαθός,* Κύριε, δόξα σοι. (Τρίς)

Καὶ εὐθὺς ἀναγινώσκεται ὑπὸ τοῦ ἱερέως τὸ Εὐαγγέλιον τῆς Διαθήκης.



«Σήμερον κρεμᾶται ἐπὶ ξύλου ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας...». (ιε' ἀντίφωνον Ὄρθρου Μ. Παρασκευῆς).

ΕΥΑΓΓΕΛΙΟΝ ΠΡΩΤΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιγ΄ 31 - ιη΄ 1).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. Τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι. Ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις ὅτι ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι. Ἐντολὴν καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.

Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ὅπου ἐγὼ ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ὕστερον δὲ ἀκολουθήσεις μοι. Λέγει αὐτῷ ὁ Πέτρος· Κύριε, διατί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; Τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις! Ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει ἕως οὗ ἀπαρνήσῃ με τρίς.

Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαὶ μοναί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν. Καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε. Καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ. Εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἐγνώκειτε ἄν· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν.

Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα καὶ ἀρκεῖ ἡμῖν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς ἐμὲ ἑ-

ὡρακε τὸν Πατέρα· καὶ πῶς σὺ λέγεις, δεῖξον ἡμῖν τὸν Πατέρα; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι; Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν Πατέρα μου πορεύομαι, καὶ ὅ,τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω.

Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε, καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ Πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν.

Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης· Κύριε, τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με Πατρός.

Ταῦτα λελάληκα ὑμῖν, παρ' ὑμῖν μένων· ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν. Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. Μὴ τα-

ρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω. Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι εἶπον, πορεύομαι πρὸς τὸν Πατέρα· ὅτι ὁ Πατήρ μου μείζων μού ἐστι· καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε. Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. Ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν Πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ Πατήρ, οὕτω ποιῶ. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό, καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέρῃ. Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. Μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. Ἐὰν μή τις μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ καὶ εἰς τὸ πῦρ βάλλουσι, καὶ καίεται. Ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσασθε, καὶ γενήσεται ὑμῖν. Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε, καὶ γενήσεσθε ἐμοὶ μαθηταί. Καθὼς ἠγάπησέ με ὁ Πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.

Ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. Οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου ἐγνώρισα ὑμῖν. Οὐχ ὑμεῖς με

ἐξελέξασθε, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ, ἵνα ὅ,τι ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι «ἐμίσησάν με δωρεάν». Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε.

Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. Καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν Πατέρα οὐδὲ ἐμέ. Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν ἵνα, ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν ὅτι ἐγὼ εἶπον ὑμῖν. Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ᾽ ὑμῶν ἤμην. Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· ποῦ ὑπάγεις! Ἀλλ᾽ ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ἀλλ᾽ ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς· καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας

καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως. Περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν Πατέρα μου ὑπάγω, καὶ οὐκέτι θεωρεῖτέ με· περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται.

Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν.

Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν Πατέρα. Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· Τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν Πατέρα; Ἔλεγον οὖν· Τοῦτο τί ἐστιν ὃ λέγει τὸ μικρόν; Οὐκ οἴδαμεν τί λαλεῖ. Ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων ὅτι εἶπον, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅσα ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου δώσει ὑμῖν. Ἕως ἄρτι οὐκ ἠτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ Πατρὸς ἀναγγελῶ ὑμῖν. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν

Πατέρα περὶ ὑμῶν· αὐτὸς γὰρ ὁ Πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε, ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον. Ἐξῆλθον παρὰ τοῦ Πατρός, καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν Πατέρα.

Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἴδε, νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. Νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ. Ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἄρτι πιστεύετε· ἰδοὺ ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ Πατὴρ μετ' ἐμοῦ ἐστι. Ταῦτα λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε· ἐν τῷ κόσμῳ θλῖψιν ἔξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε, καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω. Καὶ νῦν δόξασόν με σύ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι. Νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν· ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι δέδωκα αὐτοῖς· καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι, καὶ τὰ ἐμὰ πάντα σά ἐστι καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. Καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι.

Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. Ὅτε ἤμην μετ' αὐτῶν ἐν

τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. Νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. Ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί. Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι. Καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον· καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ.

Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, Πάτερ, ἐν ἐμοὶ κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας. Καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἓν ἐσμεν, ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας. Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν δέδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας· καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ψάλλομεν τὰ παρόντα ἀντίφωνα.

Ἀντίφωνον α΄. Ἦχος πλ. δ΄.

Ἀρχοντες λαῶν συνήχθησαν* κατὰ τοῦ Κυρίου* καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

Λόγον παράνομον* κατέθεντο κατ᾽ ἐμοῦ* Κύριε, Κύριε,* μὴ ἐγκαταλίπῃς με.

Τὰς αἰσθήσεις ἡμῶν* καθαρὰς τῷ Χριστῷ παραστήσωμεν* καὶ ὡς φίλοι αὐτοῦ* τὰς ψυχὰς ἡμῶν θύσωμεν δι᾽ αὐτὸν* καὶ μὴ ταῖς μερίμναις τοῦ βίου* συμπνιγῶμεν, ὡς ὁ Ἰούδας,* ἀλλ᾽ ἐν τοῖς ταμείοις ἡμῶν κράξωμεν* Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,* ἀπὸ τοῦ πονηροῦ ῥῦσαι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παρθένος ἔτεκες, ἀπειρόγαμε,* καὶ Παρθένος ἔμεινας,* μήτηρ ἀνύμφευτε,* Θεοτόκε Μαρία* Χριστὸν τὸν Θεὸν ἡμῶν* ἱκέτευε σωθῆναι ἡμᾶς.

Ἀντίφωνον β΄. Ἦχος πλ. β΄.

Ἔδραμε λέγων ὁ Ἰούδας* τοῖς παρανόμοις γραμματεῦσι* Τί μοι θέλετε δοῦναι,* κἀγὼ ὑμῖν παραδώσω αὐτόν;* Ἐν μέσῳ δὲ τῶν συμφωνούντων* αὐτὸς εἱστήκεις ἀοράτως* συμφωνούμενος.* Καρδιογνῶστα,* φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Ἐν ἐλέει τὸν Θεὸν θεραπεύσωμεν,* ὥσπερ Μαρία ἐπὶ τοῦ δείπνου* καὶ μὴ κτησώμεθα* φιλαργυρίαν, ὡς ὁ Ἰούδας,* ἵνα πάντοτε* μετὰ Χριστοῦ τοῦ Θεοῦ ἐσώμεθα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὃν ἔτεκες, Παρθένε, ἀνερμηνεύτως,* διὰ παντὸς ὡς φιλάνθρωπον* μὴ διαλίπῃς δυσωποῦσα,* ἵνα κινδύνων σώσῃ* τοὺς εἰς σὲ καταφεύγοντας.

Ἀντίφωνον γ΄. Ἦχος β΄.

Διὰ Λαζάρου τὴν ἔγερσιν, Κύριε,* τὸ Ὡσαννά σοι ἐκραύγαζον* παῖδες τῶν Ἑβραίων, φιλάνθρωπε* ὁ δὲ παράνομος Ἰούδας* οὐκ ἠβουλήθη συνιέναι.

Ἐν τῷ δείπνῳ σου, Χριστὲ ὁ Θεός,* τοῖς μαθηταῖς σου προέλεγες·* Εἷς ἐξ ὑμῶν παραδώσει με·* ὁ δὲ παράνομος Ἰούδας* οὐκ ἠβουλήθη συνιέναι.

Ἰωάννῃ ἐρωτήσαντι, Κύριε,* ὁ παραδιδούς σε τίς ἐστι;* τοῦτον διὰ τοῦ ἄρτου ὑπέδειξας·* ὁ δὲ παράνομος Ἰούδας* οὐκ ἠβουλήθη συνιέναι.

Εἰς τριάκοντα ἀργύρια, Κύριε,* καὶ εἰς φίλημα δόλιον* ἐζήτουν Ἰουδαῖοι ἀποκτεῖναί σε·* ὁ δὲ παράνομος Ἰούδας* οὐκ ἠβουλήθη συνιέναι.

Ἐν τῷ νιπτῆρί σου, Χριστὲ ὁ Θεός,* τοῖς μαθηταῖς σου προέτρεπες·* Οὕτω ποιεῖτε, ὥσπερ εἴδετε·* ὁ δὲ παράνομος Ἰούδας* οὐκ ἠβουλήθη συνιέναι.

Γρηγορεῖτε καὶ προσεύχεσθε,* ἵνα μὴ πειρασθῆτε,* τοῖς μαθηταῖς σου, ὁ Θεὸς ἡμῶν, ἔλεγες·* ὁ δὲ παράνομος Ἰούδας* οὐκ ἠβουλήθη συνιέναι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Διάσωσον ἀπὸ κινδύνων* τοὺς δούλους σου, Θεοτόκε,* ὅτι πάντες μετὰ Θεὸν* εἰς σὲ καταφεύγομεν* ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Κάθισμα. Ἦχος βαρύς.

Ἐν τῷ δείπνῳ τοὺς μαθητὰς διατρέφων* καὶ τὴν σκῆψιν τῆς προδοσίας γινώσκων,* ἐν αὐτῷ τὸν Ἰούδαν διήλεγξας,* ἀδιόρθωτον μὲν τοῦτον ἐπιστάμενος,* γνωρίσαι δὲ πᾶσι βουλόμενος,* ὅτι θέλων παρεδόθης,* ἵνα κόσμον ἁρπάσῃς τοῦ ἀλλοτρίου.* Μακρόθυμε, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιη' 1-28).

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ἰησοῦς σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. Ἤδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ.

Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτόν, ἐξελθὼν εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε; Ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι. Εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. Ὡς οὖν εἶπεν αὐτοῖς ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί. Πάλιν οὖν αὐτοὺς ἐπηρώτησε· Τίνα ζητεῖτε; Οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον. Ἀπεκρίθη ὁ Ἰησοῦς· Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι. Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν· ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν, ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.

Σίμων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιράν σου εἰς τὴν θήκην· τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ Πατήρ, οὐ μὴ πίω αὐτό;

Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτόν, καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ. Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ὁ ἄλλος μαθητής. Ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως· ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. Ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσῆγαγε τὸν Πέτρον. Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος· Οὐκ εἰμί. Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος.

Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδί-

δαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. Τί με ἐπερωτᾷς; Ἐπερώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ. Ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς τῶν ὑπηρετῶν παρεστηκὼς ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ εἰπών· Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; Ἀπέστειλεν οὖν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα.

Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος. Εἶπον οὖν αὐτῷ οἱ ὑπηρέται· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; Ἠρνήσατο ἐκεῖνος καὶ εἶπεν· Οὐκ εἰμί. Λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; Πάλιν οὖν ἠρνήσατο ὁ Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ἀντίφωνον δ'. Ἦχος πλ. α'.

Σήμερον ὁ Ἰούδας* καταλιμπάνει τὸν διδάσκαλον,* καὶ παραλαμβάνει τὸν διάβολον·* τυφλοῦται τῷ πάθει* τῆς φιλαργυρίας,* ἐκπίπτει τοῦ φωτὸς* ὁ ἐσκοτισμένος·* πῶς γὰρ ἠδύνατο βλέπειν* ὁ τὸν φωστῆρα πωλήσας* τριάκοντα ἀργυρίων;* ἀλλ' ἡμῖν ἀνέτειλεν* ὁ παθὼν ὑπὲρ τοῦ κόσμου·* πρὸς ὃν βοήσωμεν·* Ὁ παθὼν καὶ συμπαθῶν* ἀνθρώποις, δόξα σοι.

Σήμερον ὁ Ἰούδας* παραποιεῖται θεοσέβειαν* καὶ ἀλλοτριοῦται τοῦ χαρίσματος·* ὑπάρχων μαθητής,* γίνεται προδότης·* ἐν ἤθει φιλικῷ* δόλον ὑποκρύπτει* καὶ προτιμᾶται ἀφρόνως* τῆς τοῦ Δεσπότου ἀγάπης* τριάκοντα ἀργύρια,* ὁδηγὸς γενόμενος* συνεδρίου παρανόμου.* Ἡμεῖς δὲ ἔχοντες* σωτηρίαν τὸν Χριστόν,* αὐτὸν δοξάσωμεν.

Ἦχος α΄.

Τὴν φιλαδελφίαν κτησώμεθα* ὡς ἐν Χριστῷ ἀδελφοί* καὶ μὴ τὸ ἀσυμπαθὲς* πρὸς τοὺς πλησίον ἡμῶν,* ἵνα μὴ ὡς ὁ δοῦλος κατακριθῶμεν* ὁ ἀνελεήμων* διὰ τὰ δηνάρια,* καὶ ὡς ὁ Ἰούδας* μεταμεληθέντες* μηδὲν ὠφελήσωμεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Δεδοξασμένα περὶ σοῦ* ἐλαλήθη πανταχοῦ,* ὅτι ἐκύησας σαρκὶ* τὸν τῶν ὅλων ποιητήν,* Θεοτόκε Μαρία,* πανύμνητε καὶ ἀπειρόγαμε.

Ἀντίφωνον ε΄. Ἦχος πλ. β΄.

Ὁ μαθητὴς τοῦ διδασκάλου* συνεφώνει τὴν τιμὴν* καὶ τριάκοντα ἀργυρίοις* πέπρακε τὸν Κύριον,* φιλήματι δολίῳ παραδοὺς αὐτὸν* τοῖς ἀνόμοις εἰς θάνατον.

Σήμερον ἔλεγεν* ὁ κτίστης οὐρανοῦ καὶ γῆς* τοῖς ἑαυτοῦ μαθηταῖς·* Ἤγγικεν ἡ ὥρα,* καὶ ἔφθασεν Ἰούδας* ὁ παραδιδούς με·* μή τίς με ἀρνήσηται,* βλέπων με ἐν τῷ Σταυρῷ* ἐν μέσῳ δύο λῃστῶν·* πάσχω γὰρ ὡς ἄνθρωπος* καὶ σῴζω ὡς φιλάνθρωπος* τοὺς εἰς ἐμὲ πιστεύοντας.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ ἀῤῥήτως* ἐπ᾽ ἐσχάτων συλλαβοῦσα,* καὶ τεκοῦσα* τὸν κτίστην τὸν ἴδιον,* Παρθένε, σῷζε* τοὺς σὲ μεγαλύνοντας.

Ἀντίφωνον ς΄. Ἦχος βαρύς.

Σήμερον γρηγορεῖ ὁ Ἰούδας* παραδοῦναι τὸν Κύριον,* τὸν πρὸ τῶν αἰώνων* Σωτῆρα τοῦ κόσμου,* τὸν ἐκ πέντε ἄρτων* χορτάσαντα πλήθη.* Σήμερον ὁ ἄνομος* ἀρνεῖται τὸν διδάσκαλον·* μαθητὴς γενόμενος* Δεσπότην παρέδωκεν·* ἀργυρίῳ πέπρακε* τὸν μάννα χορτάσαντα τὸν ἄνθρωπον.

Σήμερον τῷ Σταυρῷ προσήλωσαν* Ἰουδαῖοι τὸν Κύριον,* τὸν διατεμόντα* τὴν θάλασσαν ῥάβδῳ* καὶ διαγαγόντα* αὐτοὺς ἐν ἐρήμῳ.* Σήμερον τῇ λόγχῃ* τὴν πλευ-

ρὰν αὐτοῦ ἐκέντησαν,* τοῦ πληγαῖς μαστίξαντος* ὑπὲρ αὐτῶν τὴν Αἴγυπτον,* καὶ χολὴν ἐπότισαν* τὸν μάννα τροφὴν αὐτοῖς ὀμβρήσαντα.

Κύριε,* ἐπὶ τὸ πάθος τὸ ἑκούσιον* παραγενόμενος,* ἐβόας τοῖς μαθηταῖς σου·* Κἂν μίαν ὥραν οὐκ ἰσχύσατε* ἀγρυπνῆσαι μετ' ἐμοῦ,* πῶς ἐπηγγείλασθε* ἀποθνήσκειν δι' ἐμέ;* κἂν τὸν Ἰούδαν θεάσασθε,* πῶς οὐ καθεύδει,* ἀλλὰ σπουδάζει* προδοῦναί με τοῖς παρανόμοις.* Ἐγείρεσθε,* προσεύξασθε,* μή τίς με ἀρνήσηται,* βλέπων με ἐν τῷ Σταυρῷ.* Μακρόθυμε, δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Θεοτόκε,* ἡ τὸν ἀχώρητον ἐν οὐρανοῖς* χωρήσασα ἐν μήτρᾳ σου·* χαῖρε, Παρθένε,* τῶν προφητῶν τὸ κήρυγμα,* δι' ἧς ἡμῖν ἔλαμψεν ὁ Ἐμμανουήλ·* χαῖρε, μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Κάθισμα. Ἦχος βαρύς.

Ποῖός σε τρόπος, Ἰούδα,* προδότην τοῦ Σωτῆρος εἰργάσατο;* μὴ τοῦ χοροῦ σε* τῶν ἀποστόλων ἐχώρισε;* μὴ τοῦ χαρίσματος* τῶν ἰαμάτων ἐστέρησε;* μὴ συνδειπνήσας ἐκείνοις,* σὲ τῆς τραπέζης ἀπώσατο;* μὴ τῶν ἄλλων νίψας τοὺς πόδας,* τοὺς σοὺς ὑπερεῖδεν;* Ὦ πόσων ἀγαθῶν* ἀμνήμων ἐγένου!* καὶ σοῦ μὲν ἡ ἀχάριστος* στηλιτεύεται γνώμη,* αὐτοῦ δὲ ἡ ἀνείκαστος* μακροθυμία κηρύττεται* καὶ τὸ μέγα ἔλεος.

ΕΥΑΓΓΕΛΙΟΝ ΤΡΙΤΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κς' 57-75).

Τῷ καιρῷ ἐκείνῳ, οἱ στρατιῶται κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ μακρόθεν ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως, καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος.

Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, καὶ τὸ συνέδριον ὅ-

λον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ ὅπως θανατώσωσιν αὐτόν, καὶ οὐχ εὗρον· καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες εἶπον· Οὗτος ἔφη, δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Οὐδὲν ἀποκρίνῃ; Τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ Ἰησοῦς ἐσιώπα. Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων· Ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ· τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες εἶπον· Ἔνοχος θανάτου ἐστί. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐτόν, οἱ δὲ ἐῤῥάπισαν λέγοντες· Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε.

Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων λέγων· Οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη καὶ λέγει αὐτοῖς· Ἐκεῖ καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς.

Ὁ χορός Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ἀντίφωνον ζ'. Ἦχος πλ. δ'.

Τοῖς συλλαβοῦσί σε παρανόμοις* ἀνεχόμενος* οὕτως ἐβόας, Κύριε·* Εἰ καὶ ἐπατάξατε τὸν ποιμένα* καὶ διε-

σκορπίσατε* τὰ δώδεκα πρόβατα, τοὺς μαθητάς μου,* ἠδυνάμην* πλείους ἢ δώδεκα λεγεῶνας* παραστῆσαι ἀγγέλων·* ἀλλὰ μακροθυμῶ,* ἵνα πληρωθῇ* ἃ ἐδήλωσα ὑμῖν* διὰ τῶν προφητῶν μου* ἄδηλα καὶ κρύφια.* Κύριε, δόξα σοι.

Τρίτον ἀρνησάμενος ὁ Πέτρος,* εὐθέως τὸ ῥηθὲν αὐτῷ συνῆκεν·* ἀλλὰ προσήγαγέ σοι* δάκρυα μετανοίας.* Ὁ Θεός,* ἱλάσθητί μοι καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὡς πύλην σωτήριον,* καὶ παράδεισον τερπνὸν* καὶ φωτὸς ἀϊδίου* νεφέλην ὑπάρχουσαν,* τὴν ἁγίαν Παρθένον* ὑμνήσωμεν ἅπαντες,* λέγοντες τὸ Χαῖρε αὐτῇ.

Ἀντίφωνον η'. Ἦχος β'.

Εἴπατε, παράνομοι·* Τί ἠκούσατε* παρὰ τοῦ Σωτῆρος ἡμῶν;* οὐ νόμον ἐξέθετο* καὶ τῶν προφητῶν τὰ διδάγματα;* πῶς οὖν ἐλογίσασθε* Πιλάτῳ παραδοῦναι* τὸν ἐκ Θεοῦ Θεὸν Λόγον* καὶ Λυτρωτὴν τῶν ψυχῶν ἡμῶν;

Σταυρωθήτω, ἔκραζον* οἱ τῶν σῶν χαρισμάτων* ἀεὶ ἐντρυφῶντες* καὶ κακοῦργον ἀντ' εὐεργέτου* ἠτοῦντο λαβεῖν* οἱ τῶν δικαίων φονευταί·* ἐσιώπας δέ, Χριστέ,* φέρων αὐτῶν τὴν προπέτειαν,* παθεῖν θέλων καὶ σῶσαι* ἡμᾶς ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Οτι οὐκ ἔχομεν παῤῥησίαν* διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα,* σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον,* Θεοτόκε Παρθένε·* πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς* πρὸς εὐμένειαν Δεσπότου·* μὴ παρίδῃς* ἁμαρτωλῶν ἱκεσίας, ἡ πάνσεμνος·* ὅτι ἐλεήμων ἐστὶ* καὶ σῴζειν δυνάμενος,* ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ἀντίφωνον θ'. Ἦχος γ'.

Εστησαν τὰ τριάκοντα ἀργύρια,* τὴν τιμὴν τοῦ τετιμημένου,* ὃν ἐτιμήσαντο* ἀπὸ υἱῶν Ἰσραήλ.* Γρηγορεῖτε καὶ προσεύχεσθε,* ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν·* τὸ μὲν

πνεῦμα πρόθυμον,* ἡ δὲ σὰρξ ἀσθενής·* διὰ τοῦτο γρηγορεῖτε.

Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν* καὶ εἰς τὴν δίψαν μου* ἐπότισάν με ὄξος·* σὺ δέ, Κύριε, ἀνάστησόν με,* καὶ ἀνταποδώσω αὐτοῖς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε,* Θεοτόκε ἁγνή,* ὅτι Χριστὸν τὸν Θεὸν ἡμῶν ἔτεκες,* τὸν ἐκ τῆς κατάρας τοὺς ἀνθρώπους* διὰ σοῦ ἐλευθερώσαντα.

Κάθισμα. Ἦχος πλ. δ΄.

Ὡπῶς Ἰούδας,* ὁ ποτέ σου μαθητής,* τὴν προδοσίαν ἐμελέτα κατὰ σοῦ!* Συνεδείπνησε δολίως* ὁ ἐπίβουλος καὶ ἄδικος·* πορευθεὶς εἶπε τοῖς ἱερεῦσι·* Τί μοι παρέχετε,* καὶ παραδώσω ὑμῖν* ἐκεῖνον* τὸν τὸν νόμον λύσαντα* καὶ βεβηλοῦντα τὸ Σάββατον;* Μακρόθυμε Κύριε, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΤΕΤΑΡΤΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιη΄ 28 - ιθ΄ 16).

Τῷ καιρῷ ἐκείνῳ, ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα.

Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς καὶ εἶπε· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα· ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ ὃν εἶπε σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.

Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος καὶ ἐφώνησε τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἀφ' ἑαυτοῦ σὺ τοῦτο

λέγεις ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ; Ἀπεκρίθη ὁ Πιλάτος· Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ. Ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. Λέγει αὐτῷ ὁ Πιλάτος· Τί ἐστιν ἀλήθεια;

Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ· ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ Πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων; Ἐκραύγασαν οὖν πάλιν πάντες λέγοντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσε. Καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτὸν καὶ ἔλεγον· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα.

Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος καὶ λέγει αὐτοῖς· Ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω. Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον, καὶ λέγει αὐτοῖς· Ἴδε ὁ ἄνθρωπος. Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες· Σταύρωσον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Θεοῦ Υἱὸν ἐποίησεν.

Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη· καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν

αὐτῷ. Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει.

Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. Πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ Καίσαρι. Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον ἤγαγεν ἔξω τὸν Ἰησοῦν καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ· ἦν δὲ Παρασκευὴ τοῦ Πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγασαν· Ἆρον ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ἀντίφωνον ι'. Ἦχος πλ. β'.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον,* γυμνὸς εἰς κρίσιν ἵστατο* καὶ ἐν σιαγόνι ῥάπισμα ἐδέξατο* ὑπὸ χειρῶν, ὧν ἔπλασεν·* ὁ δὲ παράνομος λαὸς* τῷ Σταυρῷ προσήλωσε* τὸν Κύριον τῆς δόξης·* τότε τὸ καταπέτασμα* τοῦ ναοῦ ἐσχίσθη·* ὁ ἥλιος ἐσκότασε,* μὴ φέρων θεάσασθαι* Θεὸν ὑβριζόμενον,* ὃν τρέμει τὰ σύμπαντα.* Αὐτὸν προσκυνήσωμεν.

Ὁ μαθητὴς ἠρνήσατο,* ὁ λῃστὴς ἐβόησε·* Μνήσθητί μου, Κύριε,* ἐν τῇ βασιλείᾳ σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εἰρήνευσον τὸν κόσμον,* ὁ ἐκ Παρθένου* καταδεξάμενος, Κύριε,* σάρκα φορέσαι ὑπὲρ δούλων,* ἵνα συμφώνως* σὲ δοξολογῶμεν, φιλάνθρωπε.

Ἀντίφωνον ια'. Ἦχος πλ. β'.

Ἀντὶ ἀγαθῶν,* ὧν ἐποίησας, Χριστέ,* τῷ γένει τῶν Ἑβραίων,* σταυρωθῆναί σε κατεδίκασαν,* δῖος καὶ χολὴν σε ποτίσαντες.* Ἀλλὰ δὸς αὐτοῖς, Κύριε,* κατὰ τὰ ἔργα αὐτῶν,* ὅτι οὐ συνῆκαν* τὴν σὴν συγκατάβασιν.

Ἐπὶ τῇ προδοσίᾳ* οὐκ ἠρκέσθησαν, Χριστέ,* τὰ γένη τῶν Ἑβραίων,* ἀλλ' ἐκίνουν τὰς κεφαλὰς αὐτῶν,* μυκτηρισμὸν καὶ χλεύην προσάγοντες.* Ἀλλὰ δὸς αὐτοῖς, Κύριε,* κατὰ τὰ ἔργα αὐτῶν,* ὅτι οὐ συνῆκαν* τὴν σὴν συγκατάβασιν.

Οὔτε γῆ ὡς ἐσείσθη,* οὔτε πέτραι ὡς ἐρράγησαν,* Ἑβραίους ἔπεισαν,* οὔτε τοῦ ναοῦ τὸ καταπέτασμα,* οὔτε τῶν νεκρῶν ἡ ἀνάστασις.* Ἀλλὰ δὸς αὐτοῖς, Κύριε,* κατὰ τὰ ἔργα αὐτῶν,* ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεὸν ἐκ σοῦ* σαρκωθέντα ἔγνωμεν,* Θεοτόκε Παρθένε,* μόνη ἁγνή,* μόνη εὐλογημένη* διὸ ἀπαύστως* σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

Ἀντίφωνον ιβ'. Ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις* Λαός μου, τί ἐποίησά σοι;* ἢ τί σοι παρηνώχλησα;* Τοὺς τυφλούς σου ἐφώτισα,* τοὺς λεπρούς σου ἐκαθάρισα,* ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην.* Λαός μου, τί ἐποίησά σοι,* καὶ τί μοι ἀνταπέδωκας;* ἀντὶ τοῦ μάννα χολήν,* ἀντὶ τοῦ ὕδατος ὄξος,* ἀντὶ τοῦ ἀγαπᾶν με,* Σταυρῷ με προσηλώσατε.* Οὐκέτι στέγω λοιπόν* καλέσω μου τὰ ἔθνη,* κἀκεῖνά με δοξάσουσι* σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι,* κἀγὼ αὐτοῖς δωρήσομαι* ζωὴν τὴν αἰώνιον.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα* εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων,* καὶ τὰς ἰδίας ἀκτῖνας* ὁ ἥλιος κρύπτει,* Δεσπότην ὁρῶν σταυρούμενον.

Οἱ νομοθέται τοῦ Ἰσραήλ,* Ἰουδαῖοι καὶ φαρισαῖοι,* ὁ χορὸς τῶν ἀποστόλων* βοᾷ πρὸς ὑμᾶς* Ἴδε ναός,*

ὃν ὑμεῖς ἐλύσατε·* ἴδε ἀμνός,* ὃν ὑμεῖς ἐσταυρώσατε·* τάφῳ παρεδώκατε,* ἀλλ᾽ ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη.* Μὴ πλανᾶσθε, Ἰουδαῖοι·* αὐτὸς γάρ ἐστιν* ὁ ἐν θαλάσσῃ σώσας* καὶ ἐν ἐρήμῳ θρέψας·* αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς* καὶ ἡ εἰρήνη τοῦ κόσμου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, ἡ πύλη* τοῦ βασιλέως τῆς δόξης,* ἣν ὁ Ὕψιστος μόνος διώδευσε* καὶ πάλιν ἐσφραγισμένην κατέλιπεν* εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Κάθισμα. Ἦχος πλ. δ΄.

Οτε παρέστης τῷ Καϊάφᾳ, ὁ Θεός,* καὶ παρεδόθης τῷ Πιλάτῳ ὁ κριτής,* αἱ οὐράνιαι δυνάμεις* ἐκ τοῦ φόβου ἐσαλεύθησαν·* τότε δὲ καὶ ὑψώθης ἐπὶ τοῦ ξύλου* ἐν μέσῳ δύο λῃστῶν* καὶ ἐλογίσθης μετὰ ἀνόμων* ὁ ἀναμάρτητος* διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.* Ἀνεξίκακε Κύριε, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΠΕΜΠΤΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κζ΄ 3-32).

Τῷ καιρῷ ἐκείνῳ, ἰδὼν Ἰούδας ὅτι ὁ Ἰησοῦς κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις λέγων· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· Τί πρὸς ἡμᾶς; Σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο.

Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος».

Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος καὶ ἐπηρώ-

τησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.

Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.

Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον· Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· Σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν ἔφη· Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· Σταυρωθήτω.

Ἰδὼν δὲ ὁ Πιλάτος ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ.

Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν· καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες·

Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.

Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ἀντίφωνον ιγ'. Ἦχος πλ. β'.

Τὸ ἄθροισμα τῶν Ἰουδαίων* τῷ Πιλάτῳ ἠτήσαντο* σταυρωθῆναί σε, Κύριε·* αἰτίαν γὰρ ἐν σοὶ μὴ εὑρόντες,* τὸν ὑπεύθυνον Βαραββᾶν ἠλευθέρωσαν,* καὶ σὲ τὸν δίκαιον κατεδίκασαν,* μιαιφονίας ἔγκλημα κληρωσάμενοι.* Ἀλλὰ δὸς αὐτοῖς, Κύριε,* τὸ ἀνταπόδομα αὐτῶν,* ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Ὃν πάντα φρίσσει καὶ τρέμει* καὶ πᾶσα γλῶσσα ὑμνεῖ,* Χριστὸν Θεοῦ δύναμιν* καὶ Θεοῦ σοφίαν,* οἱ ἱερεῖς ἐῤῥάπισαν* καὶ ἔδωκαν αὐτῷ χολήν·* καὶ πάντα παθεῖν κατεδέξατο,* σῶσαι θέλων ἡμᾶς* ἐκ τῶν ἀνομιῶν ἡμῶν* τῷ ἰδίῳ αἵματι* ὡς φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε,* ἡ τεκοῦσα διὰ λόγου* ὑπὲρ λόγον* τὸν κτίστην τὸν ἴδιον,* αὐτὸν δυσώπει* σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀντίφωνον ιδ'. Ἦχος πλ. δ'.

Κύριε,* ὁ τὸν λῃστὴν συνοδοιπόρον λαβών,* τὸν ἐν αἵματι χεῖρας μολύναντα,* καὶ ἡμᾶς σὺν αὐτῷ καταρίθμησον,* ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μικρὰν φωνὴν* ἀφῆκεν ὁ λῃστὴς ἐν τῷ σταυρῷ·* μεγάλην πίστιν εὗρε,* μιᾷ ῥοπῇ ἐσώθη,* καὶ πρῶτος παραδείσου* πύλας ἀνοίξας εἰσῆλθεν.* Ὁ αὐτοῦ τὴν μετάνοιαν προσδεξάμενος,* Κύριε, δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, ἡ δι' ἀγγέλου* τὴν χαρὰν τοῦ κόσμου δεξαμένη·* χαῖρε, ἡ τεκοῦσα* τὸν ποιητήν σου καὶ Κύριον·* χαῖρε, ἡ ἀξιωθεῖσα* γενέσθαι Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Ἀντίφωνον ιε'. Ἦχος πλ. β'.

(Τὸ α' τροπάριον τοῦ ἀντιφώνου τούτου ἀπαγγέλλεται πρῶτον ὑπὸ τοῦ ἱερέως λιτανεύοντος ἐν τῷ ναῷ τὸν Ἐσταυρωμένον, ἔπειτα δὲ ψάλλεται μετὰ τῶν λοιπῶν τροπαρίων).

Σήμερον κρεμᾶται ἐπὶ ξύλου* ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας (γ').* Στέφανον ἐξ ἀκανθῶν περιτίθεται* ὁ τῶν ἀγγέλων βασιλεύς.* Ψευδῆ πορφύραν περιβάλλεται* ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις.* Ῥάπισμα κατεδέξατο* ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ.* Ἥλοις προσηλώθη* ὁ Νυμφίος τῆς Ἐκκλησίας.* Λόγχῃ ἐκεντήθη* ὁ Υἱὸς τῆς Παρθένου.* Προσκυνοῦμέν σου τὰ πάθη, Χριστέ (γ').* Δεῖξον ἡμῖν* καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Μὴ ὡς Ἰουδαῖοι ἑορτάσωμεν·* καὶ γὰρ τὸ Πάσχα ἡμῶν* ὑπὲρ ἡμῶν ἐτύθη, Χριστὸς ὁ Θεός·* ἀλλ' ἐκκαθάρωμεν ἑαυτοὺς* ἀπὸ παντὸς μολυσμοῦ* καὶ εἰλικρινῶς δεηθῶμεν αὐτῷ·* Ἀνάστα, Κύριε,* σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Ὁ Σταυρός σου, Κύριε,* ζωὴ καὶ ἀνάστασις* ὑπάρχει τῷ λαῷ σου·* καὶ ἐπ' αὐτῷ πεποιθότες,* σὲ τὸν σταυρωθέντα* Θεὸν ἡμῶν ὑμνοῦμεν·* ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁρῶσά σε κρεμάμενον,* Χριστέ, ἡ σὲ κυήσασα* ἀνεβόα·* Τί τὸ ξένον, ὃ ὁρῶ,* μυστήριον, Υἱέ μου;* πῶς ἐπὶ ξύλου θνῄσκεις* σαρκὶ πηγνύμενος, ζωῆς χορηγέ;

Κάθισμα. Ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς* ἐκ τῆς κατάρας τοῦ νόμου* τῷ τιμίῳ σου αἵματι·* τῷ Σταυρῷ προσηλωθεὶς* καὶ τῇ λόγχῃ κεντηθεὶς* τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις.* Σωτὴρ ἡμῶν, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΕΚΤΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ιε' 16-32).

Τῷ καιρῷ ἐκείνῳ, οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν· καὶ ἐνδύουσιν αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ.

Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια, καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ.

Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμενον Κρανίου τόπος. Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτὸν διαμερίζονται τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἐπ' αὐτὰ τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· Ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη».

Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Οὐά, ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! Σῶσον σεαυτὸν καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Καὶ ψάλλομεν τοὺς Μακαρισμούς.

Ἦχος δ΄.

Ἐν τῇ βασιλείᾳ σου. Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Διὰ ξύλου ὁ Ἀδὰμ* παραδείσου γέγονεν ἄποικος΄* διὰ ξύλου δὲ Σταυροῦ* ὁ λῃστὴς παράδεισον ᾤκησεν΄* ὁ μὲν γὰρ γευσάμενος* ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος,* ὁ δὲ συσταυρούμενος* Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον,* Μνήσθητί μου, βοῶν,* ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Τὸν τοῦ νόμου ποιητὴν* ἐκ μαθητοῦ ὠνήσαντο ἄνομοι* καὶ ὡς παράνομον αὐτὸν* τῷ Πιλάτου βήματι ἔστησαν,* κραυγάζοντες΄ Σταύρωσον,* τὸν ἐνέρημῳ τούτους μανθοτήσαντα΄* ἡμεῖς δὲ τὸν δίκαιον* λῃστὴν μιμησάμενοι, πίστει κράζομεν΄* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Τῶν θεοκτόνων ὁ ἐσμός,* Ἰουδαίων ἔθνος τὸ ἄνομον,* πρὸς Πιλάτον ἐμμανῶς* ἀνακράζον ἔλεγε΄ Σταύρωσον,* Χριστὸν τὸν ἀνεύθυνον΄* Βαραββᾶν δὲ μᾶλλον οὗτοι ἠτήσαντο΄* ἡμεῖς δὲ φθεγγόμεθα* λῃστοῦ τοῦ εὐγνώμονος τὴν φωνὴν πρὸς αὐτόν΄* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Ἡ ζωηφόρος σου πλευρά,* ὡς ἐξ Ἐδὲμ πηγὴ ἀναβλύζουσα,* τὴν Ἐκκλησίαν σου, Χριστέ,* ὡς λογικὸν ποτίζει παράδεισον,* ἐντεῦθεν μερίζουσα,* ὡς εἰς ἀρχάς, εἰς τέσσαρα Εὐαγγέλια,* τὸν κόσμον ἀρδεύουσα,* τὴν κτίσιν εὐφραί-

νουσα καὶ τὰ ἔθνη πιστῶς* διδάσκουσα προσκυνεῖν* τὴν βασιλείαν σου.

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Ἐσταυρώθης δι' ἐμέ,* ἵνα ἐμοὶ πηγάσῃς τὴν ἄφεσιν* ἐκεντήθης τὴν πλευράν,* ἵνα κρουνοὺς ζωῆς ἀναβλύσῃς μοι* τοῖς ἥλοις προσήλωσαι,* ἵνα ἐγὼ τῷ βάθει τῶν παθημάτων σου* τὸ ὕψος τοῦ κράτους σου* πιστούμενος, κράζω σοι, ζωοδότα Χριστέ* Δόξα καὶ τῷ Σταυρῷ,* Σῶτερ, καὶ τῷ πάθει σου.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Σταυρουμένου σου, Χριστέ,* πᾶσα ἡ κτίσις βλέπουσα ἔτρεμε* τὰ θεμέλια τῆς γῆς* διεδονεῖτο φόβῳ τοῦ κράτους σου* φωστῆρες ἐκρύπτοντο* καὶ τοῦ ναοῦ ἐρράγη τὸ καταπέτασμα* τὰ ὄρη ἐτρόμαξαν* καὶ πέτραι ἐσχίσθησαν καὶ ληστὴς ὁ πιστὸς* κραυγάζει σοι σὺν ἡμῖν,* Σωτήρ, τὸ Μνήσθητι.

Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Τὸ χειρόγραφον ἡμῶν* ἐν τῷ Σταυρῷ διέῤῥηξας, Κύριε,* καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς* τὸν ἐκεῖσε τύραννον ἔδησας,* ῥυσάμενος ἅπαντας* ἐκ δεσμῶν θανάτου τῇ ἀναστάσει σου* δι' ἧς ἐφωτίσθημεν,* Χριστέ, ὁ Θεὸς ἡμῶν, καὶ βοῶμέν σοι* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ* καὶ τοῦ θανάτου λύσας τὴν δύναμιν* καὶ ἐξαλείψας ὡς Θεὸς* τὸ καθ' ἡμῶν χειρόγραφον, Κύριε,* λῃστοῦ τὴν μετάνοιαν* καὶ ἡμῖν παράσχου, μόνε φιλάνθρωπε,* τοῖς πίστει λατρεύουσι,* Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ βοῶσί σοι* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Δόξα. Τριαδικόν.

Τὸν Πατέρα καὶ Υἱὸν* καὶ τὸ Πνεῦμα πάντες τὸ ἅγιον* ὁμοφρόνως οἱ πιστοὶ* δοξολογεῖν ἀξίως εὐξώμεθα,* Μονάδα Θεότητος* ἐν τρισὶν ὑπάρχουσαν ὑποστάσεσιν,* ἀσύγχυτον μένουσαν,* ἁπλῆν, ἀδιαίρετον καὶ ἀπρόσιτον,* δι' ἧς ἐκλυτρούμεθα* τοῦ πυρὸς τῆς κολάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Μητέρα σου, Χριστέ,* τὴν ἐν σαρκὶ ἀσπόρως τεκοῦσάν σε* καὶ Παρθένον ἀληθῶς* καὶ μετὰ τόκον μείνασαν ἄφθορον,* αὐτῆν σοι προσάγομεν* εἰς πρεσβείαν, Δέσποτα πολυέλεε,* πταισμάτων συγχώρησιν* δωρήσασθαι πάντοτε τοῖς κραυγάζουσι·* Μνήσθητι καὶ ἡμῶν* ἐν τῇ βασιλείᾳ σου.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς κα'.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Στίχ. Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;

ΕΥΑΓΓΕΛΙΟΝ ΕΒΔΟΜΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κζ' 33-54).

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντες οἱ στρατιῶται εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βαλόντες κλῆρον, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων.

Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Ὁ καταλύων τὸν ναὸν

καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν ἐπ' αὐτῷ. Πέποιθεν ἐπὶ τὸν Θεόν, ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γὰρ ὅτι Θεοῦ εἰμι υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτῷ.

Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· Ἠλί, Ἠλί, λιμὰ σαβαχθανί; τοῦτ' ἔστι, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.

Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα ἐφοβήθησαν σφόδρα λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης τὸν Ν' Ψαλμὸν (σ. 103).

ΕΥΑΓΓΕΛΙΟΝ ΟΓΔΟΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κγ' 32-49).

Τῷ καιρῷ ἐκείνῳ, ἤγοντο σὺν τῷ Ἰησοῦ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν

αὐτὸν καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον. Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες· Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ καὶ λέγοντες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς· Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων.

Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, τοῦ ἡλίου ἐκλείποντος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον· καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε· Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου. Καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν.

Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον ἐδόξασε τὸν Θεὸν λέγων· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον. Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Καὶ ψάλλομεν τὸ παρὸν τριῴδιον, οὗ ἡ ἀκροστιχίς· Προσάββατόν τε.

Ποίημα Κοσμᾶ μοναχοῦ. Ἦχος πλ. β΄.

Ὠδὴ ε΄. Ὁ εἱρμός.(*)

Πρὸς σὲ ὀρθρίζω* τὸν δι' εὐσπλαγχνίαν* σεαυτὸν τῷ πεσόντι* κενώσαντα ἀτρέπτως* καὶ μέχρι παθῶν* ἀπαθῶς ὑποκύψαντα,* Λόγε Θεοῦ* Τὴν εἰρήνην* παράσχου μοι, φιλάνθρωπε.

Τροπάρια.

Ρυφθέντες πόδας,* καὶ προκαθαρθέντες* μυστηρίου μεθέξει* τοῦ θείου νῦν, Χριστέ, σοῦ* οἱ ὑπηρέται* ἐκ Σιὼν Ἐλαιῶνος* μέγα πρὸς ὄρος* συνανῆλθον* ὑμνοῦντές σε, φιλάνθρωπε.

Ὁρᾶτε, ἔφης,* φίλοι, μὴ θροεῖσθε·* νῦν γὰρ ἤγγικεν ὥρα* ληφθῆναί με κτανθῆναι* χερσὶν ἀνόμων·* πάντες δὲ σκορπισθήσεσθε,* ἐμὲ λιπόντες·* οὓς συνάξω* κηρῦξαί με φιλάνθρωπον.

Καταβασία. Πρὸς σὲ ὀρθρίζω.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεύς...

Κοντάκιον αὐτόμελον. Ἦχος πλ. δ΄.

Ποίημα Ρωμανοῦ τοῦ μελῳδοῦ.

Τὸν δι' ἡμᾶς σταυρωθέντα* δεῦτε πάντες ὑμνῆσωμεν·* αὐτὸν γὰρ κατεῖδε Μαρία* ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν·* Εἰ καὶ σταυρὸν ὑπομένεις,* σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Ὁ οἶκος.

Τὸν ἴδιον ἄρνα* ἡ ἀμνὰς θεωροῦσα* πρὸς σφαγὴν ἑλκόμενον,* ἠκολούθει Μαρία,* τρυχομένη μεθ' ἑτέρων γυναικῶν* ταῦτα βοῶσα·* Ποῦ πορεύῃ, τέκνον;* τίνος χάριν τὸν ταχὺν δρόμον τελεῖς;* μὴ ἕτερος γάμος* πάλιν ἐστὶν ἐν Κανᾷ,* κἀκεῖ νῦν σπεύδεις,* ἵν' ἐξ ὕδατος αὐτοῖς οἶνον ποιήσῃς;* συνέλθω σοι, τέκνον,* ἢ μείνω σοι μᾶλλον;* δός

(*) Βλ. σημ. σ. 1103.

μοι λόγον, Λόγε,* μὴ σιγῶν παρέλθῃς με,* ὁ ἀγνὴν τηρήσας με·* σὺ γὰρ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Τὸ Συναξάριον τοῦ Μηναίου καὶ τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ, τὰ ἅγια καὶ σωτήρια καὶ φρικτὰ πάθη τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελοῦμεν· τοὺς ἐμπτυσμούς, τὰ ῥαπίσματα, τὰ κολαφίσματα, τὰς ὕβρεις, τοὺς γέλωτας, τὴν πορφυρᾶν χλαῖναν, τὸν κάλαμον, τὸν σπόγγον, τὸ ὄξος, τοὺς ἥλους, τὴν λόγχην, καὶ πρὸ πάντων τὸν Σταυρὸν καὶ τὸν θάνατον, ἃ δι' ἡμᾶς ἑκὼν κατεδέξατο· ἔτι δὲ καὶ τὴν τοῦ εὐγνώμονος λῃστοῦ, τοῦ συσταυρωθέντος αὐτῷ, σωτήριον ἐν τῷ σταυρῷ ὁμολογίαν.

Στίχοι εἰς τὴν σταύρωσιν.

Ζῶν εἶ Θεὸς σὺ καὶ νεκρωθεὶς ἐν ξύλῳ,
ὦ νεκρὲ γυμνὲ καὶ Θεοῦ ζῶντος Λόγε.

Ἕτεροι εἰς τὸν εὐγνώμονα λῃστήν.

Κεκλεισμένας ἤνοιξε τῆς Ἐδὲμ πύλας
βαλὼν ὁ λῃστὴς κλεῖδα τὸ Μνήσθητί μου.

Τῇ ὑπερφυεῖ καὶ περὶ ἡμᾶς παναπείρῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ η'. Ὁ εἱρμός.

Στήλην κακίας ἀντιθέου* παῖδες θεῖοι παρεδειγμάτισαν·* κατὰ Χριστοῦ δὲ φρυαττόμενον* ἀνόμων συνέδριον* βουλεύεται κενά,* κτεῖναι μελετᾷ* τὸν ζωῆς κρατοῦντα παλάμῃ,* ὃν πᾶσα κτίσις εὐλογεῖ* δοξάζουσα εἰς τοὺς αἰῶνας.

Τροπάρια.

Ἀπὸ βλεφάρων, μαθηταί, νῦν* ὕπνον, —ἔφης, Χριστέ, — τινάξατε·* ἐν προσευχῇ δὲ γρηγορεῖτε,* πειρασμῷ μήπως ὀλησθε,* καὶ μάλιστα Σίμων·* τῷ κραταιῷ γὰρ* μείζων πεῖρα· γνῶθί με, Πέτρε,* ὃν πᾶσα κτίσις εὐλογεῖ* δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βέβηλον ἔπος τῶν χειλέων* οὔποτε προήσομαι, Δέσποτα·* σὺν σοὶ θανοῦμαι, ὡς εὐγνώμων,* κἂν οἱ πάντες ἀρνήσωνται,* ἐβόησε Πέτρος·* σάρξ οὐδὲ αἷμα,* ὁ Πατήρ σου ἀπεκάλυψέ μοι σέ,* ὃν πᾶσα κτίσις εὐλογεῖ* δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βάθος σοφίας θεϊκῆς* καὶ γνώσεως οὐ πᾶν ἐξηρεύνησας·* ἄβυσσον δέ μου τῶν κριμάτων* οὐ κατέλαβες, ἄνθρωπε,* ὁ Κύριος ἔφη·* σάρξ οὖν ὑπάρχων,* μὴ καυχῶ ἀρνήσῃ τρίτον γάρ με,* ὃν πᾶσα κτίσις εὐλογεῖ* δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπαγορεύεις, Σίμων Πέτρε,* ὅπερ πείσῃ τάχος, ὡς εἴρηται·* καὶ σοὶ παιδίσκη οἷα θᾶττον* προσελθοῦσα, πτοήσει σε,* ὁ Κύριος ἔφη·* πικρῶς δακρύσας,* ἔξεις ὅμως εὐίλατόν με,* ὃν πᾶσα κτίσις εὐλογεῖ* δοξάζουσα εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Στήλην κακίας.

Ὁ διάκονος. Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ* καὶ ἐνδοξοτέραν,* ἀσυγκρίτως τῶν Σεραφίμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον,* σὲ μεγαλύνομεν.

Τροπάρια.

Ὀλέθριος σπεῖρα θεοστυγῶν,* πονηρευομένων* θεοκτόνων συναγωγὴ* ἐπέστη, Χριστέ σοι,* καὶ ὡς ἄδικον εἵλκε* τὸν κτίστην τῶν ἁπάντων,* ὃν μεγαλύνομεν.

Νόμον ἀγνοοῦντες οἱ ἀσεβεῖς,* φωνὰς προφητῶν τε* μελετῶντες διακενῆς,* ὡς πρόβατον εἵλκον* σὲ τὸν πάντων Δεσπότην* ἀδίκως σφαγιάσαι* ὃν μεγαλύνομεν.

Τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν* σὺν τοῖς γραμματεῦσιν* ἀναιρεῖσθαι οἱ ἱερεῖς* παρέσχον, πληγέντες* αὐτοφθόνῳ κακίᾳ,* τὸν φύσει ζωοδότην,* ὃν μεγαλύνομεν.

Ἐκύκλωσαν κύνες ὡσεὶ πολλοί,* ἐκρότησαν, ἄναξ,* σιαγόνα σὴν ῥαπισμῷ* ἠρώτων σε, σοῦ δὲ* ψευδῆ κατεμαρτύρουν* καὶ πάντα ὑπομείνας* ἅπαντας ἔσωσας.

Καταβασία. Τὴν τιμιωτέραν.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν...

Ἐξαποστειλάριον. Ἦχος γ'.

Τὸν ληστὴν αὐθημερὸν* τοῦ παραδείσου ἠξίωσας, Κύριε* κἀμὲ τῷ ξύλῳ τοῦ Σταυροῦ* φώτισον, καὶ σῶσόν με. (Τρὶς)

ΕΥΑΓΓΕΛΙΟΝ ΕΝΑΤΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιθ' 25-37).

Τῷ καιρῷ ἐκείνῳ, εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ· Γύναι, ἴδε ὁ υἱός σου. Εἶτα λέγει τῷ μαθητῇ· Ἰδοὺ ἡ Μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια.

Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει· Διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ πλήσαντες σπόγγον ὄξους καὶ ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς εἶπε· Τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα.

Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ Σαββάτου· ἠρώτησαν τὸν Πιλάτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυ-

ξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ· «Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ». Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν».

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Καὶ ψάλλονται οἱ αἶνοι, ἐν οἷς καὶ τὰ παρόντα ἰδιόμελα.

Βυζαντίου. Ἦχος γ΄.

Δύο καὶ πονηρὰ ἐποίησεν* ὁ πρωτότοκος υἱός μου Ἰσραήλ·* ἐμὲ ἐγκατέλιπε,* πηγὴν ὕδατος ζωῆς,* καὶ ὤρυξεν ἑαυτῷ* φρέαρ συντετριμμένον·* ἐμὲ ἐπὶ ξύλου ἐσταύρωσε,* τὸν δὲ Βαραββᾶν ἠτήσατο* καὶ ἀπέλυσεν·* ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ,* καὶ ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε·* σὺ δέ, Ἰσραήλ, οὐκ ἐνετράπης,* ἀλλὰ θανάτῳ με παρέδωκας.* Ἄφες αὐτοῖς, Πάτερ ἅγιε·* οὐ γὰρ οἴδασι τί ἐποίησαν. (Δὶς)

Τοῦ Στουδίτου. Ἦχος ὁ αὐτός.

Ἕκαστον μέλος τῆς ἁγίας σου σαρκὸς* ἀτιμίαν δι' ἡμᾶς ὑπέμεινε·* τὰς ἀκάνθας ἡ κεφαλή·* ἡ ὄψις τὰ ἐμπτύσματα·* αἱ σιαγόνες τὰ ῥαπίσματα·* τὸ στόμα τὴν ἐν ὄξει* κερασθεῖσαν χολὴν τῇ γεύσει·* τὰ ὦτα τὰς δυσσεβεῖς βλασφημίας·* ὁ νῶτος τὴν φραγγέλλωσιν,* καὶ ἡ χεὶρ τὸν κάλαμον·* αἱ τοῦ ὅλου σώματος* ἐκτάσεις ἐν τῷ σταυρῷ·* τὰ ἄρθρα τοὺς ἥλους* καὶ ἡ πλευρὰ τὴν λόγχην.* Ὁ παθὼν ὑπὲρ ἡμῶν* καὶ παθῶν ἐλευθερώσας ἡμᾶς,* ὁ συγκαταβὰς ἡμῖν φιλανθρωπίᾳ* καὶ ἀνυψώσας ἡμᾶς,* παντοδύναμε Σωτήρ,* ἐλέησον ἡμᾶς.

Βυζαντίου. Ἦχος ὁ αὐτός.

Σταυρωθέντος σου, Χριστέ,* πᾶσα ἡ κτίσις βλέπουσα ἔτρεμε·* τὰ θεμέλια τῆς γῆς* διεδονήθησαν φόβῳ τοῦ κράτους σου·* σοῦ γὰρ ὑψωθέντος σήμερον,* γένος Ἑβραίων ἀπώλετο·* τοῦ ναοῦ τὸ καταπέτασμα* διερράγη δι-

χῶς,* τὰ μνημεῖα ἠνεῴχθησαν* καὶ νεκροὶ ἐκ τῶν τάφων ἐξανέστησαν·* ἑκατόνταρχος ἰδὼν τὸ θαῦμα ἔφριξε·* παρεστῶσα δὲ ἡ Μήτηρ σου* ἐβόα θρηνῳδοῦσα μητρικῶς·* Πῶς μὴ θρηνήσω* καὶ τὰ σπλάγχνα μου τύψω,* ὁρῶσά σε γυμνὸν* ὡς κατάκριτον ἐν ξύλῳ κρεμάμενον;* Ὁ σταυρωθεὶς καὶ ταφεὶς* καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν,* Κύριε, δόξα σοι.

Δόξα. Ἦχος πλ. β΄.

Ἐξέδυσάν με τὰ ἱμάτιά μου* καὶ ἐνέδυσάν με* χλαμύδα κοκκίνην·* ἔθηκαν ἐπὶ τὴν κεφαλήν μου* στέφανον ἐξ ἀκανθῶν* καὶ ἐπὶ τὴν δεξιάν μου χεῖρα* ἔδωκαν κάλαμον,* ἵνα συντρίψω αὐτοὺς* ὡς σκεύη κεραμέως.

Καὶ νῦν. Ἦχος ὁ αὐτός. Ἀνδρέου Κρήτης.

Τὸν νῶτόν μου ἔδωκα εἰς μαστίγωσιν,* τὸ δὲ πρόσωπόν μου* οὐκ ἀπεστράφη ἀπὸ ἐμπτυσμάτων·* βήματι Πιλάτου παρέστην* καὶ Σταυρὸν ὑπέμεινα* διὰ τὴν τοῦ κόσμου σωτηρίαν.

ΕΥΑΓΓΕΛΙΟΝ ΔΕΚΑΤΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ιε΄ 43-47).

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλάτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε, καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε· καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. Καὶ ἀγοράσας σινδόνα καὶ καθελὼν αὐτὸν ἐνείλησε τῇ σινδόνι καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης· Σοὶ δόξα πρέπει... Δόξα ἐν ὑψίστοις

Θεῷ... (σ. 148). Ὁ διάκονος τὰ Πληρωτικὰ καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 135-137).

Καὶ μετὰ τὴν ἐκφώνησιν εὐθὺς

ΕΥΑΓΓΕΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιθ΄ 38-42).

Τῷ καιρῷ ἐκείνῳ, ἠρώτησε τὸν Πιλάτον Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος. Ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ. Ἦλθε δὲ καὶ Νικόδημος ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον, φέρων μῖγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν. Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ἐν ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν. Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη· ἐκεῖ οὖν διὰ τὴν Παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

Ὁ χορὸς Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Καὶ ψάλλονται τὰ ἀπόστιχα.

Ἦχος α΄.

Πᾶσα ἡ κτίσις* ἠλλοιοῦτο φόβῳ,* θεωροῦσά σε* ἐν Σταυρῷ κρεμάμενον, Χριστέ·* ὁ ἥλιος ἐσκοτίζετο* καὶ γῆς τὰ θεμέλια συνεταράττετο·* τὰ πάντα συνέπασχον* τῷ τὰ πάντα κτίσαντι.* Ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας,* Κύριε, δόξα σοι.

Στίχ. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Θεοφάνους. Ἦχος β΄.

Λαὸς δυσσεβὴς καὶ παράνομος* ἵνα τί μελετᾷ κενά;* ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων* θανάτῳ κατεδίκασε;* Μέγα θαῦμα!* ὅτι ὁ κτίστης τοῦ κόσμου* εἰς χεῖρας ἀνόμων παραδίδοται* καὶ ἐπὶ ξύλου* ἀνυψοῦται ὁ φιλάνθρωπος,* ἵ-

να τοὺς ἐν ᾅδῃ δεσμώτας* ἐλευθερώσῃ κράζοντας·* Μακρόθυμε Κύριε, δόξα σοι.

Στίχ. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Λέοντος τοῦ Δεσπότου. Ἦχος ὁ αὐτός.

Σήμερον σὲ θεωροῦσα* ἡ ἄμεμπτος Παρθένος* ἐν Σταυρῷ, Λόγε, ἀναρτώμενον,* ὀδυρομένη μητρῴα σπλάγχνα,* ἐτέτρωτο τὴν καρδίαν πικρῶς* καὶ στενάζουσα ὀδυνηρῶς* ἐκ βάθους ψυχῆς,* παρειὰς σὺν θριξὶ καταξαίνουσα,* κατετρύχετο·* διὸ* καὶ τὸ στῆθος τύπτουσα* ἀνέκραγε γοερῶς·* Οἴμοι, θεῖον τέκνον!* οἴμοι, τὸ φῶς τοῦ κόσμου!* τί ἔδυς ἐξ ὀφθαλμῶν μου,* ὁ ἀμνὸς τοῦ Θεοῦ;* Ὅθεν αἱ στρατιαὶ τῶν ἀσωμάτων* τρόμῳ συνείχοντο λέγουσαι·* Ἀκατάληπτε Κύριε, δόξα σοι.

Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Τοῦ αὐτοῦ. Ἦχος ὁ αὐτός.

Ἐπὶ ξύλου βλέπουσα* κρεμάμενον, Χριστέ,* σὲ τὸν πάντων κτίστην καὶ Θεὸν* ἡ σὲ ἀσπόρως τεκοῦσα* ἐβόα πικρῶς·* Υἱέ μου,* ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου;* οὐ φέρω καθορᾶν σε* ἀδίκως σταυρούμενον·* σπεῦσον οὖν, ἀνάστηθι,* ὅπως ἴδω κἀγὼ* σοῦ τὴν ἐκ νεκρῶν* τριήμερον ἐξανάστασιν.

Δόξα. Θεοφάνους. Ἦχος πλ. δ΄.

Κύριε,* ἀναβαίνοντός σου ἐν τῷ Σταυρῷ,* φόβος καὶ τρόμος ἐπέπεσε τῇ κτίσει·* καὶ τὴν γῆν μὲν ἐκώλυες* καταπιεῖν τοὺς σταυροῦντάς σε·* τῷ δὲ ᾅδῃ ἐπέτρεπες* ἀναπέμπειν τοὺς δεσμίους* εἰς ἀναγέννησιν βροτῶν.* Κριτὰ ζώντων καὶ νεκρῶν,* ζωὴν ἦλθες παρασχεῖν* καὶ οὐ θάνατον·* φιλάνθρωπε, δόξα σοι.

Καὶ νῦν. Ἰωάννου μοναχοῦ. Ἦχος ὁ αὐτός.

Ἤδη βάπτεται κάλαμος ἀποφάσεως* παρὰ κριτῶν ἀδίκων* καὶ Ἰησοῦς δικάζεται* καὶ κατακρίνεται Σταυ-

ρῷ* καὶ πάσχει ἡ κτίσις* ἐν Σταυρῷ καθορῶσα τὸν Κύριον.* Ἀλλ᾽ ὁ φύσει σώματος* δι᾽ ἐμὲ πάσχων,* ἀγαθὲ Κύριε, δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κζ΄ 62-66).

Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν Παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς Πιλάτον λέγοντες· Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσι τῷ λαῷ, ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη δὲ αὐτοῖς ὁ Πιλάτος· Ἔχετε κουστωδίαν· ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ ἱερεύς· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι... Ὁ ἀναγνώστης τὸ Τρισάγιον. Καὶ ψάλλομεν

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ἐξηγόρασας ἡμᾶς* ἐκ τῆς κατάρας τοῦ νόμου* τῷ τιμίῳ σου αἵματι* τῷ Σταυρῷ προσηλωθεὶς* καὶ τῇ λόγχῃ κεντηθεὶς* τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις.* Σωτὴρ ἡμῶν, δόξα σοι. (Τρὶς)

Ὁ διάκονος τὴν ἐκτενῆ (σ. 135). Εἶτα· Σοφία· Ὁ ὢν εὐλογητός... Στερεώσαι Κύριος ὁ Θεὸς κ.τ.λ. καὶ γίνεται ἀπόλυσις·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἐμπτυσμοὺς καὶ μάστιγας καὶ κολαφισμοὺς καὶ Σταυρὸν καὶ θάνατον ὑπομείνας διὰ τὴν τοῦ κόσμου σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις...

Δι᾽ εὐχῶν...

Ὁ χορός· Ἀμήν.

ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΩΡΩΝ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ

Ποίημα Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

ΩΡΑ ΠΡΩΤΗ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Βασιλεῦ οὐράνιε... Ὁ ἀναγνώστης τὸ Τρισάγιον, τὸ Κύριε, ἐλέησον ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσωμεν, καὶ τοὺς Ψαλμούς·

ΨΑΛΜΟΣ Ε' (5).

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε... (σ. 220).

ΨΑΛΜΟΣ Β' (2).

Ἱνατί ἐφρύαξαν ἔθνη... (σ. 218).

ΨΑΛΜΟΣ ΚΑ' (21).

Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι· ἱνατί ἐγκατέλιπές με; Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

Ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.

Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.

Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐῤῥύσω αὐτούς.

Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατησχύνθησαν.

Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ.

Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν.

Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.

Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου.

Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας· ἀπὸ γαστρὸς μητρός μου, Θεός μου εἶ σύ.

Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.

Περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με.

Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.

Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου.

Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.

Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με.

Ὤρυξαν χεῖράς μου καὶ πόδας μου· ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ, εἰς τὴν ἀντίληψίν μου πρόσχες.

Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.

Σῶσόν με ἐκ στόματος λέοντος καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.

Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.

Οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν· φοβηθῆτω δὴ ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ.

Ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ· καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου.

Παρὰ σοῦ ὁ ἔπαινός μου· ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολο-

γήσομαί σοι· τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων σε.

Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.

Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.

Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.

Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς· ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν.

Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ.

Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός (Τρίς). Κύριε, ἐλέησον γ'.

Δόξα. Ἦχος α'.

Σταυρωθέντος σου, Χριστέ,* ἀνηρέθη ἡ τυραννίς,* ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ·* οὔτε γὰρ ἄγγελος,* οὐκ ἄνθρωπος,* ἀλλ' αὐτὸς ὁ Κύριος* ἔσωσας ἡμᾶς· δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Τί σε καλέσωμεν,* ὦ κεχαριτωμένη;* Οὐρανόν;* ὅτι ἀνέτειλας* τὸν ἥλιον τῆς δικαιοσύνης.* Παράδεισον; ὅτι ἐβλάστησας* τὸ ἄνθος τῆς ἀφθαρσίας.* Παρθένον;* ὅτι ἔμεινας ἄφθορος.* Ἁγνὴν μητέρα;* ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις Υἱόν,* τὸν πάντων Θεόν.* Αὐτὸν ἱκέτευε* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Ἦχος πλ. δ΄.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα* εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων* καὶ τὰς ἰδίας ἀκτῖνας* ὁ ἥλιος κρύπτει,* Δεσπότην ὁρῶν σταυρούμενον.

Στίχ. Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;

Ὡς πρόβατον ἐπὶ σφαγὴν* ἦχθης, Χριστὲ βασιλεῦ,* καὶ ὡς ἀμνὸς ἄκακος* προσηλώθης τῷ Σταυρῷ* ὑπὸ τῶν παρανόμων ἀνδρῶν* διὰ τὰς ἁμαρτίας ἡμῶν, φιλάνθρωπε.

Δόξα, καὶ νῦν.

Τοῖς συλλαβοῦσί σε παρανόμοις* ἀνεχόμενος* οὕτως ἐβόας, Κύριε·* Εἰ καὶ ἐπατάξατε τὸν ποιμένα* καὶ διεσκορπίσατε* τὰ δώδεκα πρόβατα, τοὺς μαθητάς μου,* ἠδυνάμην* πλείους ἢ δώδεκα λεγεῶνας* παραστῆσαι ἀγγέλων·* ἀλλὰ μακροθυμῶ,* ἵνα πληρωθῇ* ἃ ἐδήλωσα ὑμῖν* διὰ τῶν προφητῶν μου* ἄδηλα καὶ κρύφια.* Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης·

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς μ΄.

Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.

Στίχ. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.

Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα (ια΄ 10-13).

Τάδε λέγει Κύριος· Λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν καὶ ἀπορρίψω αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς· καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος Κυρίου ἐστί. Καὶ ἐρῶ πρὸς αὐτούς· Εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε τὸν μισθόν μου ἢ ἀπείπασθε· καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς. Καὶ εἶπε Κύριος πρός με· Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψομαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυ-

ροῦς καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον, καθὰ συνέταξέ μοι Κύριος.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου (ς΄ 14-18).

Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ Σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κζ΄ 1-56).

Τῷ καιρῷ ἐκείνῳ πρωΐας γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις λέγων· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· Τί πρὸς ἡμᾶς; Σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο.

Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον· Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος».

Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν ἢ Ἰησοῦν, τὸν λεγόμενον Χριστόν; Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.

Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν.

Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον· Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· Σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν ἔφη· Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· Σταυρωθήτω.

Ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ.

Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ᾽ αὐτὸν ὅλην τὴν σπεῖραν. Καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ

γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.

Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ.

Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅς ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βαλόντες κλῆρον, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων.

Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν ἐπ' αὐτῷ. Πέποιθεν ἐπὶ τὸν Θεόν, ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γάρ· Ὅτι Θεοῦ εἰμι υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτόν.

Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· Ἠλί, Ἠλί, λιμὰ σαβαχθανί; τοῦτ' ἔστι, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον· Ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον, πλή-

σας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.

Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα ἐφοβήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος.

Ἦσαν δὲ ἐκεῖ καὶ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ. Ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης·

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυρευσάτω μου πᾶσα ἀνομία.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου καὶ δίδαξόν με τὰ δικαιώματά σου.

Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.

Τρισάγιον κ.λ.π. καὶ τὸ κοντάκιον.

Τὸν δι' ἡμᾶς σταυρωθέντα* δεῦτε πάντες ὑμνήσωμεν* αὐτὸν γὰρ κατεῖδε Μαρία* ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν* Εἰ καὶ Σταυρὸν ὑπομένεις,* σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Τὸ Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε,

ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς... καὶ τὴν παροῦσαν εὐχήν.

Χριστέ, τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψώμεθα φῶς τὸ ἀπρόσιτον· καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

ΩΡΑ ΤΡΙΤΗ

Ὁ ἀναγνώστης· Δεῦτε προσκυνήσωμεν... καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ ΛΔ' (34).

Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με· πολέμησον τοὺς πολεμοῦντάς με.

Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου.

Ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με· εἶπον τῇ ψυχῇ μου· Σωτηρία σου ἐγώ εἰμι.

Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου· ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.

Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς.

Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.

Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου.

Ἐλθέτω αὐτῷ παγίς, ἣν οὐ γινώσκει, καὶ ἡ θήρα, ἣν ἔκρυψε συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.

Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ.

Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, τίς ὅμοιός σοι;

Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.

Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με.

Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.

Ὡς πλησίον, ὡς ἀδελφῷ ἡμετέρῳ, οὕτως εὐηρέστουν· ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην.

Καὶ κατ' ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν· συνῆχθησαν ἐπ' ἐμὲ μάστιγες καὶ οὐκ ἔγνων· διεσχίσθησαν καὶ οὐ κατενύγησαν.

Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν.

Κύριε, πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.

Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.

Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς.

Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο.

Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν· εἶπον· Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν!

Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς· Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.

Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου.

Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι.

Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν· Εὖγε, εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴποιεν· Κατεπίομεν αὐτόν.

Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου· ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορῥημονοῦντες ἐπ' ἐμέ.

Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν δικαιοσύνην μου καὶ εἰπάτωσαν διὰ παντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.

Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

ΨΑΛΜΟΣ ΡΗ' (108).

Ὁ Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.

Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ καὶ λόγοις μίσους ἐκύκλωσάν με καὶ ἐπολέμησάν με δωρεάν.

Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην.

Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.

Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.

Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.

Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.

Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ καὶ ἡ γυνὴ αὐτοῦ χήρα.

Σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν· ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.

Ἐξερευνησάτω δανειστὴς πάντα, ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.

Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ.

Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.

Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἐναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.

Γενηθήτωσαν ἐναντίον Κυρίου διὰ παντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος· καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.

Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ· καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.

Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ.

Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διὰ παντὸς περιζώννυται.

Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.

Καὶ σύ, Κύριε, Κύριε, ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου.

Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.

Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες.

Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.

Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· εἶδόσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.

Βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου.

Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σύ, Κύριε, ἐποίησας αὐτήν.

Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.

Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν.

Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν.

Ὅτι παρέστη ἐκ δεξιῶν πένητος τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

ΨΑΛΜΟΣ Ν' (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου (σ. 187).

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεὸς (Τρίς). Κύριε, ἐλέησον γ'.

Δόξα. Ἦχος πλ. β'.

Κύριε,* κατέκρινάν σε Ἰουδαῖοι θανάτῳ,* τὴν ζωὴν τῶν ἁπάντων·* οἱ τὴν Ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες* Σταυρῷ σε προσήλωσαν·* καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες* χολήν σοι προσήνεγκαν·* ἀλλ' ἑκὼν ὑπέμεινας,* ἵνα ἡμᾶς ἐλευθερώσῃς* τῆς δουλείας τοῦ ἐχθροῦ.* Χριστέ, ὁ Θεός, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς.* Σὲ ἱκετεύομεν·* Πρέσβευε, Δέσποινα,* μετὰ τῶν ἀποστόλων* καὶ πάντων τῶν ἁγίων,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Ἦχος πλ. δ'.

Διὰ τὸν φόβον τῶν Ἰουδαίων* ὁ φίλος σου καὶ ὁ πλησίον Πέτρος* ἠρνῆσατό σε, Κύριε,* καὶ ὀδυρόμενος οὕτως ἐβόα·* Τῶν δακρύων μου μὴ παρασιωπήσῃς·* εἶπα γὰρ φυλάξαι* τὴν πίστιν, οἰκτίρμον,* καὶ οὐκ ἐφύλαξα·* καὶ ἡμῶν τὴν μετάνοιαν* οὕτω δέξαι,* καὶ ἐλέησον ἡμᾶς.

Στίχ. Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου.

Πρὸ τοῦ τιμίου σου Σταυροῦ* στρατιωτῶν ἐμπαιζόντων σε, Κύριε,* αἱ νοεραὶ στρατιαὶ κατεπλήττοντο·* ἀνεδήσω γὰρ στέφανον ὕβρεως,* ὁ τὴν γῆν ζωγραφήσας τοῖς ἄνθεσι·* καὶ τὴν χλαῖναν χλευαζόμενος ἐφόρεσας,* ὁ νεφέλαις περιβάλλων τὸ στερέωμα·* τοιαύτῃ γὰρ οἰκονομίᾳ* ἐγνώσθη σου ἡ εὐσπλαγχνία, Χριστέ,* τὸ μέγα ἔλεος· δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Ἑλκόμενος ἐπὶ Σταυροῦ* οὕτως ἐβόας, Κύριε* Διὰ ποῖον ἔργον* θέλετέ με σταυρῶσαι, Ἰουδαῖοι;* ὅτι τοὺς παραλύτους ὑμῶν συνέσφιγξα;* ὅτι τοὺς νεκροὺς* ὡς ἐξ ὕπνου ἀνέστησα;* Αἱμόῤῥουν ἰασάμην,* Χαναναίαν ἠλέησα΄* διὰ ποῖον ἔργον* θέλετέ με φονεῦσαι, Ἰουδαῖοι;* ἀλλ᾽ ὄψεσθε εἰς ὃν νῦν ἐκκεντᾶτε* Χριστόν, παράνομοι.

Ὁ ἀναγνώστης΄

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς λζ΄.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός.

Στίχ. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (ν΄ 4-11).

Κύριος δίδωσί μοι γλῶσσαν παιδείας... (σ. 1181).

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου (ε΄ 6-10).

Ἀδελφοί, ἔτι Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. Πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ σωθησόμεθα δι᾽ αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ιε΄ 16-41).

Τῷ καιρῷ ἐκείνῳ, οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν ἔσω τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγκαλοῦσιν

ὅλην τὴν σπεῖραν καὶ ἐνδύουσιν αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτὸν καὶ λέγειν· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ.

Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια, καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ.

Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμενον Κρανίου τόπος. Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτὸν διαμερίζονται τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτὰ τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· Ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη».

Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Οὐά, ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτὸν καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ Χριστός, ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν.

Γενομένης δὲ ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν, ἕως ὥρας ἐνάτης· καὶ τῇ ὥρᾳ τῇ ἐνάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· Ἐλωΐ, Ἐλωΐ, λιμὰ σαβαχθανί; ὅ ἐστι μεθερμηνευόμενον· Ὁ Θεός μου, ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες; Καί τινες τῶν παρεστηκότων ἀκούσαντες ἔλεγον· Ἴδε Ἠλίαν φωνεῖ. Δραμὼν δὲ εἷς καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ ἐπότιζεν αὐτὸν λέγων· Ἄφετε ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν.

Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην ἐξέπνευσε. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν· Ἀληθῶς ὁ ἄνθρωπος οὗτος Υἱὸς ἦν Θεοῦ.

Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη, αἳ καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης·

Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν.

Τρισάγιον κ.τ.λ. Τὸ κοντάκιον Τὸν δι' ἡμᾶς σταυρωθέντα (σ. 1236). Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ Ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς... Καὶ τὴν εὐχὴν τοῦ ἁγίου Μαρδαρίου.

Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα, μία θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΩΡΑ ΕΚΤΗ

Ὁ ἀναγνώστης· Δεῦτε προσκυνήσωμεν... καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ ΝΓ' (53).

Ὁ Θεός, ἐν τῷ ὀνόματί σου, σῶσόν με... (σ. 191).

ΨΑΛΜΟΣ ΡΛΘ' (139).

Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.

Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.

Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με, οἵτινες ἐλογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου.

Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ σχοινία διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι.

Εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ· ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.

Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.

Μὴ παραδῷς με, Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.

Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.

Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες, ἐν πυρὶ καταβαλεῖς αὐτούς, ἐν ταλαιπωρίαις οὐ μὴ ὑποστῶσιν.

Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς· ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.

Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων.

Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

ΨΑΛΜΟΣ ϟ'(90).

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου... (σ. 193).

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεὸς (Τρίς). Κύριε, ἐλέησον γ'.

Δόξα. Ἦχος β'.

Σωτηρίαν εἰργάσω* ἐν μέσῳ τῆς γῆς,* Χριστὲ ὁ Θεός·* ἐπὶ Σταυροῦ* τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας,* ἐπισυνάγων πάντα τὰ ἔθνη* κράζοντα· Κύριε, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Οτι οὐκ ἔχομεν παῤῥησίαν* διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα,* σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον,* Θεοτόκε Παρθένε·* πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς* πρὸς εὐμένειαν Δεσπότου·* μὴ παρίδῃς* ἁμαρτωλῶν ἱκεσίας, ἡ πάνσεμνος·* ὅτι ἐλεήμων ἐστὶ* καὶ σῴζειν δυνάμενος,* ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Καὶ ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις·* Λαός μου, τί ἐποίησά σοι;* ἢ τί σοι παρηνώχλησα;* Τοὺς τυφλούς σου ἐφώτισα,* τοὺς λεπρούς σου ἐκαθάρισα,* ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην.* Λαός μου, τί ἐποίησά σοι,* καὶ τί μοι ἀνταπέδωκας;* ἀντὶ τοῦ μάννα χολήν,* ἀντὶ τοῦ ὕδατος ὄξος,* ἀντὶ τοῦ ἀγαπᾶν με,* Σταυρῷ με προσηλώσατε.* Οὐκέτι στέγω λοιπόν·* καλέσω μου τὰ ἔθνη,* κἀκεῖνά με δοξάσουσι* σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι,* κἀγὼ αὐτοῖς δωρήσομαι* ζωὴν τὴν αἰώνιον.

Στίχ. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.

Οἱ νομοθέται τοῦ Ἰσραήλ,* Ἰουδαῖοι καὶ φαρισαῖοι,* ὁ χορὸς τῶν ἀποστόλων* βοᾷ πρὸς ὑμᾶς·* Ἴδε ναός,* ὃν ὑμεῖς ἐλύσατε·* ἴδε ἀμνός,* ὃν ὑμεῖς ἐσταυρώσατε·* τάφῳ παρεδώκατε,* ἀλλ' ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη.* Μὴ πλανᾶσθε, Ἰουδαῖοι·* αὐτὸς γάρ ἐστιν* ὁ ἐν θαλάσσῃ σώσας* καὶ

ἐν ἐρήμῳ θρέψας* αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς* καὶ ἡ εἰρήνη τοῦ κόσμου.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Δεῦτε,* χριστοφόροι λαοί, κατίδωμεν* τί συνεβουλεύσατο* Ἰούδας ὁ προδότης* σὺν ἱερεῦσιν ἀνόμοις* κατὰ τοῦ Σωτῆρος ἡμῶν.* Σήμερον ἔνοχον θανάτου* τὸν ἀθάνατον Λόγον πεποίηκαν* καὶ Πιλάτῳ προδώσαντες,* ἐν τόπῳ Κρανίου ἐσταύρωσαν* καὶ ταῦτα πάσχων, ἐβόα* ὁ Σωτὴρ ἡμῶν λέγων* Ἄφες αὐτοῖς, Πάτερ,* τὴν ἁμαρτίαν ταύτην,* ὅπως γνῶσι τὰ ἔθνη* τὴν ἐκ νεκρῶν μου ἀνάστασιν.

Ὁ ἀναγνώστης

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς η΄.

Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ!

Στίχ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (νβ΄ 13 - νδ΄ 1).

Τάδε λέγει Κύριος· Ἰδοὺ συνήσει ὁ παῖς μου καὶ ὑψωθήσεται καὶ δοξασθήσεται καὶ μετεωρισθήσεται σφόδρα. Ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου καὶ ἡ δόξα σου ἀπὸ υἱῶν ἀνθρώπων. Οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι.

Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ. Οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ· ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη.

Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ

ὑπὸ Θεοῦ καὶ ἐν κακώσει. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Παιδεία εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. Καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· καὶ βούλεται Κύριος καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς.

Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον· καὶ βούλεται Κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. Διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ᾽ ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη.

Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (β′ 11-18).

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι... (σ. 787).

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κγ' 32-49).

Τῷ καιρῷ ἐκείνῳ, ἤγοντο σὺν τῷ Ἰησοῦ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον. Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες· Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ καὶ λέγοντες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς· Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων.

Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, τοῦ ἡλίου ἐκλείποντος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε· Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου. Καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν. Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον ἐδόξασε τὸν Θεὸν λέγων· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον. Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης·

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Τρισάγιον κ.τ.λ.. Τὸ κοντάκιον Τὸν δι' ἡμᾶς σταυρωθέντα (σ. 1236). Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς... Καὶ τὴν εὐχὴν τοῦ Μ. Βασιλείου· Θεὲ καὶ Κύριε τῶν δυνάμεων... (σ. 197).

ΩΡΑ ΕΝΑΤΗ

Ὁ ἀναγνώστης· Δεῦτε προσκυνήσωμεν... καὶ τοὺς Ψαλμούς.

ΨΑΛΜΟΣ ΞΗ' (68).

Σῶσόν με, ὁ Θεός, ὅτι εἰσῆλθοσαν ὕδατα... (σ. 76).

ΨΑΛΜΟΣ ΞΘ' (69).

Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες... (σ. 78).

ΨΑΛΜΟΣ ΠΕ' (85).

Κλῖνον, Κύριε, τὸ οὖς σου... (σ. 201).

Δόξα, καὶ νῦν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεὸς (Τρίς). Κύριε, ἐλέησον γ'.

Δόξα. Ἦχος πλ. δ'.

Βλέπων ὁ λῃστὴς* τὸν ἀρχηγὸν τῆς ζωῆς* ἐπὶ Σταυροῦ κρεμάμενον, ἔλεγεν·* Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς* ὁ σὺν ἡμῖν σταυρωθείς,* οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν,* οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο.* Ἀλλ' ὁ πάντων ἀνεχόμενος,* μνήσθητί μου, Κύριε,* ἐν τῇ βασιλείᾳ σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὁδὶ᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου* καὶ σταύρωσιν ὑπομείνας, ἀγαθέ,* ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας* καὶ ἔγερσιν δείξας ὡς Θεός,* μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου·* δεῖξον τὴν φιλανθρωπίαν σου, ἐλεῆμον·* δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον* πρεσβεύουσαν ὑπὲρ ἡμῶν* καὶ σῶσον, Σωτῆρ ἡμῶν,* λαὸν ἀπεγνωσμένον.

Καὶ ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Ἡάμβος ἦν κατιδεῖν* τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν* ἐπὶ Σταυροῦ κρεμάμενον,* ἥλιον σκοτισθέντα,* τὴν ἡμέραν δὲ πάλιν* εἰς νύκτα μετελθοῦσαν* καὶ τὴν γῆν ἐκ τάφων* ἀναπέμπουσαν σώματα νεκρῶν·* μεθ᾽ ὧν προσκυνοῦμέν σε·* σῶσον ἡμᾶς, Κύριε.

Στίχ. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Ἦχος β΄.

Οτε σε Σταυρῷ* προσήλωσαν παράνομοι* τὸν Κύριον τῆς δόξης,* ἐβόας πρὸς αὐτούς·* Τί ὑμᾶς ἐλύπησα;* ἢ ἐν τίνι παρώργισα;* πρὸ ἐμοῦ* τίς ὑμᾶς ἐρρύσατο ἐκ θλίψεως;* καὶ νῦν τί μοι ἀνταποδίδοτε;* πονηρὰ ἀντὶ ἀγαθῶν·* ἀντὶ στύλου πυρὸς* Σταυρῷ με προσηλώσατε·* ἀντὶ νεφέλης* τάφον μοι ὠρύξατε·* ἀντὶ τοῦ μάννα* χολήν μοι προσηνέγκατε·* ἀντὶ τοῦ ὕδατος* ὄξος με ἐποτίσατε.* Λοιπὸν καλῶ τὰ ἔθνη,* κἀκεῖνά με δοξάσουσι* σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.

Ὁ κανονάρχης ἐλθὼν εἰς τὸ μέσον τοῦ ναοῦ ἀπαγγέλλει ἐμμελῶς ἐνώπιον τοῦ Ἐσταυρωμένου τὸ ἀκόλουθον ἰδιόμελον.

Σήμερον κρεμᾶται ἐπὶ ξύλου* ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας. (Τρις)

Στέφανον ἐξ ἀκανθῶν περιτίθεται* ὁ τῶν ἀγγέλων βασιλεύς.

Ψευδῆ πορφύραν περιβάλλεται* ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις.

Ῥάπισμα κατεδέξατο* ὁ ἐν Ἰορδάνῃ* ἐλευθερώσας τὸν Ἀδάμ.

Ἤλοις προσηλώθη* ὁ Νυμφίος τῆς Ἐκκλησίας.
Λόγχῃ ἐκεντήθη* ὁ Υἱὸς τῆς Παρθένου.
Προσκυνοῦμέν σου τὰ πάθη, Χριστέ. (Τρίς).
Δεῖξον ἡμῖν* καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Τὸ αὐτὸ ψάλλεται ὑπὸ τῶν χορῶν κατὰ στίχον.

Εἶτα ὁ ἀναγνώστης·

Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς ιγ΄.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.
Στίχ. Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα.

Κύριε, γνώρισόν μοι, καὶ γνώσομαι... (σ. 1176).

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου (ι΄ 19-31).

Ἀδελφοί, ἔχοντες παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τοῦτ' ἔστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος· καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν. Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναν-

τίους. Ἀθετήσας τις νόμον Μωσέως χωρὶς οἰκτιρμῶν «ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνῄσκει»· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας; Οἴδαμεν γὰρ τὸν εἰπόντα· «Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος»· καὶ πάλιν· «Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ». Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιθ' 23-37).

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ, ἡ λέγουσα· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

Εἱστήκεισαν δὲ παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ· Γύναι, ἴδε ὁ υἱός σου. Εἶτα λέγει τῷ μαθητῇ· Ἰδοὺ ἡ Μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια.

Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει· Διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ πλήσαντες σπόγγον ὄξους καὶ ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε, Τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα.

Οἱ οὖν Ἰουδαῖοι ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ Σαββάτου· ἠρώτησαν τὸν Πιλάτον ἵνα κα-

τεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ἡμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ· «Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ». Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν».

Ὁ χορός· Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι.

Ὁ ἀναγνώστης·

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Τὸ Τρισάγιον κ.τ.λ.. Τὸ κοντάκιον Τὸν δι' ἡμᾶς σταυρωθέντα (σ. 1236). Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ (σ. 183). Κύριε, ἐλέησον γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ.

Ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς... Καὶ τὴν εὐχὴν τοῦ Μεγάλου Βασιλείου· Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας... (σ. 204).

Καὶ ποιεῖ μικρὰν ἀπόλυσιν.

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἐμπτυσμοὺς καὶ μάστιγας καὶ κολαφισμοὺς καὶ σταυρὸν καὶ θάνατον ὑπομείνας διὰ τὴν τοῦ κόσμου σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις...

Δι' εὐχῶν...

Καὶ εὐθὺς ἄρχεται ὁ Ἑσπερινός.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εὐλογήσαντος τοῦ ἱερέως λέγει ὁ ἀναγνώστης τὸν προοιμιακὸν Ψαλμὸν (σ. 210-216) καὶ ὁ διάκονος τὰ εἰρηνικὰ (σ. 216).

Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν τὰ ἰδιόμελα τῶν ἀποστίχων τοῦ Ὄρθρου (σ. 1226) ὡς ἑξῆς.

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε...
Πᾶσα ἡ κτίσις ἠλλοιοῦτο φόβῳ...

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε...
Πᾶσα ἡ κτίσις ἠλλοιοῦτο φόβῳ...

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός...
Λαὸς δυσσεβὴς καὶ παράνομος...

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος...
Σήμερον σὲ θεωροῦσα ἡ ἀμεμπτος Παρθένος...

Στίχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη...
Ἐπὶ ξύλου βλέπουσα κρεμάμενον...

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ...

Βυζαντίου. Ἦχος πλ. β'.

Σήμερον ὁ Δεσπότης τῆς κτίσεως* παρίσταται Πιλάτῳ* καὶ Σταυρῷ παραδίδοται* ὁ κτίστης τῶν ἁπάντων* ὡς ἀμνὸς προσαγόμενος* τῇ ἰδίᾳ βουλήσει* τοῖς ἥλοις προσπήγνυται* καὶ τὴν πλευρὰν κεντᾶται* καὶ τῷ σπόγγῳ προσψαύεται* ὁ μάννα ἐπομβρήσας* τὰς σιαγόνας ῥαπίζεται* ὁ Λυτρωτὴς τοῦ κόσμου* καὶ ὑπὸ τῶν ἰδίων δούλων ἐμπαίζεται* ὁ πλάστης τῶν ἁπάντων.* Ὦ Δεσπότου φιλανθρωπίας!* ὑπὲρ τῶν σταυρούντων παρεκάλει* τὸν ἴδιον Πατέρα λέγων* Ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην* οὐ γὰρ οἴδασιν οἱ ἄνομοι* τί ἀδίκως πράττουσιν.

Δόξα. Θεοφάνους. Ἦχος πλ. β'.

Ὅπως ἡ παράνομος συναγωγὴ* τὸν βασιλέα τῆς κτίσεως* κατεδίκασε θανάτῳ,* μὴ αἰδεσθεῖσα τὰς εὐερ-

γεσίας,* ἃς ἀναμιμνήσκων προησφαλίζετο,* λέγων πρὸς αὐτούς·* Λαός μου,* τί ἐποίησα ὑμῖν;* οὐ θαυμάτων ἐνέπλησα τὴν Ἰουδαίαν;* οὐ νεκροὺς ἐξανέστησα* μόνῳ τῷ λόγῳ;* οὐ πᾶσαν μαλακίαν* ἐθεράπευσα καὶ νόσον;* τί οὖν μοι ἀνταποδίδοτε;* εἰς τί ἀμνημονεῖτέ μου,* ἀντὶ τῶν ἰαμάτων* πληγάς μοι ἐπιθέντες,* ἀντὶ ζωῆς νεκροῦντες,* κρεμῶντες ἐπὶ ξύλου* ὡς κακοῦργον τὸν εὐεργέτην,* ὡς παράνομον τὸν νομοδότην,* ὡς κατάκριτον τὸν πάντων βασιλέα;* Μακρόθυμε Κύριε, δόξα σοι.

Καὶ νῦν. Σεργίου Λογοθέτου. Ἦχος ὁ αὐτός.

Φοβερὸν καὶ παράδοξον μυστήριον* σήμερον ἐνεργούμενον καθορᾶται·* ὁ ἀναφὴς κρατεῖται·* δεσμεῖται ὁ λύων* τὸν Ἀδὰμ τῆς κατάρας·* ὁ ἐτάζων καρδίας καὶ νεφροὺς* ἀδίκως ἐτάζεται·* εἱρκτῇ κατακλείεται* ὁ τὴν ἄβυσσον κλείσας·* Πιλάτῳ παρίσταται,* ᾧ τρόμῳ παρίστανται* οὐρανῶν αἱ δυνάμεις·* ῥαπίζεται χειρὶ* τοῦ πλάσματος ὁ πλάστης·* ξύλῳ κατακρίνεται* ὁ κρίνων ζῶντας καὶ νεκρούς·* τάφῳ παραδίδοται* ὁ καθαιρέτης τοῦ ᾅδου.* Ὁ πάντα φέρων συμπαθῶς* καὶ πάντας σώσας τῆς ἀρᾶς,* ἀνεξίκακε Κύριε, δόξα σοι.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν.

Ὁ διάκονος· Ἑσπέρας προκείμενον.

Προκείμενον. Ἦχος δ΄. Ψαλμὸς κα΄.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Στίχ. Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;

Ὁ ἀναγνώστης·

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (λγ΄ 11-23).

Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον· καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν· ὁ δὲ θεράπων Ἰησοῦς υἱὸς Ναυῆ νέος οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς.

Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον· Ἰδοὺ σύ μοι λέγεις· Ἀνάγαγε τὸν λαὸν τοῦτον· σὺ δὲ οὐκ ἐδήλωσάς μοι, ὃν συναποστελεῖς μετ' ἐμοῦ. Σὺ δέ μοι εἶπας· Οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ' ἐμοί. Εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν, ἵνα γνωστῶς ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐνώπιόν σου, καὶ ἵνα γνῶ, ὅτι λαός σου τὸ ἔθνος τὸ μέγα τοῦτο. Καὶ λέγει· Αὐτὸς προπορεύσομαί σου καὶ καταπαύσω σε.

Καὶ εἶπε πρὸς αὐτόν· Εἰ μὴ σὺ αὐτὸς συμπορεύσῃ μεθ' ἡμῶν, μή με ἀναγάγῃς ἐντεῦθεν. Καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς, ὅτι εὕρηκα χάριν παρὰ σοὶ ἐγώ τε καὶ ὁ λαός σου, ἀλλ' ἢ συμπορευομένου σου μεθ' ἡμῶν; καὶ ἐνδοξασθήσομαι ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς ἐστιν.

Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· Καὶ τοῦτόν σοι τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιον ἐμοῦ, καὶ οἶδά σε παρὰ πάντας. Καὶ λέγει Μωϋσῆς· Δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν. Καὶ εἶπεν· Ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου καὶ καλέσω τῷ ὀνόματί μου· Κύριος ἐναντίον σου· καὶ ἐλεήσω, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω. Καὶ εἶπεν· Οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται. Καὶ εἶπε Κύριος· Ἰδοὺ τόπος παρ' ἐμοί, καὶ στῆθι ἐπὶ τῆς πέτρας· ἡνίκα δ' ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας καὶ σκεπάσω τῇ χειρί μου ἐπὶ σέ, ἕως ἂν παρέλθω· καὶ ἀφελῶ τὴν χεῖρά μου, καὶ τότε ὄψει τὰ ὀπίσω μου· τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς λδ'.

Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με.

Στίχ. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.

Ἰὼβ τὸ ἀνάγνωσμα (μβ΄ 12-17).

Εὐλόγησε Κύριος τὰ ἔσχατα τοῦ Ἰὼβ μᾶλλον ἢ τὰ ἔμπροσθεν· ἦν δὲ τὰ κτήνη αὐτοῦ πρόβατα μύρια τετρακισχίλια, κάμηλοι ἑξακισχίλιαι, ζεύγη βοῶν χίλια, ὄνοι θήλειαι νομάδες χίλιαι. Γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς· καὶ ἐκάλεσε τὴν μὲν πρώτην Ἡμέραν, τὴν δὲ δευτέραν Κασσίαν, τὴν δὲ τρίτην Ἀμαλθαίας κέρας. Καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελτίους αὐτῶν ἐν τῇ ὑπ᾽ οὐρανόν· ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς.

Ἔζησε δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα· τὰ δὲ πάντα ἔτη ἔζησε διακόσια τεσσαράκοντα. Καὶ εἶδεν Ἰὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν· καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος καὶ πλήρης ἡμερῶν. Γέγραπται δὲ αὐτὸν πάλιν ἀναστῆσεσθαι μεθ᾽ ὧν ὁ Κύριος ἀνίστησιν.

Οὗτος ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας· προϋπῆρχε δὲ αὐτῷ ὄνομα Ἰωβάβ· λαβὼν δὲ γυναῖκα Ἀράβισσαν γεννᾷ υἱόν, ᾧ ὄνομα Ἐννών. Ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρὲ ἐκ τῶν Ἡσαῦ υἱῶν υἱός, μητρὸς δὲ Βοσόρρας, ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Ἰδοὺ συνήσει ὁ παῖς μου... (σ. 1247).

Προκείμενον. Ἦχος πλ. β΄. (Ψαλμὸς πζ΄).

Ἐθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

Στίχ. Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου (α' 18 - β' 2).

Ἀδελφοί, ὁ λόγος ὁ τοῦ Σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σῳζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. Γέγραπται γάρ· «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω». Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν· ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί.

Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τὰ ἰσχυρά, καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ, ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, ἵνα, καθὼς γέγραπται, «ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω». Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον.

(Ματθ. κζ΄ 1-38. Λουκ. κγ΄ 39-43. Ματθ. κζ΄ 39-54. Ἰωάν. ιθ΄ 31-37. Ματθ. κζ΄ 55-61).

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις λέγων· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· Τί πρὸς ἡμᾶς; Σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο.

Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον· Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις· διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον. Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος».

Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν, Βαραββᾶν ἢ Ἰησοῦν, τὸν λεγόμενον Χριστόν; Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.

Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα· Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.

Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαρραβᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον· Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· Σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν ἔφη· Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· Σταυρωθήτω.

Ἰδὼν δὲ ὁ Πιλάτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ.

Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν· καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.

Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ.

Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅς ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βαλόντες κλῆρον, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου· «Διεμερί-

σαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων.

Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν! σῶσον σεαυτόν· εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν ἐπ' αὐτῷ· πέποιθεν ἐπὶ τὸν Θεόν, ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γὰρ ὅτι Θεοῦ εἰμι Υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτόν.

Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· Ἠλὶ Ἠλί, λιμὰ σαβαχθανί; τοῦτ' ἔστι, Θεέ μου Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.

Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα

τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα ἐφοβήθησαν σφόδρα λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος.

Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ Σαββάτου· ἠρώτησαν τὸν Πιλάτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ· «Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ». Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν».

Ἦσαν δὲ ἐκεῖ καὶ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.

Ὀψίας δὲ γενομένης(*) ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ. Οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλάτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα. Καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμη-

(*) Εἰς τὸ σημεῖον τοῦτο ἐξέρχεται εἰς ἱερεὺς καὶ ποιεῖ τὴν ἀποκαθήλωσιν τοῦ Ἐσταυρωμένου, τὸν ὁποῖον καλύπτει διὰ σινδόνος καὶ εἰσάγει εἰς τὸ ἅγιον βῆμα.

σεν ἐν τῇ πέτρᾳ, καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ διάκονος τὴν ἐκτενῆ. Ὁ ἀναγνώστης τὸ Καταξίωσον, Κύριε. Ὁ διάκονος τὰ Πληρωτικὰ καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 229-231).

Μετὰ δὲ τὴν ἐκφώνησιν γίνεται ἡ ἔξοδος τοῦ Ἐπιταφίου ἐκ τοῦ ἱεροῦ βήματος καὶ ἡ ἀπόθεσις αὐτοῦ εἰς τὸ ἐν τῷ μέσῳ τοῦ ναοῦ προηυτρεπισμένον κουβούκλιον, ψαλλομένων τῶν ἀποστίχων.

Ἦχος β΄. Αὐτόμελον.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν* ὁ Ἀριμαθαῖος καθεῖλε,* τὴν τῶν ἁπάντων ζωήν,* σμύρνῃ καὶ σινδόνι σε,* Χριστέ, ἐκήδευσε·* καὶ τῷ πόθῳ ἠπείγετο* καρδίᾳ καὶ χείλει* σῶμα τὸ ἀκήρατον* σοῦ περιπτύξασθαι·* ὅμως συστελλόμενος φόβῳ,* χαίρων ἀνεβόα σοι· Δόξα* τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Ὅτε ἐν τῷ τάφῳ τῷ καινῷ* ὑπὲρ τοῦ παντὸς κατετέθης,* ὁ Λυτρωτὴς τοῦ παντός,* ᾅδης ὁ παγγέλαστος* ἰδών σε ἔπτηξεν,* οἱ μοχλοὶ συνετρίβησαν,* ἐθλάσθησαν πύλαι,* μνήματα ἠνοίχθησαν,* νεκροὶ ἀνίσταντο·* τότε ὁ Ἀδὰμ εὐχαρίστως* χαίρων ἀνεβόα σοι· Δόξα* τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Στίχ. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ὅτε ἐν τῷ τάφῳ σαρκικῶς* θέλων συνεκλείσθης ὁ φύσει* τῇ τῆς Θεότητος* μένων ἀπερίγραπτος* καὶ ἀδιόριστος,* τὰ θανάτου ἀπέκλεισας* ταμεῖα καὶ ᾅδου* ἅπαντα ἐκένωσας,* Χριστέ, βασίλεια·* τότε καὶ τὸ Σάββατον τοῦ-

το* θείας εὐλογίας καὶ δόξης* καὶ τῆς σῆς λαμπρότητος ἠξίωσας.

Στίχ. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Οτε αἱ δυνάμεις σε, Χριστέ,* πλάνον ὑπ᾽ ἀνόμων ἐώρων* συκοφαντούμενον,* ἔφριττον τὴν ἄφατον* μακροθυμίαν σου,* καὶ τὸν λίθον τοῦ μνήματος* χερσὶ σφραγισθέντα,* αἷς σου τὴν ἀκήρατον* πλευρὰν ἐλόγχευσαν·* ὅμως τῇ ἡμῶν σωτηρίᾳ* χαίρουσαι ἐβόων σοι· Δόξα* τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Σὲ τὸν ἀναβαλλόμενον* τὸ φῶς, ὥσπερ ἱμάτιον* καθελὼν Ἰωσὴφ* ἀπὸ τοῦ ξύλου σὺν Νικοδήμῳ* καὶ θεωρήσας νεκρόν, γυμνόν, ἄταφον,* εὐσυμπάθητον θρῆνον ἀναλαβὼν* ὀδυρόμενος ἔλεγεν·* Οἴμοι, γλυκύτατε Ἰησοῦ!* ὃν πρὸ μικροῦ ὁ ἥλιος* ἐν Σταυρῷ κρεμάμενον θεασάμενος,* ζόφον περιεβάλλετο* καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο* καὶ διερρήγνυτο ναοῦ τὸ καταπέτασμα·* ἀλλ᾽ ἰδοὺ νῦν βλέπω σε* δι᾽ ἐμὲ ἑκουσίως* ὑπελθόντα θάνατον.* Πῶς σε κηδεύσω, Θεέ μου;* ἢ πῶς σινδόσιν εἰλήσω;* ποίαις χερσὶ δὲ προσψαύσω* τὸ σὸν ἀκήρατον σῶμα;* ἢ ποῖα ᾄσματα μέλψω* τῇ σῇ ἐξόδῳ, οἰκτίρμον;* Μεγαλύνω τὰ πάθη σου,* ὑμνολογῶ καὶ τὴν ταφήν σου* σὺν τῇ ἀναστάσει, κραυγάζων·* Κύριε, δόξα σοι.

Ὁ ἱερεὺς τὸ Νῦν ἀπολύεις (σ. 235). Ὁ ἀναγνώστης τὸ Τρισάγιον κ.τ.λ.. Καὶ ψάλλομεν τὰ παρόντα ἀπολυτίκια.

Αὐτόμελον. Ἦχος β΄.

Ο εὐσχήμων Ἰωσὴφ* ἀπὸ τοῦ ξύλου καθελὼν* τὸ ἄχραντόν σου σῶμα,* σινδόνι καθαρᾷ* εἱλήσας καὶ ἀρώμασιν,* ἐν μνήματι καινῷ* κηδεύσας ἀπέθετο.

Ταῖς μυροφόροις γυναιξὶ* παρὰ τὸ μνῆμα ἐπιστὰς* ὁ ἄγγελος ἐβόα·* Τὰ μύρα τοῖς θνητοῖς* ὑπάρχει ἁρμόδια,* Χριστὸς δὲ διαφθορᾶς* ἐδείχθη ἀλλότριος.

Ὁ διάκονος· Σοφία. Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός... Στερεώσαι Κύριος ὁ Θεός... κ.τ.λ.

Καὶ ποιεῖ τὴν ἀπόλυσιν οὕτω·

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ πάθη καὶ τὸν ζωοποιὸν Σταυρὸν καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις...

Δι' εὐχῶν...

ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ(*)

(Ὄρθρος τῶν ἑορτῶν, σ. 83-137).

Εὐλογήσαντος τοῦ ἱερέως λέγει ὁ ἀναγνώστης τὸ Τρισάγιον καὶ τὰ τροπάρια Σῶσον, Κύριε, τὸν λαόν σου, κ.τ.λ.. Ὁ ἱερεὺς τὴν δέησιν καὶ ὁ ἀναγνώστης τὸν ἑξάψαλμον· εἶτα ὁ διάκονος τὰ εἰρηνικὰ (σ. 83-99).

Ἀκολούθως ψάλλεται τὸ Θεὸς Κύριος (σ. 99) καὶ τὰ τροπάρια.

Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσήφ... (σ. 1265).

Δόξα.

Οτε κατῆλθες πρὸς τὸν θάνατον,* ἡ ζωὴ ἡ ἀθάνατος,* τότε τὸν ᾅδην ἐνέκρωσας* τῇ ἀστραπῇ τῆς Θεότητος·* ὅτε δὲ καὶ τοὺς τεθνεῶτας* ἐκ τῶν καταχθονίων ἀνέστησας,* πᾶσαι αἱ δυνάμεις* τῶν ἐπουρανίων ἐκραύγαζον·* Ζωοδότα Χριστέ,* ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Καὶ νῦν.

Ταῖς μυροφόροις γυναιξί... (σ. 1265).

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος. Καὶ ψάλλονται τὰ παρόντα καθίσματα.

Ἦχος α'. (Τὸν τάφον σου, Σωτήρ).

Σινδόνι καθαρᾷ* καὶ ἀρώμασι θείοις* τὸ σῶμα τὸ σεπτὸν* ἐξαιτήσας Πιλᾶτῳ,* μυρίζει καὶ τίθησιν* Ἰωσὴφ καινῷ μνήματι·* ὅθεν ὄρθριαι* αἱ μυροφόροι γυναῖκες*

(*) Τελεῖται συνήθως τὴν ἑσπέραν τῆς Μ. Παρασκευῆς· ἐνιαχοῦ ὅμως τελεῖται κατὰ τὴν ἀρχαίαν συνήθειαν τὰς πρωϊνὰς ὥρας τοῦ Μ. Σαββάτου, ἐν συνεχείᾳ δὲ τελεῖται καὶ ὁ Ἑσπερινὸς μετὰ τῆς Θ. Λειτουργίας.

ἀνεβόησαν·* Δεῖξον ἡμῖν, ὡς προεῖπας,* Χριστέ, τὴν ἀνάστασιν.

Δόξα.

Δεῖξον ἡμῖν, ὡς προεῖπας,* Χριστέ, τὴν ἀνάστασιν.

Καὶ νῦν. Ἕτερον. Ὅμοιον.

Ἐξέστησαν χοροὶ* τῶν ἀγγέλων, ὁρῶντες* τὸν ἐν τοῖς τοῦ Πατρὸς* καθεζόμενον κόλποις,* πῶς τάφῳ κατατίθεται* ὡς νεκρὸς ὁ ἀθάνατος·* ὃν τὰ τάγματα* τὰ τῶν ἀγγέλων κυκλοῦσι* καὶ δοξάζουσι* σὺν τοῖς νεκροῖς ἐν τῷ ᾅδῃ,* ὡς κτίστην καὶ Κύριον.

Ὁ ἀναγνώστης τὸν Ν' Ψαλμὸν (σ. 103).

Καὶ ψάλλομεν τὸν παρόντα κανόνα, οὗ ἡ ἀκροστιχὶς ἐκτὸς τῶν εἱρμῶν τῶν τεσσάρων πρώτων ᾠδῶν·

Καὶ σήμερον δὲ Σάββατον μέλπω μέγα.

Ποίημα Κασσιανῆς μοναχῆς, Μάρκου ἐπισκόπου Ἰδρούντος καὶ Κοσμᾶ μοναχοῦ.(*)

Ὠδὴ α'. Ὁ εἱρμός.(**)

Κύματι θαλάσσης* τὸν κρύψαντα πάλαι* διώκτην τύραννον* ὑπὸ γῆς ἔκρυψαν* τῶν σεσωσμένων οἱ παῖδες·* ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες* τῷ Κυρίῳ ᾄσωμεν·* Ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια.

Κύριε Θεέ μου,* ἐξόδιον ὕμνον* καὶ ἐπιτάφιον* ᾠδήν σοι ᾄσομαι,* τῷ τῇ ταφῇ σου ζωῆς μοι* τὰς εἰσόδους διανοίξαντι* καὶ θανάτῳ θάνατον* καὶ ᾅδην θανατώσαντι.

Ἄνω σε ἐν θρόνῳ* καὶ κάτω ἐν τάφῳ* τὰ ὑπερκόσμια* καὶ ὑποχθόνια* κατανοοῦντα, Σωτήρ μου,* ἐδονεῖτο

(*) Οἱ εἱρμοὶ τῶν ᾠδῶν α'-ε' εἶναι ποίημα τῆς Κασσιανῆς, τὰ δὲ τροπάρια αὐτῶν ποίημα τοῦ Μάρκου. Αἱ λοιπαὶ ᾠδαὶ (στ'-θ'), αἱ ὁποῖαι ἀποτελοῦν τὸν ἀρχικὸν κανόνα, εἶναι ποίημα τοῦ Κοσμᾶ.

(**) Βλ. σημ. σ. 1103.

τῇ νεκρώσει σου'* ὑπὲρ νοῦν ὡράθης γὰρ* νεκρὸς ζωαρχικώτατος.

Ἵνα σου τῆς δόξης* τὰ πάντα πληρώσῃς,* καταπεφοίτηκας* ἐν κατωτάτοις τῆς γῆς'* ἀπὸ γάρ σου οὐκ ἐκρύβη* ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδάμ'* καὶ ταφεὶς φθαρέντα με* καινοποιεῖς, φιλάνθρωπε.

Καταβασία. Κύματι θαλάσσης.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Σὲ τὸν ἐπὶ ὑδάτων* κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως* ἡ κτίσις κατιδοῦσα* ἐν τῷ Κρανίῳ κρεμάμενον,* θάμβει πολλῷ συνείχετο,* Οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε, κραυγάζουσα.

Τροπάρια.

Σύμβολα τῆς ταφῆς σου* παρέδειξας, τὰς ὁράσεις πληθύνας'* νῦν δὲ τὰ κρύφιά σου* θεανδρικῶς διετράνωσας* καὶ τοῖς ἐν ᾅδῃ, Δέσποτα,* Οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε, κραυγάζουσιν.

Ἥπλωσας τὰς παλάμας* καὶ ἥνωσας τὰ τὸ πρὶν διεστῶτα'* καταστολῇ δέ, Σῶτερ,* τῇ ἐν σινδόνι καὶ μνήματι,* πεπεδημένους ἔλυσας,* Οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε, κραυγάζοντας.

Μνήματι καὶ σφραγῖσιν,* ἀχώρητε, συνεσχέθης βουλήσει'* καὶ γὰρ τὴν δύναμίν σου* ταῖς ἐνεργείαις ἐγνώρισας* θεουργικῶς τοῖς μέλπουσιν'* Οὐκ ἔστιν ἅγιος* πλὴν σου, Κύριε φιλάνθρωπε.

Καταβασία. Σὲ τὸν ἐπὶ ὑδάτων.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

Κάθισμα αὐτόμελον. Ἦχος α'.

Τὸν τάφον σου, Σωτήρ,* στρατιῶται τηροῦντες,* νεκροὶ τῇ ἀστραπῇ* τοῦ ὀφθέντος ἀγγέλου* ἐγένοντο, κηρύττοντος* γυναιξὶ τὴν ἀνάστασιν.* Σὲ δοξάζομεν,* τὸν

τῆς φθορᾶς καθαιρέτην·* σοὶ προσπίπτομεν* τῷ ἀναστάντι ἐκ τάφου* καὶ μόνῳ Θεῷ ἡμῶν.

Ὠδὴ δ'. Ὁ εἱρμός.

Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν* προορῶν Ἀββακούμ,* ἐξεστηκὼς ἐβόα·* Σὺ δυναστῶν διέκοψας* κράτος, ἀγαθέ,* ὁμιλῶν τοῖς ἐν ᾅδῃ,* ὡς παντοδύναμος.

Τροπάρια.

Ἑβδόμην σήμερον ἡγίασας,* ἣν εὐλόγησας πρὶν* καταπαύσει τῶν ἔργων·* παράγεις γὰρ τὰ σύμπαντα* καὶ καινοποιεῖς* σαββατίζων, Σωτήρ μου,* καὶ ἀνακτώμενος.

Ρωμαλεότητι τοῦ κρείττονος* ἐκνικήσαντός σου,* τῆς σαρκὸς ἡ ψυχή σου* διῄρηται· σπαράττουσιν* ἅμφω γὰρ δεσμοὺς* τοῦ θανάτου καὶ ᾅδου,* Λόγε, τῷ κράτει σου.

Ὁ ᾅδης, Λόγε, συναντήσας σοι* ἐπικράνθη, βροτὸν* ὁρῶν τεθεωμένον,* κατάστικτον τοῖς μώλωψι* καὶ πανσθενουργόν,* τῷ φρικτῷ τῆς μορφῆς δὲ* διαπεφώνηκεν.

Καταβασία. Τὴν ἐν Σταυρῷ.

Ὠδὴ ε'. Ὁ εἱρμός.

Θεοφανείας σου, Χριστέ,* τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης* Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον,* ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν·* Ἀναστῆσονται οἱ νεκροὶ* καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις* καὶ πάντες οἱ ἐν τῇ γῇ* ἀγαλλιάσονται.

Τροπάρια.

Νεοποιεῖς τοὺς γηγενεῖς,* ὁ πλαστουργός, χοϊκὸς χρηματίσας,* καὶ σινδὼν καὶ τάφος ὑπεμφαίνουσι* τὸ συνόν σοι, Λόγε, μυστήριον·* ὁ εὐσχήμων γὰρ βουλευτὴς* τὴν τοῦ σε φύσαντος βουλὴν σχηματίζει,* ἐν σοὶ μεγαλοπρεπῶς* καινοποιοῦντός με.

Διὰ θανάτου τὸ θνητόν,* διὰ ταφῆς τὸ φθαρτὸν μεταβάλλεις·* ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα,* ἀπαθανατίζων τὸ πρόσλημμα·* ἡ γὰρ σάρξ σου διαφθορὰν* οὐκ εἶ-

δε, Δέσποτα, οὐδὲ ἡ ψυχή σου* εἰς ᾅδου ξενοπρεπῶς* ἐγκαταλέλειπται.

Ἐξ ἀλοχεύτου προελθών,* καὶ λογχευθεὶς τὴν πλευράν, πλαστουργέ μου,* ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν* τὴν τῆς Εὔας, Ἀδὰμ γενόμενος,* ἀφυπνώσας ὑπερφυῶς* ὕπνον φυσίζωον καὶ ζωὴν ἐγείρας* ἐξ ὕπνου καὶ τῆς φθορᾶς* ὡς παντοδύναμος.

Καταβασία. Θεοφανείας σου, Χριστέ.

Ὠδὴ ς'. Ὁ εἱρμός.

Συνεσχέθη,* ἀλλ' οὐ κατεσχέθη* στέρνοις κητῴοις Ἰωνᾶς* σοῦ γὰρ τὸν τύπον φέρων,* τοῦ παθόντος καὶ ταφῆ δοθέντος,* ὡς ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε,* προσεφώνει δὲ τῇ κουστωδίᾳ* Οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ,* ἔλεον αὐτοῖς ἐγκατελίπετε.

Τροπάρια.

Ἀνῃρέθης,* ἀλλ' οὐ διῃρέθης,* Λόγε, ἧς μετέσχες σαρκός* εἰ γὰρ καὶ λέλυταί σου* ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους,* ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόστασις* τῆς Θεότητος καὶ τῆς σαρκός σου* ἐν ἀμφοτέροις γὰρ εἷς ὑπάρχεις Υἱός,* Λόγος τοῦ Θεοῦ, Θεὸς καὶ ἄνθρωπος.

Βροτοκτόνον,* ἀλλ' οὐ θεοκτόνον* ἔφυ τὸ πταῖσμα τοῦ Ἀδάμ* εἰ γὰρ καὶ πέπονθέ σου* τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία,* ἀλλ' ἡ θεότης ἀπαθῆς διέμεινε* τὸ φθαρτὸν δέ σου πρὸς ἀφθαρσίαν* μετεστοιχείωσας καὶ ἀφθάρτου ζωῆς* ἔδειξας πηγὴν ἐξ ἀναστάσεως.

Βασιλεύει,* ἀλλ' οὐκ αἰωνίζει* ᾅδης τοῦ γένους τῶν βροτῶν* σὺ γὰρ τεθεὶς ἐν τάφῳ,* κραταιέ, ζωαρχικῇ παλάμῃ* τὰ τοῦ θανάτου κλεῖθρα διεσπάραξας* καὶ ἐκήρυξας τοῖς ἀπ' αἰῶνος* ἐκεῖ καθεύδουσι λύτρωσιν ἀψευδῆ,* Σῶτερ, γεγονὼς νεκρῶν πρωτότοκος.

Καταβασία. Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

Ὁ ἀναγνώστης τὸ κοντάκιον.

Ποίημα Ρωμανοῦ τοῦ μελῳδοῦ.

Ἦχος β΄. (Χειρόγραφον εἰκόνα).

Τὴν ἄβυσσον ὁ κλείσας* νεκρὸς ὁρᾶται* καὶ σμύρνῃ καὶ σινδόνι* ἐνειλημμένος* ἐν μνημείῳ κατατίθεται,* ὡς θνητὸς ὁ ἀθάνατος.* Γυναῖκες δὲ αὐτὸν* ἦλθον μυρίσαι, κλαίουσαι* πικρῶς καὶ ἐκβοῶσαι* Τοῦτο Σάββατόν ἐστι* τὸ ὑπερευλογημένον,* ἐν ᾧ Χριστὸς ἀφυπνώσας* ἀναστήσεται τριήμερος.

Ὁ οἶκος. (Τάχυνον ὁ οἰκτίρμων).

Ὁ συνέχων τὰ πάντα* ἐπὶ σταυροῦ ἀνυψώθη* καὶ θρηνεῖ πᾶσα ἡ κτίσις,* τοῦτον βλέπουσα κρεμάμενον* γυμνὸν ἐπὶ τοῦ ξύλου* ὁ ἥλιος τὰς ἀκτῖνας* ἀπέκρυψε, καὶ τὸ φέγγος* οἱ ἀστέρες ἀπεβάλοντο,* ἡ γῆ δὲ σὺν πολλῷ* τῷ φόβῳ συνεκλονεῖτο,* ἡ θάλασσα ἔφυγε* καὶ αἱ πέτραι διερρήγνυντο* μνημεῖα δὲ πολλὰ ἠνεῴχθησαν* καὶ σώματα ἠγέρθησαν* ἁγίων ἀνδρῶν* ᾅδης κάτω στενάζει,* καὶ Ἰουδαῖοι σκέπτονται* συκοφαντῆσαι Χριστοῦ τὴν ἀνάστασιν* τὰ δὲ γύναια κράζουσι* Τοῦτο Σάββατόν ἐστι* τὸ ὑπερευλογημένον,* ἐν ᾧ Χριστὸς ἀφυπνώσας* ἀναστήσεται τριήμερος.

Τὸ Συναξάριον τοῦ Μηναίου καὶ τὸ παρόν.

Τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ, τὴν θεόσωμον ταφὴν καὶ τὴν εἰς ᾅδου κάθοδον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑορτάζομεν, δι' ὧν τῆς φθορᾶς τὸ ἡμέτερον γένος ἀνακληθὲν πρὸς αἰωνίαν ζωὴν μεταβέβηκε.

Στίχοι.

Μάτην φυλάττεις τὸν τάφον, κουστωδία·
οὐ γὰρ καθέξει τύμβος αὐτοζωΐαν.

Τῇ ἀνεκφράστῳ σου συγκαταβάσει, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ εἱρμός.

Ἄφραστον θαῦμα!* ὁ ἐν καμίνῳ ῥυσάμενος* τοὺς ὁσίους παῖδας ἐκ φλογὸς* ἐν τάφῳ νεκρὸς* ἄπνους κατατίθεται* εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·* Λυτρωτά,* ὁ Θεὸς εὐλογητὸς εἶ.

Τροπάρια.

Τέτρωται ᾅδης* ἐν τῇ καρδίᾳ, δεξάμενος* τὸν τρωθέντα λόγχῃ τὴν πλευράν,* καὶ στένει πυρὶ* θείῳ δαπανώμενος,* εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·* Λυτρωτά,* ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὁλβιος τάφος!* ἐν ἑαυτῷ γὰρ δεξάμενος* ὡς ὑπνοῦντα τὸν δημιουργόν,* ζωῆς θησαυρὸς* θεῖος ἀναδέδεικται,* εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·* Λυτρωτά,* ὁ Θεὸς εὐλογητὸς εἶ.

Νόμῳ θανόντων* τὴν ἐν τῷ τάφῳ κατάθεσιν* ἡ τῶν ὅλων δέχεται ζωὴ* καὶ τοῦτον πηγὴν* δείκνυσιν ἐγέρσεως* εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·* Λυτρωτά,* ὁ Θεὸς εὐλογητὸς εἶ.

Μία ὑπῆρχεν* ἡ ἐν τῷ ᾅδῃ ἀχώριστος* καὶ ἐν τάφῳ καὶ ἐν τῇ Ἐδὲμ* Θεότης Χριστοῦ* σὺν Πατρὶ καὶ Πνεύματι* εἰς σωτηρίαν* ἡμῶν τῶν μελῳδούντων·* Λυτρωτά,* ὁ Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. Ἄφραστον θαῦμα.

Ὠδὴ η'. Ὁ εἱρμός.

Ἐκστηθι φρίττων, οὐρανέ,* καὶ σαλευθήτωσαν* τὰ θεμέλια τῆς γῆς·* ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται* ὁ ἐν ὑψίστοις οἰκῶν* καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται·* ὅν, παῖδες, εὐλογεῖτε,* ἱερεῖς, ἀνυμνεῖτε,* λαός, ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Λέλυται ἄχραντος ναός,* τὴν πεπτωκυῖαν δὲ* συνανίστησι σκηνήν·* Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος,* ὁ ἐν

ὑψίστοις οἰκῶν,* κατῆλθε μέχρις ᾅδου ταμείων·* ὅν, παῖδες, εὐλογεῖτε,* ἱερεῖς, ἀνυμνεῖτε,* λαός, ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται τόλμα μαθητῶν,* Ἀριμαθαῖος δὲ* ἀριστεύει Ἰωσήφ·* νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενος* τὸν ἐπὶ πάντων Θεόν,* αἰτεῖται καὶ κηδεύει κραυγάζων·* Οἱ παῖδες, εὐλογεῖτε,* ἱερεῖς, ἀνυμνεῖτε,* λαός, ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ὢ τῶν θαυμάτων τῶν καινῶν!* ὦ ἀγαθότητος!* ὦ ἀφράστου ἀνοχῆς!* ἑκὼν γὰρ* ὑπὸ γῆς σφραγίζεται* ὁ ἐν ὑψίστοις οἰκῶν,* καὶ πλάνος Θεὸς συκοφαντεῖται* ὅν, παῖδες, εὐλογεῖτε,* ἱερεῖς, ἀνυμνεῖτε,* λαός, ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Ἔκστηθι φρίττων, οὐρανέ.

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Μὴ ἐποδύρου μου, Μῆτερ,* καθορῶσα ἐν τάφῳ,* ὃν ἐν γαστρὶ* ἄνευ σπορᾶς συνέλαβες Υἱόν·* ἀναστήσομαι γὰρ* καὶ δοξασθήσομαι,* καὶ ὑψώσω ἐν δόξῃ* ἀπαύστως ὡς Θεὸς* τοὺς ἐν πίστει καὶ πόθῳ* σὲ μεγαλύνοντας.

Τροπάρια.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ* τὰς ὠδῖνας φυγοῦσα,* ὑπερφυῶς* ἐμακαρίσθην, ἄναρχε Υἱέ·* νῦν δέ σε, Θεέ μου,* ἅπνουν ὁρῶσα νεκρόν,* τῇ ῥομφαίᾳ τῆς λύπης* σπαράττομαι δεινῶς·* ἀλλ' ἀνάστηθι, ὅπως* μεγαλυνθήσομαι.

Γῆ με καλύπτει ἑκόντα,* ἀλλὰ φρίττουσιν ᾅδου* οἱ πυλωροί,* ἡμφιεσμένον βλέποντες στολὴν* ἡμαγμένην Μῆτερ,* τῆς ἐκδικήσεως·* τοὺς ἐχθροὺς ἐν Σταυρῷ γὰρ* πατάξας ὡς Θεός,* ἀναστήσομαι αὖθις* καὶ μεγαλύνω σε.

Ἀγαλλιάσθω ἡ κτίσις·* εὐφραινέσθωσαν πάντες* οἱ γηγενεῖς·* ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης·* μετὰ μύρων

γυναῖκες* προσυπαντάτωσαν'* τὸν 'Αδάμ σὺν τῇ Εὔᾳ* λυτροῦμαι παγγενῆ* καὶ τῇ τρίτῃ ἡμέρᾳ* ἐξαναστήσομαι.

Καταβασία. Μὴ ἐποδύρου μου, Μῆτερ.

Μετὰ δὲ τὴν θ' ᾠδήν, ἐξερχομένων τῶν ἱερέων καὶ ἱσταμένων πρὸ τοῦ 'Επιταφίου ψάλλονται τὰ 'Εγκώμια εἰς τρεῖς στάσεις.

ΤΑ ΕΓΚΩΜΙΑ(*)

ΣΤΑΣΙΣ ΠΡΩΤΗ

'Ηχος πλ. α'.

Ζωὴ ἐν τάφῳ* κατετέθης, Χριστέ,* καὶ ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο,* συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Ζωὴ πῶς θνῄσκεις;* πῶς καὶ τάφῳ οἰκεῖς;* τοῦ θανάτου τὸ βασίλειον λύεις δὲ* καὶ τοῦ ᾅδου τοὺς νεκροὺς ἐξανιστᾷς.

Μεγαλύνομέν σε,* 'Ιησοῦ βασιλεῦ,* καὶ τιμῶμεν τὴν ταφὴν καὶ τὰ πάθη σου,* δι' ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.

Μέτρα γῆς ὁ στήσας* ἐν σμικρῷ κατοικεῖς,* 'Ιησοῦ παμβασιλεῦ, τάφῳ σήμερον,* ἐκ μνημάτων τοὺς θανόντας ἀνιστῶν.

'Ιησοῦ Χριστέ μου,* βασιλεῦ τοῦ παντός,* τί ζητῶν τοῖς ἐν τῷ ᾅδῃ ἐλήλυθας;* ἢ τὸ γένος ἀπολῦσαι τῶν βροτῶν;

(*) Τὰ ἐγκώμια συνήθως δὲν ψάλλονται ὅλα, ἀλλὰ χάριν συντομίας παραλείπονται πολλὰ ἐξ αὐτῶν. 'Ενταῦθα παρατίθενται μὲν ὅλα, σημειοῦνται ὅμως διὰ μεγάλου ἐρυθροῦ ἀρχικοῦ γράμματος 30 δι' ἑκάστην στάσιν, τὰ ἐκλεκτότερα, τὰ ὁποῖα καὶ ψάλλονται συνήθως. Διὰ τὴν ἐπιλογὴν αὐτὴν ἐλήφθησαν ὑπ' ὄψιν προγενέστεραι ἐργασίαι τῶν 'Εμμ. Φαρλέκα καὶ 'Απ. Βαλληνδρᾶ.

Ὁ Δεσπότης πάντων* καθορᾶται νεκρὸς* καὶ ἐν μνήματι καινῷ κατατίθεται* ὁ κενώσας τὰ μνημεῖα τῶν νεκρῶν.

Ἡ ζωὴ ἐν τάφῳ* κατετέθης, Χριστέ,* καὶ θανάτῳ σου τὸν θάνατον ὤλεσας* καὶ ἐπήγασας τῷ κόσμῳ τὴν ζωήν.

Μετὰ τῶν κακούργων* ὡς κακοῦργος, Χριστέ,* ἐλογίσθης δικαιῶν ἡμᾶς ἅπαντας* κακουργίας τοῦ ἀρχαίου πτερνιστοῦ.

Ὡραῖος κάλλει* παρὰ πάντας βροτοὺς* ὡς ἀνείδεος νεκρὸς καταφαίνεται,* ὁ τὴν φύσιν ὡραΐσας τοῦ παντός.

Ἅδης πῶς ὑποίσει,* Σῶτερ, παρουσίαν τὴν σὴν* καὶ μὴ θᾶττον συνθλασθείη σκοτούμενος,* ἀστραπῆς φωτός σου αἴγλῃ ἐκτυφλωθείς;

Ἰησοῦ, γλυκύ μοι* καὶ σωτήριον φῶς,* τάφῳ πῶς ἐν σκοτεινῷ κατακέκρυψαι;* ὦ ἀφάτου καὶ ἀῤῥήτου ἀνοχῆς!

Ἄπορεῖ καὶ φύσις* νοερὰ καὶ πληθὺς* ἡ ἀσῶματος, Χριστέ, τὸ μυστήριον* τῆς ἀφράστου καὶ ἀῤῥήτου σου ταφῆς.

Ὦ θαυμάτων ξένων!* ὦ πραγμάτων καινῶν!* ὁ πνοῆς μοι χορηγὸς ἄπνους φέρεται,* κηδευόμενος χερσὶ τοῦ Ἰωσήφ.

Καὶ ἐν τάφῳ ἔδυς* καὶ τῶν κόλπων, Χριστέ,* τῶν πατρῴων οὐδαμῶς ἀπεφοίτησας·* τοῦτο ξένον καὶ παράδοξον ὁμοῦ.

Ἀληθὴς καὶ πόλου* καὶ τῆς γῆς βασιλεύς,* εἰ καὶ τάφῳ σμικροτάτῳ συγκέκλεισαι,* ἐπεγνώσθης πάσῃ κτίσει, Ἰησοῦ.

Σοῦ τεθέντος τάφῳ,* πλαστουργέτα Χριστέ,* τὰ τοῦ ᾅδου ἐσαλεύθη θεμέλια* καὶ μνημεῖα ἠνεῴχθη τῶν βροτῶν.

Ὁ τὴν γῆν κατέχων* τῇ δρακί, νεκρωθεὶς* σαρκικῶς, ὑπὸ τῆς γῆς νῦν συνέχεται,* τοὺς νεκροὺς λυτρῶν τῆς ᾅδου συνοχῆς.

Ἐκ φθορᾶς ἀνέβη* ἡ ζωή μου, Σωτήρ,* σοῦ θανόντος καὶ

νεκροῖς προσφοιτήσαντος* καὶ συνθλάσαντος τοῦ ᾅδου τοὺς μοχλούς.

Ὡς φωτὸς λυχνία* νῦν ἡ σάρξ τοῦ Θεοῦ* ὑπὸ γῆν ὡς ὑπὸ μόδιον κρύπτεται* καὶ διώκει τὸν ἐν ᾅδῃ σκοτασμόν.

Νοερῶν συντρέχει* στρατιῶν ἡ πληθὺς* Ἰωσὴφ καὶ Νικοδήμῳ συστεῖλαί σε* τὸν ἀχώρητον ἐν μνήματι σμικρῷ.

Νεκρωθεὶς βουλήσει* καὶ τεθεὶς ὑπὸ γῆν,* ζωοβρύτα Ἰησοῦ μου, ἐζώωσας* νεκρωθέντα παραβάσει με πικρᾷ.

Ἡλλοιοῦτο πᾶσα* κτίσις πάθει τῷ σῷ·* πάντα γάρ σοι, Λόγε συνέπασχον,* συνοχέα σε γινώσκοντα παντός.

Τῆς ζωῆς τὴν πέτραν* ἐν κοιλίᾳ λαβὼν* ᾅδης ὁ παμφάγος, ἐξήμεσεν* ἐξ αἰῶνος οὓς κατέπιε νεκρούς.

Ἐν καινῷ μνημείῳ* κατετέθης, Χριστέ,* καὶ τὴν φύσιν τῶν βροτῶν ἀνεκαίνισας* ἀναστὰς θεοπρεπῶς ἐκ τῶν νεκρῶν.

Ἐπὶ γῆς κατῆλθες,* ἵνα σώσῃς Ἀδάμ·* καὶ ἐν γῇ μὴ εὑρηκῶς τοῦτον, Δέσποτα,* μέχρις ᾅδου κατελήλυθας ζητῶν.

Συγκλονεῖται φόβῳ,* πᾶσα Λόγε, ἡ γῆ* καὶ φωσφόρος τὰς ἀκτῖνας ἀπέκρυψε,* τοῦ μεγίστου γῆ κρυβέντος σου φωτός.

Ὡς βροτὸς μὲν θνήσκεις ἑκουσίως, Σωτήρ,* ὡς Θεὸς δὲ τοὺς θνητοὺς ἐξανέστησας* ἐκ μνημάτων καὶ βυθοῦ ἁμαρτιῶν.

Ἀκρυρρόους θρήνους* ἐπί σε ἡ ἀγνὴ* μητρικῶς, ὦ Ἰησοῦ, ἐπιῤῥαίνουσα,* ἀνεβόα· Πῶς κηδεύσω σε, Υἱέ;

Ὥσπερ σίτου κόκκος* ὑποδὺς κόλπους γῆς* τὸν πολύχουν ἀποδέδωκας ἄσταχυν,* ἀναστήσας τοὺς βροτοὺς τοῦς ἐξ Ἀδάμ.

Ὑπὸ γῆν ἐκρύβης,* ὥσπερ ἥλιος, νῦν* καὶ νυκτὶ τῇ τοῦ θανάτου κεκάλυψαι·* ἀλλ' ἀνάτειλον φαιδρότερον, Σωτήρ.

Ὡς ἡλίου δίσκον* ἡ σελήνη, Σωτήρ,* ἀποκρύπτει, καὶ σὲ τάφος νῦν ἔκρυψεν* ἐκλιπόντα τῷ θανάτῳ σαρκικῶς.

Ἡ ζωὴ θανάτου* γευσαμένη Χριστὸς,* ἐκ θανάτου τοὺς βροτοὺς ἠλευθέρωσε* καὶ τοῖς πᾶσι νῦν δωρεῖται τὴν ζωήν.

Νεκρωθέντα πάλαι* τὸν Ἀδὰμ φθονερῶς* ἐπανάγεις πρὸς ζωὴν τῇ νεκρώσει σου,* νέος, Σῶτερ, ἐν σαρκὶ φανεὶς Ἀδάμ.

Νοεραί σε τάξεις* ἡπλωμένον νεκρὸν* καθορῶσαι δι' ἡμᾶς ἐξεπλήττοντο,* καλυπτόμεναι ταῖς πτέρυξι, Σωτήρ.

Καθελών σε, Λόγε,* ἀπὸ ξύλου νεκρὸν* ἐν μνημείῳ Ἰωσὴφ νῦν κατέθετο* ἀλλ' ἀνάστα σῴζων πάντας ὡς Θεός.

Τῶν ἀγγέλων, Σῶτερ,* χαρμονὴ πεφυκώς,* νῦν καὶ λύπης τούτοις γέγονας αἴτιος,* καθορῶμενος σαρκὶ ἄπνους νεκρός.

Ὑψωθεὶς ἐν ξύλῳ* καὶ τοὺς ζῶντας βροτοὺς* συνυψοῖς· ὑπὸ τὴν γῆν δὲ γενόμενος* τοὺς κειμένους ὑπ' αὐτὴν ἐξανιστᾷς.

Ὡσπερ λέων, Σῶτερ,* ἀφυπνώσας σαρκὶ* ὡς τις σκύμνος ὁ νεκρὸς ἐξανίστασαι* ἀποθέμενος τὸ γῆρας τῆς σαρκός.

Τὴν πλευρὰν ἐνύγης* ὁ πλευρὰν εἰληφὼς* τοῦ Ἀδάμ, ἐξ ἧς τὴν Εὔαν διέπλασας,* καὶ ἐξέβλυσας κρουνοὺς καθαρτικούς.

Ἐν κρυπτῷ μὲν πάλαι* θύεται ὁ ἀμνός·* σὺ δ' ὑπαίθριος τυθείς, ἀνεξίκακε,* πᾶσαν κτίσιν ἀπεκάθηρας, Σωτήρ.

Τίς ἐξείποι τρόπον* φρικτόν, ὄντως καινόν;* ὁ δεσπόζων γὰρ τῆς κτίσεως σήμερον* πάθος δέχεται καὶ θνήσκει δι' ἡμᾶς.

Ὁ ζωῆς ταμίας* πῶς ὁρᾶται νεκρός;* ἐκπληττόμενοι οἱ ἄγγελοι ἔκραζον·* πῶς δ' ἐν μνήματι συγκλείεται Θεός;

Λογχονύκτου, Σῶτερ,* ἐκ πλευρᾶς σου ζωὴν* τῇ Ζωῇ τῇ ἐκ ζωῆς ἐξωσάσῃ με* ἐπιστάζεις καὶ ζωοῖς με σὺν αὐτῇ.

Ἁπλωθεὶς ἐν ξύλῳ* συνηγάγου βροτούς* τὴν πλευράν σου δὲ νυγεὶς τὴν ζωήρρυτον* πᾶσιν ἄφεσιν πηγάζεις, Ἰησοῦ.

Ὁ εὐσχήμων, Σῶτερ,* σχηματίζει φρικτῶς* καὶ κηδεύει ὡς νεκρὸν εὐσχημόνως σε* καὶ θαμβεῖται σου τὸ σχῆμα τὸ φρικτόν.

Ὑπὸ γῆν βουλήσει* κατελθὼν ὡς θνητός,* ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια* τοὺς ἐκεῖθεν πεπτωκότας, Ἰησοῦ.

Κἂν νεκρὸς ὡράθης,* ἀλλὰ ζῶν ὡς Θεὸς* ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια* τοὺς ἐκεῖθεν πεπτωκότας, Ἰησοῦ.

Κἂν νεκρὸς ὡράθης,* ἀλλὰ ζῶν ὡς Θεὸς* νεκρωθέντας τοὺς βροτοὺς ἀνεζώωσας,* τὸν ἐμὸν ἀπονεκρώσας νεκρωτήν.

Ὦ χαρᾶς ἐκείνης!* ὢ πολλῆς ἡδονῆς!* ἧς περ τοὺς ἐν ᾅδῃ πεπλήρωκας,* ἐν πυθμέσι φῶς ἀστράψας ζοφεροῖς.

Προσκυνῶ τὸ πάθος,* ἀνυμνῶ τὴν ταφήν,* μεγαλύνω σου τὸ κράτος, φιλάνθρωπε,* δι' ὧν λέλυμαι παθῶν φθοροποιῶν.

Κατὰ σοῦ ῥομφαία* ἐστιλβοῦτο, Χριστέ,* καὶ ῥομφαία ἰσχυροῦ μὲν ἀμβλύνεται* καὶ ῥομφαία δὲ τροποῦται τῆς Ἐδέμ.

Ἡ ἀμνὰς τὸν ἄρνα* βλέπουσα ἐν σφαγῇ,* ταῖς ἀκίσι βαλλομένη ἠλάλαζε,* συγκινοῦσα καὶ τὸ ποίμνιον βοᾶν.

Κἂν ἐνθάπτῃ τάφῳ,* κἂν εἰς ᾅδου μολῇς,* ἀλλά, Σῶτερ, καὶ τοὺς τάφους ἐκένωσας* καὶ τὸν ᾅδην ἀπεγύμνωσας, Χριστέ.

Εκουσίως, Σῶτερ,* κατελθὼν ὑπὸ γῆν,* νεκρωθέντας τοὺς βροτοὺς ἀνεζώωσας* καὶ ἀνήγαγες ἐν δόξῃ πατρικῇ.

Τῆς Τριάδος ὁ εἷς* ἐν σαρκὶ δι' ἡμᾶς* ἐπονείδιστον ὑπέμεινε θάνατον'* φρίττει ἥλιος καὶ τρέμει δὲ ἡ γῆ.

Ὡς πικρᾶς ἐκ κρήνης,* τῆς Ἰούδα φυλῆς* οἱ ἀπόγονοι ἐν λάκκῳ κατέθεντο* τὸν τροφέα μανναδότην Ἰησοῦν.

Ὁ κριτὴς ὡς κριτὸς* πρὸ Πιλάτου κριτοῦ* καὶ παρίστατο καὶ θάνατον ἄδικον* κατεκρίθη διὰ ξύλου σταυρικοῦ.

Ἀλαζὼν Ἰσραήλ,* μιαιφόνε λαέ,* τί παθὼν τὸν Βαραββᾶν ἠλευθέρωσας,* τὸν Σωτῆρα δὲ παρέδωκας σταυρῷ;

Οχειρί σου πλάσας* τὸν Ἀδὰμ ἐκ τῆς γῆς,* δι' αὐτὸν τῇ φύσει γέγονας ἄνθρωπος* καὶ ἐσταύρωσαι βουλήματι τῷ σῷ.

Ὑπακούσας, Λόγε,* τῷ ἰδίῳ Πατρί,* μέχρις ᾅδου τοῦ δεινοῦ καταβέβηκας* καὶ ἀνέστησας τὸ γένος τῶν βροτῶν.

Οἴμοι, φῶς τοῦ κόσμου!* οἴμοι, φῶς τὸ ἐμόν!* Ἰησοῦ μου ποθεινότατε, ἔκραζεν* ἡ παρθένος θρηνῳδοῦσα γοερῶς.

Φθονουργέ, φονουργὲ* καὶ ἀλάστορ λαέ,* κἂν σινδόνας καὶ αὐτὸ τὸ σουδάριον* αἰσχύνθητι ἀναστάντος τοῦ Χριστοῦ.

Δεῦρο δὴ μιαρέ,* φονευτὰ μαθητά,* καὶ τὸν τρόπον τῆς κακίας σου δεῖξόν μοι,* δι' ὃν γέγονας προδότης τοῦ Χριστοῦ.

Ὡς φιλάνθρωπός τις* ὑποκρίνῃ, μωρὲ* καὶ τυφλέ, πανωλεθρότατε, ἄσπονδε,* ὁ τὸ μύρον πεπρακὼς διὰ τιμῆς.

Οὐρανίου μύρου* ποίαν ἔσχες τιμήν;* τοῦ τιμίου τί ἐδέξω ἀντάξιον;* λύσσαν εὗρες, καταρώτατε σατάν.

Εἰ φιλόπτωχος εἶ* καὶ τὸ μύρον λυπῇ,* κενουμένου εἰς ψυχῆς ἱλαστήριον,* πῶς χρυσῷ ἀπεμπολεῖς τὸν φωταυγῆ;

Ωθεὲ καὶ Λόγε,* ὢ χαρὰ ἡ ἐμή,* πῶς ἐνέγκω σου ταφὴν τὴν τριήμερον;* νῦν σπαράττομαι τὰ σπλάγχνα μητρικῶς.

Τίς μοι δώσει ὕδωρ* καὶ δακρύων πηγάς,* ἡ θεόνυμφος παρθένος ἐκραύγαζεν,* ἵνα κλαύσω τὸν γλυκύν μου Ἰησοῦν;

Ὦ βουνοὶ καὶ νάπαι* καὶ ἀνθρώπων πληθύς,* κλαύσατε καὶ πάντα θρηνήσατε* σὺν ἐμοὶ τῇ τοῦ Θεοῦ ἡμῶν μητρί.

Πότε ἴδω, Σῶτερ,* σὲ τὸ ἄχρονον φῶς,* τὴν χαρὰν καὶ ἡδονὴν τῆς καρδίας μου;* ἡ παρθένος ἀνεβόα γοερῶς.

Κἂν ὡς πέτρα, Σῶτερ,* ἡ ἀκρότομος σὺ* κατεδέξω τὴν τομήν, ἀλλ' ἐπήγασας* ζῶν τὸ ῥεῖθρον, ὡς πηγὴ ὢν τῆς ζωῆς.

Ὡς ἐκ κρήνης μιᾶς* τὸν διπλοῦν ποταμὸν* τῆς πλευρᾶς σου προχεούσης ἀρδόμενοι,* τὴν ἀθάνατον καρπούμεθα ζωήν.

Θέλων ὤφθης, Λόγε,* ἐν τῷ τάφῳ νεκρός,* ἀλλὰ ζῇς καὶ τοὺς βροτούς, ὡς προείρηκας,* ἀναστάσει σου, Σωτήρ μου, ἐγερεῖς.

Δόξα. Τριαδικόν.

Ἀνυμνοῦμεν, Λόγε,* σὲ τὸν πάντων Θεὸν* σὺν Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι* καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε,* Θεοτόκε ἁγνή,* καὶ τιμῶμεν τὴν ταφὴν τὴν τριήμερον* τοῦ Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν πιστῶς.

Καὶ πάλιν τὸ α' τροπάριον.

Ἠζωὴ ἐν τάφῳ* κατετέθης, Χριστέ,* καὶ ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο,* συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις

Ὅτι ὑμνήται σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ(*)

Ἦχος πλ. α΄.

Ἀξιόν ἐστι* μεγαλύνειν σε τὸν ζωοδότην,* τὸν ἐν τῷ Σταυρῷ τὰς χεῖρας ἐκτείναντα* καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

Ἀξιόν ἐστι* μεγαλῦναι σε τὸν πάντων κτίστην* τοῖς σοῖς γὰρ παθήμασιν ἔχομεν* τὴν ἀπάθειαν, ῥυσθέντες τῆς φθορᾶς.

Ἔφριξεν ἡ γῆ* καὶ ὁ ἥλιος, Σῶτερ, ἐκρύβη,* σοῦ τοῦ ἀνεσπέρου φωτός, Χριστέ,* ἐν τῷ τάφῳ δύντος νῦν σωματικῶς.

Ὕπνωσας, Χριστέ,* τὸν φυσίζωον ὕπνον ἐν τάφῳ* καὶ βαρέος ὕπνου ἐξήγειρας* τοῦ τῆς ἁμαρτίας τὸ τῶν ἀνθρώπων γένος.

Μόνη γυναικῶν* χωρὶς πόνων ἔτεκόν σε, τέκνον,* πόνους δὲ νῦν φέρω τῷ πάθει σου* ἀφορήτους, ἀνεβόα ἡ σεμνή.

Ἄνω σε, Σωτήρ,* ἀχωρίστως τῷ Πατρὶ συνόντα,* κάτω δὲ νεκρὸν ἡπλωμένον γῇ* καθορῶντα φρίττει νῦν τὰ Σεραφίμ.

Ῥήγνυται ναοῦ* καταπέτασμα τῇ σῇ σταυρώσει,* κρύπτουσι φωστῆρες, Χριστέ, τὸ φῶς,* σοῦ κρυβέντος τοῦ ἡλίου ὑπὸ γῆν.

Γῆς ὁ κατ᾽ ἀρχὰς* μόνῳ νεύματι πήξας τὸν γύρον* ἄπνους ὡς βροτὸς καθυπέδυ γῆν·* τῷ θεάματι δέ, φρῖξον, οὐρανέ.

(*) Πολλὰ τροπάρια τῆς β΄ στάσεως παρουσιάζουν ρυθμικὰς ἀνωμαλίας εἰς τοὺς τελευταίους στίχους των. Οἱ στίχοι αὐτοὶ εἰς πολλὰ τροπάρια – κυρίως εἰς τὰ σημειούμενα διὰ μεγάλου ἀρχικοῦ γράμματος – παρατίθενται κατὰ διόρθωσιν τοῦ Ἐμμ. Φαρλέκα.

Ἕδυς ὑπὸ γῆν* ὁ τὸν ἄνθρωπον χειρί σου πλάσας,* ἵν' ἐξαναστήσῃς τοῦ πτώματος* τῶν βροτῶν τὰ στίφη πανσθενεστάτῳ κράτει.

Θρῆνον ἱερὸν* δεῦτε ᾄσωμεν Χριστῷ θανόντι,* ὡς αἱ μυροφόροι γυναῖκες πρίν,* ἵν' ἀκούσωμεν τὸ Χαῖρε σὺν αὐταῖς.

Μύρον ἀληθῶς* σὺ ἀκένωτον ὑπάρχεις, Λόγε* ὅθεν σοι καὶ μύρα προσέφερον* μυροφόροι σοι τῷ ζῶντι ὡς νεκρῷ.

Ἅδου μὲν ταφεὶς* τὰ βασίλεια, Χριστέ, συντρίβεις,* θάνατον θανάτῳ δὲ θανατοῖς* καὶ φθορᾶς λυτροῦσαι τοὺς γηγενεῖς.

Ῥεῖθρα τῆς ζωῆς* ἡ προχέουσα Θεοῦ σοφία* τάφον ὑπεισδῦσα ζωοποιεῖ* τοὺς ἐν τοῖς ᾅδύτοις ᾅδου μυχοῖς.

Ἵνα τὴν βροτῶν* καινουργήσω συντριβεῖσαν φύσιν,* πέπληγμαι θανάτῳ θέλων σαρκί.* Μῆτερ, οὐν μὴ κόπτου τοῖς ὀδυρμοῖς.

Ἕδυς ὑπὸ γῆν* ὁ φωσφόρος τῆς δικαιοσύνης* καὶ νεκροὺς ὥσπερ ἐξ ὕπνου ἐξήγειρας,* ἐκδιώξας ἅπαν τὸ ἐν τῷ ᾅδῃ σκότος.

Κόκκος διφυὴς* ὁ φυσίζωος ἐν γῆς λαγόσι* σπείρεται σὺν δάκρυσι σήμερον,* ἀλλ' ἀναβλαστήσας κόσμον χαροποιήσει.

Ἔπτηξεν Ἀδάμ,* Θεοῦ βαίνοντος ἐν παραδείσῳ,* χαίρει δὲ πρὸς ᾅδην φοιτήσαντος,* πεπτωκώς ποτε καὶ νῦν ἐξεγερθείς.

Σπένδει σοι χοὰς* ἡ τεκοῦσά σε, Χριστέ, δακρύων* σαρκικῶς κατατεθέντι ἐν μνήματι,* ἐκβοῶσα· Τέκνον, ἀνάστα, ὡς προέφης.

Τάφῳ Ἰωσὴφ* εὐλαβῶς σε τῷ καινῷ συγκρύπτων* ὕμνους ἐξοδίους θεοπρεπεῖς* μετὰ θρήνων ἀναμέλπει σοι, Σωτήρ.

Ἥλοις σε σταυρῷ,* πεπαρμένον ἡ σὴ Μήτηρ, Λόγε,* βλέ-

ψασα, τοῖς ἥλοις λύπης πικρᾶς* βέβληται καὶ βέλεσι τὴν ψυχήν.

Σὲ τὸν τοῦ παντὸς* γλυκασμὸν ἡ μήτηρ καθορῶσα* πόμα ποτιζόμενον τὸ πικρόν,* βρέχει δάκρυσι τὰς ὄψεις γοερῶς.

Τέτρωμαι δεινῶς* καὶ σπαράττομαι τὰ σπλάγχνα, Λόγε,* βλέπουσα σφαγήν σου τὴν ἄδικον,* ἡ παρθένος ἀνεβόα ἐν κλαυθμῷ.

Ὅμμα τὸ γλυκὺ* καὶ τὰ χείλη σου πῶς μύσω, Λόγε;* πῶς νεκροπρεπῶς δὲ κηδεύσω σε;* μετὰ φρίκης ἀνεβόα Ἰωσήφ.

Ὕμνους Ἰωσὴφ* καὶ Νικόδημος ἐπιταφίους* ᾄδουσι Χριστῷ νεκρωθέντι νῦν·* σὺν αὐτοῖς δὲ μελῳδεῖ τὰ Σεραφίμ.

Λύνεις ὑπὸ γῆν,* Σῶτερ, ἥλιε δικαιοσύνης·* ὅθεν ἡ τεκοῦσα σελήνη σε* ταῖς λύπαις ἐκλείπει, σῆς θέας στερουμένη.

Ἔφριξεν ὁρῶν,* Σῶτερ, ᾅδης σε τὸν ζωοδότην,* πλοῦτον τὸν ἐκείνου σκυλεύοντα* καὶ τοὺς ἀπ' αἰῶνος νεκροὺς ἐξανιστῶντα.

Ἥλιος φαιδρὸν* ἀπαστράπτει μετὰ νύκτα, Λόγε·* καὶ σὺ δ' ἀναστὰς ἐξαστράψειας* μετὰ θάνατον φαιδρῶς ὡς ἐκ παστοῦ.

Γῆ σε, πλαστουργέ,* ὑπὸ κόλπους δεξαμένη τρόμῳ* συσχεθεῖσα, Σῶτερ, τινάσσεται,* ἀφυπνίσασα νεκροὺς τῷ τιναγμῷ.

Μύροις σε, Χριστέ,* ὁ Νικόδημος καὶ ὁ Εὐσχήμων* νῦν καινοπρεπῶς περιστείλαντες,* ἀνεβόων· Φρῖξον ἅπασα ἡ γῆ.

Ἕδυς, φωτουργέ,* καὶ συνέδυ σοι τὸ φῶς ἡλίου·* τρόμῳ δὲ ἡ κτίσις συνέχεται,* πάντων σε κηρύττουσα ποιητήν.

Λίθος λαξευτὸς* τὸν ἀκρόγωνον καλύπτει λίθον·* ἄνθρωπος θνητὸς δ' ὡς θνητὸν Θεὸν* κρύπτει νῦν τῷ τάφῳ· φρῖξον ἡ γῆ!

Ἴδε μαθητήν,* ὃν ἠγάπησας, καὶ σὴν μητέρα,* τέκνον, καὶ φθογγὴν δός, γλυκύτατον,* ἀνεβόα θρηνῳδοῦσα ἡ ἁγνή.

Σὺ ὡς ὢν ζωῆς* χορηγός, Λόγε, τοὺς Ἰουδαίους* ἐν Σταυρῷ ταθεὶς οὐκ ἐνέκρωσας,* ἀλλ' ἀνέστησας καὶ τούτων τοὺς νεκρούς.

Κάλλος, Λόγε, πρὶν* οὐδὲ εἶδος ἐν τῷ πάσχειν ἔσχες,* ἀλλ' ἐξαναστὰς ὑπερέλαμψας,* καλλωπίσας τοὺς βροτοὺς θείαις αὐγαῖς.

Ἕδυς τῇ σαρκὶ* ὁ ἀνέσπερος εἰς γῆν φωσφόρος* καὶ μὴ φέρων βλέπειν ὁ ἥλιος* ἐσκοτίσθη μεσημβρίας ἐν ἀκμῇ.

Ἥλιος ὁμοῦ* καὶ σελήνη σκοτισθέντες, Σῶτερ,* δούλους εὐνοοῦντας εἰκόνιζον,* οἳ μελαίνας ἀμφιέννυνται στολάς.

Οἰδέ σε Θεὸν* ἑκατόνταρχος, κἂν ἐνεκρώθης* πῶς σε οὖν, Θεέ μου, ψαύσω χερσί;* φρίττω, ἀνεβόα ὁ Ἰωσήφ.

Ὕπνωσεν Ἀδάμ,* ἀλλὰ θάνατον πλευρᾶς ἐξάγει* σὺ δὲ νῦν ὑπνώσας, Λόγε Θεοῦ,* βρύεις ἐκ πλευρᾶς σου κόσμῳ ζωήν.

Ὕπνωσας μικρὸν* καὶ ἐζώωσας τοὺς τεθνεῶτας* καὶ ἐξαναστὰς ἐξανέστησας* τοὺς ὑπνοῦντας ἐξ αἰῶνος, ἀγαθέ.

Ἤρθης ἀπὸ γῆς,* ἀλλ' ἀνέβλυσας τῆς σωτηρίας* τὸν οἶνον, ζωήρρυτε ἄμπελε.* Δοξάζω τὸ πάθος καὶ τὸν Σταυρόν.

Πῶς οἱ νοεροὶ* ταγματάρχαι σε, Σωτήρ, ὁρῶντες* γυμνόν, ἡμαγμένον, κατάκριτον,* ἔφερον τὴν τόλμαν τῶν σταυρωτῶν;

Ἀραβιανὸν,* σκολιώτατον γένος Ἑβραίων,* ἔγνως τῆν ἀνέγερσιν τοῦ ναοῦ* διά τί κατέκρινας τὸν Χριστόν;

Χλαῖναν ἐμπαιγμοῦ* τὸν κοσμήτορα πάντων ἐνδύεις,* ὃς τὸν οὐρανὸν κατηστέρωσε* καὶ τὴν γῆν ἐκόσμησε θαυμαστῶς.

Ὥσπερ πελεκὰν* τετρωμένος τὴν πλευράν σου, Λόγε,* σοὺς θανόντας παῖδας ἐζώωσας,* ἐπιστάξας ζωτικοὺς αὐτοῖς κρουνούς.

Ἥλιον τὸ πρίν* Ἰησοῦς τοὺς ἀλλοφύλους κόπτων* ἔστησεν· αὐτὸς δὲ ἀπέκρυψας,* καταβάλλων τὸν τοῦ σκότους ἀρχηγόν.

Κόλπων πατρικῶν* ἀνεκφοίτητος μείνας, οἰκτίρμον,* καὶ βροτὸς γενέσθαι εὐδόκησας* καὶ εἰς ᾅδην κατα-βέβηκας, Χριστέ.

Ἤρθη σταυρωθεὶς* ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας,* ἄ-πνους δ' ἐν αὐτῇ οὗτος θάπτεται,* ὃ μὴ φέρουσα ἐσεί-ετο δεινῶς.

Οἴμοι, ὦ Υἱέ!* ἡ ἀπείρανδρος θρηνεῖ καὶ λέγει·* ὃν ὡς βασι-λέα γὰρ ἤλπιζον* κατάκριτον νῦν βλέπω ἐν σταυρῷ.

Ταῦτα Γαβριὴλ* μοὶ ἀπήγγειλεν, ὅτε κατέπτη,* ὃς τὴν βασι-λείαν αἰώνιον* ἔφη εἶναι τοῦ Υἱοῦ μου Ἰησοῦ.

Φεῦ! τοῦ Συμεὼν* ἐκτετέλεσται ἡ προφητεία· ἡ γὰρ σὴ ῥομ-φαία διέδραμε* τὴν καρδίαν τὴν ἐμήν, Ἐμμανουήλ.

Κἂν τοὺς ἐκ νεκρῶν* ἐπαισχύνθητε, ὦ Ἰουδαῖοι,* οὓς ὁ ζω-οδότης ἀνέστησεν,* ὃν ὑμεῖς ἐκτείνατε φθονερῶς.

Ἔφριξεν ἰδὼν* τὸ ἄόρατον φῶς σε, Χριστέ μου,* μνή-ματι κρυπτόμενον, ἄπνουν τε,* καὶ ἐσκότασεν ὁ ἥλιος τὸ φῶς.

Ἔκλαιε πικρῶς* ἡ πανάμωμος Μήτηρ σου, Λόγε,* ὅτε ἐν τῷ τάφῳ ἐώρακε* σὲ τὸν ἄφραστον καὶ ἄναρχον Θεόν.

Νέκρωσιν τὴν σὴν* ἡ πανάφθορος, Χριστέ, σοῦ Μήτηρ* βλέπουσα πικρῶς σοι ἐφθέγγετο·* Μὴ βραδύνῃς ἡ ζωὴ ἐν τοῖς νεκροῖς.

Ἅδης ὁ δεινὸς* συνετρόμαξεν, ὅτε σε εἶδεν,* ἥλιε τῆς δόξης ἀθάνατε,* καὶ ἐδίδου τοὺς δεσμίους ἐν σπουδῇ.

Μέγα καὶ φρικτόν,* Σῶτερ, θέαμα νῦν καθορᾶται!* ὁ ζωῆς γὰρ θέλων παραίτιος* θάνατον ὑπέστη, ζωῶσαι θέλων πάν-τας.

Νύττῃ τὴν πλευρὰν* καὶ ἠλοῦσαι, Δέσποτα, τὰς χεῖρας,* πληγὴν ἐκ πλευρᾶς σου ἰώμενος* καὶ τὴν ἀκρασίαν χειρῶν τῶν προπατόρων.

Πρὶν τὸν τῆς Ῥαχὴλ* υἱὸν ἐκλαυσεν ἅπας κατ' οἶκον* νῦν τὸν τῆς Παρθένου ἐκὸψατο* μαθητῶν χορεία σὺν τῇ μητρί.

Ῥάπισμα χειρῶν* Χριστοῦ δέδωκαν ἐν σιαγόνι,* τοῦ χειρὶ τὸν ἄνθρωπον πλάσαντος* καὶ τὰς μύλας θλάσαντος τοῦ θηρός.

Ὑμνοις σου, Χριστέ,* νῦν τὴν σταύρωσιν καὶ τὴν ταφήν τε* ἅπαντες πιστοὶ ἐκθειάζομεν,* οἱ θανάτου λυτρωθέντες σῇ ταφῇ.

Δόξα. Τριαδικόν.

Ἀναρχε Θεέ,* συναΐδιε Λόγε καὶ Πνεῦμα,* σκῆπτρα τῶν ἀνάκτων κραταίωσον* κατὰ πολεμίων ὡς ἀγαθός.

Καὶ νῦν. Θεοτοκίον.

Τέξασα ζωήν,* παναμώμητε ἁγνὴ Παρθένε,* παῦσον Ἐκκλησίας τὰ σκάνδαλα* καὶ βράβευσον εἰρήνην ὡς ἀγαθή.

Καὶ πάλιν τὸ α' τροπάριον.

Ἀξιόν ἐστι* μεγαλύνειν σε τὸν Ζωοδότην,* τὸν ἐν τῷ Σταυρῷ τὰς χεῖρας ἐκτείναντα* καὶ συντρῖψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

Μικρὰ συναπτὴ καὶ ἐκφώνησις.

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν Χερουβὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΣΤΑΣΙΣ ΤΡΙΤΗ

Ἦχος γ'.

Αἱ γενεαὶ πᾶσαι* ὕμνον τῇ ταφῇ σου* προσφέρουσι, Χριστέ μου.

Καθελὼν τοῦ ξύλου* ὁ Ἀριμαθαῖος* ἐν τάφῳ σε κηδεύει.

Μυροφόροι ἦλθον* μύρα σοι, Χριστέ μου,* κομίζουσαι προφρόνως.

Δεῦρο πᾶσα κτίσις,* ὕμνους ἐξοδίους* προσοίσωμεν τῷ κτίστῃ.

Ὡς νεκρὸν τὸν ζῶντα* σὺν μυροφόροις πάντες* μυρίσωμεν ἐμφρόνως.

Ἰωσὴφ τρισμάκαρ,* κήδευσον τὸ σῶμα* Χριστοῦ τοῦ ζωοδότου.

Οὓς ἔθρεψε τὸ μάννα* ἐκίνησαν τὴν πτέρναν* κατὰ τοῦ εὐεργέτου.

Οὓς ἔθρεψε τὸ μάννα* φέρουσι τῷ Σωτῆρι* χολὴν ἅμα καὶ ὄξος.

Ὢ τῆς παραφροσύνης* καὶ τῆς χριστοκτονίας* τῆς τῶν προφητοκτόνων!

Ὡς ἄφρων ὑπηρέτης* προδέδωκεν ὁ μύστης* τὴν ἄβυσσον σοφίας.

Τὸν ῥύστην ὁ πωλήσας* αἰχμάλωτος κατέστη,* ὁ δόλιος Ἰούδας.

Κατὰ τὸν Σολομῶντα* βόθρος βαθὺς τὸ στόμα* Ἑβραίων παρανόμων.

Ἑβραίων παρανόμων* ἐν σκολιαῖς πορείαις* τρίβολοι καὶ παγίδες.

Ἰωσὴφ κηδεύει* σὺν τῷ Νικοδήμῳ* νεκροπρεπῶς τὸν κτίστην.

Ζωοδότα Σῶτερ,* δόξα σου τῷ κράτει* τὸν ᾅδην καθελόντι.

Ὑπτιον ὁρῶσα* ἡ πάναγνός σε, Λόγε,* μητροπρεπῶς ἐθρήνει.

Ὦ γλυκύ μου ἔαρ,* γλυκύτατόν μου τέκνον,* ποῦ ἔδυ σου τὸ κάλλος;

Θρῆνον συνεκίνει* ἡ πάναγνός σου Μήτηρ,* σοῦ, Λόγε, νεκρωθέντος.

Γύναια σὺν μύροις* ἤκουσι μυρίσαι* Χριστὸν τὸ θεῖον μύρον.

Θάνατον θανάτῳ* σὺ θανατοῖς, Θεέ μου,* θεία σου δυναστεία.

Πεπλάνηται ὁ πλάνος,* ὁ πλανηθεὶς λυτροῦται* σοφίᾳ σῇ, Θεέ μου.

Πρὸς τὸν πυθμένα ᾅδου* κατήχθη ὁ προδότης,* διαφθορᾶς εἰς φρέαρ.

Τρίβολοι καὶ παγίδες* ὁδοὶ τοῦ τρισαθλίου* παράφρονος Ἰούδα.

Συναπολοῦνται πάντες* οἱ σταυρωταί σου, Λόγε,* Υἱὲ Θεοῦ παντάναξ.

Διαφθορᾶς εἰς φρέαρ* συναπολοῦνται πάντες* οἱ ἄνδρες τῶν αἱμάτων.

Υἱὲ Θεοῦ παντάναξ,* Θεέ μου πλαστουργέ μου,* πῶς πάθος κατεδέξω;

Ἡ δάμαλις τὸν μόσχον* ἐν ξύλῳ κρεμασθέντα* ἠλάλαζεν ὁρῶσα.

Σῶμα τὸ ζωηφόρον* ὁ Ἰωσὴφ κηδεύει* μετὰ τοῦ Νικοδήμου.

Ἀνέκραζεν ἡ κόρη* θερμῶς δακρυῤῥοοῦσα,* τὰ σπλάγχνα κεντουμένη.

Ὦφῶς τῶν ὀφθαλμῶν μου,* γλυκύτατόν μου τέκνον,* πῶς τάφῳ νῦν καλύπτῃ;

Τὸν Ἀδὰμ καὶ Εὔαν* ἐλευθερῶσαι, Μῆτερ,* μὴ θρήνει, ταῦτα πάσχω.

Δοξάζω σου, Υἱέ μου,* τὴν ἄκραν εὐσπλαγχνίαν,* ἧς χάριν ταῦτα πάσχεις.

Ὄξος ἐποτίσθης* καὶ χολήν, οἰκτίρμον,* τὴν πάλαι λύων γεῦσιν.

Ἰκρίῳ προσεπάγης,* ὁ πάλαι τὸν λαόν σου* στύλῳ νεφέλης σκέπων.

Αἱ μυροφόροι, Σῶτερ,* τῷ τάφῳ προσελθοῦσαι* προσέφερόν σοι μύρα.

Ἀνάστηθι, οἰκτίρμον,* ἡμᾶς ἐκ τῶν βαράθρων* ἐξανιστῶν τοῦ ᾅδου.

Ἀνάστα, ζωοδότα,* ἡ σὲ τεκοῦσα Μήτηρ* δακρυῤῥοοῦσα λέγει.

Σπεῦσον ἐξαναστῆναι,* τὴν λύπην λύων, Λόγε,* τῆς σὲ ἀγνῶς τεκούσης.

Οὐράνιαι δυνάμεις* ἐξέστησαν τῷ φόβῳ,* νεκρόν σε καθορῶσαι.

Τοῖς πόθῳ τε καὶ φόβῳ* τὰ πάθη σου τιμῶσι* δίδου πταισμάτων λύσιν.

Ὦ φρικτὸν καὶ ξένον* θέαμα, Θεοῦ Λόγε!* πῶς γῆ σε συγκαλύπτει;

Φέρων πάλαι φεύγει,* Σῶτερ, Ἰωσὴφ σε* καὶ νῦν σε ἄλλος θάπτει.

Κλαίει καὶ θρηνεῖ σε* ἡ πάναγνός σου Μήτηρ,* Σωτὴρ μου, νεκρωθέντα.

Φρίττουσιν οἱ νόες* τὴν ξένην καὶ φρικτήν σου* ταφὴν τοῦ πάντων κτίστου.

Ἔῤῥαναν τὸν τάφον* αἱ μυροφόροι μύρα* λίαν πρωῒ ἐλθοῦσαι. (Τρὶς)

Εἰρήνην Ἐκκλησίᾳ,* λαῷ σου σωτηρίαν* δώρησαι σῇ ἐγέρσει.

Δόξα. Τριαδικόν.

Ὦ Τριὰς Θεέ μου,* Πατήρ, Υἱὸς καὶ Πνεῦμα,* ἐλέησον τὸν κόσμον.

Καὶ νῦν. Θεοτοκίον.

Ἰδεῖν τὴν τοῦ Υἱοῦ σου* ἀνάστασιν, Παρθένε,* ἀξίωσον σοὺς δούλους.

Καὶ πάλιν τὸ α΄ τροπάριον.

Αἱ γενεαὶ πᾶσαι* ὕμνον τῇ ταφῇ σου* προσφέρουσι, Χριστέ μου.

Μικρὰ συναπτὴ καὶ ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

Καὶ εὐθὺς ψάλλομεν τὰ ἀναστάσιμα εὐλογητάρια.
Τῶν ἀγγέλων ὁ δῆμος... (σ. 100).

Συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν...

Ἐξαποστειλάριον. Ἦχος β΄.
Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (Τρίς).

Εἰς τοὺς αἴνους ψάλλομεν στιχηρὰ ἰδιόμελα.

Ἦχος β΄.

Σήμερον συνέχει τάφος* τὸν συνέχοντα παλάμῃ τὴν κτίσιν·* καλύπτει λίθος* τὸν καλύψαντα ἀρετῇ τοὺς οὐρανούς·* ὑπνοῖ ἡ ζωὴ* καὶ ᾅδης τρέμει* καὶ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται.* Δόξα τῇ σῇ οἰκονομίᾳ,* δι' ἧς τελέσας πάντα,* σαββατισμὸν αἰώνιον* ἐδωρήσω ἡμῖν,* τὴν παναγίαν ἐκ νεκρῶν σου ἀνάστασιν.

Τί τὸ ὁρώμενον θέαμα;* τίς ἡ παροῦσα κατάπαυσις;* ὁ βασιλεὺς τῶν αἰώνων,* τὴν διὰ πάθους τελέσας οἰκονομίαν,* ἐν τάφῳ σαββατίζει,* καινὸν ἡμῖν παρέχων σαββατισμόν.* Αὐτῷ βοήσωμεν·* Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν,* ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας,* ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Δεῦτε ἴδωμεν τὴν ζωὴν ἡμῶν* ἐν τάφῳ κειμένην,* ἵνα τοὺς ἐν τάφοις* κειμένους ζωοποιήσῃ·* δεῦτε σήμερον* τὸν ἐξ Ἰούδα ὑπνοῦντα θεώμενοι,* προφητικῶς αὐτῷ ἐκβοήσωμεν·* Ἀναπεσὼν κεκοίμησαι ὡς λέων·* τίς ἐγερεῖ σε, βασιλεῦ;* ἀλλ' ἀνάστηθι αὐτεξουσίως,* ὁ δοὺς σεαυτὸν ὑπὲρ ἡμῶν ἑκουσίως·* Κύριε, δόξα σοι.

Ἦχος πλ. β΄.

Ἡτήσατο Ἰωσὴφ* τὸ σῶμα τοῦ Ἰησοῦ,* καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ·* ἔδει γὰρ αὐτὸν ἐκ τάφου* ὡς ἐκ παστάδος προελθεῖν.* Ὁ συντρίψας κράτος θανάτου* καὶ ἀνοίξας πύλας παραδείσου* ἀνθρώποις, δόξα σοι.

Δόξα. Ἦχος πλ. β΄.

Τὴν σήμερον μυστικῶς* ὁ μέγας Μωϋσῆς* προδιετυποῦτο λέγων·* Καὶ εὐλόγησεν ὁ Θεὸς* τὴν ἡμέραν τὴν ἑβδόμην·* τοῦτο γάρ ἐστι* τὸ εὐλογημένον Σάββατον·* αὕτη ἐστὶν* ἡ τῆς καταπαύσεως ἡμέρα,* ἐν ᾗ κατέπαυσεν* ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ* ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ,* διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας* τῇ σαρκὶ σαββατίσας·* καὶ εἰς ὃ ἦν* πάλιν ἐπανελθὼν* διὰ τῆς ἀναστάσεως* ἐδωρήσατο ἡμῖν* ζωὴν τὴν αἰώνιον,* ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις (σελ. 132).

Δοξολογία μεγάλη (σ. 133).

Ψαλλομένου δὲ τοῦ ἀσματικοῦ Ἅγιος ὁ Θεὸς γίνεται ἡ ἔξοδος καὶ περιφορὰ τοῦ Ἐπιταφίου μετὰ τοῦ ἱεροῦ Εὐαγγελίου. Κατ' αὐτὴν ψάλλεται καὶ τὸ παρὸν τροπάριον.

Γεωργίου Ἀκροπολίτου. Ἦχος πλ. α΄.

Τὸν ἥλιον κρύψαντα* τὰς ἰδίας ἀκτῖνας* καὶ τὸ καταπέτασμα* τοῦ ναοῦ διαῤῥαγὲν* τῷ τοῦ Σωτῆρος θανάτῳ* ὁ Ἰωσὴφ θεασάμενος* προσῆλθε τῷ Πιλάτῳ* καὶ καθικετεύει λέγων·* Δός μοι τοῦτον τὸν ξένον,* τὸν ἐκ βρέφους ὡς ξένον* ξενωθέντα ἐν κόσμῳ.* Δός μοι τοῦτον τὸν ξένον,* ὃν ὁμόφυλοι μισοῦντες* θανατοῦσιν ὡς ξένον.* Δός μοι τοῦτον τὸν ξένον,* ὃν ξενίζομαι βλέπειν* τοῦ θανάτου τὸν ξένον.* Δός μοι τοῦτον τὸν ξένον,* ὅστις οἶδε ξενίζειν* τοὺς πτωχοὺς καὶ τοὺς ξένους.* Δός μοι τοῦτον τὸν ξένον,* ὃν Ἑβραῖοι τῷ φθόνῳ* ἀπεξένωσαν κόσμῳ.* Δός μοι τοῦτον τὸν ξένον,* ἵνα κρύψω ἐν τάφῳ,* ὃς ὡς ξένος οὐκ ἔχει* τὴν κεφαλὴν ποῦ κλίνῃ.* Δός μοι τοῦτον τὸν ξένον,* ὃν ἡ

Μήτηρ ὁρῶσα* νεκρωθέντα, ἐβόα* Ὦ Υἱὲ καὶ Θεέ μου,* εἰ καὶ τὰ σπλάγχνα τιτρώσκομαι* καὶ καρδίαν σπαράττομαι* νεκρόν σε καθορῶσα,* ἀλλὰ τῇ σῇ ἀναστάσει* θαῤῥοῦσα μεγαλύνω.* Καὶ τούτοις τοίνυν τοῖς λόγοις* δυσωπῶν τὸν Πιλάτον* ὁ εὐσχήμων λαμβάνει* τοῦ Σωτῆρος τὸ σῶμα,* ὃ καὶ φόβῳ ἐν σινδόνι* ἐνειλήσας καὶ σμύρνῃ* κατέθετο ἐν τάφῳ* τὸν παρέχοντα πᾶσι* ζωὴν αἰώνιον* καὶ τὸ μέγα ἔλεος.

Ἐπανελθούσης τῆς ἱερᾶς πομπῆς εἰς τὸν ναόν, ὁ προεξάρχων ἱερεὺς ἐκφωνεῖ·

Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία.

Καὶ εἰσάγει μετὰ τῶν λοιπῶν ἱερέων τὸν Ἐπιτάφιον εἰς τὸ Ἱερὸν ψάλλων μετ' αὐτῶν τὰ ἀπολυτίκια·

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον... (σ. 1267).

Ταῖς μυροφόροις γυναιξί... (σ. 1265).

Ὁ εὐσχήμων Ἰωσήφ... (σ. 1265).

Καὶ περιελθόντες οἱ ἱερεῖς μετὰ τοῦ Ἐπιταφίου τὴν ἁγίαν Τράπεζαν τρίς, ἀποθέτουσιν αὐτὸν ἐπ' αὐτῆς.

Καὶ εὐθὺς λέγομεν τὸ

Τροπάριον τῆς προφητείας. Ἦχος β'.

Ὁ συνέχων τὰ πέρατα,* τάφῳ συσχεθῆναι* κατεδέξω, Χριστέ,* ἵνα τῆς τοῦ ᾅδου καταπόσεως* λυτρώσῃς τὸ ἀνθρώπινον,* καὶ ἀθανατίσας ζωώσῃς ἡμᾶς,* ὡς Θεὸς ἀθάνατος.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Προκείμενον. Ἦχος δ'. Ψαλμὸς μγ'.

Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Στίχ. Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν καὶ οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα (λζ' 1-14).

Ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ ἐξήγαγέ με ἐν πνεύματι Κύριος καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου· καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων· καὶ περιήγαγέ με ἐπ' αὐτὰ κύκλωθεν κύκλῳ· καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, καὶ ἰδοὺ ξηρὰ σφόδρα.

Καὶ εἶπε πρός με· Υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστέα ταῦτα; Καὶ εἶπα· Κύριε, Κύριε, σὺ ἐπίστασαι ταῦτα. Καὶ εἶπε πρός με· Προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα καὶ ἐρεῖς αὐτοῖς· Τὰ ὀστᾶ τὰ ξηρά, ἀκούσατε λόγον Κυρίου· τάδε λέγει Κύριος τοῖς ὀστέοις τούτοις· Ἰδοὺ ἐγὼ φέρω εἰς ὑμᾶς πνεῦμα ζωῆς καὶ δώσω εἰς ὑμᾶς νεῦρα καὶ ἀνάξω εἰς ὑμᾶς σάρκας καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε καὶ γνώσεσθε, ὅτι ἐγώ εἰμι Κύριος.

Καὶ προεφήτευσα, καθὼς ἐνετείλατό μοι Κύριος. Καὶ ἐγένετο φωνῆ ἐν τῷ ἐμὲ προφητεῦσαι· καὶ ἰδοὺ σεισμός· καὶ προσήγαγε τὰ ὀστᾶ ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ. Καὶ εἶδον· καὶ ἰδοὺ ἐπ' αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο, καὶ ἀνέβαινεν ἐπ' αὐτὰ δέρμα ἐπάνω· καὶ πνεῦμα οὐκ ἦν ἐν αὐτοῖς.

Καὶ εἶπε πρός με· Προφήτευσον ἐπὶ τὸ πνεῦμα, υἱὲ ἀνθρώπου, προφήτευσον καὶ εἰπὲ τῷ πνεύματι· Τάδε λέγει Κύριος Κύριος· Ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθὲ καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους, καὶ ζησάτωσαν. Καὶ προεφήτευσα, καθ' ὅ,τι ἐνετείλατό μοι· καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα, καὶ ἔζησαν καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ σφόδρα.

Καὶ ἐλάλησε Κύριος πρός με, λέγων· Υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραὴλ ἐστιν· αὐτοὶ λέγουσι· Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπώλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν. Διὰ τοῦτο προφήτευσον καὶ εἰπὲ πρὸς αὐτούς· Τάδε λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραήλ· καὶ γνώσεσθε, ὅτι ἐγῶ εἰμι Κύριος ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν μου. Καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε,

καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε, ὅτι ἐγὼ Κύριος· ἐλάλησα καὶ ποιήσω, λέγει Κύριος Κύριος.

Προκείμενον. Ἦχος βαρύς. Ψαλμὸς θ'.

Ἀνάστηθι, Κύριε, ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου.

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου (ε' 6-8 καὶ Γαλάτ. γ' 13-14).

Ἀδελφοί, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθὼς ἐστε ἄζυμοι· καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. Ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.

Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ· «Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου»· ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς πίστεως.

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κζ' 62-66).

Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν Παρασκευήν... (σ. 1228).

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ διάκονος τὴν ἐκτενῆ καὶ τὰ Πληρωτικὰ καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας (σ. 135-137). Εἶτα· Σοφία. Ὁ ὢν εὐλογητὸς κ.τ.λ., καὶ ποιεῖ ἀπόλυσιν οὕτω.

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ πάθη καὶ τὸν ζωοποιὸν Σταυρὸν καὶ τὴν ἐ-

κούσιον ταφὴν σαρκὶ καταδεξάμενος Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Δι' εὐχῶν...

ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ διάκονος· Εὐλόγησον, δέσποτα.

Ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός...

Ὁ ἀναγνώστης τὸν προοιμιακὸν Ψαλμὸν (σ. 210-216).

Ὁ διάκονος τὰ εἰρηνικὰ (σ. 216).

Εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ'.

Ἦχος α'.

Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς... (σ. 382).

Κυκλώσατε, λαοί, Σιών... (σ. 382).

Δεῦτε, λαοί, ὑμνήσωμεν... (σ. 382).

Τῷ πάθει σου, Χριστέ... (σ. 383).

Εἶτα τὰ παρόντα. Ἰωάννου μοναχοῦ. Ἦχος πλ. δ'.

Σήμερον ὁ ᾅδης στένων βοᾷ· Συνέφερέ μοι,* εἰ τὸν ἐκ Μαρίας γεννηθέντα* μὴ ὑπεδεξάμην· ἐλθὼν γὰρ ἐπ' ἐμὲ* τὸ κράτος μου ἔλυσε· πύλας χαλκᾶς συνέτριψε· ψυχάς, ἃς κατεῖχον τὸ πρίν,* Θεὸς ὢν ἀνέστησε.* Δόξα, Κύριε, τῷ Σταυρῷ σου* καὶ τῇ ἀναστάσει σου. (Δὶς)

Σήμερον ὁ ᾅδης στένων βοᾷ· Κατελύθη μου ἡ ἐξουσία* ἐδεξάμην θνητὸν* ὥσπερ ἕνα τῶν θανόντων·* τοῦτον δὲ κατέχειν* ὅλως οὐκ ἰσχύω,* ἀλλ' ἀπολῶ μετὰ τούτου ὧν ἐβασίλευον·* ἐγὼ εἶχον τοὺς νεκροὺς ἀπ' αἰῶνος,* ἀλλὰ οὗτος ἰδοὺ πάντας ἐγείρει.* Δόξα, Κύριε, τῷ Σταυρῷ σου* καὶ τῇ ἀναστάσει σου.

Σήμερον ὁ ᾅδης στένων βοᾷ· Κατεπόθη μου τὸ κράτος·* ὁ ποιμὴν ἐσταυρώθη* καὶ τὸν Ἀδὰμ ἀνέστησεν·* ὧν-περ ἐβασίλευον* ἐστέρημαι,* καὶ οὓς κατέπιον ἰσχύσας,*

πάντας ἐξήμεσα·* ἐκένωσε τοὺς τάφους ὁ σταυρωθείς·* οὐκ ἰσχύει τοῦ θανάτου τὸ κράτος.* Δόξα, Κύριε, τῷ Σταυρῷ σου* καὶ τῇ ἀναστάσει σου.

Δόξα. Ἦχος πλ. β'.

Τὴν σήμερον μυστικῶς... (σ. 1292).

Καὶ νῦν. Θεοτοκίον. Ἦχος α'.

Τὴν παγκόσμιον δόξαν... (σ. 383).

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν. Καὶ εὐθὺς τὰ ἀναγνώσματα.

Α'. Γενέσεως τὸ ἀνάγνωσμα (α' 1-13).

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός... (σ. 592).

Β'. Προφητείας Ἰωνᾶ τὸ ἀνάγνωσμα (α'-δ').

Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευῖ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με. Καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσεὶς ἐκ προσώπου Κυρίου· καὶ κατέβη εἰς Ἰόππην καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσεὶς καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ καὶ ἀνέβη εἰς αὐτό, τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσεὶς ἐκ προσώπου Κυρίου.

Καὶ Κύριος ἐξήγειρε πνεῦμα μέγα εἰς τὴν θάλασσαν· καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι. Καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ καὶ ἀνεβόων ἕκαστος πρὸς τὸν Θεὸν αὐτοῦ καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θαλασσαν τοῦ κουφισθῆναι ἀπ' αὐτῶν. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοιλίαν τοῦ πλοίου καὶ ἐκάθευδε καὶ ἔρρεγχε. Καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ· Τί σὺ ῥέγχεις; ἀνάστα καὶ ἐπικαλοῦ τὸν Θεόν σου, εἴπως διασώσῃ ὁ Θεὸς ἡμᾶς καὶ οὐ μὴ ἀπολώμεθα.

Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Δεῦτε βάλωμεν κλήρους καὶ ἐπιγνῶμεν, τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐφ' ἡμᾶς. Καὶ ἔβαλον κλήρους· καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ

Ἰωνᾶν. Καὶ εἶπον πρὸς αὐτόν· Ἀπάγγειλον ἡμῖν, τίνος ἕνεκεν τὸ κακὸν τοῦτο ἐν ἡμῖν; τίς σου ἡ ἐργασία ἐστί; καὶ πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ; Καὶ εἶπε πρὸς αὐτούς· Δοῦλος Κυρίου εἰμὶ ἐγὼ καὶ Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν· καὶ εἶπον πρὸς αὐτόν· Τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες, ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς· καὶ εἶπον πρὸς αὐτόν· Τί ποιήσωμέν σοι, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· Ἄρατέ με καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγώ, ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστι.

Καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς. Καὶ ἀνεβόησαν πρὸς Κύριον καὶ εἶπον· Μηδαμῶς, Κύριε, μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον· διότι σύ, Κύριε, ὃν τρόπον ἐβούλου, πεποίηκας. Καὶ ἔλαβον τὸν Ἰωνᾶν καὶ ἐνέβαλον αὐτὸν εἰς τὴν θάλασσαν· καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον καὶ ἔθυσαν θυσίαν τῷ Κυρίῳ καὶ ηὔξαντο τὰς εὐχάς.

Καὶ προσέταξε Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους καὶ εἶπεν.

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου,
καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου.
Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με.
Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Κἀγὼ εἶπον· Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἀρ
προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου
Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύ
κλωσέ με ἐσχάτη.

Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην
εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σέ, Κύριε
ὁ Θεός μου.

Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου τοῦ Κυ-
ρίου ἐμνήσθην· καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς
ναὸν τὸν ἅγιόν σου.

Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγ-
κατέλιπον.

Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως
θύσω σοι· ὅσα ηὐξάμην, ἀποδώσω σοι εἰς σωτηρίαν
μου τῷ Κυρίῳ.

Καὶ προσέταξε Κύριος τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν
ἐπὶ τὴν ξηράν.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου λέ-
γων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευῖ τὴν πόλιν τὴν μεγά-
λην καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ ῥῆμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ
ἐλάλησα πρὸς σέ. Καὶ ἀνέστη Ἰωνᾶς καὶ ἐπορεύθη εἰς Νι-
νευῖ, καθὰ ἐλάλησεν αὐτῷ Κύριος· ἡ δὲ Νινευῖ ἦν πόλις με-
γάλη τῷ Θεῷ ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. Καὶ ἤρξατο
Ἰωνᾶς τοῦ εἰσπορεύεσθαι εἰς τὴν πόλιν ὡσεὶ πορείαν ἡμέρας
μιᾶς· καὶ ἐκήρυξε καὶ εἶπεν· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῖ
καταστραφήσεται.

Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευῖ τῷ Θεῷ καὶ ἐκήρυξαν
νηστείαν καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως
μικροῦ αὐτῶν. Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς
Νινευῖ, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ περιείλετο
τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ καὶ περιεβάλετο σάκκον καὶ ἐ-
κάθισεν ἐπὶ σποδοῦ. Καὶ ἐκηρύχθη καὶ ἐῤῥέθη ἐν τῇ Νινευῖ
παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ λεγόν-
των· Οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα

μὴ γευσάσθωσαν μηδὲ νεμέσθωσαν μηδὲ ὕδωρ πιέτωσαν. Καὶ περιεβάλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτῆνη καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν, λέγοντες· Τίς οἶδεν, εἰ μετανοήσει ὁ Θεὸς καὶ παρακληθήσεται καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ καὶ οὐ μὴ ἀπολώμεθα;

Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε. Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην· καὶ συνεχύθη καὶ προσηύξατο πρὸς Κύριον καὶ εἶπεν· Ὦ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου, ἔτι ὄντος μου ἐν τῇ γῇ; Διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσείς, διότι ἔγνων, ὅτι σὺ ἐλεήμων εἶ καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ κακίαις. Καὶ νῦν, Δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με μᾶλλον ἢ ζῆν με. Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· Εἰ σφόδρα λελύπησαι σύ;

Καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως καὶ ἐποίησεν ἑαυτῷ σκηνὴν καὶ ἐκάθητο ὑποκάτω αὐτῆς ἐν σκιᾷ, ἕως οὗ ἐπίδῃ τί ἔσται τῇ πόλει. Καὶ προσέταξε Κύριος ὁ Θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς Ἰωνᾶ τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ· καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. Καὶ προσέταξεν ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολοκύνθην, καὶ ἐξηράνθη. Καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον καὶ προσέταξεν ὁ Θεὸς πνεύματι καύσωνι συγκαίοντι· καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν Ἰωνᾶ· καὶ ὠλιγοψύχησε καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ καὶ εἶπε· Καλόν μοι ἀποθανεῖν με ἢ ζῆν με.

Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Ἰωνᾶν· Εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; Καὶ εἶπε· Σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. Καὶ εἶπε Κύριος· Σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, οὐδὲ ἐξέθρεψας αὐτήν,

ἡ ἐγενήθη ὑπὸ νύκτα καὶ ὑπὸ νύκτα ἀπώλετο· ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευῖ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά;

Γ'. Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα (γ' 1-23 καὶ ὕμνος τῶν τριῶν παίδων).

Ετους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν· ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἓξ· καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεηρᾶ, ἐν χώρᾳ Βαβυλῶνος. Καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας, ἡγουμένους καὶ τυράννους καὶ τοὺς ἐπ' ἐξουσιῶν καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ' ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος. Καὶ ὁ κῆρυξ ἐβόα ἐν ἰσχύϊ· Ὑμῖν λέγεται, ἔθνη, λαοί, φυλαὶ καὶ γλῶσσαι· Ἡ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Καὶ ἐγένετο, ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς.

Τότε προσῆλθον ἄνδρες Χαλδαῖοι καὶ διέβαλον τοὺς Ἰουδαίους· καὶ ὑπολαβόντες εἶπον Ναβουχοδονόσορ τῷ βασιλεῖ· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· σύ, βασιλεῦ, ἔθηκας δόγμα, πάντα ἄνθρωπον, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτη-

ρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Εἰσὶν οὖν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, οἳ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσι καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησας, οὐ προσκυνοῦσι.

Τότε ὁ Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ· καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως. Καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς· Εἰ ἀληθῶς Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησα, οὐ προσκυνεῖτε; Νῦν οὖν ἔχετε ἑτοίμως, ἵνα, ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ τίς ἐστι θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου;

Ἀπεκρίθησαν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ ὁ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησας, οὐ προσκυνοῦμεν.

Τότε ὁ Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ· καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· καὶ ἄνδρας ἰσχυροὺς ἰσχύϊ εἶπε, πεδήσαντας τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημῖσι, τοῖς ἐνδύμασιν αὐτῶν, καὶ ἐβλήθησαν εἰς τὸ

μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσε· καὶ ἡ κάμινος ἐξεκαύθη ἑκ περισσοῦ ἑπταπλασίως. Καὶ οἱ τρεῖς οὗτοι, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, ἔπεσον ἐν μέσῳ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες καὶ δοξάζοντες τὸν Θεὸν καὶ εὐλογοῦντες τὸν Κύριον.

Καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτω· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας·

Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν· καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς·

Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.

Καὶ πάντα, ὅσα ἐπήγαγες ἡμῖν, καὶ πάντα, ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.

Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε.

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ

Ἰσραὴλ τὸν ἅγιόν σου, οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν.

Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος.

Ἀλλ᾽ ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον καὶ ἐκτελείσθω ὄπισθέν σου· ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ.

Καὶ νῦν ἐξακολουθοῦμέν σοι ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου·

Μὴ καταισχύνῃς ἡμᾶς ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου·

Ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.

Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη·

Καὶ γνώτωσαν, ὅτι σὺ εἶ Κύριος, Θεὸς μόνος καὶ ἔνδοξος ἐφ᾽ ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθῃ καὶ πίσσῃ καὶ στυππίῳ καὶ κληματίδι. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα· καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρί-

ζον· καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ οὐδὲ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτούς. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ εὐλόγουν καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες·

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, τὸ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εὐλογημένος εἶ ἐν τῷ στερώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Ἀνιστάμενοι δὲ ψάλλομεν εἰς ἦχον α΄.

Τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Εἶτα ὁ μὲν ἀναγνώστης λέγει τὸν ἑπόμενον ὕμνον, ἡμεῖς δὲ μεθ' ἕκαστον τῶν στίχων αὐτοῦ ψάλλομεν· Τὸν Κύριον ὑμνεῖτε...

ΥΜΝΟΣ ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΩΝ ΠΑΙΔΩΝ

Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Εὐλογεῖτε, ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον.

Εὐλογεῖτε, ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν Κύριον.

Εὐλογεῖτε, ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον.

Εὐλογεῖτε, φῶς καὶ σκότος, νύκτες καὶ ἡμέραι, τὸν Κύριον.

Εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον.

Εὐλογεῖτε, πῦρ καὶ καῦμα, ψῦχος καὶ καύσων, τὸν Κύριον.

Εὐλογεῖτε, δρόσοι καὶ νιφετοί, πάγοι καὶ ψῦχος, τὸν Κύριον.

Εὐλογεῖτε, πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον.

Εὐλογεῖτε, γῆ, ὄρη καὶ βουνοί, καὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον.

Εὐλογεῖτε, πηγαί, θάλασσα καὶ ποταμοί, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον.

Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον.

Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραήλ, τὸν Κύριον.

Εὐλογεῖτε, ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον.

Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον.

Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία καὶ Μισαὴλ τὸν Κύριον.

Εὐλογεῖτε, ἀπόστολοι, προφῆται καὶ μάρτυρες Κυρίου, τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον.

Τὸν Κύριον ὑμνοῦμεν* καὶ ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Τὸν Κύριον ὑμνοῦμεν* καὶ δοξολογοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Εἶτα ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.
Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν...
Καὶ ψάλλομεν ἀντὶ τοῦ Τρισαγίου τὸ ἑξῆς.

Ἦχος α'.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε,* Χριστὸν ἐνεδύσασθε.* Ἀλληλούϊα.

Προκείμενον. Ἦχος πλ. α'. Ψαλμὸς ξε'.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι.

Στίχ. Ἀλαλάξατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ.

Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου (ς' 3-11).

Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν... (σ. 583).

Καὶ εὐθὺς ἀντὶ τοῦ Ἀλληλούϊα ψάλλομεν τὸν παρόντα στίχον, ὁ δὲ ἱερεὺς σκορπίζει δάφνας ἐν τῷ ναῷ.

Ἦχος βαρύς. (Ψαλμὸς πα').

Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

Τὸ αὐτὸ ἐπαναλαμβάνεται μεθ' ἕκαστον τῶν στίχων τοῦ Ψαλμοῦ, ἀπαγγελλομένων ὑπὸ τοῦ κανονάρχου.

Στίχ. α'. Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

Στίχ. β'. Ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

Στίχ. γ'. Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε.

Στίχ. δ'. Ἐξέλεσθε πένητα καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.

Στίχ. ε'. Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται· σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.

Στίχ. ς'. Ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

Καὶ ὁ διάκονος

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κη' 1-20).

Ὀψὲ Σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. Ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγένοντο ὡσεὶ νεκροί. Ἀποκριθεὶς δὲ ὁ ἄγγελος, εἶπε ταῖς γυναιξί· Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γάρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ, καθὼς εἶπε. Δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος. Καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ εἶπον ὑμῖν.

Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ Ἰησοῦς ἀπήντησεν αὐταῖς λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε· ὑπάγετε ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται.

Πορευομένων δὲ αὐτῶν ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις λέγοντες· Εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐ-

πὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. Οἱ δὲ λαβόντες τὰ ἀργύρια ἐποίησαν ὡς ἐδιδάχθησαν. Καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον.

Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου (σ. 320-342).

Ἀντὶ δὲ τοῦ συνήθους χερουβικοῦ ὕμνου ψάλλεται ὁ παρών.

Ἦχος πλ. α'.

Σιγησάτω πᾶσα σὰρξ βροτεία* καὶ στήτω μετὰ φόβου καὶ τρόμου* καὶ μηδὲν γῆϊνον ἐν ἑαυτῇ λογιζέσθω·* ὁ γὰρ βασιλεὺς τῶν βασιλευόντων* καὶ Κύριος τῶν κυριευόντων* προσέρχεται σφαγιασθῆναι* καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς·* προηγοῦνται δὲ τούτου* οἱ χοροὶ τῶν ἀγγέλων* μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας,* τὰ πολυόμματα Χερουβὶμ* καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ,* τὰς ὄψεις καλύπτοντα* καὶ βοῶντα τὸν ὕμνον·* Ἀλληλούϊα,* ἀλληλούϊα,* ἀλληλούϊα.

Κοινωνικόν.

Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σῴζων ἡμᾶς. Ἀλληλούϊα.

Ἀντὶ δὲ τοῦ Εἴδομεν τὸ φῶς, λέγεται τὸ παρόν.

Μνήσθητι, εὔσπλαγχνε, καὶ ἡμῶν,* καθὼς ἐμνημόνευσας τοῦ λῃστοῦ* ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ἀπόλυσις· Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Δι' εὐχῶν...

Τὸ κάτωθι ἀνάγνωσμα ἀνήκει εἰς τὴν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ τῆς Παρασκευῆς τῆς Γ' ἑβδομάδος τῶν νηστειῶν (σ. 937).

Παροιμιῶν τὸ ἀνάγνωσμα (ι' 31 - ια' 12).

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἀποστάζει χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόμασι δὲ ἀσεβῶν κατεσκάφη. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

ΠΑΡΑΡΤΗΜΑ

Α΄ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ ΥΜΝΟΥ
Β΄ ΑΠΟΣΤΟΛΟΕΥΑΓΓΕΛΙΑ ΚΥΡΙΑΚΩΝ
Γ΄ ΠΑΣΧΑΛΙΟΙ ΠΙΝΑΚΕΣ ΚΑΙ ΟΔΗΓΙΑΙ

«Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί». (Λουκᾶ α΄ 28).



ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ ΥΜΝΟΥ
ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Ὁ ἀκάθιστος ὕμνος ψάλλεται τμηματικῶς μὲν κατὰ τὰς τέσσαρας πρώτας Παρασκευὰς τῆς Μ. Τεσσαρακοστῆς, ὁλόκληρος δὲ τῇ Παρασκευῇ τῆς Ε΄ ἑβδομάδος κατὰ τὴν ἀκόλουθον τάξιν.

Α΄.
ΤΗ ΠΑΡΑΣΚΕΥΗ
ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ
ΕΣΠΕΡΑΣ

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκεται το Μικρὸν Ἀπόδειπνον μέχρι τοῦ Ἄξιόν ἐστιν (σ. 274-279). Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς·

Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ. Ἰωσήφ.

Ποίημα Ἰωσὴφ τοῦ ὑμνογράφου.

Ἦχος δ΄. Ὠδὴ α΄. Ὁ εἱρμός.

Ἀνοίξω τὸ στόμα μου* καὶ πληρωθήσεται Πνεύματος,* καὶ λόγον ἐρεύξομαι* τῇ βασιλίδι Μητρί·* καὶ ὀφθήσομαι* φαιδρῶς πανηγυρίζων,* καὶ ᾄσω γηθόμενος* ταύτης τὰ θαύματα. (Δὶς)

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χριστοῦ βίβλον ἔμψυχον* ἐσφραγισμένην σε Πνεύματι* ὁ μέγας ἀρχάγγελος,* ἀγνή, θεώμενος* ἐπεφώνει σοί·*

Χαῖρε, χαρᾶς δοχεῖον,* δι' ἧς τῆς προμήτορος* ἀρὰ λυθήσεται.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀδὰμ ἐπανόρθωσις,* χαῖρε, Παρθένε Θεόνυμφε,* τοῦ ᾅδου ἡ νέκρωσις·* χαῖρε, πανάμωμε,* τὸ παλάτιον* τοῦ μόνου βασιλέως·* χαῖρε, θρόνε πύρινε* τοῦ παντοκράτορος.

Δόξα.

Ῥόδον τὸ ἀμάραντον,* χαῖρε, ἡ μόνη βλαστήσασα·* τὸ μῆλον τὸ εὔοσμον,* χαῖρε, ἡ τέξασα·* τὸ ὀσφράδιον* τοῦ πάντων βασιλέως·* χαῖρε, ἀπειρόγαμε,* κόσμου διάσωσμα.

Καὶ νῦν.

Ἁγνείας θησαύρισμα,* χαῖρε, δι' ἧς ἐκ τοῦ πτώματος* ἡμῶν ἐξανέστημεν·* χαῖρε, ἡδύπνοον* κρίνον, Δέσποινα,* πιστοὺς εὐωδιάζον·* θυμίαμα εὔοσμον,* μύρον πολύτιμον.

Ὠδὴ γ'. Ὁ εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,* ἡ ζῶσα καὶ ἄφθονος πηγή,* θίασον συγκροτήσαντας* πνευματικόν, στερέωσον* καὶ ἐν τῇ θείᾳ δόξῃ σου* στεφάνων δόξης ἀξίωσον. (Δὶς)

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Στάχυν ἡ βλαστήσασα τὸν θεῖον,* ὡς χώρα ἀνήροτος σαφῶς,* χαῖρε, ἔμψυχε τράπεζα,* ἄρτον ζωῆς χωρήσασα·* χαῖρε, τοῦ ζῶντος ὕδατος* πηγὴ ἀκένωτος, Δέσποινα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἁμαλὶς τὸν μόσχον ἡ τεκοῦσα* τὸν ἄμωμον, χαῖρε, τοῖς πιστοῖς·* χαῖρε, ἀμνὰς κυήσασα* Θεοῦ ἀμνὸν τὸν αἴροντα* κόσμου παντὸς τὰ πταίσματα·* χαῖρε, θερμὸν ἱλαστήριον.

Δόξα.

Ορθρος φαεινός, χαῖρε, ἡ μόνη* τὸν ἥλιον φέρουσα Χριστόν,* φωτὸς κατοικητήριον·* χαῖρε, τὸ σκότος λύσασα* καὶ τοὺς ζοφώδεις δαίμονας* ὁλοτελῶς ἐκμειώσασα.

Καὶ νῦν.

Χαῖρε, πύλη μόνη, ἣν ὁ Λόγος* διώδευσε μόνος, ἡ μοχλοὺς* καὶ πύλας ᾅδου, Δέσποινα,* τῷ τόκῳ σου συντρίψασα·* χαῖρε, ἡ θεία εἴσοδος* τῶν σῳζομένων, πανύμνητε.

Ὠδὴ δ'. Ὁ εἱρμός.

Ο καθήμενος ἐν δόξῃ* ἐπὶ θρόνου θεότητος* ἐν νεφέλῃ κούφῃ* ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος* τῇ ἀκηράτῳ παλάμῃ* καὶ διέσωσε* τοὺς κραυγάζοντας·* Δόξα, Χριστέ, τῇ δυνάμει σου.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εν φωναῖς ἀσμάτων πίστει* σοὶ βοῶμεν, πανύμνητε·* Χαῖρε, πῖον ὄρος* καὶ τετυρωμένον ἐν Πνεύματι·* χαῖρε, λυχνία καὶ στάμνε* μάννα φέρουσα* τὸ γλυκαῖνον* τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ιλαστήριον τοῦ κόσμου,* χαῖρε, ἄχραντε Δέσποινα·* χαῖρε, κλῖμαξ γῆθεν* πάντας ἀνυψώσασα χάριτι·* χαῖρε, ἡ γέφυρα ὄντως* ἡ μετάγουσα* ἐκ θανάτου* πάντας πρὸς ζωὴν τοὺς ὑμνοῦντάς σε.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Οὐρανῶν ὑψηλοτέρα,* χαῖρε, γῆς τὸ θεμέλιον* ἐν τῇ σῇ νηδύϊ,* ἄχραντε, ἀκόπως βαστάσασα·* χαῖρε, κογχύλη, πορφύραν* θείαν βάψασα* ἐξ αἱμάτων σου* τῷ βασιλεῖ τῶν δυνάμεων.

Δόξα.

Νομοθέτην ἡ τεκοῦσα* ἀληθῶς, χαῖρε, Δέσποινα,* τὸν τὰς ἀνομίας* πάντων δωρεὰν ἐξαλείφοντα·* ἀκατα-

νόητον βάθος,* ὕψος ἄῤῥητον,* ἀπειρόγαμε,* δι' ἧς ἡμεῖς ἐθεώθημεν.

Καὶ νῦν.

Σὲ τὴν πλέξασαν τῷ κόσμῳ* ἀχειρόπλοκον στέφανον* ἀνυμνολογοῦμεν,* Χαῖρέ σοι, Παρθένε, κραυγάζοντες,* τὸ φυλακτήριον πάντων* καὶ χαράκωμα* καὶ κραταίωμα* καὶ ἱερὸν καταφύγιον.

Ὠδὴ ε'. Ὁ εἱρμός.

Ἐξέστη τὰ σύμπαντα* ἐπὶ τῇ θείᾳ δόξῃ σου'* σὺ γάρ, ἀπειρόγαμε Παρθένε,* ἔσχες ἐν μήτρᾳ* τὸν ἐπὶ πάντων Θεὸν* καὶ τέτοκας ἄχρονον Υἱόν,* πᾶσι τοῖς ὑμνοῦσί σε* σωτηρίαν βραβεύοντα.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁδὸν ἡ κυήσασα* ζωῆς, χαῖρε, πανάμωμε,* ἡ κατακλυσμοῦ τῆς ἁμαρτίας* σώσασα κόσμον'* χαῖρε, Θεόνυμφε,* ἄκουσμα καὶ λάλημα φρικτόν'* χαῖρε, ἐνδιαίτημα* τοῦ Δεσπότου τῆς κτίσεως.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰσχὺς καὶ ὀχύρωμα* ἀνθρώπων, χαῖρε, ἄχραντε,* τόπε ἁγιάσματος τῆς δόξης'* νέκρωσις ᾅδου,* νυμφὼν ὁλόφωτε'* χαῖρε, τῶν ἀγγέλων χαρμονή'* χαῖρε, ἡ βοήθεια* τῶν πιστῶς δεομένων σου.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πυρίμορφον ὄχημα* τοῦ Λόγου, χαῖρε, Δέσποινα,* ἔμψυχε παράδεισε, τὸ ξύλον* ἐν μέσῳ ἔχων* ζωῆς, τὸν Κύριον'* οὗ ὁ γλυκασμὸς ζωοποιεῖ* πίστει τοὺς μετέχοντας* καὶ φθορᾷ ὑποκύψαντας.

Δόξα.

Ρωννύμενοι σθένει σου* πιστῶς ἀναβοῶμέν σοι'* Χαῖρε, πόλις τοῦ παμβασιλέως,* δεδοξασμένα* καὶ ἀξιάκουστα* περὶ ἧς λελάληνται σαφῶς'* ὄρος ἀλατόμητον,* χαῖρε, βάθος ἀμέτρητον.

Καὶ νῦν.

Εὐρύχωρον σκήνωμα* τοῦ Λόγου, χαῖρε, ἄχραντε·* κόχλος ἡ τὸν θεῖον μαργαρίτην* προαγαγοῦσα,* χαῖρε, πανθαύμαστε·* πάντων πρὸς Θεὸν καταλλαγὴ* τῶν μακαριζόντων σε,* Θεοτόκε, ἑκάστοτε.

Ὠδὴ ς'. Ὁ εἱρμός.

Τὴν θείαν ταύτην καὶ πάντιμον* τελοῦντες ἑορτὴν οἱ θεόφρονες* τῆς Θεομήτορος,* δεῦτε τὰς χεῖρας κροτήσωμεν,* τὸν ἐξ αὐτῆς τεχθέντα* Θεὸν δοξάζοντες. (Δὶς)

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Παστὰς τοῦ Λόγου ἀμόλυντε,* αἰτία τῆς τῶν πάντων θεώσεως,* χαῖρε, πανάχραντε,* τῶν προφητῶν περιήχημα,* χαῖρε, τῶν ἀποστόλων* τὸ ἐγκαλλώπισμα.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐκ σοῦ ἡ δρόσος ἀπέσταξε,* φλογμὸν πολυθεΐας ἡ λύσασα·* ὅθεν βοῶμέν σοι·* Χαῖρε, ὁ πόκος ὁ ἔνδροσος,* ὃν Γεδεών, Παρθένε,* προεθεάσατο.

Δόξα.

Ἰδού σοι, Χαῖρε, κραυγάζομεν·* λιμὴν ἡμῖν γενοῦ θαλαττεύουσι,* καὶ ὁρμητήριον* ἐν τῷ πελάγει τῶν θλίψεων* καὶ τῶν σκανδάλων πάντων* τοῦ πολεμήτορος.

Καὶ νῦν.

Χαρᾶς αἰτία, χαρίτωσον* ἡμῶν τὸν λογισμὸν τοῦ κραυγάζειν σοι·* Χαῖρε, ἡ ἄφλεκτος* βάτος, νεφέλη ὁλόφωτε,* ἡ τοὺς πιστοὺς ἀπαύστως* ἐπισκιάζουσα.

Ὠδὴ ζ'. Ὁ εἱρμός.

Οὐκ ἐλάτρευσαν* τῇ κτίσει οἱ θεόφρονες* παρὰ τὸν κτίσαντα·* ἀλλὰ πυρὸς ἀπειλὴν* ἀνδρείως πατήσαντες,* χαίροντες ἐψαλλον·* Ὑπερύμνητε,* ὁ τῶν πατέρων Κύριος* καὶ Θεός, εὐλογητὸς εἶ.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀνυμνοῦμέν σε,* βοῶντες· Χαῖρε, ὄχημα* ἡλίου τοῦ νοητοῦ·* ἄμπελος ἀληθινή* τὸν βότρυν τὸν πέπειρον* ἡ γεωργήσασα,* οἶνον στάζοντα* τὸν τὰς ψυχὰς εὐφραίνοντα* τῶν πιστῶς σε δοξαζόντων.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἱκετήρια* τῶν ἀνθρώπων ἡ κυήσασα,* χαῖρε, Θεόνυμφε·* ἡ ῥάβδος ἡ μυστική,* ἄνθος τὸ ἀμάραντον* ἡ ἐξανθήσασα·* χαῖρε, Δέσποινα,* δι' ἧς χαρᾶς πληροῦμεθα* καὶ ζωὴν κληρονομοῦμεν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ῥητορεύουσα* οὐ σθένει γλῶσσα, Δέσποινα,* ὑμνολογῆσαί σε·* ὑπερ γὰρ τὰ Σεραφὶμ* ὑψώθης, κυήσασα* τὸν βασιλέα Χριστόν·* ὃν ἱκέτευε* πάσης νῦν βλάβης ῥύεσθαι* τοὺς πιστούς σε προσκυνοῦντας.

Δόξα.

Εὐφημῶ σε* μακαρίζοντα τὰ πέρατα* καὶ ἀνακράζει σοι·* Χαῖρε, ὁ τόμος, ἐν ᾧ* δακτύλῳ ἐγέγραπται* Πατρὸς ὁ Λόγος, ἁγνή·* ὃν ἱκέτευε* βίβλῳ ζωῆς τοὺς δούλους σου* καταγράψαι, Θεοτόκε.

Καὶ νῦν.

Ἱκετεύομεν* οἱ δοῦλοί σου, καὶ κλίνομεν* γόνυ καρδίας ἡμῶν·* Κλῖνον τὸ οὖς σου, ἁγνή,* καὶ σῶσον τοὺς θλίψεσι* βιβαζομένους ἡμᾶς,* καὶ συντήρησον* πάσης ἐχθρῶν ἀλώσεως* τὴν σὴν πόλιν, Θεοτόκε.

Ὠδὴ η'. Ὁ εἱρμός.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ* ὁ τόκος τῆς Θεοτόκου διεσώσατο* τότε μὲν τυπούμενος,* νῦν δὲ ἐνεργούμενος* τὴν οἰκουμένην ὅλην σώζειν* ἀγείρει ψάλλουσαν·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νηδύα τῶν λύτων ὑπελάβομεν,* τὸν πάντα βαστάζοντα ἐβάστασας·* γάλακτι ἐξέθρεψας·* νώμασι τὸν τρέφοντα·* τὴν οἰκουμένην ὅλην,* ἁγνή, ᾧ ψάλλομεν·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μωσῆς κατενόησεν ἐν βάτῳ* τὸ μέγα μυστήριον τοῦ τόκου σου·* πάλαι προεικόνισεν* τοῦτο ἐμφανέστατα,* μέσον πυρὸς ἱστάμενος* καὶ μὴ φλεγόμενος,* ἄσηρατε ἁγία Παρθένε·* ὅθεν σε ὑμνοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Οἱ πρώην ἀπάτῃ γυμνωθέντες* στολὴν ἀφθαρσίας ἐνεδύθημεν* τῇ κυοφορίᾳ σου·* καὶ οἱ καθεζόμενοι* ἐν σκότει παραπτώσεων* φῶς κατωπτεύσαμεν,* ψυχῶν κατοικητήριον, Κόρη·* ὅθεν σε ὑμνοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Δόξα.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται·* ζωὴν γὰρ τὴν ἐννάστατον ἐκύησας·* εἴληπται οἱ ἅλιοι* πρώην χρηματίζοντες,* λεπροὶ ἀποκαθαίρονται,* νόσοι διώκονται,* πνευμάτων ἀερίων τὰ πλήθη* ἥττηνται, Παρθένε,* βροτῶν ἡ σωτηρία.

Καὶ νῦν.

Κόσμῳ τεκοῦσα σωτηρίαν,* δι' ἧς ἀπὸ γῆς εἰς ὕψος ἦρθημεν,* χαίροις, παντευλόγητε,* σκέπη καὶ κραταίωμα,* τεῖχος καὶ ὄχύρωμα* τῶν μελῳδούντων, ἁγνή·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Ἅπας γηγενὴς* σκιρτάτω τῷ πνεύματι* λαμπαδουχούμενος·* πανηγυριζέτω δὲ* ἀϋλων νόων* φύσις, γεραίρουσα* τὴν ἱερὰν πανήγυριν* τῆς Θεομήτορος,* καὶ βοάτω·* Χαίροις, παμμακάριστε* Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Τροπάρια.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἵνα σοι πιστοὶ* τὸ Χαῖρε κραυγάζωμεν,* οἱ διὰ σοῦ τῆς χαρᾶς* μέτοχοι γενόμενοι,* τῆς ἀϊδίου* ῥῦσαι ἡμᾶς πειρασμοῦ,* βαρβαρικῆς ἁλώσεως* καὶ πάσης ἄλλης πληγῆς,* διὰ πλῆθος,* Κόρη, παραπτώσεων* ἐπιούσης βροτοῖς ἁμαρτάνουσιν.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὤφθης φωτισμὸς* ἡμῶν καὶ βεβαίωσις·* ὅθεν βοῶμέν σοι·* Χαῖρε, ἄστρον ἄδυτον,* εἰσάγον κόσμῳ* τὸν μέγαν ἥλιον·* χαῖρε, Ἐδὲμ ἀνοίξασα* τὴν κεκλεισμένην, ἀγνή·* χαῖρε, στῦλε* πύρινε, εἰσάγουσα* εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Στῶμεν εὐλαβῶς* ἐν οἴκῳ Θεοῦ ἡμῶν* καὶ ἐκβοήσωμεν·* Χαῖρε, κόσμου Δέσποινα·* χαῖρε, Μαρία,* Κυρία πάντων ἡμῶν·* χαῖρε, ἡ μόνη ἄμωμος* ἐν γυναιξὶ καὶ καλή·* χαῖρε, σκεῦος,* μύρον τὸ ἀκένωτον* ἐπὶ σὲ κενωθὲν εἰσδεξάμενον.

Δόξα.

Ἡ περιστερὰ* ἡ τὸν ἐλεήμονα* ἀποκυήσασα,* χαῖρε, ἀειπάρθενε·* ὁσίων πάντων,* χαῖρε, τὸ καύχημα,* τῶν ἀθλητῶν στεφάνωμα·* χαῖρε, ἁπάντων τε* τῶν δικαίων* θεῖον ἐγκαλλώπισμα,* καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωσμα.

Καὶ νῦν.

Φεῖσαι, ὁ Θεός,* τῆς κληρονομίας σου,* τὰς ἁμαρτίας ἡμῶν* πάσας παραβλέπων νῦν,* εἰς τοῦτο ἔχων* ἐκδυσωποῦσάν σε* τὴν ἐπὶ γῆς ἀσπόρως σε* κυοφορήσασαν,* διὰ μέγα* ἔλεος θελήσαντα* μορφωθῆναι, Χριστέ, τὸ ἀλλότριον.

Εἶτα ψάλλεται τὸ κοντάκιον δίχορον.

Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια
Ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια

Ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε.
Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον
Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
Ἵνα κράζω σοι· Χαῖρε, Νύμφη ἀνύμφευτε.

Καὶ μετὰ τοῦτο ὁ ἱερεὺς ἱστάμενος ἐνώπιον τῆς εἰκόνος τῆς Θεοτόκου ἀπαγγέλλει ἐμμελῶς τὴν Α' στάσιν τῶν οἴκων.

ΣΤΑΣΙΣ ΠΡΩΤΗ

Ἄγγελος πρωτοστάτης* οὐρανόθεν ἐπέμφθη* εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε·* (ἐκ γ') καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ,* σωματούμενόν σε θεωρῶν,* Κύριε,* ἐξίστατο καὶ ἵστατο* κραυγάζων πρὸς αὐτὴν τοιαῦτα·

Χαῖρε, δι' ἧς* ἡ χαρὰ ἐκλάμψει·* χαῖρε, δι' ἧς* ἡ ἀρὰ ἐκλείψει.

Χαῖρε, τοῦ πεσόντος* Ἀδὰμ ἡ ἀνάκλησις·* χαῖρε, τῶν δακρύων* τῆς Εὔας ἡ λύτρωσις.

Χαῖρε, ὕψος δυσανάβατον* ἀνθρωπίνοις λογισμοῖς·* χαῖρε, βάθος δυσθεώρητον* καὶ ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις* βασιλέως καθέδρα·* χαῖρε, ὅτι βαστάζεις* τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστὴρ* ἐμφαίνων τὸν ἥλιον·* χαῖρε, γαστὴρ* ἐνθέου σαρκώσεως.

Χαῖρε, δι' ἧς* νεουργεῖται ἡ κτίσις·* χαῖρε, δι' ἧς* βρεφουργεῖται ὁ κτίστης.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ ἁγία* ἑαυτὴν ἐν ἁγνείᾳ,* φησὶ τῷ Γαβριὴλ θαρσαλέως·* Τὸ παράδοξόν σου τῆς φωνῆς* δυσπαράδεκτόν μου τῇ ψυχῇ* φαίνεται·* ἀσπόρου γὰρ συλλήψεως* τὴν κύησιν πῶς λέγεις; κράζων·

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι* ἡ Παρθένος ζητοῦσα,* ἐβόησε πρὸς τὸν λειτουργοῦντα·* Ἐκ λαγόνων ἀγνῶν Υἱὸν* πῶς ἐστι τεχθῆναι δυνατόν;* λέξον μοι·* πρὸς ἣν ἐκεῖνος ἔφησεν* ἐν φόβῳ, πλὴν κραυγάζων οὕτω·

Χαῖρε, βουλῆς* ἀπορρήτου μύστις·* χαῖρε, σιγῆ* δεομένων πίστις.

Χαῖρε, τῶν θαυμάτων* Χριστοῦ τὸ προοίμιον·* χαῖρε, τῶν δογμάτων* αὐτοῦ τὸ κεφάλαιον.

Χαῖρε, κλῖμαξ ἐπουράνιε,* δι' ἧς κατέβη ὁ Θεός·* χαῖρε, γέφυρα μετάγουσα* τοὺς ἐκ γῆς πρὸς οὐρανόν.

Χαῖρε, τὸ τῶν ἀγγέλων* πολυθρύλλητον θαῦμα·* χαῖρε, τὸ τῶν δαιμόνων* πολυθρήνητον τραῦμα.

Χαῖρε, τὸ φῶς* ἀῤῥήτως γεννήσασα·* χαῖρε, τὸ πῶς* μηδένα διδάξασα.

Χαῖρε, σοφῶν* ὑπερβαίνουσα γνῶσιν·* χαῖρε, πιστῶν* καταυγάζουσα φρένας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Δύναμις τοῦ Ὑψίστου* ἐπεσκίασε τότε* πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ·* καὶ τὴν εὔκαρπον ταύτης νηδὺν* ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν* ἅπασι* τοῖς θέλουσι θερίζειν* σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως·

Ἀλληλούϊα.

Ἔχουσα θεοδόχον* ἡ Παρθένος τὴν μήτραν* ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ·* τὸ δὲ βρέφος ἐκείνης εὐθύς,* ἐπιγνὸν τὸν ταύτης ἀσπασμόν,* ἔχαιρε·* καὶ ἅλμασιν ὡς ᾄσμασιν* ἐβόα πρὸς τὴν Θεοτόκον·

Χαῖρε, βλαστοῦ* ἀμαράντου κλῆμα·* χαῖρε, καρποῦ* ἀκηράτου κτῆμα.

Χαῖρε, γεωργὸν* γεωργοῦσα φιλάνθρωπον·* χαῖρε, φυτουργὸν* τῆς ζωῆς ἡμῶν φύουσα.

Χαῖρε, ἄρουρα βλαστάνουσα* εὐφορίαν οἰκτιρμῶν·* χαῖρε, τράπεζα βαστάζουσα* εὐθηνίαν ἱλασμῶν.

Χαῖρε, ὅτι λειμῶνα* τῆς τρυφῆς ἀναθάλλεις·* χαῖρε, ὅτι λιμένα* τῶν ψυχῶν ἑτοιμάζεις.

Χαῖρε, δεκτὸν* πρεσβείας θυμίαμα·* χαῖρε, παντὸς* τοῦ κόσμου ἐξίλασμα.

Χαῖρε, Θεοῦ* πρὸς θνητοὺς εὐδοκία·* χαῖρε, θνητῶν* πρὸς Θεὸν παῤῥησία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων* λογισμῶν ἀμφιβόλων* ὁ σώφρων Ἰωσὴφ ἐταράχθη,* πρὸς τὴν ἄγαμόν σε θεωρῶν,* καὶ κλεψίγαμον ὑπονοῶν,* ἄμεμπτε·* μαθὼν δέ σου τὴν σύλληψιν* ἐκ Πνεύματος ἁγίου, ἔφη·

Ἀλληλούϊα.

Εἶτα πάλιν οἱ χοροὶ ἐναλλὰξ τὸ κοντάκιον Τῇ ὑπερμάχῳ (σ. 1320).

Ὁ ἀναγνώστης τὸ τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον τοῦ ἁγίου Θεοδώρου.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα* ἔνδον λαβὼν ἐν καρδίᾳ σου,* τὰς ἐναντίας δυνάμεις* κατεπάτησας, πολύαθλε,* καὶ στέφει οὐρανίῳ* ἐστέφθης αἰωνίως* ὡς ἀήττητος.

Τὸ Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ καὶ τὰ ἑξῆς τοῦ Ἀποδείπνου (σ. 279-283). Μετὰ δὲ τὰς εὐχὰς Ἄσπιλε, ἀμόλυντε κ.τ.λ. ὁ ἱερεύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι κ.τ.λ. καὶ ἀναγινώσκει

ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (ιε' 1-7)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό, καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέρῃ. Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. Μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν· καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. Ἐὰν μή τις μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται. Ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν.

Καὶ εὐθὺς τὴν μικρὰν ἀπόλυσιν μετὰ τοῦ Εὐξώμεθα ὑπὲρ εἰρήνης κ.τ.λ. (σ. 283). Εἶτα ψάλλεται τὸ Θεοτοκίον Τὴν ὡραιότητα τῆς παρθενίας σου. Καὶ ὁ ἱερεὺς τὸ Δι' εὐχῶν.

Β'.
ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Β' ΕΒΔΟΜΑΔΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκεται τὸ Μικρὸν Ἀπόδειπνον μέχρι τοῦ Ἄξιόν ἐστιν (σ. 274-279). Εἶτα ψάλλεται ὁ κανὼν Ἀνοίξω τὸ στόμα μου καὶ ἐν τέλει τὸ κοντάκιον Τῇ ὑπερμάχῳ δίχορον (σ. 1313-1321). Καὶ ὁ ἱερεὺς ἀπαγγέλλει τὴν Β' στάσιν τῶν οἴκων.

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

Ἤκουσαν οἱ ποιμένες* τῶν ἀγγέλων ὑμνούντων* τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν·* καὶ δραμόντες ὡς πρὸς ποιμένα,* θεωροῦσι τοῦτον ὡς ἀμνὸν* ἄμωμον,* ἐν τῇ γαστρὶ Μαρίας* βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον·

Χαῖρε, ἀμνοῦ* καὶ ποιμένος Μήτηρ·* χαῖρε, αὐλὴ* λογικῶν προβάτων.

Χαῖρε, ἀοράτων* ἐχθρῶν ἀμυντήριον·* χαῖρε, παραδείσου* θυρῶν ἀνοικτήριον.

Χαῖρε, ὅτι τὰ οὐράνια* συναγάλλεται τῇ γῇ·* χαῖρε, ὅτι τὰ ἐπίγεια* συγχορεύει οὐρανοῖς.

Χαῖρε, τῶν ἀποστόλων* τὸ ἀσίγητον στόμα·* χαῖρε, τῶν ἀθλοφόρων* τὸ ἀνίκητον θάρσος.

Χαῖρε, στερρὸν* τῆς πίστεως ἔρεισμα·* χαῖρε, λαμπρὸν* τῆς χάριτος γνώρισμα.

Χαῖρε, δι' ἧς* ἐγυμνώθη ὁ ᾅδης·* χαῖρε, δι' ἧς* ἐνεδύθημεν δόξαν.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα* θεωρήσαντες μάγοι,* τῇ τούτου ἠκολούθησαν αἴγλῃ·* καὶ ὡς λύχνον κρατοῦντες αὐτόν,* δι' αὐτοῦ ἠρεύνων κραταιὸν* ἄνακτα·* καὶ φθάσαντες τὸν ἄφθαστον,* ἐχάρησαν αὐτῷ βοῶντες·

Ἀλληλούϊα.

Ἰδον παῖδες Χαλδαίων* ἐν χερσὶ τῆς Παρθένου* τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους·* καὶ Δεσπότην νοοῦντες αὐτόν,* εἰ καὶ δούλου ἔλαβε μορφήν,* ἔσπευσαν* τοῖς δώροις θεραπεῦσαι,* καὶ βοῆσαι τῇ εὐλογημένῃ·

Χαῖρε, ἀστέρος* ἀδύτου Μήτηρ·* χαῖρε, αὐγὴ* μυστικῆς ἡμέρας.

Χαῖρε, τῆς ἀπάτης* τὴν κάμινον σβέσασα·* χαῖρε, τῆς Τριάδος* τοὺς μύστας φωτίζουσα.

Χαῖρε, τύραννον ἀπάνθρωπον* ἐκβαλοῦσα τῆς ἀρχῆς·* χαῖρε, Κύριον φιλάνθρωπον* ἐπιδείξασα Χριστόν.

Χαῖρε, ἡ τῆς βαρβάρου* λυτρουμένη θρησκείας·* χαῖρε, ἡ τοῦ βορβόρου* ῥυομένη τῶν ἔργων.

Χαῖρε, πυρὸς* προσκύνησιν παύσασα·* χαῖρε, φλογὸς* παθῶν ἀπαλλάττουσα.

Χαῖρε, πιστῶν* ὁδηγὲ σωφροσύνης·* χαῖρε, πασῶν* γενεῶν εὐφροσύνη.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι* γεγονότες οἱ μάγοι,* ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα·* ἐκτελέσαντές σου τὸν χρησμὸν* καὶ κηρύξαντές σε τὸν Χριστὸν* ἅπασιν,* ἀφέντες τὸν Ἡρῴδην* ὡς ληρῶδη, μὴ εἰδότα ψάλλειν·

Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ* φωτισμὸν ἀληθείας,* ἐδίωξας τοῦ ψεύδους τὸ σκότος·* τὰ γὰρ εἴδωλα ταύτης, Σωτήρ,* μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν* πέπτωκεν·* οἱ τούτων δὲ ῥυσθέντες,* ἐβόων πρὸς τὴν Θεοτόκον·

Χαῖρε, ἀνόρθωσις* τῶν ἀνθρώπων·* χαῖρε κατάπτωσις* τῶν δαιμόνων.

Χαῖρε, τῆς ἀπάτης* τὴν πλάνην πατήσασα·* χαῖρε, τῶν εἰδώλων* τὸν δόλον ἐλέγξασα.

Χαῖρε, θάλασσα ποντίσασα* Φαραὼ τὸν νοητόν·* χαῖρε, πέτρα ἡ ποτίσασα* τοὺς διψῶντας τὴν ζωήν.

Χαῖρε, πύρινε στῦλε* ὁδηγῶν τοὺς ἐν σκότει·* χαῖρε, σκέπη τοῦ κόσμου* πλατυτέρα νεφέλης.

Χαῖρε, τροφὴ* τοῦ μάννα διάδοχε·* χαῖρε, τρυφῆς* ἁγίας διάκονε.

Χαῖρε, ἡ γῆ* τῆς ἐπαγγελίας·* χαῖρε, ἐξ ἧς* ῥέει μέλι καὶ γάλα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Μέλλοντος Συμεῶνος* τοῦ παρόντος αἰῶνος* μεθίστασθαι τοῦ ἀπατεῶνος,* ἐπεδόθης ὡς βρέφος αὐτῷ,* ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεὸς* τέλειος·* διόπερ ἐξεπλάγη* σοῦ τὴν ἄῤῥητον σοφίαν, κράζων·

Ἀλληλούϊα.

Καὶ πάλιν οἱ χοροὶ τὸ κοντάκιον Τῇ ὑπερμάχῳ (σ. 1320).

Ὁ ἀναγνώστης τὸ τρισάγιον κ.τ.λ. καὶ τὸ κοντάκιον τῆς ἡμέρας.

Ὡς ἀπαρχὰς τῆς φύσεως* τῷ φυτουργῷ τῆς κτίσεως* ἡ οἰκουμένη προσφέρει σοι, Κύριε,* τοὺς θεοφόρους μάρτυρας.* Ταῖς αὐτῶν ἱκεσίαις* ἐν εἰρήνῃ βαθείᾳ* τὴν Ἐκκλησίαν σου,* τὴν πολιτείαν σου,* διὰ τῆς Θεοτόκου* συντήρησον, πολυέλεε.

(Ἐὰν δὲ τύχῃ μνήμη ἑορταζομένου ἁγίου, λέγεται ἀντὶ τοῦ ἀνωτέρω τὸ κοντάκιον τοῦ ἁγίου).

Τὸ Κύριε, ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ καὶ τὰ λοιπὰ τοῦ Ἀποδείπνου (σ. 279-284). Μετὰ δὲ τὰς εὐχὰς Ἄσπιλε, ἀμόλυντε κ.τ.λ. εὐθὺς ὁ ἱερεὺς τὴν μικρὰν ἀπόλυσιν μετὰ τοῦ Εὐξώμεθα. Πρὸ δὲ τοῦ Δι' εὐχῶν ψάλλεται τὸ Θεοτοκίον Τὴν ὡραιότητα.

Γ΄.
ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Γ΄ ΕΒΔΟΜΑΔΟΣ

Τελεῖται ἡ ἀκολουθία, ὡς διετάχθη ἀνωτέρω τῇ Παρασκευῇ τῆς Β΄ ἑβδομάδος (σ. 1324), καὶ ἀναγινώσκεται ὑπὸ τοῦ ἱερέως ἡ Γ΄ στάσις τῶν οἴκων.

ΣΤΑΣΙΣ ΤΡΙΤΗ

Νέαν ἔδειξε κτίσιν* ἐμφανίσας ὁ κτίστης* ἡμῖν τοῖς ὑπ᾽ αὐτοῦ γενομένοις,* ἐξ ἀσπόρου βλαστήσας γαστρὸς* καὶ φυλάξας ταύτην, ὥσπερ ἦν,* ἄφθορον,* ἵνα τὸ θαῦμα βλέποντες,* ὑμνήσωμεν αὐτήν, βοῶντες᾽

Χαῖρε, τὸ ἄνθος* τῆς ἀφθαρσίας᾽* χαῖρε, τὸ στέφος* τῆς ἐγκρατείας.

Χαῖρε, ἀναστάσεως* τύπον ἐκλάμπουσα᾽* χαῖρε, τῶν ἀγγέλων* τὸν βίον ἐμφαίνουσα.

Χαῖρε, δένδρον ἀγλαόκαρπον,* ἐξ οὗ τρέφονται πιστοί᾽* χαῖρε, ξύλον εὐσκιόφυλλον,* ὑφ᾽ οὗ σκέπονται πολλοί.

Χαῖρε, κυοφοροῦσα* ὁδηγὸν πλανωμένοις᾽* χαῖρε, ἀπογεννῶσα* λυτρωτὴν αἰχμαλώτοις.

Χαῖρε, κριτοῦ* δικαίου δυσώπησις᾽* χαῖρε, πολλῶν* πταιόντων συγχώρησις.

Χαῖρε, στολὴ* τῶν γυμνῶν παῤῥησίας᾽* χαῖρε, στοργὴ* πάντα πόθον νικῶσα.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες* ξενωθῶμεν τοῦ κόσμου,* τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες᾽* διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεὸς* ἐπὶ γῆς ἐφάνη ταπεινὸς* ἄνθρωπος,* βουλόμενος ἑλκῦσαι* πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοῶντας᾽

Ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς κάτω,* καὶ τῶν ἄνω οὐδόλως* ἀπῆν ὁ ἀπερίγραπτος Λόγος᾽* συγκατάβασις γὰρ θεϊκή,* οὐ μετάβασις δὲ τοπικὴ* γέγονε* καὶ τόκος ἐκ Παρθένου* θεολήπτου ἀκουούσης ταῦτα᾽

Χαῖρε, Θεοῦ* ἀχωρήτου χώρα˙* χαῖρε, σεπτοῦ* μυστηρίου θύρα.

Χαῖρε, τῶν ἀπίστων* ἀμφίβολον ἄκουσμα˙* χαῖρε, τῶν πιστῶν* ἀναμφίβολον καύχημα.

Χαῖρε, ὄχημα πανάγιον* τοῦ ἐπὶ τῶν Χερουβίμ˙* χαῖρε, οἴκημα πανάριστον* τοῦ ἐπὶ τῶν Σεραφίμ.

Χαῖρε, ἡ τἀναντία* εἰς ταὐτὸ ἀγαγοῦσα˙* χαῖρε, ἡ παρθενίαν* καὶ λοχείαν ζευγνῦσα.

Χαῖρε, δι᾽ ἧς* ἐλύθη παράβασις˙* χαῖρε, δι᾽ ἧς* ἠνοίχθη παράδεισος.

Χαῖρε, ἡ κλεὶς* τῆς Χριστοῦ βασιλείας˙* χαῖρε, ἐλπὶς* ἀγαθῶν αἰωνίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Πᾶσα φύσις ἀγγέλων* κατεπλάγη τὸ μέγα* τῆς σῆς ἐνανθρωπήσεως ἔργον˙* τὸν ἀπρόσιτον γὰρ ὡς Θεὸν* ἐθεώρει πᾶσι προσιτὸν* ἄνθρωπον,* ἡμῖν μὲν συνδιάγοντα,* ἀκούοντα δὲ παρὰ πάντων, οὕτως˙

Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους* ὡς ἰχθύας ἀφώνους* ὁρῶμεν ἐπὶ σοί, Θεοτόκε˙* ἀποροῦσι γὰρ λέγειν τὸ πῶς* καὶ Παρθένος μένεις καὶ τεκεῖν* ἴσχυσας˙* ἡμεῖς δὲ τὸ μυστήριον* θαυμάζοντες, πιστῶς βοῶμεν˙

Χαῖρε, σοφίας* Θεοῦ δοχεῖον˙* χαῖρε, προνοίας* αὐτοῦ ταμεῖον.

Χαῖρε, φιλοσόφους* ἀσόφους δεικνύουσα˙* χαῖρε, τεχνολόγους* ἀλόγους ἐλέγχουσα.

Χαῖρε, ὅτι ἐμωράνθησαν* οἱ δεινοὶ συζητηταί˙* χαῖρε, ὅτι ἐμαράνθησαν* οἱ τῶν μύθων ποιηταί.

Χαῖρε, τῶν Ἀθηναίων* τὰς πλοκὰς διασπῶσα˙* χαῖρε, τῶν ἁλιέων* τὰς σαγήνας πληροῦσα.

Χαῖρε, βυθοῦ* ἀγνοίας ἐξέλκουσα˙* χαῖρε, πολλοὺς* ἐν γνώσει φωτίζουσα.

Χαῖρε, ὁλκὰς* τῶν θελόντων σωθῆναι˙* χαῖρε, λιμὴν* τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον,* ὁ τῶν ὅλων κοσμήτωρ* πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε* καὶ ποιμὴν ὑπάρχων ὡς Θεός,* δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς* ἄνθρωπος* ὁμοίῳ γὰρ τὸ ὅμοιον* καλέσας, ὡς Θεὸς ἀκούει·

Ἀλληλούϊα.

Δ'.
ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Δ' ΕΒΔΟΜΑΔΟΣ

Τελεῖται ἡ ἀκολουθία ὡς διετάχθη ἀνωτέρω τῇ Παρασκευῇ τῆς Β' ἑβδομάδος (σ. 1324) καὶ ἀναγινώσκεται ὑπὸ τοῦ ἱερέως ἡ Δ' στάσις τῶν οἴκων.

ΣΤΑΣΙΣ ΤΕΤΑΡΤΗ

Τεῖχος εἶ τῶν παρθένων,* Θεοτόκε Παρθένε,* καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων* ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς* κατεσκεύασέ σε ποιητής,* ἄχραντε,* οἰκήσας ἐν τῇ μήτρᾳ σου* καὶ πάντας σοι προσφωνεῖν διδάξας·

Χαῖρε, ἡ στήλη* τῆς παρθενίας* χαῖρε, ἡ πύλη* τῆς σωτηρίας.

Χαῖρε, ἀρχηγὲ* νοητῆς ἀναπλάσεως* χαῖρε, χορηγὲ* θείκης ἀγαθότητος.

Χαῖρε, σὺ γὰρ ἀνεγέννησας* τοὺς συλληφθέντας αἰσχρῶς* χαῖρε, σὺ γὰρ ἐνουθέτησας,* τοὺς συληθέντας τὸν νοῦν.

Χαῖρε, ἡ τὸν φθορέα* τῶν φρενῶν καταργοῦσα* χαῖρε, ἡ τὸν σπορέα* τῆς ἁγνείας τεκοῦσα.

Χαῖρε, παστὰς* ἀσπόρου νυμφεύσεως* χαῖρε, πιστοὺς* Κυρίῳ ἁρμόζουσα.

Χαῖρε, καλὴ* κουροτρόφε παρθένων* χαῖρε, ψυχῶν* νυμφοστόλε ἁγίων.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὑμνος ἅπας ἡττᾶται* συνεκτείνεσθαι σπεύδων* τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου·* ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδὰς* ἂν προσφέρωμέν σοι, βασιλεῦ* ἅγιε,* οὐδὲν τελοῦμεν ἄξιον,* ὧν δέδωκας ἡμῖν τοῖς σοὶ βοῶσιν·

Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα* τοῖς ἐν σκότει φανεῖσαν* ὁρῶμεν τὴν ἁγίαν Παρθένον·* τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς* ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν* ἅπαντας,* αὐγῇ τὸν νοῦν φωτίζουσα,* κραυγῇ δὲ τιμωμένη ταῦτα·

Χαῖρε, ἀκτὶς* νοητοῦ ἡλίου·* χαῖρε, βολὶς* τοῦ ἀδύτου φέγγους.

Χαῖρε, ἀστραπὴ* τὰς ψυχὰς καταλάμπουσα·* χαῖρε, ὡς βροντὴ* τοὺς ἐχθροὺς καταπλήττουσα.

Χαῖρε, ὅτι τὸν πολύφωτον* ἀνατέλλεις φωτισμόν·* χαῖρε, ὅτι τὸν πολύῤῥυτον* ἀναβλύζεις ποταμόν.

Χαῖρε, τῆς κολυμβήθρας* ζωγραφοῦσα τὸν τύπον·* χαῖρε, τῆς ἁμαρτίας* ἀναιροῦσα τὸν ῥύπον.

Χαῖρε, λουτὴρ* ἐκπλύνων συνείδησιν·* χαῖρε, κρατὴρ* κιρνῶν ἀγαλλίασιν.

Χαῖρε, ὀσμὴ* τῆς Χριστοῦ εὐωδίας·* χαῖρε, ζωὴ* μυστικῆς εὐωχίας.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας* ὀφλημάτων ἀρχαίων* ὁ πάντων χρεωλύτης ἀνθρώπων,* ἐπεδήμησε δι' ἑαυτοῦ* πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ* χάριτος·* καὶ σχίσας τὸ χειρόγραφον,* ἀκούει παρὰ πάντων οὕτως·

Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν τόκον,* ἀνυμνοῦμέν σε πάντες* ὡς ἔμψυχον ναόν, Θεοτόκε·* ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ* ὁ συνέχων πάντα τῇ χειρὶ* Κύριος,* ἡγίασεν, ἐδόξασεν,* ἐδίδαξε βοᾶν σοι πάντας·

Χαῖρε, σκηνὴ* τοῦ Θεοῦ καὶ Λόγου·* χαῖρε, ἁγία* ἁγίων μείζων.

Χαῖρε, κιβωτὲ* χρυσωθεῖσα τῷ Πνεύματι·* χαῖρε, θησαυρὲ* τῆς ζωῆς ἀδαπάνητε.

Χαῖρε, τίμιον διάδημα* βασιλέων εὐσεβῶν·* χαῖρε, καύχημα σεβάσμιον* ἱερέων εὐλαβῶν.

Χαῖρε, τῆς Ἐκκλησίας* ὁ ἀσάλευτος πύργος·* χαῖρε, τῆς βασιλείας* τὸ ἀπόρθητον τεῖχος.

Χαῖρε, δι' ἧς* ἐγείρονται τρόπαια·* χαῖρε, δι' ἧς* ἐχθροὶ καταπίπτουσι.

Χαῖρε, χρωτὸς* τοῦ ἐμοῦ θεραπεία·* χαῖρε, ψυχῆς* τῆς ἐμῆς σωτηρία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε Μῆτερ,* ἡ τεκοῦσα τὸν πάντων* ἁγίων ἁγιώτατον Λόγον,* (ἐκ γ') δεξαμένη τὴν νῦν προσφοράν,* ἀπὸ πάσης ῥῦσαι συμφορᾶς* ἅπαντας·* καὶ τῆς μελλούσης λύτρωσαι* κολάσεως τοὺς συμβοῶντας·

Ἀλληλούϊα.

Καὶ πάλιν τὸν α' οἶκον Ἄγγελος πρωτοστάτης... (σ. 1321).

Ε'.
ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ Ε' ΕΒΔΟΜΑΔΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως ἀναγινώσκεται τὸ Μικρὸν Ἀπόδειπνον μέχρι τοῦ Ἄξιόν ἐστιν (σ. 274-279). Εἶτα ψάλλεται

Τροπάριον αὐτόμελον. Ἦχος πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς* λαβὼν ἐν γνώσει,* ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ* σπουδῇ ἐπέστη* ὁ ἀσώματος, λέγων* τῇ ἀπειρογάμῳ·* Ὁ κλίνας τῇ καταβάσει* τοὺς οὐρανοὺς* χωρεῖται ἀναλλοιώτως* ὅλος ἐν σοί·* ὃν καὶ βλέπων ἐν μήτρᾳ σου* λαβόντα δούλου μορφὴν,* ἐξίσταμαι κραυγάζων σοι·* Χαῖρε, Νύμφη ἀνύμφευτε. (Ἐκ γ').

Καὶ ὁ ἱερεὺς ἀναγινώσκει τὴν α' στάσιν τῶν οἴκων (σ. 1321-1323).

Εἶτα ψάλλεται ἡ α′ καὶ ἡ γ′ ᾠδὴ τοῦ κανόνος (σ. 1313-1315) καὶ τὸ κοντάκιον Τῇ ὑπερμάχῳ δίχορον, καὶ ἀναγινώσκεται ἡ Β′ στάσις τῶν οἴκων (σ. 1324-26).

Εἶτα ψάλλονται αἱ ᾠδαὶ δ′, ε′ καὶ ς′ (σ. 1315-17) καὶ αὖθις τὸ Τῇ ὑπερμάχῳ δίχορον, καὶ ἀναγινώσκεται ἡ Γ′ στάσις τῶν οἴκων (σ. 1327-29).

Ἀκολούθως ψάλλονται αἱ ᾠδαὶ ζ′, η′ καὶ θ′ (σ. 1317-20), αὖθις τὸ Τῇ ὑπερμάχῳ δίχορον, καὶ ἀναγινώσκεται ἡ Δ′ στάσις τῶν οἴκων (σ. 1329-31).

Καὶ εὐθὺς ὁ ἀναγνώστης τὸ τρισάγιον κ.τ.λ., τὸ Τῇ ὑπερμάχῳ χῦμα, τὸ Κύριε, ἐλέησον μ′, Ὁ ἐν παντὶ καιρῷ, καὶ τὰ λοιπὰ τοῦ Μικροῦ Ἀποδείπνου (σ. 279-284)· πρὸ δὲ τοῦ Δι' εὐχῶν τὸ θεοτοκίον Τὴν ὡραιότητα.

Ο ΑΚΑΘΙΣΤΟΣ ΥΜΝΟΣ ΜΕΤΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ ΤΗΣ ΕΟΡΤΗΣ ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ

1. – Ἐὰν ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τύχῃ τῷ Σαββάτῳ τῆς Α′, Β′, Γ′ ἢ Δ′ ἑβδομάδος τῶν νηστειῶν, τῇ Παρασκευῇ ἑσπέρας τελεῖται ὁ Ἑσπερινὸς τῆς ἑορτῆς (σ. 773-777). Μετὰ δὲ τὸ Νῦν ἀπολύεις ψάλλεται τὸ κοντάκιον Τῇ ὑπερμάχῳ δίχορον καὶ ἀναγινώσκεται ἡ ὡρισμένη στάσις τῶν οἴκων. Εἶτα τὸ Τῇ ὑπερμάχῳ, τὸ τρισάγιον κ.τ.λ., τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἐκ γ′ καὶ ἡ ἀπόλυσις μετὰ τοῦ χαρακτηριστικοῦ τῆς ἑορτῆς (σ. 777).

Ἡ αὐτὴ τάξις τηρεῖται καὶ ὅταν ἡ ἑορτὴ συμπίπτῃ τῇ Παρασκευῇ τῆς Α′, Β′, Γ′ ἢ Δ′ ἑβδομάδος τῶν νηστειῶν, τελουμένου τοῦ Ἑσπερινοῦ τῆς ἀποδόσεως τῆς ἑορτῆς.

2. – Ἐὰν ἡ ἑορτὴ τύχῃ τῷ Σαββάτῳ τῆς Ε′ ἑβδομάδος τῶν νηστειῶν, τῇ Παρασκευῇ ἑσπέρας τελεῖται ὁ Ἑσπερινὸς τῆς ἑορτῆς (σ. 773-777). Μετὰ δὲ τὸ Νῦν ἀπολύεις ψάλ-

λεται τὸ τροπάριον Τὸ προσταχθὲν μυστικῶς (σ. 1331) ἐκ γ' καὶ ἀναγινώσκονται αἱ στάσεις τῶν οἴκων μετὰ τοῦ κανόνος, ὡς διετάχθη ἀνωτέρω (σ. 1331). Μετὰ δὲ τὴν Δ' στάσιν εὐθὺς τὸ τρισάγιον κ.τ.λ. τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἐκ γ' καὶ ἡ ἀπόλυσις μετὰ τοῦ χαρακτηριστικοῦ τῆς ἑορτῆς.

Ἡ αὐτὴ τάξις τηρεῖται καὶ ὅταν ἡ ἑορτὴ συμπέσῃ τῇ Παρασκευῇ τῆς Ε' ἑβδομάδος τῶν νηστειῶν, τελουμένου τοῦ Ἑσπερινοῦ τῆς ἀποδόσεως τῆς ἑορτῆς.

ΑΠΟΣΤΟΛΟΙ ΚΑΙ ΕΥΑΓΓΕΛΙΑ ΚΥΡΙΑΚΩΝ ΑΠΟ ΤΗΣ ΑΠΟΔΟΣΕΩΣ ΤΩΝ ΘΕΟΦΑΝΕΙΩΝ ΜΕΧΡΙ ΤΗΣ ΕΝΑΡΞΕΩΣ ΤΟΥ ΤΡΙΩΔΙΟΥ

Μεταξὺ τῆς ἀποδόσεως τῆς ἑορτῆς τῶν Θεοφανείων καὶ τῆς ἐνάρξεως τοῦ Τριῳδίου εἶναι δυνατὸν νὰ μεσολαβήσουν κατὰ μὲν τὸ παλαιὸν ἡμερολόγιον ἕως τέσσαρες Κυριακαί, κατὰ δὲ τὸ νέον ἕως ἕξ. Κατ' αὐτὰς ἀναγινώσκονται αἱ παρατιθέμεναι ἐν συνεχείᾳ ἀποστολικαὶ καὶ εὐαγγελικαὶ περικοπαὶ κατὰ τὴν ἑξῆς τάξιν.

Α'. **Ἐὰν μεσολαβῇ μία Κυριακή,** ἤτοι ὅταν τὸ Τριῴδιον ἄρχεται ἀπὸ 22 ἕως 28 Ἰανουαρίου.

Ἀπόστ. ΛΒ' Κυρ. (σ. 1337). Εὐαγγ. ΙΕ' Λουκᾶ (σ. 1338).

Β'. **Ἐὰν μεσολαβοῦν δύο Κυριακαί,** ἤτοι ὅταν τὸ Τριῴδιον ἄρχεται ἀπὸ 29 Ἰαν. ἕως 4 Φεβρουαρίου.

1. – Ἀπόστ. ΚΘ' Κυρ. (σ. 1335). Εὐαγγ. ΙΒ' Λουκᾶ (σ. 1336).
2. – Ἀπόστ. ΛΒ' Κυρ. (σ. 1337). Εὐαγγ. ΙΕ' Λουκᾶ (σ. 1338).

Γ'. **Ἐὰν μεσολαβοῦν τρεῖς Κυριακαί,** ἤτοι ὅταν τὸ Τριῴδιον ἄρχεται ἀπὸ 5 ἕως 11 Φεβρουαρίου.

1. – Ἀπόστ. ΚΘ' Κυρ. (σ. 1335). Εὐαγγ. ΙΒ' Λουκᾶ (σ. 1336).
2. – Ἀπόστ. ΛΒ' Κυρ. (σ. 1337). Εὐαγγ. ΙΕ' Λουκᾶ (σ. 1338).
3. – Ἀπόστ. ΙΖ' Κυρ. (σ. 1341). Εὐαγγ. ΙΖ' Ματθ. (σ. 1341).

Δ'. **Ἐὰν μεσολαβοῦν τέσσαρες Κυριακαί,** ἤτοι ὅταν τὸ Τριῴδιον ἄρχεται ἀπὸ 12 ἕως 18 Φεβρουαρίου.

1. – Ἀπόστ. ΚΘ' Κυρ. (σ. 1335). Εὐαγγ. ΙΒ' Λουκᾶ (σ. 1336).
2. – Ἀπόστ. ΛΑ' Κυρ. (σ. 1336). Εὐαγγ. ΙΔ' Λουκᾶ (σ. 1337).
3. – Ἀπόστ. ΛΒ' Κυρ. (σ. 1337). Εὐαγγ. ΙΕ' Λουκᾶ (σ. 1338).
4. – Ἀπόστ. ΙΖ' Κυρ. (σ. 1341). Εὐαγγ. ΙΖ' Ματθ. (σ. 1341).

Ε'. **Ἐὰν μεσολαβοῦν πέντε Κυριακαί,** ἤτοι ὅταν τὸ Τριῴδιον ἄρχεται ἀπὸ 19 ἕως 25 Φεβρουαρίου.

1. – Ἀπόστ. ΚΘ' Κυρ. (σ. 1335). Εὐαγγ. ΙΒ' Λουκᾶ (σ. 1336).

2. – Ἀπόστ. ΛΑ′ Κυρ. (σ. 1336). Εὐαγγ. ΙΔ′ Λουκᾶ (σ. 1337).
3. – Ἀπόστ. ΛΒ′ Κυρ. (σ. 1337). Εὐαγγ. ΙΕ′ Λουκᾶ (σ. 1338).
4. – Ἀπόστ. ΙϚ′ Κυρ. (σ. 1339). Εὐαγγ. ΙϚ′ Ματθ. (σ. 1340).
5. – Ἀπόστ. ΙΖ′ Κυρ. (σ. 1341). Εὐαγγ. ΙΖ′ Ματθ. (σ. 1341).

ς′. **Ἐὰν μεσολαβοῦν ἓξ Κυριακαί,** ἤτοι ὅταν τὸ Τριῴδιον ἄρχεται τῇ 26ῃ ἢ 27ῃ Φεβρουαρίου.

1. – Ἀπόστ. ΚΘ′ Κυρ. (σ. 1335). Εὐαγγ. ΙΒ′ Λουκᾶ (σ. 1336).
2. – Ἀπόστ. ΛΑ′ Κυρ. (σ. 1336). Εὐαγγ. ΙΔ′ Λουκᾶ (σ. 1337).
3. – Ἀπόστ. ΛΒ′ Κυρ. (σ. 1337). Εὐαγγ. ΙΕ′ Λουκᾶ (σ. 1338).
4. – Ἀπόστ. ΙΕ′ Κυρ. (σ. 1338). Εὐαγγ. ΙΕ′ Ματθ. (σ. 1339).
5. – Ἀπόστ. ΙϚ′ Κυρ. (σ. 1339). Εὐαγγ. ΙϚ′ Ματθ. (σ. 1340).
6. – Ἀπόστ. ΙΖ′ Κυρ. (σ. 1341). Εὐαγγ. ΙΖ′ Ματθ. (σ. 1341).

Εἰς τὰς ὑπ' ἀριθμ. Δ′-Ε′ περιπτώσεις, ἐὰν ἡ ΙΔ′ Λουκᾶ ἔχῃ ἀναγνωσθῇ κατὰ τὸν Δεκέμβριον (ὅταν ὁ Δεκέμβριος ἔχῃ πέντε Κυριακάς), δὲν ἐπαναλαμβάνεται τὸν Ἰανουάριον, ἀλλὰ μετὰ τὴν ΙΕ′ Λουκᾶ προστίθεται μία Κυριακὴ τοῦ Ματθαίου μετὰ τοῦ ἀντιστοίχου Ἀποστόλου, ἤτοι εἰς μὲν τὴν περίπτ. Δ′ ἡ ΙϚ′ Ματθαίου, εἰς δὲ τὴν περίπτ. Ε′ ἡ ΙΕ′ Ματθαίου.

ΚΥΡΙΑΚΗ ΚΘ′.

Πρὸς Κολασσαεῖς ἐπιστολῆς Παύλου (γ′ 4-11).

Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς· νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν· μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν, ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

ΚΥΡΙΑΚΗ ΙΒ' ΛΟΥΚΑ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ιζ' 12-19).

Τῷ καιρῷ ἐκείνῳ, εἰσερχομένου τοῦ Ἰησοῦ εἴς τινα κώμην ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν, καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. Καὶ ἰδὼν εἶπεν αὐτοῖς· Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν, καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ; Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος; Καὶ εἶπεν αὐτῷ· Ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε.

ΚΥΡΙΑΚΗ ΛΑ'.

Πρὸς Τιμόθεον Α' ἐπιστολῆς Παύλου (α' 15-17).

Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΚΥΡΙΑΚΗ ΙΔ' ΛΟΥΚΑ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ιη' 35-43).

Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο ἐν τῷ ἐγγίζειν τὸν Ἰησοῦν εἰς Ἰεριχὼ τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν· ἀκούσας δὲ ὄχλου διαπορευομένου ἐπυνθάνετο τί εἴη ταῦτα. Ἀπήγειλαν δὲ αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. Καὶ ἐβόησε λέγων· Ἰησοῦ Υἱὲ Δαβίδ, ἐλέησόν με. Καὶ οἱ

προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ· αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαβίδ, ἐλέησόν με. Σταθεὶς δὲ ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. Ἐγγίσαντος δὲ αὐτοῦ ἐπηρώτησεν αὐτὸν λέγων· Τί σοι θέλεις ποιήσω; Ὁ δὲ εἶπε· Κύριε, ἵνα ἀναβλέψω. Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀνάβλεψον· ἡ πίστις σου σέσωκέ σε. Καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ δοξάζων τὸν Θεόν· καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ Θεῷ.

ΚΥΡΙΑΚΗ ΛΒ΄.

Πρὸς Τιμόθεον Α΄ ἐπιστολῆς Παύλου (δ΄ 9-15).

Τέκνον Τιμόθε, πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος· εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. Παράγγελλε ταῦτα καὶ δίδασκε. Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ. Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν.

ΚΥΡΙΑΚΗ ΙΕ΄ ΛΟΥΚΑ

Ἐκ τοῦ κατὰ Λουκᾶν (ιθ΄ 1-10)

Τῷ καιρῷ ἐκείνῳ, διήρχετο ὁ Ἰησοῦς τὴν Ἰεριχώ· καὶ ἰδού, ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος, καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. Καὶ προδραμὼν ἔμπροσθεν ἀνέβη ἐπὶ συκομορέαν, ἵνα ἴδῃ αὐτόν, ὅτι δι' ἐκείνης ἤμελλε διέρχεσθαι. Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. Καὶ ἰδόντες πάντες διεγόγγυ-

ζον λέγοντες ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. Σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον· Ἰδοὺ τὰ ἡμίσιη τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν. Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.

ΚΥΡΙΑΚΗ ΙΕ΄.

Πρὸς Κορινθίους Β΄ ἐπιστολῆς Παύλου (δ΄ 6 - ε΄ 15).

Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ. Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν, ἐν παντὶ θλιβόμενοι ἀλλ' οὐ στενοχωρούμενοι, ἀπορούμενοι ἀλλ' οὐκ ἐξαπορούμενοι, διωκόμενοι ἀλλ' οὐκ ἐγκαταλειπόμενοι, καταβαλλόμενοι ἀλλ' οὐκ ἀπολλύμενοι, πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν.

Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον, «Ἐπίστευσα, διὸ ἐλάλησα», καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν, εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ καὶ παραστήσει σὺν ὑμῖν. Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ.

ΚΥΡΙΑΚΗ ΙΕ΄ ΜΑΤΘΑΙΟΥ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κβ΄ 35-46).

Τῷ καιρῷ ἐκείνῳ, νομικός τις προσῆλθε τῷ Ἰησοῦ πειράζων αὐτὸν καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ με-

γάλη ἐν τῷ νόμῳ; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

Συνηγμένων δὲ τῶν φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; Λέγουσιν αὐτῷ· Τοῦ Δαβίδ. Λέγει αὐτοῖς· Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; Καὶ οὐδεὶς ἠδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

ΚΥΡΙΑΚΗ ΙΣΤ'.

Πρὸς Κορινθίους Β' ἐπιστολῆς Παύλου (ς' 1-10).

Ἀδελφοί, συνεργοῦντες παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς – λέγει γάρ· «Καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι»· ἰδοὺ νῦν «καιρὸς εὐπρόσδεκτος», ἰδοὺ νῦν «ἡμέρα σωτηρίας» – μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας, ὡς πλάνοι καὶ ἀληθεῖς, ὡς ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποθνήσκοντες καὶ ἰδοὺ ζῶμεν, ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι, ὡς λυπούμενοι ἀεὶ δὲ χαίροντες, ὡς πτωχοὶ πολλοὺς δὲ πλουτίζοντες, ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες.

ΚΥΡΙΑΚΗ Ις΄ ΜΑΤΘΑΙΟΥ

Ἐκ τοῦ κατὰ Ματθαῖον (κε΄ 14-30).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ, καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν εἰργάσατο ἐν αὐτοῖς καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα. Ὡσαύτως καὶ ὁ τὰ δύο ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο. Ὁ δὲ τὸ ἓν λαβὼν ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων καὶ συναίρει μετ᾽ αὐτῶν λόγον. Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς. Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ! ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν εἶπε· Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς. Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς εἶπε· Κύριε, ἔγνων σε, ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας· καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν. Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐτῷ· Πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ἤδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα· ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. Ἄρατε οὖν ἀπ᾽ αὐτοῦ τὸ τάλαντον καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ. Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐ-

ξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ταῦτα λέγων ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

ΚΥΡΙΑΚΗ ΙΖ΄.

Πρὸς Κορινθίους Β΄ ἐπιστολῆς Παύλου (ζ΄ 16 - ζ΄ 1).

Ἀδελφοί, ὑμεῖς ἐστε ναὸς Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς «ὅτι ἐνοικῆσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός. Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει Κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ». Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

ΚΥΡΙΑΚΗ ΙΖ΄ ΜΑΤΘΑΙΟΥ

Ἐκ τοῦ κατὰ Ματθαῖον (ιε΄ 21-28).

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγασεν αὐτῷ, λέγουσα· Ἐλέησόν με, Κύριε, υἱὲ Δαβίδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτων αὐτὸν λέγοντες· Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἐλθοῦσα προσεκύνησεν αὐτῷ λέγουσα· Κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπε· Ναὶ Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις! γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

ΠΑΣΧΑΛΙΟΙ ΠΙΝΑΚΕΣ

ΟΔΗΓΙΑΙ
διὰ τὴν χρῆσιν τῶν πινάκων.

Εἰς τὸν πίνακα Α εὑρίσκομεν τὴν ἡμερομηνίαν τοῦ ἁγίου Πάσχα, τόσον κατὰ τὸ ἰσχύον νέον ἡμερολόγιον, ὅσον καὶ κατὰ τὸ παλαιόν.

Ἔχοντες ὑπ' ὄψιν τὴν ἡμερομηνίαν αὐτὴν εὑρίσκομεν εἰς τὸν πίνακα Β τὰς ἡμερομηνίας τῆς ἐνάρξεως τοῦ Τριῳδίου καὶ τῶν ἑορτῶν τῆς Ἀναλήψεως καὶ τῆς Πεντηκοστῆς. Εὑρίσκομεν ἐπίσης ποίαν ἡμέραν τοῦ Τριῳδίου ἢ τοῦ Πεντηκοσταρίου συμπίπτει ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ, πόσας ἡμέρας διαρκεῖ ἡ νηστεία τῶν ἁγίων Ἀποστόλων καὶ ποίαν ἡμέραν τῆς ἑβδομάδος τυγχάνει ἡ μνήμη τῶν κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου.

Σημειωτέον ὅτι τὸ ἅγιον Πάσχα κινεῖται κατὰ μὲν τὸ παλαιὸν ἡμερολόγιον ἀπὸ 22 Μαρτίου μέχρις 25 Ἀπριλίου, κατὰ δὲ τὸ νέον ἀπὸ 4 Ἀπριλίου μέχρις 8 Μαΐου.

Σημειωτέον ἐπίσης, ὅτι, ἐὰν τὸ ἔτος εἶναι δίσεκτον, τὸ Τριῴδιον ἄρχεται μίαν ἡμέραν βραδύτερον τῆς ἀναγραφομένης εἰς τὸν πίνακα Β λόγῳ τῆς προσθήκης τῆς 29ης Φεβρουαρίου.

ΟΔΗΓΙΑΙ
διὰ τὴν εὕρεσιν τοῦ ἤχου καὶ τοῦ ἑωθινοῦ ἑκάστης Κυριακῆς.

Οἱ **ἤχοι** τῆς ἐκκλησιαστικῆς μουσικῆς, δηλ. οἱ τρόποι ψαλμῳδίας, εἶναι ὀκτὼ καὶ ὀνομάζονται κατὰ σειράν:

1. – Πρῶτος (Α΄)
2. – Δεύτερος (Β΄)
3. – Τρίτος (Γ΄)
4. – Τέταρτος (Δ΄)
5. – Πλάγιος πρῶτος (πλ. Α΄).
6. – Πλάγιος δεύτερος (πλ. Β΄).
7. – Βαρὺς
8. – Πλάγιος τέταρτος (πλ. Δ΄).

Οἱ ἦχοι ἀνακυκλοῦνται καθ' ὅλον τὸ ἔτος, ἀρχῆς γινομένης ἀπὸ τῆς Κυριακῆς τοῦ Θωμᾶ διὰ τοῦ Α' ἤχου.

Τὰ δὲ ἑωθινὰ ἀναστάσιμα Εὐαγγέλια, τὰ ὁποῖα ἀναγινώσκονται εἰς τοὺς Ὄρθρους τῶν Κυριακῶν, εἶναι ἕνδεκα (σ. 108-117), πρὸς αὐτὰ δὲ ἀντιστοιχοῦν τὰ ἕνδεκα ἑωθινὰ ἀναστάσιμα ἐξαποστειλάρια (σ. 121-125) καὶ τὰ ἕνδεκα ἑωθινὰ δοξαστικὰ (σ. 128-132).

Τὰ ἕνδεκα ἑωθινὰ Εὐαγγέλια ἀνακυκλοῦνται ἐπίσης καθ' ὅλον τὸ ἔτος, ἀρχῆς γινομένης ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων πάντων διὰ τοῦ Α' ἑωθινοῦ(*).

Ὥστε τὴν Κυριακὴν τῶν ἁγίων πάντων ἔχομεν πάντοτε ἦχον πλ. Δ' καὶ ἑωθινὸν Α'· τὴν ἑπομένην Κυριακὴν ἔχομεν ἦχον Α' καὶ ἑωθινὸν Β', κ.ο.κ.. Ἔχων τοῦτο ὑπ' ὄψιν ὁ Χριστιανὸς δύναται νὰ εὑρίσκῃ τὸν ἦχον καὶ τὸ ἑωθινὸν ἑκάστης Κυριακῆς. Θὰ ἦτο πολὺ βοηθητικὸν νὰ καταρτίζῃ κατ' ἔτος πίνακα τῶν ἤχων καὶ τῶν ἑωθινῶν ὡς ἑξῆς:

Θὰ ἀναγράψῃ πρῶτον τὰς ἡμερομηνίας τῶν Κυριακῶν ἀπὸ τῆς Κυριακῆς τῶν ἁγίων πάντων μέχρι τῆς Ε' Κυριακῆς τῶν νηστειῶν τοῦ ἑπομένου ἔτους. Παραπλεύρως αὐτῶν θὰ ἀναγράψῃ τοὺς ἤχους, ἀρχόμενος ἀπὸ τοῦ πλ. Δ', καὶ τὰ ἑωθινά, ἀρχόμενος ἀπὸ τοῦ Α'. Ὅταν ἡ σειρὰ τῶν ἤχων τελειώνῃ, θὰ ἐπαναλαμβάνῃ αὐτοὺς ἐξ ἀρχῆς κ.ο.κ.. Τὸ αὐτὸ θὰ πράττῃ καὶ διὰ τὰ ἑωθινά. Παραθέτομεν ὡς παράδειγμα τέσσαρας μῆνας τοῦ ἔτους 1992, κατὰ τὸ ὁποῖον τὸ ἅγιον Πάσχα συμβαίνει τὴν 26ην Ἀπριλίου, ἡ δὲ Κυριακὴ τῶν ἁγίων πάντων τὴν 21ην Ἰουνίου.

Ἡμερομηνία		Ἦχος	Ἑωθινὸν
21	Ἰουνίου	πλ. Δ'	Α'
28	»	Α'	Β'
5	Ἰουλίου	Β'	Γ'
12	»	Γ'	Δ'
19	»	Δ'	Ε'
26	»	πλ. Α'	Ϛ'

* Κατὰ τὰς Κυριακὰς ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς ἡ τάξις ἀναγνώσεως τῶν ἑωθινῶν εἶναι διάφορος. Εἰς τὴν ἀκολουθίαν ἑκάστης Κυριακῆς τῆς περιόδου αὐτῆς σημειοῦται ποῖον ἑωθινὸν ἀναγινώσκεται.

2	Αὐγούστου	πλ. Β′	Ζ′
9	»	βαρὺς	Η′
16	»	πλ. Δ′	Θ′
23	»	Α′	Ι′
30	»	Β′	ΙΑ′
6	Σεπτεμβρίου	Γ′	Α′
13	»	Δ′	Β′
20	»	πλ. Α′	Γ′
27	»	πλ. Β′	Δ′

. . . . . .

Εἰδικώτερον διὰ τὸ α′ τρίμηνον τοῦ ἔτους, τὸ ὁποῖον καλύπτει ὁ παρὼν τόμος, ἂς ἔχῃ ὑπ᾽ ὄψιν ὁ Χριστιανὸς τὰ ἑξῆς:

Διὰ τὸ διάστημα ἀπὸ 1ης Ἰανουαρίου μέχρι τῆς Ε′ Κυριακῆς τῶν νηστειῶν ὁ ἦχος καὶ τὸ ἑωθινὸν ἐξαρτῶνται ἀπὸ τὴν ἡμερομηνίαν τοῦ Πάσχα τοῦ προηγουμένου ἔτους. Ὁ κατωτέρω πίναξ δεικνύει ποῖον ἦχον καὶ ἑωθινὸν ἔχομεν τὴν πρώτην Κυριακὴν τοῦ Ἰανουαρίου (1-7 Ἰανουαρίου) ἀναλόγως τῆς ἡμερομηνίας ταύτης. Γνωρίζοντες τοῦτο εὑρίσκομεν τὸν ἦχον καὶ τὸ ἑωθινὸν τῶν ἄλλων Κυριακῶν.

Ἐὰν τὸ Πάσχα τοῦ π.Ἔ. ἦτο	**Τὴν α′ Κυριακὴν τοῦ Ἰανουαρίου ἔχομεν:**	
	Ἦχον	**Ἑωθινὸν**
22-26 Μαρτίου	Α′	Α′
27 Μαρτ. - 2 Ἀπρ.	πλ. Δ′	ΙΑ′
3-9 Ἀπριλίου	βαρὺς	Ι′
10-16 »	πλ. Β′	Θ′
17-23 »	πλ. Α′	Η′
24-30 »	Δ′	Ζ′
1-7 Μαΐου	Γ′	ς′
8 Μαΐου	Β′	Ε′

Σημειωτέον τέλος, ὅτι, ὅταν κατά τινα Κυριακὴν συμπίπτῃ δεσποτικὴ ἢ θεομητορικὴ ἑορτή, εἰς τὸν Ὄρθρον ἀναγινώσκεται τὸ Εὐαγγέλιον τῆς ἑορτῆς ἀντὶ τοῦ ἑωθινοῦ τῆς σειρᾶς, τὸ ὁποῖον ὅμως θεωρεῖται ἀναγνωσθέν.

Α΄
ΠΙΝΑΞ ΗΜΕΡΟΜΗΝΙΩΝ
ΤΟΥ ΑΓΙΟΥ ΠΑΣΧΑ (1981-2100)
κατὰ τὸ νέον καὶ τὸ παλαιὸν ἡμερολόγιον.

Ἔτος	ν. ἡμ.	π. ἡμ.	Ἔτος	ν. ἡμ.	π. ἡμ.	Ἔτος	ν. ἡμ.	π. ἡμ.
1981	26 Ἀπρ.	13 Ἀπρ.	2013	5 Μαΐ.	22 Ἀπρ.	2045	9 Ἀπρ.	27 Μαρτ.
1982	18 Ἀπρ.	5 Ἀπρ.	2014	20 Ἀπρ.	7 Ἀπρ.	2046	29 Ἀπρ.	16 Ἀπρ.
1983	8 Μαΐ.	25 Ἀπρ.	2015	12 Ἀπρ.	30 Μαρτ.	2047	21 Ἀπρ.	8 Ἀπρ.
1984*	22 Ἀπρ.	9 Ἀπρ.	2016*	1 Μαΐ.	18 Ἀπρ.	2048*	5 Ἀπρ.	23 Μαρτ.
1985	14 Ἀπρ.	1 Ἀπρ.	2017	16 Ἀπρ.	3 Ἀπρ.	2049	25 Ἀπρ.	12 Ἀπρ.
1986	4 Μαΐ.	21 Ἀπρ.	2018	8 Ἀπρ.	26 Μαρτ.	2050	17 Ἀπρ.	4 Ἀπρ.
1987	19 Ἀπρ.	6. Ἀπρ.	2019	28 Ἀπρ.	15 Ἀπρ.	2051	7 Μαΐ.	24 Ἀπρ.
1988*	10 Ἀπρ.	28 Μαρτ.	2020*	19 Ἀπρ.	6 Ἀπρ.	2052*	21 Ἀπρ.	8 Ἀπρ.
1989	30 Ἀπρ.	17 Ἀπρ.	2021	2 Μαΐ.	19 Ἀπρ.	2053	13 Ἀπρ.	31 Μαρτ.
1990	15 Ἀπρ.	2 Ἀπρ.	2022	24 Ἀπρ.	11 Ἀπρ.	2054	3 Μαΐ.	20 Ἀπρ.
1991	7 Ἀπρ.	25 Μαρτ.	2023	16 Ἀπρ.	3 Ἀπρ.	2055	18 Ἀπρ.	5 Ἀπρ.
1992*	26 Ἀπρ.	13 Ἀπρ.	2024*	5 Μαΐ.	22 Ἀπρ.	2056*	9 Ἀπρ.	27 Μαρτ.
1993	18 Ἀπρ.	5 Ἀπρ.	2025	20 Ἀπρ.	7 Ἀπρ.	2057	29 Ἀπρ.	16 Ἀπρ.
1994	1 Μαΐ.	18 Ἀπρ.	2026	12 Ἀπρ.	30 Μαρτ.	2058	14 Ἀπρ.	1 Ἀπρ.
1995	23 Ἀπρ.	10 Ἀπρ.	2027	2 Μαΐ.	19 Ἀπρ.	2059	4 Μαΐ.	21 Ἀπρ.
1996*	14 Ἀπρ.	1 Ἀπρ.	2028*	16 Ἀπρ.	3 Ἀπρ.	2060*	25 Ἀπρ.	12 Ἀπρ.
1997	27 Ἀπρ.	14 Ἀπρ.	2029	8 Ἀπρ.	26 Μαρτ.	2061	10 Ἀπρ.	28 Μαρτ.
1998	19 Ἀπρ.	6 Ἀπρ.	2030	28 Ἀπρ.	15 Ἀπρ.	2062	30 Ἀπρ.	17 Ἀπρ.
1999	11 Ἀπρ.	29 Μαρτ.	2031	13 Ἀπρ.	31 Μαρτ.	2063	22 Ἀπρ.	9 Ἀπρ.
2000*	30 Ἀπρ.	17 Ἀπρ.	2032*	2 Μαΐ.	19 Ἀπρ.	2064*	13 Ἀπρ.	31 Μαρτ.
2001	15 Ἀπρ.	2 Ἀπρ.	2033	24 Ἀπρ.	11 Ἀπρ.	2065	26 Ἀπρ.	13 Ἀπρ.
2002	5 Μαΐ.	22 Ἀπρ.	2034	9 Ἀπρ.	27 Μαρτ.	2066	18 Ἀπρ.	5 Ἀπρ.
2003	27 Ἀπρ.	14 Ἀπρ.	2035	29 Ἀπρ.	16 Ἀπρ.	2067	10 Ἀπρ.	28 Μαρτ.
2004*	11 Ἀπρ.	29 Μαρτ.	2036*	20 Ἀπρ.	7 Ἀπρ.	2068*	29 Ἀπρ.	16 Ἀπρ.
2005	1 Μαΐ.	18 Ἀπρ.	2037	5 Ἀπρ.	23 Μαρτ.	2069	14 Ἀπρ.	1 Ἀπρ.
2006	23 Ἀπρ.	10 Ἀπρ.	2038	25 Ἀπρ.	12 Ἀπρ.	2070	4 Μαΐ.	21 Ἀπρ.
2007	8 Ἀπρ.	26 Μαρτ.	2039	17 Ἀπρ.	4 Ἀπρ.	2071	19 Ἀπρ.	6 Ἀπρ.
2008*	27 Ἀπρ.	14 Ἀπρ.	2040*	6 Μαΐ.	23 Ἀπρ.	2072*	10 Ἀπρ.	28 Μαρτ.
2009	19 Ἀπρ.	6 Ἀπρ.	2041	21 Ἀπρ.	8 Ἀπρ.	2073	30 Ἀπρ.	17 Ἀπρ.
2010	4 Ἀπρ.	22 Μαρτ.	2042	13 Ἀπρ.	31 Μαρτ.	2074	22 Ἀπρ.	9 Ἀπρ.
2011	24 Ἀπρ.	11 Ἀπρ.	2043	3 Μαΐ.	20 Ἀπρ.	2075	7 Ἀπρ.	25 Μαρτ.
2012*	15 Ἀπρ.	2 Ἀπρ.	2044*	24 Ἀπρ.	11 Ἀπρ.	2076*	26 Ἀπρ.	13 Ἀπρ.

Τὰ δι᾽ ἀστερίσκου σημειούμενα ἔτη εἶναι δίσεκτα. Τὸ ἔτος 2100 κατὰ τὸ π.ἡ. θὰ εἶναι δίσεκτον, ἐνῷ κατὰ τὸ ν.ἡ. δὲν θὰ εἶναι. Διὰ τοῦτο ἀπὸ τοῦ ἔτους αὐτοῦ ἡ διαφορὰ τῶν ἡμερολογίων θὰ αὐξηθῇ ἀπὸ 13 εἰς 14 ἡμέρας.

Ἔτος	ν. ἡμ.	π. ἡμ.	Ἔτος	ν. ἡμ.	π. ἡμ.	Ἔτος	ν. ἡμ.	π. ἡμ.
2077	18 Ἀπρ.	5 Ἀπρ.	2085	15 Ἀπρ.	2 Ἀπρ.	2093	19 Ἀπρ.	6 Ἀπρ.
2078	8 Μαΐ.	25 Ἀπρ.	2086	7 Ἀπρ.	25 Μαρτ.	2094	11 Ἀπρ.	29 Μαρτ.
2079	23 Ἀπρ.	10 Ἀπρ.	2087	27 Ἀπρ.	14 Ἀπρ.	2095	24 Ἀπρ.	11 Ἀπρ.
2080*	14 Ἀπρ.	1 Ἀπρ.	2088*	18 Ἀπρ.	5 Ἀπρ.	2096*	15 Ἀπρ.	2 Ἀπρ.
2081	4 Μαΐ.	21 Ἀπρ.	2089	1 Μαΐ.	18 Ἀπρ.	2097	5 Μαΐ.	22 Ἀπρ.
2082	19 Ἀπρ.	6 Ἀπρ.	2090	23 Ἀπρ.	10 Ἀπρ.	2098	27 Ἀπρ.	14 Ἀπρ.
2083	11 Ἀπρ.	29 Μαρτ.	2091	8 Ἀπρ.	26 Μαρτ.	2099	12 Ἀπρ.	30 Μαρτ.
2084*	30 Ἀπρ.	17 Ἀπρ.	2092*	27 Ἀπρ.	14 Μαρτ.	2100	2 Μαΐ.	18 Ἀπρ.

Β΄
ΣΥΝΟΠΤΙΚΑ ΠΑΣΧΑΛΙΑ

Τὸ Τριῴδιον ἄρχεται	Ὁ Εὐαγγελισμὸς συμπίπτει	Τὸ Ἅγιον Πάσχα	Ἡ Ἀνάληψις	Ἡ Πεντηκοστὴ	Νηστεία ἁγ. Ἀποστόλων ἡμ.	Ἡ μνήμη αὐτῶν
11 Ἰαν.	Τετάρτη Διακαιν.	22 Μαρτ.	30 Ἀπρ.	10 Μαΐ.	42	Δευτέρα
12 Ἰαν.	Τρίτη Διακαιν.	23 Μαρτ.	1 Μαΐ.	11 Μαΐ.	41	Κυριακὴ
13 Ἰαν.	Δευτ. Διακαιν.	24 Μαρτ.	2 Μαΐ.	12 Μαΐ.	40	Σάββατ.
14 Ἰαν.	Κυρ. Πάσχα	25 Μαρτ.	3 Μαΐ.	13 Μαΐ.	39	Παρασκ.
15 Ἰαν.	Μ. Σάββατον	26 Μαρτ.	4 Μαΐ.	14 Μαΐ.	38	Πέμπτη
16 Ἰαν.	Μ. Παρασκευὴ	27 Μαρτ.	5 Μαΐ.	15 Μαΐ.	37	Τετάρτη
17 Ἰαν.	Μ. Πέμπτη	28 Μαρτ.	6 Μαΐ.	16 Μαΐ.	36	Τρίτη
18 Ἰαν.	Μ. Τετάρτη	29 Μαρτ.	7 Μαΐ.	17 Μαΐ.	35	Δευτέρα
19 Ἰαν.	Μ. Τρίτη	30 Μαρτ.	8 Μαΐ.	18 Μαΐ.	34	Κυριακὴ
20 Ἰαν.	Μ. Δευτέρα	31 Μαρτ.	9 Μαΐ.	19 Μαΐ.	33	Σάββατ.
21 Ἰαν.	Κυρ. Βαΐων	1 Ἀπρ.	10 Μαΐ.	20 Μαΐ.	32	Παρασκ.
22 Ἰαν.	Σαββ. Λαζάρου	2 Ἀπρ.	11 Μαΐ.	21 Μαΐ.	31	Πέμπτη
23 Ἰαν.	Παρ. ς΄ ἑβδ.	3 Ἀπρ.	12 Μαΐ.	22 Μαΐ.	30	Τετάρτη
24 Ἰαν.	Πέμ. ς΄ ἑβδ.	4 Ἀπρ.	13 Μαΐ.	23 Μαΐ.	29	Τρίτη
25 Ἰαν.	Τετ. ς΄ ἑβδ.	5 Ἀπρ.	14 Μαΐ.	24 Μαΐ.	28	Δευτέρα
26 Ἰαν.	Τρίτη ς΄ ἑβδ.	6 Ἀπρ.	15 Μαΐ.	25 Μαΐ.	27	Κυριακὴ
27 Ἰαν.	Δευτ. ς΄ ἑβδ.	7 Ἀπρ.	16 Μαΐ.	26 Μαΐ.	26	Σάββατ.
28 Ἰαν.	Ε΄ Κυρ. νηστ.	8 Ἀπρ.	17 Μαΐ.	27 Μαΐ.	25	Παρασκ.
29 Ἰαν.	Σάββ. Ε΄ ἑβδ.	9 Ἀπρ.	18 Μαΐ.	28 Μαΐ.	24	Πέμπτη
30 Ἰαν.	Παρ. Ε΄ ἑβδ.	10 Ἀπρ.	19 Μαΐ.	29 Μαΐ.	23	Τετάρτη
31 Ἰαν.	Πέμ. Ε΄ ἑβδ.	11 Ἀπρ.	20 Μαΐ.	30 Μαΐ.	22	Τρίτη
1 Φεβρ.	Τετ. Ε΄ ἑβδ.	12 Ἀπρ.	21 Μαΐ.	31 Μαΐ.	21	Δευτέρα
2 Φεβρ.	Τρίτη Ε΄ ἑβδ.	13 Ἀπρ.	22 Μαΐ.	1 Ἰουν.	20	Κυριακὴ
3 Φεβρ.	Δευτ. Ε΄ ἑβδ.	14 Ἀπρ.	23 Μαΐ.	2 Ἰουν.	19	Σάββατ.

Τὸ Τριῴδιον ἄρχεται	Ὁ Εὐαγγελισμὸς συμπίπτει	Τὸ Ἅγιον Πάσχα	Ἡ Ἀνάληψις	Ἡ Πεντηκοστὴ	Νηστεία ἁγ. Ἀποστόλων ἡμ.	Ἡ μνήμη αὐτῶν
4 Φεβρ.	Κυρ. Δ΄ νηστ.	15 Ἀπρ.	24 Μαΐ.	3 Ἰουν.	18	Παρασκ.
5 Φεβρ.	Σάββ. Δ΄ ἑβδ.	16 Ἀπρ.	25 Μαΐ.	4 Ἰουν.	17	Πέμπτη
6 Φεβρ.	Παρ. Δ΄ ἑβδ.	17 Ἀπρ.	26 Μαΐ.	5 Ἰουν.	16	Τετάρτη
7 Φεβρ.	Πέμ. Δ΄ ἑβδ.	18 Ἀπρ.	27 Μαΐ.	6 Ἰουν.	15	Τρίτη
8 Φεβρ.	Τετ. Δ΄ ἑβδ.	19 Ἀπρ.	28 Μαΐ.	7 Ἰουν.	14	Δευτέρα
9 Φεβρ.	Τριτη Δ΄ ἑβδ.	20 Ἀπρ.	29 Μαΐ.	8 Ἰουν.	13	Κυριακὴ
10 Φεβρ.	Δευτ. Δ΄ ἑβδ.	21 Ἀπρ.	30 Μαΐ.	9 Ἰουν.	12	Σάββατ.
11 Φεβρ.	Κυρ. Γ΄ νηστ.	22 Ἀπρ.	31 Μαΐ.	10 Ἰουν.	11	Παρασκ.
12 Φεβρ.	Σάββ. Γ΄ ἑβδ.	23 Ἀπρ.	1 Ἰουν.	11 Ἰουν.	10	Πέμπτη
13 Φεβρ.	Παρ. Γ΄ ἑβδ.	24 Ἀπρ.	2 Ἰουν.	12 Ἰουν.	9	Τετάρτη
14 Φεβρ.	Πέμ. Γ΄ ἑβδ.	25 Ἀπρ.	3 Ἰουν.	13 Ἰουν.	8	Τρίτη
15 Φεβρ.	Τετ. Γ΄ ἑβδ.	26 Ἀπρ.	4 Ἰουν.	14 Ἰουν.	7	Δευτέρα
16 Φεβρ.	Τρίτη Γ΄ ἑβδ.	27 Ἀπρ.	5 Ἰουν.	15 Ἰουν.	6	Κυριακὴ
17 Φεβρ.	Δευτ. Γ΄ ἑβδ.	28 Ἀπρ.	6 Ἰουν.	16 Ἰουν.	5	Σάββατ.
18 Φεβρ.	Κυρ. Β΄ νηστ.	29 Ἀπρ.	7 Ἰουν.	17 Ἰουν.	4	Παρασκ.
19 Φεβρ.	Σάββ. Β΄ ἑβδ.	30 Ἀπρ.	8 Ἰουν.	18 Ἰουν.	3	Πέμπτη
20 Φεβρ.	Παρ. Β΄ ἑβδ.	1 Μαΐ.	9 Ἰουν.	19 Ἰουν.	2	Τετάρτη
21 Φεβρ.	Πέμ. Β΄ ἑβδ.	2 Μαΐ.	10 Ἰουν.	20 Ἰουν.	1	Τρίτη
22 Φεβρ.	Τετ. Β΄ ἑβδ.	3 Μαΐ.	11 Ἰουν.	21 Ἰουν.	–	Δευτέρα
23 Φεβρ.	Τρίτη Β΄ ἑβδ.	4 Μαΐ.	12 Ἰουν.	22 Ἰουν.	–	Κυριακὴ
24 Φεβρ.	Δευτ. Β΄ ἑβδ.	5 Μαΐ.	13 Ἰουν.	23 Ἰουν.	–	Σάββατ.
25 Φεβρ.	Κυρ. Α΄ νηστ.	6 Μαΐ.	14 Ἰουν.	24 Ἰουν.	–	Παρασκ.
26 Φεβρ.	Σάββ. Α΄ ἑβδ.	7 Μαΐ.	15 Ἰουν.	25 Ἰουν.	–	Πέμπτη
27 Φεβρ.	Παρ. Α΄ ἑβδ.	8 Μαΐ.	16 Ἰουν.	26 Ἰουν.	–	Τετάρτη